BKI
1104

λαβὼν ὁ [illegible] καὶ αὐθέντης ἡμῶν
[redacted]σαι ἦλθεν ἐν τῷ παρόντι
βιβλίῳ, [illegible]: ἐπωλήθη
[illegible] χρυσοπουλ[illegible] [illegible]
[illegible] ἄσπρα [illegible] χρυσίου [illegible]
ἄλλους.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ
Μητροπολίτη
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ

1535

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Αριθ. εισ. 141.853

# ΛΟΥΚΙΑ-
## ΝΟΥ ΣΑΜΟΣΑΤΕΩΣ ΜΕ-
## ΡΟΣ ΔΕΥΤΕΡΟΝ.

ΒΙΒΛΙΟΘΗΚ
Ε ... , εὑρήσεις ἐν πισ
Λ ... 
ΑΥΞΩΝ ΑΡΙΘ. ..........

# LVCIANI SAMO-
## SATENSIS PARS
## SECVNDA.

[redacted]

*Quæ in hac Parte continentur, in his quæ sequuntur ordine, reperies.*

[redacted]

XLVI [redacted]

ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΤΑΔΕ ΠΕΡΙΕΧΕΙ ΔΕΥΤΕΡΟΝ ΜΕΡΟΣ ΤΟΥ ΛΟΥΚΙΑΝΟΥ.


Ἔρωτες. 850

Εἰκόνες. 886

Ὑπὲρ τῶν εἰκόνων. 904

Τόξαρις, ἢ φιλία. 924

Λούκιος, ἢ ὄνος. 980

Ζεὺς ἐλεγχόμενος. 1036

Ζεὺς τραγῳδός. 1048

Ὄνειρος, ἢ ἀλεκτρυών. 1087

Ἰκαρομένιππος, ἢ ὑπερνέφελος. 1120

Δὶς κατηγορούμενος, ἢ δικαστήρια. 1151

Περὶ παρασίτου, ἤγουν ὅτι τέχνη ἡ παρασιτική. 1184

Ἀνάχαρσις, ἢ περὶ γυμνασίων. 1221

Περὶ πένθους. 1258

Ῥητόρων διδάσκαλος. 1268

Φιλοψευδής, ἢ ἀπιστῶν. 1288

Ἱππίας, ἢ βαλανεῖον. 1325

Προσλαλιά, ἢ Διόνυσος. 1329

Προσλαλιά, ἢ Ἡρακλῆς. 1335

Περὶ τοῦ ἠλέκτρου, ἢ τῶν κύκνων. 1340

Μυίας ἐγκώμιον. 1343

Πρὸς τὸν ἀπαίδευτον, καὶ πολλὰ βιβλία ὠνούμενον. 1350


Περὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

| | |
|---|---|
| Περὶ τοῦ μὴ ῥᾳδίως πιστεύειν διαβολῇ. | 1371 |
| Ψευδολογιστής, ἢ περὶ τῆς ἀποφράδος. | 1390 |
| Περὶ τοῦ οἴκου. | 1412 |
| Μακρόβιοι. | 1430 |
| Πατρίδος ἐγκώμιον. | 1443 |
| Περὶ τῶν διψάδων. | 1448 |
| Διάλεξις πρὸς Ἡσίοδον. | 1454 |
| Πλοῖον, ἢ εὐχαί. | 1459 |
| Τραγοποδάγρα. | 1490 |
| Ὠκύπους | 1503 |


ΕΤΑΙΡΙΚΟΙ ΔΙΑΛΟΓΟΙ.


| | |
|---|---|
| Γλυκέρα, καὶ Θαΐς. | 1511 |
| Μυρτίον, Πάμφιλος, καὶ Δωρίς. | 1512 |
| Μήτηρ, καὶ Φιλίννα. | 1515 |
| Μέλιττα, καὶ Βακχίς. | 1518 |
| Κλωνάριον, καὶ Λέαινα. | 1522 |
| Κρωβύλη, καὶ Κόριννα. | 1525 |
| Μήτηρ καὶ Μουσάριον. | 1528 |
| Ἀμπελίς, καὶ Χρυσίς. | 1531 |
| Δωρίς, Παννυχίς, Δορκάς, Φιλόστρατος, καὶ Πολέμων. | 1533 |
| Χελιδόνιον, καὶ Δροσή. | 1537 |
| Τρύφαινα, καὶ Χαρμίδης. | 1541 |
| Ἰόεσσα, καὶ Πυθιάς, καὶ Λυσίας. | 1544 |
| Λεοντίχος, Χηνίδας, καὶ Ὑμνίς. | 1549 |




ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Δωρίων καὶ Μυρτάλη. 1553

Κοχλὶς καὶ Παρθενίς. 1556

Περὶ τῆς Περεγρίνου τελευτῆς. 1558

Δραπέται. 1582


ΤΑ ΠΡΟΣ ΚΡΟΝΟΝ.


Ἱερεὺς καὶ Κρόνος. 1601

Κρονοσόλων. 1609


ΕΠΙΣΤΟΛΑΙ ΚΡΟΝΙΚΑΙ.


Ἐγὼ Κρόνῳ χαίρειν. 1615

Κρόνος ἐμοὶ τῷ φιλτάτῳ χαίρειν. 1620

Κρόνος τοῖς πλουσίοις χαίρειν. 1624

Οἱ πλούσιοι τῷ Κρόνῳ χαίρειν 1628

Συμπόσιον, ἢ Λαπίθαι. 1630

Περὶ τῆς Συρίης θεοῦ. 1658

Δημοσθένους ἐγκώμιον. 1692

Θεῶν ἐκκλησία. 1722

Ψήφισμα. 1730

Ζεὺς καὶ ἥλιος. 1732

Ἀπόλλων καὶ Ἑρμῆς. 1734

Κυνικὸς καὶ Λυκῖνος. 1736

Ψευδοσοφιστής, ἢ Σολοικιστής. 1749

Φιλόπατρις, ἢ διδασκόμενος. 1759

Χαρίδημος, ἢ περὶ κάλλους. 1779

Νέρων, ἢ περὶ τῆς ὀρυχῆς τοῦ ἰσθμοῦ. 1799


ΤΕΛΟΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ ΕΥΛ... ΚΟΥΡ... ΟΥ



## ΕΡΩΤΕΣ. ΛΥΚΙΝΟΣ.

ΕΡΩΤΙΚΗΣ παιδιᾶς ἑταῖρέ μοι Θεόμνηστε, ἐξ ἑωθινοῦ πεπλήρωκας ἡμῶν τὰ κεκμηκότα πρὸς τὰς συνεχεῖς σπουδὰς ὦτα. καί μοι σφόδρα διψῶντι τοιαύτης ἀνέσεως, εὔκαιρος ἡ τῶν ἱλαρῶν σου λόγων ἐπέρρυη χάρις. ἀσθενὴς γὰρ ἡ ψυχὴ διηνεκοῦς σπουδῆς ἀνέχεσθαι. ποθοῦσι δ' οἱ φιλότιμοι πόνοι, μικρὰ τῶν ἐπαχθῶν φροντίδων χαλασθέντες, εἰς ἡδονὰς ἀνίεσθαι. πάνυ δή με ὑπὸ τὸν ὄρθρον, ἡ τῶν ἀκολάστων σου λόγων αἱμύλη, καὶ γλυκεῖα πειθὼ κατεύφρανεν. ὡς ὀλίγου δεῖν, Ἀριστείδης ἐνόμιζον εἶναι, τοῖς μιλησιακοῖς λόγοις ὑπερκηλούμενος. ἄχθομαί τε νὴ τοὺς σοὺς ἔρωτας, οἷς πλατὺς εὑρέθης σκοπὸς, ὅτι πέπαυσαι διηγούμενος. καί σε πρὸς αὐτῆς ἀντιβολοῦμεν Ἀφροδίτης, εἰ περιττά με λέγειν ἔοικας, εἴ τις ἀρρένων, ἢ καὶ νὴ Δία θήλεια ἐφεῖταί



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σοι πόθος, ἠρέμα τῇ μνήμῃ ἐκκαλέσασθαι. καὶ γὰρ ἄλλως ἑορταστικὴν ἄγομεν ἡμέραν, Ἡράκλεια θύοντες. οὐκ ἀγνοεῖς δὲ δήπου τὸν θεὸν ὡς ὀξὺς ἦν πρὸς Ἀφροδίτην. ἥδιστα οὖν δοκεῖ μοι τῶν λόγων τὰς θυσίας προσήσεσθαι. Θεόμνηστος.

θᾶττον ἄν μοι ὦ Λυκῖνε, θαλάττης κύματα, καὶ πυκνὰς ἀπ' οὐρανοῦ νιφάδας ἀριθμήσειας, ἢ τοὺς ἐμοὺς ἔρωτας. ἐγὼ γοῦν ἅπασαν αὐτῶν κενὴν ἀπολελεῖφθαι φαρέτραν νομίζω, κἂν ἐπ' ἄλλόν τινα πτῆναι θελήσωσιν, ἄνοπλος αὐτῶν ἡ δεξιὰ γελασθήσεται. σχεδὸν γὰρ ἐκ τοῦ αὐτίπαιδος ἡλικίας εἰς τοὺς ἐφήβους κριθεὶς, ἄλλαις ἐπ' ἄλλων ἐπιθυμίαις βουκολοῦμαι. διάδοχοι ἔρωτες ἀλλήλων, καὶ πρὶν ἢ λῆξαι τοὺς προτέρους, ἄρχονται δεύτεροι, κάρηνα Λερναῖα τοῦ παλιμφυοῦς ὕδρας πολυπλοκώτερα, μηδ' Ἰόλεων βοηθὸν ἔχειν δυνάμενα. πυρὶ γὰρ οὐ σβέννυται πῦρ. οὕτω τις ὑγρὸς τοῖς ὄμμασιν ἐνοικεῖ μύωψ, ὃς ἅπαν κάλλος εἰς αὑτὸν ἁρπάζων, ἐπ' οὐδενὶ κόρῳ παύεται. καὶ συνεχὲς ἀπορεῖν ἐπέρχεταί μοι, τίς οὗτος Ἀφροδίτης ὁ χόλος. οὐ γὰρ Ἡλιάδης ἐγώ τις, οὐδὲ Λημνιάδων εἷς, οὐδὲ Ἱππολύτειον ἀγροικίαν ὠφρυωμένος, ὡς ἐρεθίσαι τῆς θεοῦ τὴν ἄπαυστον ταύτην ὀργήν. Λυκῖνος. πέπαυσο τῆς ἐπιπλάστου καὶ δυσχεροῦς ταύτης ὑπο

κρίσεως

κρείστως Θεόμνηστε. ἄχθῃ δ' ὅτι τοιούτῳ τῷ βίῳ ἡ τύχη προσεκλήρωσέ σε, καὶ χαλεπὸν εἶναι νομίζεις, εἰ γυναιξὶν ὡραίαις, καὶ μὴν παίδων τε καλῶν ἀνθούντων ὁμιλήσεις; ἀλλά σοι τὸ καθαρσίων τάχα δεήσει πρὸς τὸ δυσχερὲς τοῦτο νόσημα. δεινὸν γὰρ τὸ πάθος. ἀλλ' οὐχὶ τοῦτον τὸν πολὺν ἐκχέας λῆρον, εὐδαίμονα σαυτὸν εἶναι νομιεῖς, ὅτι σοι ὁ θεὸς οὐκ αὐχμηρὰν γεωργίαν ἐπέκλωσεν, οὐδ' ἐμπειρικὰς ἄλλας, καὶ στρατιώτην ἐν ὅπλοις βίον, ἀλλὰ λιπαραὶ παλαῖστραι μέλουσί σοι, καὶ φαιδρὰ μὲν ἐσθὴς μέχρι ποδῶν τὴν σφυρὴν καθειμένη. διακειδὸν δ' ἠσκημένης κόμης ἐπιμέλεια. τῶν τε μὴν ἐρωτικῶν ἱμέρων, ἡ αὐτὴ τὸ βασανίζον, εὐφαίνει, καὶ γλυκὺ ὀδύνης ὅ τι τοῦ πόθου δάκνει. πειράσας δέ, ἐλπίζεις. τυχὼν δ', ἀπολέλαυκας. ἴσθι δὲ ἡδονὴ τὸ παρεῖναι, καὶ τὸ μέλλον. ἔναγχος γοῦν διηγουμένου σου τὴν πολὺν, ὡς καὶ τῷ Ἡσιόδῳ κατάλογον, ὧν ἀρχῆθεν ἠράσθης, ἱλαραὶ μὲν τῶν ὀμμάτων αἱ βολαὶ τακερὸν ἀνυγραίνοντο. τὴν φωνὴν δ' ἴσω τῇ Λυκάμβου θυγατρὶ λεπτὸν ἀφηδύνων, ἀπ' αὐτοῦ τοῦ σχήματος εὐθὺς δῆλος ἦς, οὐκ ἐκείνων μόνων, ἀλλὰ καὶ τῆς ἐπ' αὐτοῖς μνήμης ἐρῶν. ἀλλ' εἴ τι σοι τοῦ κατὰ τὴν Ἀφροδίτην

περὶ τὸ λείψανον ἀφείῃ, μηδὲ ἀποκρύψῃ. πρὸς δὲ Ἡρακλεῖ, τὴν θυσίαν ἐντελῆ παράσχου. Θεό. Στεφάνος μὲν ὁ δαίμων ὦ Λυκῖνε, καὶ ταῖς ἀκάπνοις ὥς φασι τῶν θυσιῶν ἥκιστα τερπόμενος. ἐπεὶ δ' αὐτοῦ τὴν ἐτήσιον ἑορτὴν λόγῳ γεραίρομεν, αἱ μὲν ἐμαὶ διηγήσεις, ἐξ ἑωθινοῦ παραταθεῖσαι, κόρον ἔχουσιν. ἤδη σὴ μοῦσα, τῆς συνήθους μεθαρμοσαμένη σπουδῆς, ἱλαρῶς τῷ θεῷ συνδιημερευσάτω. καί μοι γενοῦ δικαστὴς ἴσος, ἐπεὶ μηδ' εἰς ἕτερόν σε τῶν παθῶν ῥέποντα ὁρῶ. ποτέρους ἀμείνονας ἡγῇ τοὺς φιλόπαιδας, ἢ τοὺς γυναικείοις ἀσμενίζοντας; ἐγὼ μὲν γὰρ ὁ πληγεὶς ἑκατέρῳ, καθάπερ ἀκριβὴς τρυτάνη, ταῖς ἐπ' ἀμφότερα πλάστιγξιν, ἰσοῤῥόπως ταλαντεύομαι. σὺ δ' ἐκτὸς ὤν, ἀδεκάστῳ κριτῇ τῷ λογισμῷ τὸ βέλτιον αἱρήσῃ. πάντα δὴ περιελὼν ἀκκισμὸν ὦ φιλότης, ἣν πεπίστευκέ σοι ψῆφον, ἡ περὶ τῶν ἐμῶν ἐρώτων κρίσις, ἤδη φέρε. ΛΥ. παιδιᾶς ὦ Θεόμνηστε, καὶ γέλωτος ἡγῇ τὴν δίκην. ἡ δ' ἐπαγγέλλεταί τι καὶ σπουδαῖον. ἔγωγ' οὖν ἐξ ὑπογύου τῆς ἐπιχειρήσεως ἡψάμην, εἰδὼς ὅτι λίαν ἀλλ' οὐ παλαιᾶς, ἐξ ὅπου δυοῖν ἀνδροῖν ἀκηκοώς, περὶ πρώην συντόνως ὡς ἁμιλλωμένοιν, ἔτι τὴν μνήμην ἔναυλον ἔχω. διήρηκε δ' αὐτῶν ἅμα τοῖς λόγοις

τὰ

τὰ πάθη. καὶ οὐχ ὥσπερ σὺ κατ' εὐκολίαν ψυχῆς ἄϋπνος ὤν, διττοῖς ἄρνυσαι μισθοῖς, τὸν μὲν βουκολέων, τὸν δ' ἄργυφα μῆλα νομεύων. ἀλλ' ὁ μὲν, ὑπερφυῶς παιδικοῖς ἥδεται, τὴν θήλειαν Ἀφροδίτην βάραθρον ἡγούμενος. ὁ δ' ἁγνεύων ἔρωτος ἄῤῥενος, εἰς γυναῖκας ἐπτόηται. δυοῖν δὲ μαχομένοιν παθοῖν ἀγωνοθετήσας ἅμιλλαν, οὐδ' ἂν εἰπεῖν δυναίμην, ὡς ὑπερευφράνθην. καί μοι τὰ τῶν λόγων ἴχνη, ταῖς ἀκοαῖς ἐνεσφράγισται σχεδὸν, ὡς ἀρτίως εἰρημένα. πᾶσαν δὲ ἐπιτιμήσεως ἀφορμὴν ἐκποδὼν ἀποθέμενος, ἃ παρ' ἀμφοῖν ἤκουσα λεγόντοιν, κατὰ τὸ ἀκριβὲς ἐπέξειμί σοι. ΘΕΟ. καὶ μὴν ἔγωγε ἀναστὰς ἔνθεν, ἀπαντικρὺ καθεδοῦμαί σου, δέγμενος Αἰακίδην ὁπότε λήξειεν ἀείδων. σὺ δ' ἡμῖν τὰ πάλαι κλέα τῆς ἐρωτικῆς διαφορᾶς, μελῳδίᾳ περαίνειν. ΛΥ. ἐπ' Ἰταλίαν μοι πλεῖν διανοουμένῳ, πάγχυ ναυπηγὸν σκάφος εὐτρέπιστο τούτων τῶν δικρότων, οἷς μάλιστα χρῆσθαι Λιβυρνοὶ δοκοῦσιν, ἔθνος Ἰονίῳ κόλπῳ παρῳκισμένον. ὡς δ' ἐνῆν, πάντας ἐπιχωρίους θεοὺς προσκυνήσας, καὶ Δία ξένιον ἵλεω συνεφάπτεσθαι τῆς ἀποδήμου στρατιᾶς ἐπικαλεσάμενος, ἀπ' ἄστεος ὀχῷ ζεύγει κατῄειν ἐπὶ θάλασσαν. εἶτα τοὺς παραπέμποντάς με δεξιωσάμενος

μένων, ἠκολούθει δὲ παιδείας λιπὴς ὄχλος, οἱ συνεχὲς ἡμῖν ἐντυγχάνοντες, αὐτοὶ δὲ συζεύγνυμεν. τῆς πρύμνης γοῦν ἐπιβὰς, ἐγγὺς ἐμαυτὸν ἵδρυσα τοῦ κυβερνήτου. καὶ ῥοθίῳ γὰρ τῶν ἐλατήρων μετὰ μικρὸν ἀπὸ τῆς γῆς ἀναχθέντες, ἐπειδὴ μάλα καὶ κατόπιν ἡμᾶς ἐκύμαινον αὖραι, τὸν ἱστὸν ἐκ τῶν μεσοκοίλων ἄκρῳ καρχησίῳ τὸ κέρας προσειλάμεν. εἶτ' ἀθρόας κατὰ τῶν κάλων τὰς ὀθόνας ἐκχέαντες, ἠρέμα πιμπλαμένου τοῦ λίνου, κατ' οὐδὲν οἶμαι βέλους ἐλάττονι ῥοίζῳ διϊπτάμεθα, βαρὺ τοῦ κύματος ὑποβρυχωμένου περὶ τὴν χίζουσαν αὐτὸ πρῶραν. ἀλλ' ἃ μὲν ἐν τῷ μεταξὺ παράπλῳ, σπουδῆς, ἢ παιδιᾶς ἐχόμενα συνηνέχθη, καιρὸς οὐ πάνυ μηκύνειν. ὡς δὲ τῆς Κιλικίας τὴν ἔφαλον ἀμείψαντες, εἰχόμεθα τοῦ Παμφυλίου κόλπου, Χελιδονέας ὑπερθέοντες, οὐκ ἀμοχθεὶ τοὺς εὐτυχεῖς τῆς παλαιᾶς Ἑλλάδος ὅρους, ἑκάστῃ τῶν Λυκιακῶν πόλεων ἐπεξενούμεθα, μύθοις τὰ πολλὰ χαίροντες. οὐδὲν γοῦν ἐν αὐταῖς σαφὲς εὐδαιμονίας ὁρᾶται λείψανον. ἄχρι τῆς ἡλιάδος ἁψάμενοι Ῥόδου, τὸ συνεχὲς τοῦ μεταξὺ πλοῦ διαναπαῦσαι πρὸς ὀλίγον ἐκρίναμεν. Οἱ μὲν οὖν ἐρέται, τὸ σκάφος ἔξαλον ἐς γῆν ἀνασπάσαντες, ἐγγὺς ἐσκήνωσαν. ἐγὼ δ' εὐξεπισμέ-

νου

νου μοι ξενῶνος ἀπαντικρὺ τοῦ Διονυσίου κατὰ σχολὴν ἐβάδιζον, ὑπερφυοῦς ἀπολαύσεως ἐμπιμπλάμενος. ἔστι γὰρ ὄντως ἡ πόλις ἡλίου, πρέπον ἔχουσα τῷ θεῷ τὸ κάλλος. ἐκπεριιὼν δὲ τὰς ἐν τῷ Διονυσίῳ στοάς, ἑκάστην γραφὴν κατώπτευον, ἅμα τῷ τέρποντι τῆς ὄψεως, καὶ τοὺς ἡρωικοὺς μύθους ἀνανεούμενος. εὐθὺ γάρ μοι δύο, ἢ τρεῖς προσεπεφύκεσαν ὀλίγου διάφοροι, πᾶσαν ἱστορίαν ἀφηγούμενοι. τὰ δὲ πολλὰ καὶ αὐτὸς εἰκασίᾳ προὐλάμβανον. ἤδη δὲ τῆς θέας ἅλις ἔχοντι, καὶ διανοουμένῳ μοι βαδίζειν οἴκαδε, τὸ ἥδιστον ἐπὶ ξένης ἀπήντησέ μοι κέρδος, ἄνδρες ἐκ παλαιοῦ χρόνου συνήθεις, οὓς οὐδ' αὐτὸς ἀγνοεῖν μοι δοκεῖς, πολλάκις ἡμῖν ἰδὼν ἐπιφοιτῶντας ἐνταῦθα. τὸν ἐκ Κορίνθου Χαρικλέα νεανίαν οὐκ ἄμορφον ἔχοντά τι, καὶ κομμωτικῆς ἀσκήσεως, ἅτε οἶμαι γυναίοις ἐνωραϊζόμενον. ἅμα δ' αὐτῷ, καὶ Καλλικρατίδαν τὸν Ἀθηναῖον, τὸν τρόπον ἁπλοϊκόν. προηγούμενος γὰρ πολιτικῶν λόγων προΐστατο, καὶ ταυτησὶ δὴ ἀγοραίου ῥητορικῆς. ἦν δὲ καὶ τῷ σώματι γυμναστικός, οὐ δι' ἄλλο τι μοι δοκεῖν τὰς παλαίστρας ἀγαπῶν, ἢ διὰ τοὺς παιδικοὺς ἔρωτας. ὅλως γὰρ εἰς τοῦτο ἐπτόητο. τῷ δὲ πρὸς τὸ θῆλυ μῖσος, πολλὰ

καὶ Προμηθεῖ κατήρξαμεν. πόρρωθεν δ' οὖν ἰδὼν ἑκάτερός με, γήθους, καὶ χαρᾶς πλέοι προσέδραμον. εἶθ' ὁποῖα φιλεῖ, δεξιωσάμενοι, πρὸς αὑτὸν ἐλθεῖν ἑκάτερος ἠξίου με. κἀγὼ φιλονεικοῦντας ὁρῶν ἑκατέρους, τὸ μὲν τήμερον εἶπον ὦ Καλλικρατίδα, καὶ Χαρίκλεις, ἄμφω καλῶς ἔχον ἐστὶν ὑμᾶς παρ' ἐμοὶ φοιτᾶν, ἵνα μὴ πλείω τὴν ἔριν ἐγείρητε. ταῖς δ' ἐφεξῆς ἡμέραις, τρεῖς γὰρ ἐνταῦθα, ἢ τέτταρας διέγνωκα μένειν, ἀμοιβαίως ἀνθεστιάσετέ με, κλήρῳ διακριθεὶς ὁ πρότερος. δοκεῖ ταῦτα. κἀκείνην μὲν τὴν ἡμέραν εἱστίαρχον ἐγώ. τῇ δ' ἐπιούσῃ, Καλλικρατίδας. εἶτ' μετ' αὐτὸν, ὁ Χαρικλῆς. ἑώρων δὴ καὶ παρὰ τὴν ἑστίασιν ἐναργῆ τῆς ἑκατέρου διαθέσεως τεκμήρια. ὁ μὲν γὰρ Ἀθηναῖος, εὐμόρφοις παισὶν διήσκητο. καὶ πᾶς οἰκέτης αὐτῷ σχεδὸν ἀγένειος ἦν, μέχρι τοῦ πρῶτον ὑπογραφέντος αὐταῖς χνοῦ παραμενόντων. ἐπειδὰν δὲ ἰούλοις αἱ παρειαὶ πυκασθῶσιν, οἰκονόμοι, καὶ τῶν Ἀθήνησι χωρίων ἡγεμόνες ἀπεστέλλοντο. Χαρικλεῖ γε μὴν πολὺς ὀρχηστρίδων, καὶ μουσουργῶν χορὸς εἵπετο. καὶ πᾶν τὸ δωμάτιον, ὡς ἐν Θεσμοφορίοις, γυναικῶν μεστὸν ἦν, ἀνδρὸς οὐδ' ἀκαρῆ παρόντος, εἰ μή τι που νήπιον, ἢ γέρων ὑπερῆλιξ ὀψοποιὸς ὀφθείη, τοῦ χρό-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νου ζηλοτυπίας ὑποψίαν οὐκ ἔχοντος. ἦν μὲν οὖν ὡς ἔφην, καὶ ταῦθ' ἱκανὰ τῶν ἀμφοτέρων γνώμης δείγματα. πολλάκις γε μὴν ἐπ' ὀλίγον ἀντιμαχίαι τινὲς ἐπ' αὐτοῖς ἐκινήθησαν, οὐχ ὡς πέρας ἔχειν τι τὴν ζήτησιν. ἀλλ' ἐπεὶ καιρὸς ἦν ἀνάγεσθαι, σύμπλους ἐθελήσαντας αὐτοὺς ἐπηγόμην. ἐνενόουν γὰρ εἰς Ἰταλίαν ἀπαίρειν ὁμοίως ἐμοί. καὶ δόξαν ἡμῖν Κνίδῳ προσορμίσαι κατὰ θέαν, καὶ τὸ Ἀφροδίτης ἰδεῖν ποθήσαντες ἱερὸν, ὑμνεῖται δὲ γοῦν τὸ τῆς Πραξιτέλους εὐχειρίας ὄντως ἐπαφρόδιτον, ἠρέμα τῇ γῇ προσηνέχθημεν, αὐτῆς οἶμαι τῆς θεοῦ λιπαρᾷ γαλήνῃ προπομπευούσης τὸ σκάφος. τοῖς μὲν οὖν ἄλλοις, ἔμελον αἱ συνήθεις παρασκευαί. ἐγὼ δὲ, τὸ ἐρωτικὸν ζεῦγος ἑκατέρωθεν διαλαβόμενος, κύκλῳ περιῄειν τὴν Κνίδον, οὐκ ἀγελαστὶ τῆς κεραμευτικῆς ἀκολασίας μετέχων, ὡς ἐν Ἀφροδίτης πόλει. στοὰς δὲ Σωστράτου, καὶ τἆλλα, ὅσα τέρπειν ἡμᾶς ἐδύνατο, προσεμπεριελθόντες, εἰς τὸν νεὼν τῆς Ἀφροδίτης ἐβαδίζομεν, νὼ μὲν, ἐγώ τε, καὶ Χαρικλῆς πάνυ προθύμως. Καλλικρατίδας δ' ὡς ἐπὶ θέαν θήλειαν ἄκων, ἥδιον ἂν οἶμαι τῆς Κνιδίας Ἀφροδίτης τὸν ἐν Θεσπιαῖς ἀντικαταλλαξάμενος ἔρωτα. καί πως εὐθὺς ἡμῖν ἀπ' αὐτοῦ τοῦ τεμέ-

νοις, ἀφροδίσιοι προσέπνευσαν αὖραι. τὸ γὰρ αἴθριον, οὐκ εἰς ἔδαφος ἄγονον μάλιστα, λίθων πλαξὶ λείαις ἐστρωμένον, ἀλλ' ὡς ἐν Ἀφροδίτης, ἅπαν ἦν γόνιμον ἡμέρων κήπων, ἃ ταῖς κόμαις εὐθαλέσιν ἄχρι πόῤῥω ῥέοντα τὸν περιξ ἀέρα συνωρόφουν. πλεῖστον γε μὴν ἡ πυκνό καὶ περιετεθήλει μυῤῥίνη παρὰ τὴν δέσποιναν αὐτῶν, δαψιλὴς πεφυκυῖα, τῶν τε λοιπῶν δένδρων ἕκαστον, ὅσα κάλλους μετείληχεν. οὐδ' αὐτὰ γέροντος ἤδη χρόνου πολιὰ καθαύαινεν, ἀλλ' ὑπ' ἀκμῆς σφριγῶντα νέοις κλωσὶν ἦν ὡραῖα. ῥύρις δ' αὖ ἐμέμικτο καὶ τὰ καρπῶν μὲν ἄλλως ἄγονα, τὴν δ' εὐμορφίαν ἔχοντα καρπὸν, κυπάριττοί τε, καὶ πλατανίστων αἰθέρια μήκη. καὶ σὺν αὐταῖς, αὐτόμολος Ἀφροδίτης ἡ τοῦ θεοῦ πάλαι φυγὰς Δάφνη. παντὶ γε μὴν δένδρῳ, περιπλεκόμενος ὁ φίλερως προσείρπει κιττός. ἀμφιλαφεῖς ἄμπελοι, πυκνοῖς κατήρτηντο βότρυσι. τερπνοτέρα γὰρ Ἀφροδίτη μετὰ Διονύσου. καὶ τὸ παρ' ἀμφοῖν ἡδὺ, σύγκρατον. εἰ δ' ἀποζευχθεῖεν ἀλλήλων, ἧττον εὐφραίνουσιν. ἦν δ' ὑπὸ ταῖς ἄγαν παλινσκίοις ὕλαις, ἱλαραὶ κλισίαι τοῖς ἐνεστιᾶσθαι θέλουσιν. εἰς ἃ τῶν μὲν ἀστικῶν, σπανίως ἐπεφοίτων τινές. ἀθρόος δ' ὁ πολιτικὸς ὄχλος ἐπανηγύριζεν,

ὄντως

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὄντως ἀφροδισιάζοντες ἐπεὶ δ᾽ ἱκανῶς τούτ-
τοις ἐτέρφθημεν, εἴσω τοῦ νεὼ παρήειμεν. ἡ μὲν οὖν
θεὸς, ἐν μέσῳ καθίδρυται. παρίας δὲ λίθου,
δαίδαλμα κάλλιστον ὑπερήφανον, καὶ σεσηρό-
τι γέλωτι μικρὸν ὑπομειδιῶσα. πᾶν δὲ τὸ κάλ-
λος αὐτῆς, ἀκάλυπτον, οὐδεμιᾶς ἐσθῆτος ἀμπε-
χούσης γεγύμνωται, πλὴν ὅσα τῇ ἑτέρᾳ χειρὶ
τὴν αἰδῶ λεληθότως ἐπικρύπτειν. τοσοῦτον δὲ
μὲν ἡ δημιουργὸς ἴσχυσε τέχνη, ὥστε τὴν ἀν-
τίτυπον οὕτω καὶ καρτερὰν τοῦ λίθου φύσιν, ἑκά-
στοις μέλεσιν ἐπιπρέπειν. ὁ γοῦν Χαρικλῆς, ἐμ-
μανές τι, καὶ παράφορον ἐμβοήσας, εὐτυχέστα-
τος εἶπε θεῶν ὁ διὰ ταύτην δεθεὶς Ἄρης. καὶ ἅ-
μα προσδραμὼν, λιπαροῖς τοῖς χείλεσιν ἐφ᾽ ὅ-
σον ἦν δυνατὸν ἐκτείνων τὸν αὐχένα, κατεφίλει.
σιγῇ δ᾽ ἐφεστὼς ὁ Καλλικρατίδας, κατὰ νοῦν
ἀπεθαύμαζεν. ἔστι δ᾽ ἀμφίθυρος αὐτῆς ὁ νεὼς,
καὶ τοῖς θέλουσι τὴν θεὸν ἰδεῖν ἀκριβῶς, καὶ κατὰ
νώτου, καὶ ἵνα μηδὲν αὐτῆς ἀθαύμαστον ᾖ. δι᾽ εὐ-
μαρείας οὖν ἐστι τῇ ἑτέρᾳ πύλῃ παρελθοῦσι,
τὴν ὄπισθεν εὐμορφίαν διαθρῆσαι. δόξαν οὖν
ὅλην τὴν θεὸν ἰδεῖν, εἰς τὸ κατόπιν τοῦ σηκοῦ
περιήλθομεν. εἶτ᾽ ἀνοιγείσης τῆς θύρας ὑ-
πὸ τοῦ κλειδοφύλακος ἐπιτετραμμένου
γυναίου, θάμβος αἰφνίδιον ἡμᾶς εἶχε τοῦ

κάλλους. ὁ γοῦν ἀθηναῖος, ἡσυχῇ πρὸ μικροῦ βλέπων, ἐπεὶ τὰ παιδικὰ μέρη τῆς θεοῦ κατώπτευσεν, ἀθρόως πολὺ τοῦ χαρικλέους ἐμμανέστερον ἀνεβόησεν, Ἡράκλεις, ὅση μὲν τῶν μεταφρένων εὐρυθμία, πῶς δ᾽ ἀμφιλαφεῖς αἱ λαγόνες, ἀγκάλισμα χειροπληθές. ὡς δ᾽ εὐπερίγραφοι τῶν γλουτῶν αἱ σάρκες ἐπικυρτοῦνται, μήτε ἄγαν ἐλλιπεῖς, αὐτοῖς ὀστέοις προσεσταλμέναι, μήτε εἰς ὑπέρογκον ἐκκεχυμέναι πιότητα. τῶν δὲ τοῖς ἰσχίοις ἐνεσφραγισμένων ἐξ ἑκατέρων τύπων, οὐκ ἂν εἴποι τις ὡς ἡδὺς ὁ γέλως μηροῦ τε, καὶ κνήμης, ἐπ᾽ εὐθὺ τεταμένης ἄχρι ποδὸς, ἠκριβωμένοι ῥυθμοί. τοιοῦτος ἄρα γανυμήδης ἐν οὐρανῷ, Διὶ τὸ νέκταρ ἥδιον ἐγχεῖ. παρὰ μὲν γὰρ Ἥβης, οὐκ ἂν ἐγὼ διακονουμένης ποτὸν ἐδεξάμην. ἐνθεαστικὸν ταῦτα τοῦ καλλικρατίδου βοῶντος, ὁ χαρικλῆς ὑπὸ τοῦ σφόδρα θάμβους, ὀλίγου δεῖν ἐπεπήγει τακερόν τι, καὶ ῥέον ἐν τοῖς ὄμμασι πάθος ἀνυγραίνων. ἐπεὶ δὲ τοῦ θαυμάζειν ὁ κόρος ἡμᾶς ἀπήλλαξεν, ὁρῶμεν θατέρου μηροῦ σπῖλον εἰδότες, ὥσπερ ἐν ἐσθῆτι κηλῖδα. ἤλεγχε δ᾽ αὐτοῦ τὴν ἀμορφίαν ἡ περὶ τἆλλα τῆς λίθου λαμπρότης. ἐγὼ μὲν οὖν πιθανῇ τἀληθὲς εἰκασίᾳ τοπάζων, φύσιν ᾤμην τῆς λίθου τὸ βλεπόμενον εἶναι.

εἶναι. πάθος γὰρ οὐδὲ τούτων ἐστὶν ἔξω. παρὰ δὲ τοῖς κατ' ἄκρον εἶναι δυναμένοις καλοῖς, ἡ τύχη παρεμπολίζει. μέλαιναν δὲ ἑωρᾶσθαι φυσικήν τινα κηλῖδα νομίζων, καὶ κατὰ τοῦτο τοῦ Πραξιτέλους ἐθαύμαζον, ὅτι τοῦ λίθου τὸ δύσμορφον, ἐν τοῖς ἧττον ἐλέγχεσθαι δυναμένοις μέρεσιν ἀπέκρυψεν. ἡ δὲ παρεστῶσα πλησίον ἡμῶν ζάκορος, ἀπίστου λόγου καινὴν παρέδωκεν ἱστορίαν. ἔφη γὰρ οὐκ ἀσήμου γένους νεανίαν· ἡ δὲ πρᾶξις, ἀνώνυμον αὐτὸν ἐσιώπησε, πολλάκις ἐπιφοιτῶντα τῷ τεμένει, σὺν δειλαίῳ δαίμονι ἐρασθῆναι τῆς θεοῦ, καὶ πανήμερον αὐτὸν ἐνδιατρίβοντα τῷ ναῷ, κατ' ἀρχὰς ἔχειν δυσιδαίμονος ἁγιστείας δόκησιν. ἔκ τε γὰρ τῆς ἑωθινῆς κοίτης, πολὺ προλαμβάνων τὸν ὄρθρον, ἐπεφοίτα, καὶ μετὰ δύσιν ἄκων ἐβάδιζεν οἴκαδε. τήν θ' ὅλην ἡμέραν ἀπαντικρὺ τῆς θεοῦ καθεζόμενος, ὀρθὰς ἐπ' αὐτὴν διηνεκῶς τὰς τῶν ὀμμάτων βολὰς ἀπήρειδεν. ἄσημοι δ' αὐτοῦ ψιθυρισμοὶ, καὶ κλεπτομένης λαλιᾶς, ἐρωτικαὶ διεπεραίνοντο μέμψεις. ἐπειδὰν δὲ καὶ μικρὰ τοῦ πάθους ἑαυτὸν ἀποβουκολῆσαι θελήσειε, προσειπὼν, τῇ δὲ τραπέζῃ τέτταρας ἀστραγάλους λιβυκῆς δορκὸς ἀπαριθμήσας, διεπέττευε τὴν ἐλπίδα. καὶ βα-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λῶν μὲν ἐπὶ σκοποῦ, μάλιστα δ' εἴ ποτε τὴν θεὸν αὐτὴν εὐβολήσειε, μηδενὸς ἀστραγάλου πεσόντος ἴσῳ χήματι, προσεκύνει, τῆς ἐπιθυμίας τεύξεσθαι νομίζων. εἰ δ' ὁποῖα φιλεῖ, φαύλως κατὰ τῆς τραπέζης ῥίψειεν, οἱ δ' ἐπὶ τὸ δυσφημότερον ἀνασταῖεν, ὅλῃ Κνίδῳ καταρώμενος, ὡς ἐπ' ἀνηκέστῳ συμφορᾷ, καὶ κατηφεῖ. μετ' ὀλίγον δὲ συναρπάσας, ἑτέρῳ βόλῳ τὴν πρὶν ἀστοχίαν ἐθεράπευεν. ἤδη δὲ πλέον αὐτοῦ τοῦ πάθους ἐρεθιζομένου, τοῖχος ἅπας ἐχαράσσετο, καὶ πᾶς μαλακοῦ δένδρου φλοιὸς Ἀφοδίτην καλὴν ἐκήρυσεν. ἐτιμᾶτο δ' ἐξίσου Διῒ Πραξιτέλης. καὶ πᾶν ὅ, τι κειμήλιον εὐπρεπὲς οἴκοι φυλάττοιτο, τοῦτ' ἦν ἀνάθημα τῆς θεοῦ. πέρας, αἱ σφοδραὶ τῶν ἐν αὐτῷ πόθων ἐντάσεις ἀπενοήθησαν. εὑρέθη γὰρ τόλμα τῆς ἐπιθυμίας μαστροπός. ἤδη γὰρ πρὸς δύσιν ἡλίου κλίνοντος, ἠρέμα λαθὼν τοὺς παρόντας, ὄπισθε τῆς θύρας παρεισερρύη. καὶ στὰς ἀφανὴς ἐνδοτάτω, σχεδὸν οὐδ' ἀναπνέων ἠτρέμει. συνήθως δὲ τῶν ζακόρων ἔξωθεν τὴν θύραν ἐφελκυσαμένων, ἔνδον ὁ καινὸς Ἀγχίσης καθεῖρκτο. καὶ τί γὰρ ἄρρητον νυκτὸς ἐγὼ τόλμαν, ἢ ἄλλος, ἐπ' ἀκριβὲς ὑμῖν διηγοῦμαι; τῶν ἐρωτικῶν συμπλοκῶν ἴχνη ταῦτα μεθ' ἡμέραν ὤφθη,

ὤφθη, καὶ τὸν σπίλον εἶχεν ἡ θεὸς, ὧν ἔπαθεν
ἔλεγχον. αὐτὸν γε μὴν τὸν νεανίαν, ὡς ὁ δημώ-
δης ἱστορεῖ λόγος, ἢ κατὰ πετρῶν φασιν, ἢ κατὰ
πελαγίου κύματος ἐνεχθέντα, παντελῶς ἀ-
φανῆ γενέσθαι. ταῦτα τῆς ζακόρου διηγουμένης, με-
ταξὺ τοῦ λόγου διαβοήσας, εἶπεν ὁ Χαρικλῆς,
οὐκοῦν τὸ θῆλυ κἂν λίθινον ᾖ, φιλεῖται. τί δ'
εἴ τις ἔμψυχον εἶδε τοιοῦτο κάλλος; ἆρ' οὐκ
ἂν ἡ μία νὺξ τῶν τοῦ Διὸς σκήπτρων ἐτιμᾶτο;
μειδιάσας δὲ ὁ Καλλικρατίδας, οὐδέπω φησὶν
ἴσμεν ὦ Χαρίκλεις, εἰ πολλῶν ἀκουσόμεθα τοι-
ούτων διηγημάτων, ὅταν ἐν Θεσπιαῖς γενώμεθα.
καὶ νῦν δὲ ἤδη ὑπὸ σοῦ ζηλουμένης Ἀφροδί-
της ἐναργές ἐστι τοῦτο δεῖγμα, πῶς ἐρομένου τοῦ
Χαρικλέους, ἄγαν πιθανῶς μοι ἔδοξε λέγειν
ὁ Καλλικρατίδας. ἔφη γὰρ, ὡς ὁ ἐρασθεὶς νεα-
νίας, παννύχου σχολῆς λαβόμενος, ὥστε ὅ-
λῳ τοῦ πάθους ἔχειν ἐξουσίαν κορεσθῆναι, παι-
δικῶς τῷ λίθῳ προσωμίλησε, βουληθεὶς οἶδ'
ὅτι μηδὲ πρόσθεν εἶναι τὸ θῆλυ. πολλῶν δὲ ἀ-
κρίτων ἀφυλακτουμένων λόγων, τὸν συμ-
μιγῆ καταπαύσας ἐγὼ θόρυβον, ἄνδρες εἶπεν
ἑταῖροι, ἤδη κατὰ κόσμον ἔχεσθε ζητήσεως,
ὡς εὐπρεπὴς ἐστὶ νόμος παιδιᾶς. ἀπαλλα-
γέντες δὲ ἤδη ἀτάκτου, καὶ πέρας οὐδὲν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λῶν μὲν ἐπὶ σκοποῦ, μάλιστα δ᾽ εἴ ποτε τὴν θεὸν αὐτὴν εὐβολήσειε, μηδενὸς ἀστραγάλου πεσόντος ἴσῳ σχήματι, προσεκύνει, τῆς ἐπιθυμίας τεύξεσθαι νομίζων. εἰ δ᾽ ὁποῖα φιλεῖ, φαύλως κατὰ τῆς τραπέζης ῥίψειεν, οἱ δ᾽ ἐπὶ τὸ δυσφημότερον ἀνασταῖεν, ὅλῃ Κνίδῳ καταρώμενος, ὡς ἐπ᾽ ἀνηκέστῳ συμφορᾷ, καὶ κατηφεῖ. μετὰ δ᾽ ὀλίγον συναρπάσας, ἑτέρῳ βόλῳ τὴν πρὶν ἀστοχίαν ἐθεράπευεν. ἤδη δὲ πλέον αὐτοῦ τοῦ πάθους ἐρεθιζομένου, τοῖχος ἅπας ἐχαράσσετο, πᾶς μαλακοῦ δένδρου φλοιὸς Ἀφροδίτην καλὴν ἐκήρυσσεν. ἐτίμα δ᾽ ἐξίσου Διὶ Πραξιτέλης. πᾶν ὅ,τι κειμήλιον εὐπρεπὲς οἴκοι φυλάττοιτο, τοῦτ᾽ ἦν ἀνάθημα τῆς θεοῦ. πέρας, αἱ σφοδραὶ τῶν ἐν αὐτῷ πόθων ἐντάσεις ἀπενοήθησαν. εὑρέθη δὲ τόλμα τῆς ἐπιθυμίας μαστροπός. ἤδη γὰρ εἰς δύσιν ἡλίου κλίνοντος, ἠρέμα λαθὼν τοὺς παρόντας, ὄπισθε τῆς θύρας παρεισερρύη. καὶ στὰς ἀφανὴς ἐνδοτάτω, σχεδὸν οὐδ᾽ ἀναπνέων ἠρέμει. συνήθως δὲ τῶν ζακόρων ἔξωθεν τὴν θύραν ἐφελκυσαμένων, ἔνδον ὁ καινὸς Ἀγχίσης καθεῖρκτο. καὶ τί γὰρ ἄρρητον νυκτὸς ἐγὼ τόλμαν, ἢ ἄλλος, ἐπ᾽ ἀκριβὲς ὑμῖν διηγοῦμαι; τῶν ἐρωτικῶν συμπλοκῶν ἴχνη ταῦτα μεθ᾽ ἡμέραν

ὤφθη,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὤφθη, καὶ τὸν σπίλον εἶχεν ἡ θεὸς, ὧν ἔπαθεν ἔλεγχον. αὐτὸν γε μὴν τὸν νεανίαν, ὡς ὁ δημώδης ἱστορεῖ λόγος, ἢ κατὰ πετρῶν φασιν, ἢ κατὰ πελαγίου κύματος ἐνεχθέντα, παντελῶς ἀφανῆ γενέσθαι. ταῦτα τῆς ζακόρου διηγουμένης, μεταξὺ τοῦ λόγου διαβοήσας, εἶπεν ὁ Χαρικλῆς, οὐκοῦν τὸ θῆλυ κἂν λίθινον ᾖ, φιλεῖται. τί δ' εἴ τις ἔμψυχον εἶδε τοιοῦτο κάλλος; ἆρ' οὐκ ἂν ἡ μία νὺξ τῶν τοῦ Διὸς σκήπτρων ἐτιμᾶτο; μειδιάσας δὲ ὁ Καλλικρατίδας, οὐδέπω φησὶν ἴσμεν ὦ Χαρίκλεις, εἰ πολλῶν ἀκουσόμεθα τοιούτων διηγημάτων, ὅταν ἐν Θεσπιαῖς γενώμεθα· καὶ νῦν δὲ τὸ ὑπὸ σοῦ ζηλουμένης Ἀφροδίτης ἐναργές ἐστι τοῦτο δεῖγμα, πῶς ἐρωμένου τοῦ Χαρικλέους, ἄγαν πιθανῶς μοι ἔδοξε λέγειν ὁ Καλλικρατίδας. ἔφη γὰρ, ὡς ὁ ἐρασθεὶς νεανίας, παννύχου σχολῆς λαβόμενος, ὡς τὸ ὅλον τοῦ πάθους ἔχειν ἐξουσίαν κορεσθῆναι, παιδικῶς τῷ λίθῳ προσωμίλησε, βουληθεὶς οἶδ' ὅτι μηδὲ πρόσθεν εἶναι τὸ θῆλυ. πολλῶν δὲ ἀκρίτων ἀφυλακτουμένων λόγων, τὸν συμμιγῆ καταπαύσας ἐγὼ θόρυβον, ἄνδρες εἶπον ἑταῖροι, τὰ κατὰ κόσμον ἔχεσθε ζητήσεως, ὡς εὖ πρεπώδης ἐστὶ νόμος παιδείας. ἀπαλλαγέντες οὖν τῆς ἀτάκτου, καὶ πέρας οὐδὲν

φιλονεικίας. ἐν μέρει ὑπὲρ τῶν αὐτῶν
λόγους, ἑκάτερον ἀποτείνασθαι. καὶ
έ πω καιρὸς εἶναι νῦν ἀπειρίαν. τῇ δὲ χει-
ταχειριστέον εἰς ἱλαρείαν, καὶ μετὰ τερ-
ς ὠφελῆσαι δυναμένην σπουδήν. ὑπεκ-
στάντες τῷ τοῦ νεὼ, πολὺς γὰρ ὁ κατ' εὐσέβειαν
ἐπιφοιτῶν ὄχλος, εἰς ἕν τι τῶν συμποσίων ἀ-
πεκλινόμεθα, ὅπως δι' ἠρεμίας ἀκούειν τε, καὶ
λέγειν ἅττ' ἂν βουλομένοις, ἐξῇ. μεμνῆσθαι
δ' ὡς ὁ τήμερον ἡττηθεὶς, οὐκ ἔτ' αὖθις ἡμῖν
περὶ τῶν ἴσων ἐνοχλήσει. καλῶς ἔδοξα ταῦ-
τα λέγειν. καὶ συγκαταινεσάντων, ἐξῄειμεν, ἐγὼ
μὲν ἡδόμενος, οὐδεμιᾶς με πιεζούσης φροντί-
δος. οἱ δ' ἐπὶ συννοίας, μεγάλην ἐν ἑαυτοῖς
σκέψιν ἄνω καὶ κάτω κυκλοῦντες, ὡς περὶ τῆς
προπομπείας ἀγωνιούμενοι Πλαταιᾶσιν. ἐ-
πεὶ δ' ἥκομεν εἰς τι συνηρεφὲς, καὶ παλίνσκιον,
ὥρα θέρους ἀναπαυστήριον, ἡδὺς εἰπὼν ὁ τό-
πος ἐγὼ, καὶ γὰρ οἱ κατὰ κορυφὴν λιγυρὸν ὑπη-
χοῦσι τέττιγες, ἐν μέσῳ πάνυ δικαστικῶς κα-
θεζόμην, αὐτὴν ἐπ' αὐταῖς ὀφρύσι τὴν ἡλικί-
αν ἔχων. προθεὶς δ' ἀμφοτέροις κλῆρον ὑπὲρ
τοῦ, τίνα χρὴ πρότερον εἰπεῖν, ἐπειδὴ Χαρι-
κλῆς ἐλελόγχει πρότερον, εὐθὺς ἐνάρχεσθαι τοῦ
λόγου διεκελευσάμην. ὁ δὲ, τῇ δεξιᾷ τὸ πρόσω-

πον

του ἀναξίως, ἡσυχῇ, καὶ μικρὸν ἐπισχὼν, ἄρχεται τῇ λέξει. σὲ δέσποινα τοῦ ὑπὲρ σοῦ λόγου Ἀφροδίτη, σὲ βοηθὸν αἱ ἐμαὶ δεήσεις καλοῦσιν. ἅπαντι μὲν γὰρ ἔργῳ, κἂν βραχὺ τῆς ἰδίας πειθοῦς ἐπιστάξῃς, τελειότατόν ἐστιν. οἱ δὲ ἐρωτικοὶ λόγοι, προσηκόντως σου δέονται. σὺ γὰρ αὐτῶν γνησιωτάτη μήτηρ. ἴθι δὴ γυναιξὶ συνήγορος, ἡ θήλεια. χαίρουσι δὲ ἡ τοῖς ἀνδράσι μένειν ἄρρεσιν, ὡς ἐγεννήθησαν. ἐγὼ γὰρ εὐθὺς ἐν ἀρχῇ τοῦ λόγου, τὴν προμήτορα, καὶ πάσης γενέσεως πρωτόρριζον, ὧν ἀξιῶ, μάρτυρα ἐπικαλοῦμαι. λέγω δὲ τὴν ἱερὰν τῶν ὅλων φύσιν. ἡ τὰ πρῶτα πηξαμένη στοιχεῖα τοῦ κόσμου, γῆν, ἀέρα, πῦρ, ὕδωρ, τῇ πρὸς ἄλληλα τούτων συγκράσει πᾶν ἐζωογόνησεν ἔμψυχον. ἐπισταμένη δ' ὅτι θνητῆς ἐσμὲν ὕλης δημιούργημα, καὶ βραχὺς χρόνος ὁ τοῦ ζῆν ἑκάστῳ καθείμαρται, τὴν ἑτέρου φθορὰν, ἄλλου γένεσιν ἐμηχανήσατο, καὶ τὸ θνῆσκον τε, τῷ τικτομένῳ ἀντιμέμιξεν, ἵνα ταῖς παρ' ἀλλήλων διαδοχαῖς εἰς τὸν ἀεὶ χρόνον ζῶμεν. ἐπεὶ δ' ἦν ἄπορον ἐξ ἑνός τε γεννᾶσθαι, διπλῆν ἐν ἑκάστῳ φύσιν ἐμηχανήσατο. τοῖς μὲν γὰρ ἄρρεσιν, ἰδίας καταβολὰς σπερμάτων χαρισαμένη, τὸ θῆλυ δ' ὥσπερ γονῆς τι δοχεῖον ἀποφήνασα. κοινὸν δὲ ἀμφοτέρῳ γενῶν πόθον ἐγκε-

ρασμένη, συνέζευξεν ἀλλήλοις θεσμὸν ἀνάγκης ὅσιον, καταγράψασα μένειν τῆς οἰκείας φύσεως ἑκάτερον. καὶ μήτε τὸ θῆλυ παρὰ φύσιν ἀρρενοῦσθαι, μήτε τἄρρεν ἀπρεπῶς μαλακίζεσθαι. διὰ τοῦθ' αἱ σὺν γυναιξὶν ἀνδρῶν ὁμιλίαι, μέχρι δεῦρο τὸν ἀνθρώπινον βίον ἀθανάτοις διαδοχαῖς φυλάττουσιν. οὐδεὶς ἀνὴρ ἀπ' ἀνδρὸς αὐχεῖ γενέσθαι. δυοῖν δ' ὀνομάτοιν σεβασμίοιν πᾶσαι τιμαὶ μένουσιν, ἐξίσου πατέρα καὶ μητέρα προσκυνούντων. κατ' ἀρχὰς μὲν οὖν ἔθ' ἡρωϊκὰ φρονῶν ὁ βίος, καὶ τὴν γείτονα θεῶν σέβων ἀρετὴν, οἷς ἐνομοθέτησεν ἡ φύσις ἐπειθάρχει. καὶ καθ' ἡλικίας μέτρα γυναιξὶ ζευγνύμενοι, γενναίων πατέρες ἐγίνοντο τέκνων. κατὰ μικρὸν δ' ὁ χρόνος ἀπ' ἐκείνου τοῦ μεγέθους ἐς τὰ τῆς ἡδονῆς καταβαίνων βάραθρα, ξένας ὁδοὺς, καὶ παρηλλαγμένας ἀπολαύσεων ἔτεμεν. εἶθ' ἡ πάντα τολμῶσα τρυφὴ, τὴν φύσιν αὐτὴν παρενόμησε. καὶ τίς ἄρα πρῶτος ὀφθαλμοῖς τὸ ἄρρεν εἶδεν ὡς θῆλυ, δυοῖν θάτερον, ἢ τυραννικῶς βιασάμενος, ἢ πείσας πανούργως. συνῆλθε δ' εἰς μίαν κοίτην μία φύσις. αὑτοὺς δ' ἐν ἀλλήλοις ὁρῶντες, οὔθ' ἃ δρῶσιν, οὔθ' ἃ πάσχουσιν ᾐδοῦντο. κατὰ πετρῶν δέ φασιν ἀγόνων σπείροντες, ὀλίγης ἡδονῆς αἶσχυ κατηλλάξαντο μεγάλω

γέλω ἀδοξίαν. εἰ ποῖς γε μὴν εἰς τοσοῦτον τυ-
ραννικῆς βίας ἡ τόλμα προέκοψεν, ὡς μέχρι
σιδήρῳ τὴν φύσιν ἱεροσυλῆσαι. τῶν δ' ἀρρένων τὸ
ἄρρεν ἐκκενώσαντες, εὗρον ἡδονῆς παρέλκοντα
μέζα. οἱ δ' ἄθλιοι, καὶ δυστυχεῖς, ἵν' ἐπιπλέ-
ον ὦσι παῖδες, οὐδὲ ἔτι μένοντες ἄνδρες, ἀμ-
φίβολον αἴνιγμα διπλῆς φύσεως, οὔτ' εἰς ὃ γε-
γένηνται φυλαχθέντες, οὔτ' ἔχοντες ἐφ' ὃ με-
τέβησαν. τὸ δ' ἐν νεότητι παραμεῖναι ἄνθος,
εἰς γῆρας αὐτοῖς μαραίνει πρῴορον. ἅμα γὰρ
ἐν παισὶν ἀριθμοῦνται, καὶ γεγηράκασιν, οὐδὲ
ἀνδρῶν μεταίχμιον ἔχοντες. οὕτως ἡ μιαρὰ,
καὶ παντὸς κακοῦ διδάσκαλος τρυφὴ, ἄλλην
ἀπ' ἄλλης ἡδονὰς ἀναισχύντους ὠδίνουσα, μέ-
χρι καὶ οὐδὲ στῆναι δυναμένης εὐπρεποῦς νό-
σου κατώλισθεν, ἵνα μηδὲν ἀγνοῇ μέρος ἀσελ-
γείας. εἰ δ' ἐφ' ὧν ἡ πρόνοια θεσμὸν ἔταξεν, ἡ-
μᾶς ἕκαστος ἵδρυε, ταῖς μετὰ γυναικῶν ἂν
ὁμιλίαις ἠρκούμεθα, καὶ παντὸς ὀνείδους ὁ βίος
ἐκαθάρευεν. ἀμέλει παρὰ τοῖς οὐδὲν ἐκ πονη-
ρᾶς διαθέσεως παραχαράξαι δυναμένοις ζώ-
οις, ἄχραντος ἡ τῆς φύσεως νομοθεσία φυλάτ-
τεται. λέοντες, οὐκ ἐπιμαίνονται λεόντων, ἀλ-
λ' ἡ κατὰ καιρὸν Ἀφροδίτη πρὸς τὸ θῆλυ τὴν
ὄρεξιν αὐτῶν ἐκκαλεῖται. ταῦρος ἀγελάς-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χας βουσὶν ἐπιθόρνυται, ὁ κριὸς ὅλην τὴν ποίμνην ἄρρενος πληροῖ σπέρματος. τί δέ, σύων μὲν εὐνὰς μεταδιώκουσι κάπροι, λυκαίναις δ' ἐπιμίγνυνται λύκοι. καθόλου δ' εἰπεῖν, οὔθ' οἱ ἀέρια ῥοιζοῦντες ὄρνεις, οὔθ' ὅσα τὴν ὑγρὰν καθ' ὕδατος εἴληχε λῆξιν. ἀλλ' οὐδ' ἐπὶ γῆς τι ζῶον, ἄρρενος ὁμιλίας ἐπωρέχθη, μένει δὲ ἀκίνητα τῆς προνοίας τὰ δόγματα. ὑμεῖς δ' ὦ μάτην ἐπὶ τῷ φρονεῖν εὐλογούμενοι, θηρίον ὡς ἀληθῶς φαῦλον ἄνθρωποι, τίνι καινῇ νόσῳ παρανομήσαντες, εἰς τὴν κατ' ἀλλήλων ὕβριν ἠρέθισθε; τίνα τῆς ψυχῆς τυφλὴν ἀναισθησίαν καταχέαντες, ἀμφοῖν ἠστοχήκατε, φεύγοντες ἃ διώκειν ἔδει, καὶ διώκοντες ἀφ' ὧν ἔδει φεύγειν; ἢ καθ' ἕνα τοιαῦτα ζηλοῦν πάντων ἑλομένων, οὐδὲ εἷς ἔσται. ἀλλὰ μὴ ἐνταῦθα τοῖς σωκρατικοῖς καὶ ὁ θαυμαστὸς ἀναφύεται λόγος, ὑφ' οὗ παιδικαὶ μὲν ἀκοαί, τελείων ἐνδεεῖς λογισμῶν φενακίζονται. οἱ δ' ἤδη κατὰ φρόνησιν ἐς ἄκρον ἔχοντες, οὐκ ἂν ὑπαχθῆναι δύναιντο. ψυχῆς γὰρ ἔρωτα πλάττονται, καὶ τὸ τοῦ σώματος εὔμορφον αἰδούμενοι φιλεῖν, ἀρετῆς καλοῦσιν αὑτοὺς ἐραστάς. ἐφ' οἷς μοι πολλάκις καγχάζειν ὑπέρχεται. τί γὰρ παθόντες ὦ σεμνοὶ φιλόσοφοι, τὸ μὲν ἤδη μακρῷ χρόνῳ δεδωκὸς ἑαυτοῦ πεῖραν

ὁποῖόν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁποῖόν ἐστιν, ὦ πολιὰ προσήκουσα, καὶ γῆρας ἀρετὴν μαρτυροῦ, δι᾽ ὀλιγωρείας παραπέμπετε. πᾶς δὲ ὁ σοφὸς ἔρως ἐπὶ τὸ νέον ἐπτόηται, μηδὲ ἐπὶ τῶν λογισμῶν ἐν αὐτῷ πρὸς ἀξαπήσονται κείσιν ἐχόντων. ἦ νόμος ἐστὶ, πᾶσαν μὲν ἀμορφίαν πονηρίας εἶναι κατάκριον, εὐθὺ δ᾽ ὡς ἀγαθὸν ἐπαινεῖσθαι τὸ καλόν. ἀλλά τοι κατὰ τὸν μέγαν ἀληθείας προφήτην Ὅμηρον,

Εἶδος, τίς ἀκιδνότερος πέλει ἀνήρ;
Ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει. οἱ δέ τ᾽ ἐς αὐτὸν
Τερπόμενοι λεύσουσιν, ὁ δ᾽ ἀσφαλέως ἀγορεύει,
Αἰδοῖ μειλιχίῃ. μετὰ δὲ πρέπει ἀγρομένοισιν.
Ἐρχόμενον δ᾽ ἀνὰ ἄστυ, θεὸν ὣς εἰσορόωσι.

καὶ πάλιν εἶπέ που λέγων.

Οὐκ ἄρα σοί γ᾽ ἐπὶ εἴδει, καὶ φρένες ἦσαν.

Ἀμέλει τοῦ καλοῦ Νιρέως ὁ σοφὸς Ὀδυσσεὺς πλέον ἐπαινεῖται. πῶς οὖν φρονήσεως μὲν, ἢ δικαιοσύνης, τῶν τε λοιπῶν ἀρετῶν, αἳ τελείοις ἀνδράσι σύγκληρον εἰλήχασι τάξιν, οὐδεὶς ἔρως ἐνυπάρχει, τὸ δ᾽ ἐν παισὶ κάλλος ὀξυτάτας ὁρμὰς παθῶν ἐγείρει; πάνυ γοῦν ἐρᾶν ἔδει Φαίδρου διὰ Λυσίαν ὦ Πλάτων, ὃν προὔδωκεν, ἢ τὴν ἀρετὴν φιλεῖν Ἀλκιβιάδου εἰκὸς ἦν, διότι ἠκρωτηρίαζε τὰ θεῶν ἀγάλματα, καὶ τὴν ἐν Ἐλευσῖνι τελετὴν αὖ παρὰ πότον ἐξορχοῦντα

φωναί. τίς ἐραστὴς ὁμολογεῖ γενέσθαι, προδιδομένων Ἀθηναίων, καὶ Δεκελείας ἐπιτειχιζομένης, καὶ βίου τυραννίδα βλέποντος; ἀλλ' ἄχρι μὲν οὐδέ πω κατὰ τὸν ἱερὸν Πλάτωνα πώγωνος ἐμπίπλαιτο, πᾶσιν ἐπέραστος ἦν. μεταβὰς δ' ἀπὸ τοῦ παιδὸς εἰς τὸν ἄνδρα, καθ' ἣν ἡλικίαν ἡ τέως ἀτελὴς φρόνησις ὁλόκληρον εἶχε τὸν λογισμόν, ὑπὸ πάντων ἐμισεῖτο. τί δὴ πάθεσιν αἰσχροῖς ὀνομάτων ἐπιγράφοντες αἰδῶ, τύχης ἀρετὴν λέγοντες τὴν τοῦ σώματος εὐπρέπειαν, οἱ φιλόνεοι μᾶλλον, ἢ φιλόσοφοι. καὶ ταῦτα μὲν ἡμῖν ὑπὲρ τοῦ μὴ δοκεῖν ἐπισήμων ἀνδρῶν φιλαπεχθημόνως μνημονεύειν, ἐς τοσοῦτον εἰρήσθω. μικρὰ δ' ἀπὸ τῆς ἄγαν σπουδῆς ἤδη τὴν ὑμετέραν ὦ Καλλικρατίδα καταβὰς ἡδονήν, ἐπιδείξω παιδικῆς χρήσεως πολὺ τὴν γυναικείαν ἀμείνω. καὶ τό γε πρῶτον, ἐγὼ πᾶσαν ἀπόλαυσιν ἡγοῦμαι τερπνοτέραν εἶναι, τὴν χρονιωτέραν. ὀξεῖα γὰρ ἡδονὴ παραπτᾶσα, φθάνει πρὶν ἢ γνωσθῆναι πεπαυμένη. τὸ δ' εὐφραῖνον, ἐν τῷ παρέλκοντι κρεῖττον. ὡς εἴθε καὶ βίου μακρᾶς προθεσμίας ἡ μικρολόγος ἡμῖν ἐπέκλωσε μοῖρα, καὶ τὸ πᾶν ἦν διηνεκὴς ὑγίεια, μηδεμιᾶς λύπης τὴν διάνοιαν ἐκνεμομένης. ἑορτὴν ἂν καὶ πανήγυριν τὸν ὅλον χρόνον ἤγομεν. ἀλλ'

ἐπὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπὶ τῶν μειζόνων ἀπαθῶν ὁ βάσκανος δαίμων
ἐνεμέσησεν, ἔνγε τοῖς παροῦσιν ἥδιστα τὰ προσέλ-
κοντα. γυνὴ μὲν οὖν ἀπὸ παρθένου μέχρις ἡλι-
κίας μέσης, πρὶν ἢ τελέως τὴν ἐσχάτην ῥυτίδα
τοῦ γήρως ἐπιδραμεῖν, εὐάγκαλον αἰδκάσιν ὁ
μίλημα. κἂν παρέλθῃ τὰ τῆς ὥρας, ὅμως
ἡ ἐμπειρία ἔχει τι λέξαι τῶν νέων σοφώτερον.
εἰ δ' εἴκοσιν ἐτῶν ἀπειρώη παῖδά τις, αὐ-
τὸς ἔμοιγε δοκεῖ παχητιᾶν, ἀμφίβολον ἀ-
φροδίτην μεταδιώκων. σκληροὶ γὰρ οἱ τῶν με-
λῶν ἀπανδρωθέντες ὄγκοι. ἢ τραχὺ μὲν αὐτὶ-
κα τὸ πάλαι μαλακοῦ πυκαθὲν ἰούλοις τὸ γένει-
ον. οἱ δ' εὐφυεῖς μηροὶ θριξίν, ὥσπερεὶ ῥυπῶν-
τες. ἃ δ' ἔτι τούτων ἀφανέστερα, τοῖς πεπει-
ρακόσιν ὑμῖν εἰδέναι παρίημι. γυναικὶ δὲ ἀεὶ
πάσῃ, ἡ τοῦ χρώματος ἐπιστίλβει χάρις, καὶ δα-
ψιλεῖς μὲν ἀπὸ τῶν βοστρύχων τῆς κεφαλῆς ἕλι-
κες, ὑακίνθοις τὸ καλὸν ἀνθοῦσιν ὅμοια πορφύ-
ροντες. οἱ μὲν, ἐπινώτιοι κέχυνται, μεταφρένων
κόσμος. οἱ δὲ, περὶ ὦτα, καὶ κροτάφους, πολὺ
τῶν ἐν λειμῶνι οὐλότεροι σελίνων. τὸ δ' ἄλλο σῶ-
μα μηδ' ἀκαρῆ τριχὸς αὐταῖς ὑποφυομένης,
ἠλέκτρου φασίν, ἢ σιδωνίας ὑέλου διαφεγγέστερον
ἀπαστράπτει. τί δ' οὐχὶ τῶν ἡδονῶν ἐπὶ τὰς αὐ-
τοπαθεῖς μεταδιωκτέον, ἐπειδὰν ἐξ ἴσου τοῖς

διατεθεῖσιν οἱ πάσχοντες εὐφραίνωνται; σχεδὸν,
γὰρ οὐ κατὰ ταυτὰ τοῖς ἀλόγοις ζώοις τὰς
μονήρεις διατριβὰς ἀσμενίζομεν, ἀλλά πως φι
λεταίρῳ κοινωνίᾳ συζυγέντες, ἡδίω τά τε ἀγα
θὰ σὺν ἀλλήλοις ἡγούμεθα, καὶ τὰ δυσχερῆ κου
φότερα μετ' ἀλλήλων. ὅθεν εὑρέθη τράπεζα κοι
νή. καὶ φιλίας μεσίτην τράπεζαν παραθέμενοι,
γαστρὶ τὴν ὀφειλομένην ἀπομερίζομεν ἀπόλαυ
σιν, οὐ μόνοι τὸν θάσιον, εἰ τύχοι, πίνοντες οἶ-
νον, οὐδὲ καθ' αὑτοὺς τῶν πολυτελῶν πιμπλά
μενοι σιτίων, ἀλλὰ δοκεῖ τερπνὸν ἑκάστῳ τὸ με
τ' ἄλλου. καὶ τὰς ἡδονὰς κοινωσάμενοι μᾶλ
λον, εὐφραινόμεθα. αἱ μὲν οὖν γυναικεῖοι σύνο-
δοι, τῆς ἀπολαύσεως ἀντίδοσιν ὁμοίαν ἔχουσιν.
ἀλλήλους γὰρ ἐξίσου διαθέντες, ἡδέως ἀπηλλά
γησαν, εἴπερ μὴ δικαστῇ Τειρεσίᾳ προσεκτέον, ὅτι
ἡ θήλεια τέρψις ὅλῃ μοίρᾳ πλεονεκτεῖ τὴν ἄῤ
ῥενα. καλὸν δ' οἶμαι μὴ φιλαύτως ἀπολαῦ-
σαι θελήσαντας, ὅπως ἰδίᾳ τι χρηστὸν ἀποίσον
ται σκοπεῖν, ὀλίγω παρά του λαμβάνοντας ἡδο-
νὴν, ἀλλ' ἐκείνου μεμερισμένους, οὗ τυγχάνουσιν
ἀντιπαρασχεῖν ὅμοια. τοῦτο δ' οὐκ ἂν τῶν παίδων
εἴποι τις, οὐχ οὕτω μέμηνεν. ἀλλ' ὁ μὲν, δια-
θεὶς ἢ νομίζει περὶ ταῦτα, τὴν ἡδονὴν ἐξαίρετον
λαβὼν, ἀπέρχεται. τῷ δὲ ὑβρισμένῳ κατ'
ἀρχὰς

ἀρχὰς μὲν ὀδύναι, καὶ δάκρυα. μικρὸν δὲ ὑπὸ
χρόνου τῆς ἀλγηδόνος χαλασάσης, πλέον ὡς
φασὶν οὐδὲν ἂν ἐγκλήσειας. ἡδονὴ δ' οὐδ' ἡτι-
σοῦν. εἰ δὲ δεῖ τι καὶ περιεργότερον εἰπεῖν, δεῖ
δὲ ἐν Ἀφροδίτης τεμένει, γυναικὶ μὲν ὦ Καλ-
λικρατίδα, καὶ παιδικώτερον χρώμενον, ἔξεστιν
ἐφησθῆναι, διπλασίας ἀπολαύσεως ὁδοὺς ἀ-
νοίξαντα. τὸ δ' ἄρρεν, οὐδενὶ τρόπῳ χαρίζεται θή-
λειαν ἀπόλαυσιν. ὥστ' εἰ μὲν καὶ ὑμῖν ἀρέσκειν
δύναται, πρὸς ἀλλήλους δὲ ἡμεῖς ἀποτειχισώμε-
θα. εἰ δὲ τοῖς ἄρρεσιν εὐπρεπεῖς αἱ μετ' ἀρρένων
ὁμιλίαι, πρὸς τὸ λοιπὸν ἐράτωσαν ἀλλήλων καὶ
γυναῖκες. ἄγε νῦν ὦ νεώτερε χρόνε, καὶ τῶν ξέ-
νων ἡδονῶν νομοθέτα, καινὰς ὁδοὺς ἄρρενος τρυ-
φῆς ἐπινοήσας, χάρισαι τὴν ἴσην ἐξουσίαν καὶ
γυναιξίν. ἀλλήλαις ὁμιλησάτωσαν, ὡς ἄν-
δρες. ἀσελγῶν δὲ ὀργάνων ὑποζυγωσάμεναι
τέχνασμα, ἀσπόρων τεράστιον αἴνιγμα, κοιμά-
σθωσαν γυνὴ μετὰ γυναικός, ὡς ἀνήρ. τὸ δὲ εἰς
ἀκοὴν σπανίως ἧκον ὄνομα, αἰσχύνομαι καὶ λέ-
γειν, τῆς τριβακῆς ἀσελγείας, ἀνέδην πομ-
πευέτω. πᾶσα δ' ἡμῶν ἡ γυναικωνῖτις, ἔστω
Φιλαινίς, ἀνδρογύνους ἔρωτας ἀσχημονοῦσα.
καὶ πόσῳ κρεῖττον εἰς ἄρρενα τρυφὴν βιάζεσθαι
γυναῖκα, ἢ τὸ γενναῖον ἀνδρῶν, εἰς γυναῖκα θη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λύεσθαι. τοιαῦτα αὐτόνως μεταξὺ παθαι-
νόμενος ὁ Χαρικλῆς ἐπαύσατο, δεινόν τι καὶ
θηριῶδες ἐν τοῖς ὄμμασιν ὑποβλέπων. ἐῴκει
δέ μοι καὶ καθαρσίῳ χρῆσθαι πρὸς τοὺς παιδικοὺς
ἔρωτας. ἐγὼ δέ, ἡσυχῇ μειδιάσας, καὶ πρὸς
τὸν Ἀθηναῖον ἠρέμα τὼ ὀφθαλμὼ παραβαλών,
παιδιᾶς ἔφη καὶ γέλωτος ὦ Καλλικρατίδα, δι-
καστὴς καθεδεῖσθαι προσδοκήσας, οὐκ οἶδ᾽ ὅ-
πως ὑπὸ τῆς Χαρικλέους δεινότητος ἤδη που
σπουδαιότερον ἦγμαι. σχεδὸν γὰρ ὡς ἐν Ἀρείῳ πά-
γῳ περὶ φόνου καὶ πυρκαϊᾶς, ἢ νὴ Δία φαρ-
μάκων ἀγωνιζόμενος, ὑπερφυῶς ἐπαθήνατο.
καιρὸς οὖν ὁ νῦν, εἴ ποτε καὶ πρότερον, ἀπαιτεῖν
σε τὰς Ἀθήνας. Περικλεῖ δὲ πειθοῦ, καὶ τῶν
δέκα ῥητόρων τὰς Μακεδόσιν ἀνθωπλισμέ-
νας γλώσσας, ἐνὶ τῷ σῷ λόγῳ διατρίψαι,
μιᾶς τῶν ἐν πνυκὶ δημηγοριῶν ἀναμνησθέντι.
μικρὸν οὖν ἐπισχὼν ὁ Καλλικρατίδας, ἐῴκει
δὲ ἀπὸ τοῦ προσώπου μοι τεκμαιρομένῳ,
καὶ λίαν ἀγωνίας μεστὸς εἶναι, λόγων ἀμοιβαί-
ων ἐνάρχεται. εἰ γυναιξὶν ἐκκλησία, καὶ δι-
καστήρια, καὶ πολιτικῶν πραγμάτων ἦν με-
τουσία, στρατηγὸς ἄν, ἢ προστάτης ἐκεχειρο-
τόνησο, καί σε χαλκῶν ἀνδριάντων ἐν ταῖς ἀγο-
ραῖς ὦ Χαρίκλεις ἐτίμων. σχεδὸν γὰρ οὐδὲ
αὐταὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτοὶ περὶ αὐτῶν, ὁπόσαι προύχειν κατὰ σοφίαν ἐδόκουν, εἴ τις αὐταῖς τὴν τοῦ λέγειν ἐξουσίαν ἐφῆκεν, οὕτω μετὰ σπουδῆς ἂν εἶπον. οὐχ ἡ Σπαρτιάταις ἀνθωπλισμένη Τελέσιλλα, δι' ἣν ἐν Ἄργει θεὸς ἀριθμεῖται γυναικῶν Ἄρης. οὐχὶ τὸ μελιχρὸν αὔχημα Λεσβίων Σαπφὼ, καὶ ἡ τῆς Πυθαγορείου σοφίας θυγάτηρ Θεανώ. τάχα δ' οὐδὲ Περικλῆς οὕτως ἂν Ἀσπασίᾳ συνηγόρησεν. ἀλλ' ἐπειδήπερ εὐπρεπὲς ἄρρενας ὑπὲρ θηλειῶν λέγειν, εἴπωμεν καὶ ἄνδρας ὑπὲρ ἀνδρῶν. σὺ δὲ ἵλεως Ἀφροδίτη γενοῦ. καὶ γὰρ ἡμεῖς τὸν σὸν ἔρωτα τιμῶμεν.

Ἐγὼ μὲν οὖν ἐνόμιζον ἄχρι παιδιᾶς, ἱλαρὰν τὴν ἔριν ἡμῶν προκόψαι. ἐπεὶ δὲ οἱ παρὰ τούτου λόγοι καὶ φιλοσοφεῖν ὑπὲρ γυναικῶν ἐπενοήθησαν, ἀσμένως τὴν ἀφορμὴν ἥρπακα. μόνος γὰρ ὁ ἄρρην ἔρως κοινὸν ἀρετῆς, καὶ ἡδονῆς ἐστιν ἔργον. εὐξαίμην γὰρ ἂν, εἴπερ ἦν ἐν δυνατῷ, τὴν ἐπήκοόν ποτε τῶν Σωκρατικῶν λόγων πλατάνιστον, Ἀκαδημίας καὶ Λυκείου δένδρον εὐτυχέστερον, ἐγγὺς ἡμῶν ἑστάναι, πεφυκυῖαν ἔνθ' ἡ Φαίδρου προσανάκλισις ἦν, ὥσπερ ὁ ἱερὸς εἶπεν ἀνὴρ, πλείστων ἁψάμενος χαρίτων. αὐτὴ τάχα ἂν ὥσπερ ἡ ἐν Δωδώνῃ φηγὸς ἐκ τῶν ὀροδάμνων ἱερὰν ἀπορρήξασα φωνήν.

τῶν παιδικοῖς συμφημοῦσιν ἔρωτας, ἐπὶ τοῦ κα-
λοῦ μεμνημένη Φαίδρου. πλὴν ἐπί τι τ' ἀ-
μήχανον, ἢ γὰρ πολλὰ μεταξὺ οὔρεά τε σκιόεν-
τα, θάλασσά τε ἠχήεσσα, ξένοι τε ἐπ' ἀλλοτρί-
ας γῆς ἀπειλήμμεθα, καὶ πλεονέκτημα Χαρι-
κλέους ἐστὶν ἡ Κνίδος, ὅμως τἀληθὲς οὐ προδώ-
σομεν, εἴξαντες ὄκνῳ. μόνον ἡμῖν σὺ δαῖμον οὐ-
ράνιε, καὶ ἵλεως παράστηθι, φιλίας συγγνώμων.
ἱεροφάντα μυστηρίων ἔρως, οὐ κακὸν νήπιον,
ὁποῖα ζωγράφων παίζουσι χεῖρες, ἀλλ' ὃν ἡ
πρωτόσπορος ἐγέννησεν ἀρχὴ, τέλειον εὐθύ τε
χθέντα. σὺ γὰρ ἐξ ἀφανοῦς καὶ κεχυμένης ἀμορ-
φίας τὸ πᾶν ἐμόρφωσας. ὥσπερ δὲ τοῦ ὅλου κό-
σμου τάφον τινὰ κοινὸν ἀφελὼν τὸ περικείμε-
νον χάος, ἐκεῖνο μὲν ἐς ἐσχάτου ταρτάρου μυχοὺς
ἐφυγάδευσας, ἔνθα ὡς ἀληθῶς σιδήρεαί τε πύ-
λαι, καὶ χάλκεος οὐδὸς, ὅπως ἀπ' ἀρρήκτου
δεθὲν φρουρᾶς, τὴν ἔμπαλιν ὁδὸν εἴργηται. λαμ-
πρῷ δὲ φωτὶ τὴν ἀμαυρὰν νύκτα πετάσας,
πάντων ὅσα ἄψυχά τε, καὶ ψυχὴν ἔχοντα ἐγένου
δημιουργός. ἐξαίρετον δὲ ἐγκεράσας ὁμόνοιαν
ἀνθρώποις, τὰ σεμνὰ φιλίας πάθη συνῆψας,
ἵν' ἐξ ἀκάκου καὶ ἁπαλῆς ἔτι ψυχῆς ἡ εὔνοια
συνεκτρεφομένη, πρὸς τὸ τέλειον ἀνδρῶται.
γάμοι μὲν γὰρ, διαδοχῆς ἀναγκαίας εὕρηνται
φάρμα

φάρμακα. μόνος δὲ ὁ ἄῤῥην ἔρως, φιλόσοφος
καλόν ἐστι ψυχῆς ἐπίταγμα. πᾶσι δὲ τοῖς ἐκ
τοῦ περιόντος εἰς εὐπρέπειαν ἠσκημένοις, ἕπε-
ται τιμὴ πλείων, ἢ ὅσα καὶ παρ' αὐτὰ χρείας
ἐπιδεῖται. καὶ πάντη τοῦ ἀναγκαίου τὸ καλὸν
κρεῖττον. ἄχρι μὲν οὖν ὁ βίος ἀμαθὴς ἦν, οὐδέ
πω καὶ καθ' ἡμέραν πεῖρας πρὸς τὸ βέλτιον εὐ-
σχολῶν, ἀγαπητῶς ἐπ' αὐτὰ τὰ ἀναγκαῖα συ-
νεστέλλετο. καὶ δὲ ἀγαθῆς διαίτης ἐπίγονος ὁ
χρόνος, οὐ παρέσχεν εὕρεσιν. ἐπειδὴ δὲ αἱ μὲν ἐ-
σπευσμέναι χρεῖαι πέρας εἶχον, οἱ δὲ τῶν ἐ-
πιγινομένων ἀεὶ λογισμοὶ καὶ ἀνάγκης ἀφε-
θέντες ηὐκαίρουν, ἐπινοεῖν τι τῶν κρειττόνων ἐκ
τούτου κατ' ὀλίγον ἐπιστῆμαι συνηύξοντο. τοῦτο
δ' ἡμῖν ἀπὸ τῶν ἐντελεστέρων τεχνῶν ἔνεστιν εἰ-
κάζειν. αὐτίκα πρῶτοι τινὲς ἄνθρωποι γενό-
μενοι, τὸ καθ' ἡμέραν λιμοῦ φάρμακον ἐζή-
τουν. εἶθ' ἁλισκόμενοι τῇ πρὸς τὸ παρὸν ἐν-
δείᾳ, καὶ ἀπορίας οὐκ ἐώσης ἑλέσθαι τὸ βέλτι-
ον, τὴν εἰκαίαν πόαν ἐσιτοῦντο, καὶ μαλθακὰς
ῥίζας ὀρύττοντες, καὶ τὰ πλεῖστα δρυὸς καρπὸν
ἐσθίοντες. ἀλλ' ἡ μὲν, ἀλόγοις ζώοις μετὰ
χρόνον ἐῤῥίφη. σπόρον δὲ πυροῦ, καὶ κριθῆς εὗ-
ρον αἱ γεωργῶν ἐπιμέλειαι, εὑροῦσαι κατ' ἔτος
ἀνανεάζοντα. καὶ οὐδὲ μανεὶς ἂν εἴποι τις, ὅτι

δρυὸς, στάχυος ἀμείνων. τί δ' οὐκ ἐν ἀρχῇ μὲν εὐθὺ τοῦ βίου, σκέπης δεηθέντες ἄνθρωποι, νε-κρὰ θηρεῖα δείραντες, ἠμφιέσαντο, καὶ σπήλυγ-γας ὀρῶν, κρύους καταλύσεις ἐπενόησαν. ἢ πα-λαιῤῥιζῶν, ἢ φυτῶν αὖα κοιλώματα. τὴν δὲ ἀπὸ τούτων μίμησιν, ἐπὶ τὸ κρεῖττον ἀεὶ μετά-γοντες, ὕφηναν μὲν ἑαυτοῖς χλανίδας, οἴκους δὲ ᾠκίσαντο. καὶ λεληθότως αἱ περὶ ταῦτα τέ-χναι τὸν χρόνον λαβοῦσαι διδάσκαλον, αὐταὶ μὲν λιτὴν ὕφησιν, τὸ κάλλιον ἐποίκιλαν. αὐ-ταὶ δὲ εὐτελῶν δωματίων, ὑψηλὰ τέρεμνα, καὶ λίθων πολυτέλειαν ἐμηχανήσαντο, καὶ γυ-μνὴν τριχῶν ἀμορφίαν εὐανθέσι βαφαῖς χρω-μάτων κατέγραψαν. πλὴν ἑκάστη τούτων τῶν τεχνῶν, καὶ ἐπιστημῶν, ἄφωνος οὖσα, καὶ βαθεῖαν ἐπιτεθειμένη λήθην, ὡς ἀπὸ μικρᾶς λύσεως κα-τὰ μικρὸν εἰς τὰς ἰδίας ἀνέτειλεν ἀκτῖνας. ἕκαστος γὰρ εὑρών τι, παρεδίδου τῷ μετ' αὐ-τόν. εἶθ' ἡ διαδοχὴ τῶν λαμβανόντων, οἷς ἔ-μαθεν ἤδη προστιθεῖσα, τὸ ἐνδέον ἐπλήρωσε. μὴ δή τις ἔρωτας ἀῤῥένων ἀπαιτείτω παρὰ τοῦ παλαιοῦ χρόνου. γυναιξὶ γὰρ ὁμιλεῖν ἀναγκαῖ-ον ἦν, ἵνα μὴ τελέως ἄσπορμον ἡμῶν φθαρῇ τὸ γένος. αἱ δὲ ποικίλαι σοφίαι, καὶ φιλοκαλίαι ταύτης ἀρετῆς ἐπιθυμίαι, μόλις ὑπὸ τοῦ

μηδὲν

μηδὲν ἐῶντος ἀνίχνευτον αἰῶνος εἰς τοὐμφα-
νὲς ἔμελλον ἥξειν, ἵνα τῇ θείᾳ φιλοσοφίᾳ, καὶ τὸ
παιδεραστεῖν συνακμάσῃ. μὴ δῆτα Χαρίκλεις,
ὃ μὴ πρότερον εὕρηται, διότι ἐπινοηθὲν αὖθις ὡς
φαῦλον εὔθυνε. μηδ' ὅτι τῶν παιδικῶν ἐρώτων
αἱ γυναικεῖαι σύνοδοι πρεσβυτέροις ἐπιγρά-
φονται χρόνοις, ἐλάττου θάτερον. ἀλλὰ τὰ
μὲν παλαιὰ τῶν ἐπιτηδευμάτων, ἀναγκαῖα
νομίζομεν. ἃ δὲ αὖθις ἐνσχολήσας τοῖς λογι-
σμοῖς ὁ βίος ἐπεξεῦρεν, ὡς ἐκείνων ἀμείνω τιμη-
τέον. ἐμοὶ μὲν γὰρ ὀλίγου δεῖν γελᾶν ἔναγχος ἐ-
πῄει, Χαρικλέους ἄλογα ζῷα, καὶ τὴν Σκυ-
θῶν ἐρημίαν ἐπαινοῦντος. ὀλίγου δ' ὑπὸ τῆς ἄγαν
φιλονεικίας καὶ μετενόει, γενόμενος Ἕλλην. οὐδὲ
γὰρ ὡς ἐναντία φθεγγόμενος, οἷς ἐπιχείρει λέ-
γειν, ὑπεσταλμένῳ τῷ τῆς φωνῆς τόνῳ, τὸ ῥη-
θὲν ἔκλεπτεν, ἀλλ' ἐπηρμένῃ φωνῇ λαρυγγί-
ζων, οὐκ ἐρῶσι φησὶν ἀλλήλων λέοντες, οὐδ'
ἄρκτοι, καὶ σύες, ἀλλ' αὐτῶν ἡ πρὸς τὸ θῆλυ μό-
νον ὁρμὴ κρατεῖ. καὶ τί θαυμαστόν; ἃ γὰρ ἐκ λογι-
σμοῦ δικαίως ἄν τις ἕλοιτο, ταῦτα τοῖς μὴ δυνα-
μένοις λογίζεσθαι δι' ἀφροσύνην οὐκ ἔνεστιν ἔχειν.
ἐπεί τοι Προμηθεύς, ἢ θεῶν τις ἄλλος, εἰ νοῦν ἑκά-
στῳ συνέζευξεν ἀνθρώπινον, οὐκ ἂν ἐρημία, καὶ βίος
ὄρειος αὐτοὺς ἐπίμαινεν, οὐδ' ἀλλήλους τροφὴν εἶ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χρόν. ἐξίσου δὲ ἡμῖν ἱδρᾶσθαι μαχόμενοι, καὶ μέσην ἑστίαν τῶν ἰδίων ἕκαστος οἰκῶν, ὑπὸ τοῖς κοινοῖς ἐπολιτεύοντο νόμοις. τί δὴ παράδοξον, εἰ ζῶα παρὰ φύσεως κατάκειται μηδὲν, ὧν λογισμοὶ παρέχονται παρὰ τῆς προνοίας λαβεῖν ἠτυχηκότα, προσαφῄρηται μετὰ τῶν ἄλλων καὶ τὰς ἄρρενας ἐπιθυμίας. οὐκ ἐρῶσι λέοντες. οὐδὲ γὰρ φιλοσοφοῦσιν. οὐκ ἐρῶσιν ἄρκτοι. τὸ γὰρ ἐκ φιλίας καλὸν, οὐκ ἴσασιν. ἀνθρώποις δ' ἡ μετ' ἐπιστήμης φόνησις ἐκ τοῦ πολλάκις πειρᾶσθαι τὸ κάλλιστον ἑλομένη, βεβαιοτάτους ἐρώτων ἐνόμισε τοὺς ἄρρενας. μὴ τοίνυν ὦ Χαρίκλεις, ἀκολάστου βίου συμφορήσας ἐταιεικὰ διηγήματα, γυμνῷ τῷ λόγῳ τὴν σεμνότητα ἡμῶν καταπόμπευε, μηδὲ τὸν οὐράνιον ἔρωτα τῷ νηπίῳ συναρίθμει. λογίζου δὲ ὀψὲ μὲν ἡλικίας, τὰ τοιαῦτα μεταμανθάνων. ὅμως δ' οὖν λογίζου νῦν γε, ἐπειδὴ πρὶν οὐ πρότερον, ὅτι διπλοῦς θεὸς ὁ ἔρως, οὐ κατὰ μίαν ὁδὸν φοιτῶν, οὐδὲ ἑνὶ πνεύματι τὰς ἡμετέρας ψυχὰς ἐρεθίζων. ἀλλ' ὁ μὲν, ὡς ἂν οἶμαι κομιδῇ νήπια φονῶν, οὐδενὸς αὐτοῦ τὴν διάνοιαν ἡνιοχεῖν δυναμένου λογισμοῦ, πολὺς ἐν ταῖς τῶν ἀφόνων ψυχαῖς ἀθροίζεται. μάλιστα δὲ αὐτοῦ γυναικεῖοι πόθοι μέλουσιν. οὗτός ἐστιν ὁ τῆς ἐφημέρου ταύτης ὕβρε-

ως

ους ἑταῖρος, ἀκρίτῳ φορᾷ πρὸς τὸ βουλόμενον ἄγων. ἕτερος δὲ ἔρως ὠγυγίων πατὴρ χρόνων, σεμνὸν ὀφθῆναι, καὶ πάνυ θεῖον ἱεροπρεπὲς θέαμα σωφρονούντων ταμίας παθῶν, ἤπια ταῖς ἑκάστου διανοίαις ἐμπνέει. καὶ λαχόντες ἵλεω τοῦδε τοῦ δαίμονος, ἡδονὴν ἀρετῇ μεμιγμένην ἀσπαζόμεθα. Δισσὰ γὰρ ὄντως κατὰ τὸν Σαπφικὸν πνεύματα πνεῖ ὁ ἔρως. ἑνὸς δὲ ὀνόματος οὐχ ὅμοια τὰ πάθη κεκοινώνηκε. καὶ γὰρ ἄλλως, ὠφελείας ὁμοῦ καὶ βλάβης ἀμφίβολός ἐστι δαίμων. Αἰδώς, ἥ τ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησιν. οὐ μὴν οὐδ' ἐρίδων γένος ἐστὶν ἕν, ἀλλ' ἐπὶ γαῖαν εἰσὶ δύο. τὴν μέν κεν ἐπαινέσσειε νοήσας, ἡ δ' ἐπιμωμητή. διὰ δ' ἄνδιχα θυμὸν ἔχουσιν. οὐδὲν οὖν παράδοξον, εἰ πάθος ἀρετῇ κοινὴν προσηγορίαν ἔχειν ἔτυχεν, ὥστε ἔρωτα καλεῖσθαι, καὶ τὴν ἀκόλαστον ἡδονήν, καὶ τὴν σωφρονοῦσαν εὔνοιαν. γάμοις οὖν φησι τὸ μηδὲν οἴει, καὶ τὸ θῆλυ τοῦ βίου φυγαδεύεις; ἵνα πῶς μείνωμεν ἄνθρωποι. ζηλωτὸν μὲν ἦν κατὰ τὸν σοφώτατον Εὐριπίδην, εἰ δίχα τῆς πρὸς γυναῖκας συνόδου, φοιτῶντες ἐπὶ ἱερά, καὶ ναούς, ἀργύρου, καὶ χρυσοῦ τέκνα παρὰ τῆς διαδοχῆς ἐωνούμεθα. ἀνάγκη γὰρ βαρὺν κατ' αὐχένα ζυγὸν ἡμῖν ἐπιθεῖσα τοῖς κελευομένοις.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πειθαρχεῖν βιάζεται. τὸ μὲν οὖν καλὸν αἱρώμε-
θα τοῖς λογισμοῖς, εἰκέτω δὲ τῇ ἀνάγκῃ τὸ
χρειῶδες. ἄχρι τέκνων, γυναικῶν ἀριθμὸς
ἔστωσαν. ἐν δὲ τοῖς ἄλλοις, ἄπαγε μή μοι γέ-
νοιτο. τίς γὰρ ἂν εὖ φρονῶν ἀνέχεσθαι δύναιτο,
τῆς ἑωθινοῦ γυναικὸς ὡραϊζομένης ἐπικτήτοις
σοφίσμασιν; ἧς ὁ μὲν ἀληθῶς χαρακτὴρ, ἄμορ-
φος. ἀλλότριοι δὲ κόσμοι, τὸ τῆς φύσεως
ἀπρεπὲς βουκολοῦσιν. εἰ γοῦν ἀπὸ τῆς νυκτέρου
κοίτης πρὸς ὄρθρον ἂν ἴδοι τις ἀνισταμένας γυ-
ναῖκας, αἴσχιον νομίσει θηρίων τῶν πρὸ μιᾶς
ὥρας ὀνομασθῆναι δυσκλυδωνίστων. ὅθεν ἀκρι-
βῶς οἴκοι καθείργουσιν αὐτὰς, οὐδενὶ τῶν ἀρ-
ρένων βλεπομένας. γρᾶες δὲ, καὶ θεραπαινί-
δων ὁ σύμμορφος ὄχλος, ἐν κύκλῳ περιεστᾶσι,
ποικίλοις φαρμάκοις καταφαρμακεύουσαι
τὰ δυστυχῆ πρόσωπα. οὐ γὰρ ὕδατος ἀκράτῳ
νάματι τὸν ὑψηλὸν ἀπονιψάμεναι κάρον, εὐ-
θὺς ἅπτονται σπουδῆς ἐχομένου τινὸς πρά-
γματος, ἀλλ' αἱ πολλαὶ τῶν διαπασμάτων ἐπι-
θέσεις, τὸν ἀηδῆ τοῦ προσώπου χρῶτα φαιδρύ-
νουσιν. ὡς δὲ ἰωθὶ δημοτελοῦς πομπῆς, ἄλ-
λό τις ἄλλη τῶν ὑπηρετουσῶν ἐγκεχείρισται,
λεκανίδας ἀργυρᾶς, καὶ προχόους, ἔσοπτρά τε.
καὶ καθάπερ ἐν φαρμακοπώλου, πυξίδων ὄχ-
λον,

λον, ἀγγεῖα μεστὰ πολλῆς κακοδαιμονίας. ἐν οἷς ὀλόντων σμηκτικαὶ δυνάμεις, ἢ βλέφαρα μελαίνουσα τέχνη θησαυρίζεται. τὸ δὲ πλεῖστον ἀναλίσκει μέρος ἡ πλοκὴ τῶν τριχῶν. καὶ μὴν, γοῦν φαρμάκοις ἐρυθραίνειν δυναμένοις πρὸς ἡλίου μεσημβρίαν, τοὺς πλοκάμους, ἴσα ταῖς τῶν ἐρίων χροιαῖς, ξανθῷ μεταβάπτουσιν ἄνθει, τὴν ἰδίαν κατακρίνουσαι φύσιν. ὁ πόσις δὲ ἀρκεῖν ἡ μέλαινα χαίτη νομίζεται, ὃν γεγαμηκότων πλοῦτον εἰς ταύτην ἀναλίσκουσιν, ὅλην ἀραιὰν σχεδὸν ἐκ τῶν τριχῶν ἀποπνέουσαι. σκληρὰ τὰ ὄργανα, πυρὸς ἀμβλεία φλογὶ χλιανθέντα, βίᾳ τὴν ἑλίκων οὐλότητα διαπλέκει. καὶ πείθονται μὲν αἱ μέχρι τῶν ὀφρύων ἐφελκυσμέναι κόμαι, βραχὺ τοῦ μετώπου μεταίχμιον ἀφιᾶσι. σοβαρῶς δὲ ἄχρι τῶν μεταφρένων οἱ ὄπισθεν ἐπισαλεύονται πλόκαμοι. καὶ μετὰ τοῦτο, αἰθοβαφῆ πέδιλα τῆς σαρκὸς ἐνδοτέρω τοὺς πόδας ἐπισφίγγοντα, καὶ λεπτουφὴς ἐς πρόφασιν ἐσθὴς, ὑπὲρ τοῦ δοκεῖν γεγυμνῶσθαι. πάντα δὲ τὰ ἐν τοῖς αὐτῆς, γνωριμώτερα τοῦ προσώπου, χωρὶς τῶν ἀμόρφως προπεπτωκότων μαζῶν, οὓς ἀεὶ περιφέρουσι δημοσιώτας. τί δεῖ τὰ τούτων πλουσιώτερα κακὰ λεξείναι; λίθους

ἐρυθραίους κατὰ τῶν λοβῶν, πολυτάλαντα
ἀρτημονίας βρῖθος, ἢ τοὺς περὶ καρποῖς, καὶ βρα-
χίοσι δράκοντας. ὡς ὤφελον ὄντως ἀντὶ χρυ-
σίου, δράκοντες εἶεν. ἡ στεφάνη μὲν ἐν κύκλῳ
τὴν κεφαλὴν περιθεῖ, λίθοις ἰνδικαῖς διάστε-
ρος. πολυτελεῖς δὲ τῶν αὐχένων ὅρμοι κα-
θεῖνται. ἢ ἄχρι τῶν ποδῶν ἐσχάτων καταβέ-
βηκεν ὁ ἄθλιος χρυσός, ἅπαν εἰς τὸ σφυροῦ
γυμνοῦται, περισφίγγων. ἄξιον δ' ἦν σιδήρῳ
τὰ περίσφυρα σκέλη πεπεδῆσθαι. κἄπειδὰν
αὐτῶν ὅλον τὸ σῶμα νόθης εὐμορφίας ἐξαπα-
τῶντι κάλλει διαμαγευθῇ, τὰς ἀναισχύντους
παρειὰς ἐρυθαίνουσιν ἐπιχρίστοις φύκεσιν, ἵνα
τὴν ὑπέρλευκον αὐτῶν, ἢ πίονα χροιάν, τὸ
πορφυροῦν ἄνθος ἐπιφοινίξῃ. τίς οὖν ὁ μετὰ
τὴν τοσαύτην παρασκευὴν βίος; εὐθὺς ἀπὸ τῆς
οἰκίας ἔξοδοι. ἢ πᾶς θεατὴς ἐπιτρίβων τοὺς
γεγαμηκότας, ὧν ἐνίων οἱ κακοδαίμονες ἄν-
δρες, οὐδὲ αὐτὰ ἴσασι τὰ ὀνόματα, κωλιά-
δας εἰ τύχοι, ἢ γενετυλλίδας, ἢ τὴν φυγί-
αν δαίμονα, ἢ τὸν δυσέρωτα κῶμον τὸν τῷ ποι-
μένι. τελεταὶ δὲ ἀπόρρητοι. καὶ χωρὶς ἀν-
δρῶν, ὕποπτα μυστήρια. καὶ γὰρ τί δεῖ περιπλέ-
κειν διαφθορὰν ψυχῆς; ἐπειδὰν δὲ τούτων ἀ-
παλλαγῶσιν οἴκοι, εὐθὺ τὰ μακρὰ λουτρά. ἢ

πολυτε

πολυτελὴς μὲν καὶ ἡδεῖα τράπεζα, πλεῖστος δὲ ὁ
μετὰ τῶν ἀνθρώπων ἀκκισμός. ἐπειδὰν ἢ ὑπέρ-
πλεῳ γένωνται ταῖς παρ' αὐταῖς γαστριμαργί-
αις, οὐκ ἔτ' οὐδὲ τοῦ φάρυγγος αὐταῖς παρα-
δέχεσθαι δυναμένου τι σιτίον, ἄκροις δακτύ-
λοις ἐπιγράφουσαι, τῶν παρακειμένων ἕκαστον
ἀπογεύονται, νύκτας ὑπὲρ τούτοις διηγούμεναι,
καὶ τοὺς ἑτερόχρωτας ὕπνους, ἢ θηλύτητος εὐνὴν
γέμουσαν. ἀφ' ἧς ἀναστὰς ἕκαστος, εὐθὺ λουτροῦ
χρεῖός ἐστι. ταυτὶ μὲν τοῦ εὐσταθοῦς βίου τεκμή-
ρια. τῶν δὲ πικροτέρων εἴ τις ἐθελήσειε τὸ ἀ-
ληθὲς κατὰ μέρος ἐξετάζειν, ὄντως καταρά-
σεται Προμηθεῖ, τὴν μενάνδρειον ἐκείνην ἀπορ-
ρήξας φωνήν. εἶτ' οὐ δικαίως προσπεπαττα-
λευμένον γράφουσι τὸν Προμηθέα πρὸς ταῖς
πέτραις; καὶ γίνετ' αὐτῷ λαμπάς. ἄλλο δ' οὐ-
δὲ ἓν ἀγαθόν, ὃ μισεῖν οἶμ' ἅπαντας τοὺς θεούς.
γυναῖκας ἔπλασεν; ὦ πολυτίμητοι θεοί, ἔθ-
νος μιαρόν. γαμεῖ τις ἀνθρώπων; γαμεῖ λά-
θριος. λοιπὸν γὰρ ἐπιθυμίαι. τῷ γαμηλίῳ λέ-
χει, μοιχὸς ἐντρυφῶν. εἶτ' ἐπιβουλαί, καὶ φαρ-
μακεῖαι, καὶ νόσοι, χαλεπώτατος φθόνος, μεθ'
οὗ ζῇ πάντα τὸν βίον γυνή. τίς ταῦτα τὰ ἀγα-
θὰ διώκει; τίνι βίος ὁ δυστυχὴς οὗτος θυμήρης;
ἄξιον τοίνυν ἀντιθεῖναι τοῖς θήλεσι κακοῖς, τὴν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄῤῥενα τῶν παίδων ἀγωγήν. ὄρθιος ἀναστὰς ἐκ τῆς ἀλύπου κοίτης, τὸ νωθὲς τῶν ὀμμάτων ἔπι λοιπὸν ὕπνον ἀπονιψάμενος ὕδατι λιτῷ, τὴν ἱερὰν χλαμύδα ταῖς ἐπωμίοις πόρπαις συῤῥάψας, ἀπὸ τῆς πατρώας ἑστίας ἐξέρχεται κάτω κεκυφὼς, καὶ μηδένα τῶν ἀπάντων ἐξεναντίου προσβλέπων. ἀκολουθοῦσι δὲ καὶ παιδαγωγοὶ, χορὸς αὐτῷ κόσμιος ἕπονται, τὰ σεμνὰ τῆς ἀρετῆς ἐν χερσὶν ὄργανα κρατοῦντες. οὐ περιστοῦ κτενὸς ἐντρυμὰς κόμην καταψήχειν δυναμένας, οὐδὲ ἔσοπτρα τῶν ἀντιμόρφων χαρακτήρων ἀγράφους εἰκόνας, ἀλλ' ἢ πολύπτυχοι δέλτοι κατόπιν ἀκολουθοῦσιν, ἢ παλαιῶν ἔργων ἀρετὰς φυλάττουσαι βίβλοι. κἂν εἰς μουσικοῦ δέοι φοιτᾶν, εὐμελὴς λύρα. πᾶσι δὲ τοῖς φιλοσόφοις ψυχῆς μαθήμασι λιπαρῶς ἐναθλήσας, ἐπειδὰν ἡ διάνοια τῶν ἐγκυκλίων ἀγαθῶν κορεσθῇ, τὸ σῶμα ταῖς ἐλευθερίοις ἀσκήσεσιν ἐκπονεῖ. Θετταλοὶ γὰρ ἵπποι μέλουσιν αὐτῷ, καὶ βραχὺ τὴν νεότητα πωλοδαμήσας, ἐν εἰρήνῃ μελετᾷ τὰ πολεμικὰ, ἄκοντας ἀφιεὶς, καὶ βέλη δι' εὐστόχου δεξιᾶς ἀποπάλλων. εἶθ' αἱ λιπαραὶ παλαῖστραι, καὶ πρὸς ἡλίου μεσημβρινὸν θάλπος ἐγκονίζεται τὸ σῶμα πυκνούμενον. οἵ τε τῶν ἐναγωνίων πόνων

ἀπὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀποσταλάζοντος ἱδρῶτος, μεθ' οἷς λιτὰ σύνηρμα, καὶ τράπεζα τῇ μετὰ μικρὸν ἐπινήφουσα πράξει. πάλιν γὰρ αὐτοὶ διδάσκαλοι, καὶ παλαιῶν ἔργων ἀντιτιθέμεναι, καὶ ἐπιμελούμεναι μνῆμαι, τίς ἀνδρεῖος ἥρως, ἢ τίς τοῦ φονῆσαι μαρτυρούμενος, ἢ οἷοι δικαιοσύνην, καὶ σωφροσύνην ἠσπάσαντο. τοιαύταις ἀρεταῖς ἁπαλὴν ἔτι τὴν ψυχὴν ἐπάρδων, ὅταν ἑσπέρα τὴν πρᾶξιν ὁρίσῃ, τῆς γαστρὸς ἀνάγκῃ τὸν ὀφειλόμενον δασμὸν ἐπιμετρήσας, ἡδίοις ὕπνοις καθεύδει, τοῖς μεθ' ἡμέραν καμάτοις ἐπηρεμῶν ἤδη χρόνον. τίς οὐκ ἂν ἐραστὴς ἐφήβου γένοιτο τοιούτου; τίνι δ' οὕτω τυφλαὶ μὲν αἱ τῶν ὀμμάτων βολαὶ, πηροὶ δὲ οἱ τῆς διανοίας λογισμοί; πῶς δ' οὐκ ἂν ἀγαπήσαι τὸν ἐν παλαίστραις μὲν Ἑρμῆν, Ἀπόλλωνα δὲ ἐν λύραις, ἱππαστὴν δὲ ὡς Κάστορα, θείας δὲ ἀρετὰς διὰ θνητοῦ διώκοντα σώματος. ἀλλ' ἐμοὶ μὲν δαίμονες οὐράνιοι, εἴθ' εἴη διηνεκὲς οὕτως, ἀπαντικρὺ τοῦ φίλου καθέζεσθαι, καὶ πλησίον ἡδὺ λαλοῦντος ἀκούειν. ἀξιοῦντι δὲ αὐτοῦ, συνεξιέναι, καὶ παντὸς ἔργου κοινωνίαν ἔχειν. εὔξαιτο μὲν τῶν ἐρώντων τις δ' ἀπταίστου, καὶ ἀκλινοῦς βίου, τὸν στεργόμενον ἀλύπως εἰς γῆρας ὁδεῦσαι, μηδεμιᾶς τύχης πειράσαντα βάσκανον ἐπή-

ρειάν. εἰ δὲ καὶ οἷος ἀνθρωπίνης φύσεως νόμος, νόσος ἐπιψαύσειεν αὐτῷ, κάμνοντι συννοσήσω, καὶ διὰ χειμερίου θαλάττης ἀναγομένῳ συμπλεύσομαι. κἂν τυραννικὴ βία δεσμὰ περιάψῃ, τὸν ἴσον ἐμαυτῷ περιθήσω σίδηρον. ἐχθρὸς ἅπας ὁ μισῶν ἐκεῖνον ἐμὸς ἔσται, καὶ φιλήσω τοὺς πρὸς αὐτὸν εὐνοϊκῶς ἔχοντας. εἰ δὲ λῃστάς, ἢ πολεμίους θεασαίμην ἐπ' αὐτὸν ὁρμῶντας, ὁπλισαίμην καὶ παρὰ δύναμιν. κἂν ἀποθάνῃ, ζῆν οὐκ ἀνέξομαι. τελευταίας δὲ ἐντολὰς τοῖς μετ' ἐκεῖνον ὑπ' ἐμοῦ στεργομένοις ἐπιθήσομαι, κοινὸν ἀμφοτέροις ἐπιχῶσαι τάφον. ὀστέοις δὲ ἀναμίξαντας ὀστέα, μὴ δὲ τὴν κωφὴν κόνιν ἀπ' ἀλλήλων διακρῖναι. ταῦτα δ' οὐ πρῶτοι χαράξουσιν οἱ ἐμοὶ πρὸς τοὺς ἀξίους ἔρωτες, ἀλλ' ἡ θείοις γείτων ἡρωϊκὴ φρόνησις ἐνομοθέτησεν, ἐν οἷς ὁ φιλίας ἔρως, ἄχρι θανάτου συνεξέπνευσε. Φωκὶς ἐκ νηπίων ἔτι χρόνων, Ὀρέστην Πυλάδῃ συνῆψε. θεὸν δὲ τῶν πρὸς ἀλλήλους παθῶν μεσίτην λαβόντες, ὡς ἐφ' ἑνὸς σκάφους τοῦ βίου συνέπλευσαν. ἀμφότεροι Κλυταιμνήστραν ἀνῄρουν, ὡς Ἀγαμέμνονος παῖδες. ὑπ' ἀμφοῖν Αἴγισθος ἐφονεύετο. τὰς Ὀρέστην ἐλαυνούσας ποινάς, Πυλάδης ἐνόσει μᾶλλον. κρινομένῳ συνηγωνίζετο. τὴν

δὲ

δὲ ἐρωτικὴν φιλίαν, οὐδ' ἐπὶ τοῖς τῆς Ἑλλάδος ὅροις ἐμέτρησεν, ἀλλ' ἐπὶ τοὺς ἐσχάτους Σκυθῶν τέρμονας ἔπλευσαν. ὁ μὲν, νοσῶν. ὁ δὲ θεραπεύων. τῆς γοῦν Ταυρικῆς γῆς ἐπιβαίνοντας εὐθὺς ἡ μητροκτόνος αὐτοὺς ἐριννὺς ἐξενολόχησε. καὶ τῶν βαρβάρων ἐν κύκλῳ περιεστώτων, ὁ μὲν, ὑπὸ τῆς συνήθους μανίας πεσὼν, ἔκειτο. Πυλάδης δὲ

Ἀφρὸν ἀπέψα, σώματός τ' ἐπεμέλει, ««
Πέπλοις τε προὐκάλυπτεν εὐπήνοις ὑφαῖς, ««

Οὐκ ἐραστοῦ μόνον, ἀλλὰ καὶ πατρὸς ἐνδεικνύμενος ἦθος. ἡνίκα γοῦν ἐκρίθη θατέρου μένοντος τοῦ δὲ φονευθῆναι, τὸν ἕτερον ἐς Μυκήνας ἀπελθεῖν, κομιοῦντα γράμματα, μένειν ὑπὲρ ἀλλήλων ἀμφότεροι θέλουσιν, ἑκάτερος ἐν θατέρῳ ζῶντι ζῆν ἑαυτὸν ἡγούμενος. ἀπωθεῖτο δὲ τὰς ἐπιστολὰς Ὀρέστης, ὡς Πυλάδου λαβεῖν ἀξιωτέρου, μόνον οὐκ ἐραστὴς ἀντ' ἐρωμένου γενόμενος.

Τὸ γὰρ σφαγῆναι τόνδ', ἐμοὶ βάρος μέγα. ««
Ὁ ναυστολῶν γάρ εἰμ' ἐγὼ τὰς συμφοράς. ««

καὶ μετ' ὀλίγον φησί,

Τῷδε μὲν δέλτον δίδου, ««
Πέμψω γὰρ Ἄργος, ὥστε σοι καλῶς ἔχειν. ««
Ἡμᾶς δ' ὁ χρήζων, κτεινέτω. ««

Καὶ γὰρ οὕτως ἔχει τὸ πᾶν. ὅταν γὰρ ἐκ παίδων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁ σπουδαῖος ἔρως ἐγγραφεὶς, ἐπεὶ τὴν ἤδη λογί-
ζεσθαι δυναμένην ἡλικίαν ἀνδρωθῇ, τὸ πάλαι
φιληθὲν, ἀμοιβαίοις ἔρωτας ἀνταποδίδωσι.
καὶ δυσχερὲς αἰσθέσθαι ποτέρου πότερος ἐραστής
ἐστιν, ὥσπερ ἀπ᾽ ἐσόπτρου ἐπὶ τοῦ φιλήσαντος
εὐνοίας τῆς τὸν ἐρώμενον ὁμοίως πεσόντος εἰδώ-
λου. τί δαὶ τὸν τοῦ καθ᾽ ἡμᾶς βίου ξένην αὐτὸ
τρυφὴν ὀνειδίζεις θείοις νόμοις ὁρισθὲν, ἐκ δὲ ἀρ-
χῆς ἐφ᾽ ἡμᾶς καταβεβηκός. ἀσμένως δὲ αὐ-
τὸ δεξάμενοι, μετ᾽ ἁγνῆς διανοίας νεωκοροῦμεν.
ὄλβιος γὰρ ὡς ἀληθῶς κατὰ τὴν τῶν σοφῶν
ἀπόφασιν, ᾧ παῖδές τε νέοι, καὶ μώνυχες ἵπ-
ποι. γηράσκει δ᾽ ὁ γέρων κεῖνος ἐλαφότατα,
κοῦροι τὸν φιλέουσιν. αἵγε μὴν Σωκρατικαὶ δι-
δασκαλίαι, καὶ τὸ λαμπρὸν ἐκεῖνο ἐπὶ ἀρεί-
ῳ δικαστήριον, τοῖς δὲ λοιποῖς τρίποσιν ἐτιμήθη.
χρησμὸν γὰρ ἀληθείας ὁ πύθιος ἐθέσπισεν, ἀν-
δρῶν ἁπάντων Σωκράτης σοφώτατος. ὃς ἅ-
μα τοῖς ἄλλοις μαθήμασιν, ἐξ ὧν τὸν βίον ὤνη-
σε, καὶ τὸ παιδεραστεῖν ὡς μάλιστα ὠφελοῦν
προσῆκαν. δεῖ δὲ τῶν νέων ἐρᾶν, ὡς Ἀλκιβι-
άδου Σωκράτης. ὃς ὑπὸ μιᾷ χλαμύδι πα-
τρὸς ὕπνοις ἐκοιμήθη. καὶ ἔγωγε τὸ καλλιμάχει-
ον ἐπὶ τέλει τῶν λόγων ἥδιστα προσθείην ἂν ἅ-
πασι κήρυγμα.

Αἴθε γὰρ

Αἴθε γὰρ ὦ κούροισιν, ἐπ' ὄμματα λίχνα φέροντες "
Ἔρχεσθ' ὡς ὑμῖν ὤπασε παιδοφιλεῖν. "
Ὧδε νέων ἐράοιτε, πόλιν κεὔανδρον ἔχοιτε. "

Ταῦτ' εἰδότες ὦ νεανίαι, σωφρόνως παισὶν ἀγαθοῖς πρόσιτε, μὴ δὲ ὀλίγης τέρψεως ἕνεκα, τὴν μακρὰν ἐκχέοντες εὔνοιαν, ἄχρι δὲ ἀκμῆς πλαστὰ τὰ τοῦ φιλεῖν πάθη προβάλλεσθε. τὸν δ' οὐράνιον ἔρωτα προσκυνοῦντες, εἰς γῆρας ἀπὸ παίδων βέβαια τηρεῖτε τὰ πάθη. τοῖς γὰρ οὕτω φιλοῦσιν, ἥδιστος μὲν ὁ τοῦ ζῆν χρόνος, οὐδεμιᾶς ἀπρεποῦς συνειδήσεως παροικούσης. ἀοίδιμοι δὲ μετὰ θάνατον εἰς πάντας ἐκφοιτῶσι κληδόνες. εἰ δὲ δεῖ φιλοσόφων παισὶ πιστεύειν, αἰθὴρ μετὰ γῆν ἐκδέχεται τοὺς ταῦτα ζηλοῦντας. οἱ δὲ ἄμεινον ἀποθανόντες, ἔχουσι τῆς ἀρετῆς γέρας, τὸ ἄφθαρτον. τοιαῦτα τοῦ Καλλικρατίδου σφόδρα νεανικῶς σεμνολογησαμένου, Χαρικλέα μὲν ἐκ δευτέρου λέγειν πειρώμενον, ἐπέσχον. ὥρα γὰρ ἦν ἤδη ναῦν κατιέναι. δεομένων δ' ὅ, τι φρονοῖεν ἀποφήνασθαι, δι' ὀλίγου τοὺς ἑκατέρου λόγους ἀριθμησάμενος, οὐκ ἐξ ὑπογύου φημί, καὶ παρημελημένως, ὑμῖν ὦ ἑταῖροι, τὰ τῶν λόγων ἔοικεν ἀπεσχεδιάσθαι, συνεχοῦς δέ, καὶ νὴ Δί' ἐρρωμένης φροντίδος ἐναργῆ ταῦτ'

ἐστὶν ἰσχυρά. δῆλον γὰρ οὐδέν ἐστιν, ὅ,τι τῶν λεκτέων εἰπεῖν ἑτέρῳ δύνασθαι παρήκατε. καὶ πολλὴ μὲν ἡ τῶν πραγμάτων ἐμπειρία, πλείων δ' ἡ τῶν λόγων δεινότης. ὥστ' ἔγωγ' ἂν εὐξαίμην, εἴπερ ἦν ἐν δυνατῷ, γενέσθαι Θηραμένης ἐκεῖνος ὁ κόθορνος, ἵν' ἄμφω νενικηκότες, ἐξ ἴσου βαδίζοιτε. πλὴν ἐπειδήπερ ἀνήσειν οὐκ ἐοίκατε, ὃ καὐτὸς ἐν τῷ μεταξὺ πλῷ, περὶ τῶν αὐτῶν οὐ κέκρικα διοχλεῖσθαι, τὸ μάλιστα παριστὰν εἶναί μοι δίκαιον, ἀποφανοῦμαι. γάμοι μὲν ἀνθρώποις βιωφελὲς πρᾶγμα, καὶ μακάριον, ὁπόταν εὐτυχῶνται. παιδικοὺς δ' ἔρωτας, ὅσοι φιλίας ἁγνὰ δίκαια προμνῶνται, μόνης φιλοσοφίας ἔργον ἡγοῦμαι. διὸ δὴ γαμητέον μὲν ἅπασι, παιδεραστεῖν δὲ, ἀφείσθω μόνοις φιλοσόφοις. ἥκιστα γὰρ ἐν γυναιξὶν ὁλόκληρος ἀρετὴ φύεται. καὶ σὺ δ' ὦ Χαρίκλεις, μὴ δυσαχθεσθῇς, εἰ ταῖς Ἀθήναις ἡ Κόρινθος εἴξει. καὶ ὁ μὲν ὑπ' αἰδοῦς συντόμῳ λόγῳ τὴν κρίσιν ἐπιστεύσας, ἐξανέστη. ἑώρων γὰρ ὑποκατηφῆ τὸν Χαρικλέα, παραμικρὸν ὡς θανάτου κατακεκριμένον. ὁ δ' Ἀθηναῖος, ἱλαρῷ τῷ προσώπῳ φαιδρὸς ἀναπηδήσας, προῄει σφόδρα σοβαρῶς. εἴκασεν ἄν τις αὐτὸν ἐν Σαλαμῖνι Πέρσας καταναυμαχηκέναι. καὶ τοῦτό γε τῆς κρίσεως ἀπωνάμην

μην, λαμπρότερον ἡμᾶς ἑστιάσαντος αὐτοῦ τὰ ἐπινίκια. καὶ γὰρ ἦν ἄλλως τῷ βίῳ μεγαλοφονέστερος. ἠσύχησε δὲ καὶ τὸν Χαρικλέα προηγορησάμενον ἐπὶ τῇ δεινότητι τῶν λόγων, συνεχὲς ὑπερθαυμάζων, ὅτι δυσχερεστέρῳ μέρει δυνατῶς συνηγόρησεν. ἀλλ' ἡ μὲν ἐν Κνίδῳ διατριβὴ, καὶ τὰ παρὰ τῇ θεῷ λαληθέντα, σπουδὴν ἱλαρὰν ἅμα, καὶ παιδιὰν εὔμουσον ἐσχηκότα, τῇδέ πῃ διακείσθω. σὺ δὲ ὦ Θεόμνηστε, ὁ τὴν ἕωλον ἡμῶν ἐκκαλεσάμενος μνήμην, εἰ δικαστὴς τότ' ἦσθα, πῶς ἂν ἀπεφήνω; ΘΕΟ. Μελιτίδην, ἢ Κόροιβον οἴει με πρὸς θεῶν, ἵνα ταῖς ὑπὸ σοῦ δικαίως κριθεῖσιν ἐναντίαν φέρω τὴν ψῆφον; ὃς ὑπ' ἄκρας ἡδονῆς τῶν λεγομένων διατρίβειν ἐν τῇ Κνίδῳ ᾤμην, ὀλίγου τε βραχὺ τοῦτο δωμάτιον αὐτὴν ἡγούμενος εἶναι, τὸν νεὼν ἐκεῖνον. ὅμως δ' οὖν, οὐδὲν γὰρ ἀπρεπὲς ἐν ἑορτῇ λέγεσθαι, πᾶς δὲ γέλως κἂν περίεργος ᾖ, πανηγυρίζειν δοκεῖ, τοὺς ἄγαν ὑπὸ τοῦ παιδεραστοῦ κατωφρυωμένους λόγους, ἐθαύμαζον μὲν ἐπὶ τῇ σεμνότητι, πλὴν οὐ πάνυ θυμηρέστερον ᾤμην, ἐφήβῳ παιδὶ συνδιημερεύοντα, ταντάλειους δίκας ὑποφέρειν, καὶ τοῖς ὄμμασι τοῦ κάλλους μονονουχὶ προσκλύζοντος, ἐξὸν ἀρύεσθαι, διψῆν ὑπομένειν. οὐ γὰρ ἀπόχρη τὸ θε-

ὁρᾶν ἐρώμενον, οὐδ' ἀπαντικρὺ καθήμενον, ἐπιλαλοῦντος ἀκούειν, ἀλλ' ὥσπερ ἡδονῆς κλίμακα συμπηξάμενος ἔρως, πρῶτον ἔχει βαθμὸν ὄψεως, ἵνα ἴδῃ. κἂν θεάσηται, ποθεῖ προσάγων ἐφάψασθαι. δι' ἄκρων γοῦν δακτύλων κἂν μόνον θίγῃ, τὰ νεῦρα ἀπολαύσεως, εἰς ἅπαν διαθεῖ τὸ σῶμα. τυχὼν δ' εὐμαρῶς τούτου, τρίτην πεῖραν ἐπάγει φιλήματος, οὐκ εὐθὺ περίεργον, ἀλλ' ἠρέμα χείλη προσεγγίσας χείλεσιν, ἃ πρὶν ἢ ψαῦσαι τελείως ἀπέστη, μηδὲ ὑπονοίας ἴχνος καταλιπών. εἶτα πρὸς τὸ παρῆκον ἁρμοζόμενος, ἀεὶ λιπαρεστέροις μὲν ἀσπάσμασιν ἐντέτηκεν, ἔσθ' ὅτε καὶ διαστέλλων ἡσυχῆ τὸ στόμα. τῶν δὲ χειρῶν οὐδεμίαν παρίησιν ἀργήν. αἱ γὰρ φανεραὶ τῶν αἰσθητῶν συμπαθεῖ περιπλοκαί, τὴν ἡδονὴν συνάπτουσιν. ἢ λαθραίως ὑγρῶς ἡ δεξιὰ κατὰ κόλπον δῦσα, μαστοὺς βραχὺ τὴν φύσιν ὑπεροιδῶντας πιέζει. καὶ σφριγώσης γαστρός, ἀμφιλαφὲς τοῖς δακτύλοις ἐπιδράττεται ὁμαλῶς. μετὰ τοῦτο, καὶ πρωτόχνουν ἄνθος ἥβης. ἢ τί τἄρρητ' ἀναμετρῆσαι θέμις δεῖ; τοσαύτης τυχὼν ἐξουσίας ὁ ἔρως, θερμοτέρου τινὸς ἅπτεται πράγματος. εἶτ' ἀπὸ μηρῶν προοιμιασάμενος, κατὰ τὸν κωμικὸν αὐτὸ ἐπάταξεν. ἐμοὶ μὲν οὕτω παιδεραστεῖν γένοιτο,

γένοιτο. μετ' ἐρώτων λέγω δὲ, καὶ ὅσοι τὴν φιλοσοφίας ὀφρῦν ὑπὲρ αὐτοὺς τοὺς κροτάφους ὑπερήρκασι, σεμνῶν ὀνομάτων κομψεύμασι τοὺς ἀμαθεῖς ποιμαινέσθωσαν. ἐρωτικὸς γὰρ ἦν, εἴ τις πώποτε καὶ ὁ Σωκράτης. καὶ ὑπὸ μίαν Ἀλκιβιάδης αὐτῷ χλανίδα κλιθεὶς, οὐκ ἀπλὴξ ἀνέστη. καὶ μὴ θαυμάσῃς. οὐδὲ γὰρ ὁ Πάτροκλος ὑπ' Ἀχιλλέως ἠγαπᾶτο, μέχρι τοῦ κατὰ ἀπαντικρὺ καθίζεσθαι, δεχόμενος Αἰακίδην ὁπότε λήξειεν ἀείδων. ἀλλ' ἦν καὶ τῆς ἐκείνων φιλίας μεσίτης ἡδονή. στένων γοῦν Ἀχιλλεὺς τὸν Πατρόκλου θάνατον, ἀταμιεύτῳ πάθει πρὸς τὴν ἀλήθειαν ἀπερράγη. μηρῶν τε τῶν σῶν εὐσεβὴς ὁμιλία καλλίων. τούς γε μὴν ὀνομαζομένους παρ' Ἕλλησι κωμαστὰς, οὐδὲν ἄλλ', ἢ δήλους ἐραστὰς νομίζω. τάχα φήσει τις αἰσχρὰ ταῦτ' εἶναι λέγεσθαι, πλὴν ἀληθῆ γε νὴ τὴν Κνιδίαν Ἀφροδίτην. ΛΥ. οὔτ' ἀνέξομαί σου φίλε Θεόμνηστε, ἄλλην ἀρχὴν καταβαλλομένου τρίτου λόγου, ὃν ἀκούειν ἐν ἑορτῇ μόνον εἰκός ἐστι. τἄλλα δὲ, τῶν ἐμῶν ὤτων πόρρω ἀποικιεῖν. ἀφέμενοι δὲ τοῦ παρέλκειν πλείω χρόνον, εἰς ἀγορὰν ἐξίωμεν. ἤδη γὰρ εἰκός ἐστιν, ὑφάπτεσθαι τῷ θεῷ τὴν πυράν. ἔστι δ' οὐκ ἀτερπὴς ἡ θέα, τῶν ἐν Οἴτῃ παθῶν ὑπομιμνήσκουσα τοὺς παρόντας.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΕΙΚΟΝΕΣ. ΛΥΚΙΝΟΣ.

Ἀλλ' ἦ τοιοῦτόν τι ἄρα ἔπασχον οἱ τὴν Γοργὼ ἰδόντες, οἷον ἐγὼ ἔναγχος ἔπαθον ὦ Πολύστρατε, παγκάλην τινὰ γυναῖκα ἰδών. αὐτὸ γὰρ τὸ τοῦ μύθου ἐκεῖνο, μικροῦ δέω λίθος ἐξ ἀνθρώπου σοι γεγενέναι, πεπηγὼς ὑπὸ τοῦ θαύματος. Πο. Ἡράκλεις. ὑπερφυές τι τὸ θέαμα φῄς, καὶ δεινῶς βίαιον, εἴγε καὶ Λυκῖνον ἐξέπληξε γυνή τις οὖσα. σὺ γὰρ ὑπὸ μὲν τῶν μειρακίων καὶ πάνυ ῥᾳδίως αὐτὸ πάσχεις. ὥστε θᾶττον ἄν τις ὅλον τὸν Σίπυλον μετακινήσειεν, ἢ σὲ τῶν καλῶν ἀπάγοι, μὴ οὐχὶ παρεστάναι αὐτοῖς κεχηνότα, καὶ ἐπιδακρύοντά γε πολλάκις, ὥσπερ ἐκείνην αὐτὴν τὴν τοῦ Ταντάλου. ἀτὰρ εἰπέ μοι, τίς ἡ λιθοποιὸς αὕτη Μέδουσα ἡμῖν ἐστι, καὶ πόθεν, ὡς καὶ ἡμεῖς ἴδοιμεν. οὐ γὰρ οἶμαι φθονήσεις ἡμῖν τῆς θέας, οὐδὲ ζηλοτυπήσεις, εἰ μέλλοιμεν πλησίον που καὶ αὐτοὶ παραπεπηγέναι σοι ἰδόντες. Λυκῖ. καὶ μὴν εὖ εἰδέναι χρή σε, ὡς κἂν ἐκ περιωπῆς μόνον ἀπίδῃς ἐς αὐτήν, ἀχανῆ σε, καὶ τῶν ἀνδριάντων ἀκινητότερον ἀποφανεῖ. καίτοι τοῦτο μὲν ἴσως, εἰρηνικώτερόν ἐστι. καὶ τὸ τραῦμα, ἧττον καίριον, εἰ αὐτὸς ἴδοις. εἰ δὲ κἀκείνη προσβλέψειέ σε, τίς ἔσται μηχανὴ ἀποστῆναι αὐτῆς. ἀπάξει γάρ

σε ἀ

ἀναθήσομεν, ἣν ἔνθα ἂν ἐθέλῃ, ὅπερ καὶ ἡ λίθος ἡ ἡρακλεία δρᾷ τὸν σίδηρον. Πο. παῦσαι ὦ Λυκῖνε, τεράστιόν τι κάλλος ἀναπλάττων, ἀλλ' εἰπέ μοι τίς ἡ γυνὴ αὕτη. Λυ. οἴει γάρ με ὑπερβαλέσθαι τῷ λόγῳ. ὃς δέδια μή σοι ἰδόντι, ἀσθενής τις ἐπαινέσαι δόξω. παρὰ τοσοῦτον ἀμείνων φανεῖται. πλὴν, ἀλλ' ἥτις μὲν, οὐκ ἂν εἰπεῖν ἔχοιμι. θεραπεία δὲ πολλὴ, καὶ ἄλλη περὶ αὐτὴν παρασκευὴ λαμπρὰ, καὶ εὐνούχων τι πλῆθος, καὶ ἅβραι πάνυ πολλαὶ, καὶ ὅλως, μεῖζόν γε, ἢ κατὰ ἰδιωτικὴν τύχην ἐδόκει τὸ πρᾶγμα εἶναι. Πο. οὐδὲ τοὔνομα ἐπύθου σύ γε, ἥτις καλοῖτο; Λυ. οὐδαμῶς. ἢ τοῦτο μόνον, ὅτι Ἰωνίας ἐστί. τῶν θεατῶν γάρ τις ἀπιδὼν ἐς τὸν πλησίον, ἐπεὶ παρῆλθε, τοιαῦτα μέντοι ἔφη τὰ σμυρναϊκὰ κάλλη. καὶ θαυμαστὸν οὐδὲν, εἰ ἡ καλλίστη τῶν Ἰωνικῶν πόλεων, τὴν καλλίστην γυναῖκα ἤνεγκεν. ἐδόκει δέ μοι σμυρναῖος καὶ αὐτὸς ὁ λέγων εἶναι. οὕτως ἐσεμνύνετο ἐπ' αὐτῇ. Πο. οὐκοῦν ἐπεὶ λίθου τοῦτό γε ὡς ἀληθῶς ἐποίησας, οὔτε παρακολουθήσας, οὔτε τὸν σμυρναῖον ἐκεῖνον ἐρόμενος, ὅς τις ἦν, κἂν τὸ εἶδος ὡς οἷόν τε ὑπόδειξον τῷ λόγῳ. τάχα γὰρ ἂν οὕτω γνωρίσαιμι. Λυκ. ὁρᾷς ἡλίκον τοῦτο ᾔτησας; οὐ κατὰ λόγου δύναμιν,

καὶ μάλιστά γε τῶν ἐμῶν, ἐμφανίσαι οὕτω θαυμασίαν εἰκόνα, πρὸς ἣν μόλις ἂν ἢ Ἀπελλῆς, ἢ Ζεῦξις, ἢ Παῤῥάσιος, ἱκανοὶ ἔδοξαν, ἢ εἴ τις Φειδίας, ἢ Ἀλκαμένης· ἐγὼ δέ, λυμανοῦμαι τὸ ἀρχέτυπον ἀσθενείᾳ τῆς τέχνης.

Πο. ὅμως ὦ Λυκῖνε, ποία τις ἦν τὴν ὄψιν; οὐ γὰρ ἐπισφαλὲς τὸ τόλμημα, εἰ φίλῳ ἀνδρὶ ἐπιδείξαις τὴν εἰκόνα, ὅπως ἂν τῆς γραμμῆς ἔχῃ. Λυ. καὶ μὴν ἀσφαλέστερον αὐτὸς ποιήσειν μοι δοκῶ, τῶν παλαιῶν τινας ἐκείνων τεχνιτῶν παρακαλέσας ἐπὶ τὸ ἔργον, ὡς ἀναπλάσειάν μοι τὴν γυναῖκα. Πο. πῶς τοῦτο φῄς; ἢ πῶς ἂν ἀφίκοιντό σοι πρὸ τοσούτων ἐτῶν ἀποθανόντες; Λυκῖ. ῥᾳδίως, ἢν περ σὺ μὴ ὀκνήσῃς ἀποκρίνεσθαί τί μοι. Πο. ἐρώτα μόνον. Λυ. ἐπεδήμησάς ποτε ὦ Πολύστρατε τῇ Κνιδίων; Πο. καὶ μάλα. Λυκῖ. οὐκοῦν καὶ τὴν Ἀφροδίτην εἶδες πάντως αὐτῶν;

Πο. νὴ Δία τῶν Πραξιτέλους ποιημάτων τὸ κάλλιστον. Λυκῖ. ἀλλὰ καὶ τὸν μῦθον, ὃν λέγουσιν ἤκουσας οἱ ἐπιχώριοι περὶ αὐτῆς, ὡς ἐρασθείη τις τοῦ ἀγάλματος. καὶ λαθὼν ὑπολειφθεὶς ἐν ἱερῷ, συγγένοιτο ὡς δυνατὸν ἀγάλματι. τοῦτο μὲν σοι ἄλλως ἱστορείσθω. σὺ δέ, ταύτην γὰρ ὡς φῂς εἶδες, ἴθι μοι, καὶ τόδε ἀ

πόκρι

πόκειναι, εἰ καὶ τὴν ἐν κήποις Ἀθήνησι, τὴν Ἀλκαμένους ἑώρακας. Πο. ἦ πάντων γ' ἂν ὦ Λυκῖνε ὁ ῥαθυμότερος ἦν, εἰ τὸ κάλλιστον τῶν Ἀλκαμένους πλασμάτων παρεῖδον. Λυ. ἐκεῖνο μέν γε ὦ Πολύστρατε, οὐκ ἐξερήσομαί σε, εἰ πολλάκις ἐς τὴν ἀκρόπολιν ἀνελθὼν, καὶ τὴν Καλάμιδος Σωσάνδραν τεθέασαι. Πο. εἶδον κἀκείνην πολλάκις. Λυ. ἀλλὰ καὶ ταῦτα μὲν, ἱκανῶς. τῶν δὲ Φειδίου ἔργων, τί μάλιστα ἐπῄνεσας; Πο. τί δ' ἄλλο, ἢ τὴν Λημνίαν, ᾗ καὶ ἐπιγράψαι τοὔνομα ὁ Φειδίας ἠξίωσε; καὶ νὴ Δία τὴν ἀμαζόνα, τὴν ἐπερειδομένην τῷ δορατίῳ. Λυ. τὰ κάλλιστα ὦ ἑταῖρε. ὥστε οὐκέτ' ἄλλων τεχνιτῶν δεήσῃ. φέρε δὴ ἐξ ἁπασῶν ἤδη τούτων, ὡς οἷόν τε συναρμόσας, μίαν σοι εἰκόνα ἐπιδείξω, τὸ ἐξαίρετον παρ' ἑκάστης ἔχουσαν. Πο. καὶ τίνα ἂν τρόπον τοῦτο γένοιτο; Λυκ. οὐ χαλεπὸν ὦ Πολύστρατε, εἰ τἀπὸ τοῦδε παραδόντες τὰς εἰκόνας τῷ λόγῳ, ἐπιτρέψαιμεν αὐτῷ μετακοσμεῖν, καὶ συντιθέναι, καὶ ἁρμόζειν, ὡς ἂν εὐρυθμότατα δύναιτο, φυλάττων ἅμα τὸ συμμιγὲς ἐκεῖνο, καὶ ποικίλον. Πο. εὖ λέγεις. καὶ δὴ παραλαβὼν, δεικνύτω. ἐθέλω γὰρ εἰδέναι ὅ,τι καὶ χρήσεται αὐταῖς, ἢ ὅπως ἐκ τοσούτων μίαν τινὰ

ἀφθεὶς, οὐκ ἀποδύσας ἀπεργάσεται.

ΛΥΚΙ. καὶ μὴν ἤδη σοι ὁρᾶν πάρεστι γιγνομένην τὴν εἰκόνα, ὡδὶ συναρμόζων. τῆς ἐκ Κνίδου ἡκούσης μόνον τὴν κεφαλὴν λαβών, οὐδὲν γὰρ τοῦ ἄλλου σώματος γυμνοῦ ὄντος, δεήσεται· τὰ μὲν ἀμφὶ τὴν κόμην, καὶ μέτωπον, ὀφρύων τε τὸ εὔγραμμον, ἐάσει ἔχειν, ὥσπερ ὁ Πραξιτέλης ἐποίησε. καὶ τῶν ὀφθαλμῶν δὲ τὸ ὑγρὸν ἅμα τῷ φαιδρῷ, καὶ κεχαρισμένῳ, καὶ τοῦτο διαφυλάξει κατὰ τὸ Πραξιτέλει δοκοῦν. τὰ μῆλα δὲ, καὶ ὅσα τῆς ὄψεως ἀντωπά, παρ' Ἀλκαμένους, καὶ τῆς ἐν κήποις λήψεται. καὶ προσέτι, χειρῶν ἄκρα, καὶ καρπῶν τὸ εὔρυθμον, καὶ δακτύλων τὸ εὐάγωγον, ἐς λεπτὸν ἀπολῆγον, παρὰ τῆς ἐν κήποις καὶ ταῦτα. τὴν δὲ τοῦ παντὸς προσώπου περιγραφὴν, καὶ παρειῶν τὸ ἁπαλὸν, καὶ ῥῖνα σύμμετρον, ἡ Λημνία παρέξει, καὶ Φειδίας ἔτι. καὶ στόματος ἁρμογὴν ὁ αὐτὸς, καὶ τὸν αὐχένα παρὰ τῆς ἀμαζόνος λαβών. ἡ Σωσάνδρα δὲ, καὶ ὁ Κάλαμις, αἰδοῖ κοσμήσουσιν αὐτήν. καὶ τὸ μειδίαμα, λεπτὸν, καὶ λεληθὸς, ὥσπερ τὸ ἐκείνης ἔσται. καὶ τὸ εὐσταλὲς δὲ, καὶ κόσμιον τῆς ἀναβολῆς, παρὰ τῆς Σωσάνδρας. πλὴν ὅτι ἀκάλυπτος αὐτὴ ἔσται τὴν κεφαλήν. τῆς ἡλικί-

ας δὲ τὸ μέτρον, ἡλίκον ἂν γένοιτο, κατὰ τὴν ἐν Κνίδῳ ἐκείνην μάλιστα. καὶ γὰρ καὶ τοῦτο κατὰ τὸν Πραξιτέλη μεμετρήσθω. τί σοι ὦ Πολύστρατε δοκεῖ, καλὴ γενήσεσθαι ἡ εἰκών, καὶ μάλιστα ἐπειδὰν ἐς τὸ ἀκριβέστατον ἀποτελεσθῇ; Πο. ἔτι γὰρ ὦ γενναιότατε, καταλέλοιπάς τι κάλλος ἔξω τοῦ ἀγάλματος, οὕτω πάντα ἐς τὸ αὐτὸ συμπεφορηκώς. Λυ. οὐ τὸ μικρότατον ὦ φιλότης, εἰ μή σοι δόξει ὀλίγα πρὸς εὐμορφίαν συντελεῖν, χρόα, καὶ τὸ ἑκάστῳ πρέπον. ὡς μέλανα μὲν εἶναι ἀκριβῶς, ὁπόσα μέλανα. λευκὰ δὲ, ὅσα τοιαῦτα χρή. καὶ τὸ ἐρύθημα ἐπανθεῖν. καὶ τὰ τοιαῦτα κινδυνεύει τοῦ μεγίστου ἔτι ἡμῖν προσδεῖν. πόθεν οὖν καὶ ταῦτα πορισαίμεθ' ἄν, ἢ παρακαλέσαιμεν δηλαδὴ τοὺς γραφέας, καὶ μάλιστα ὁπόσοι αὐτῶν ἄριστοι ἐγένοντο, κεράσασθαι τὰ χρώματα, καὶ εὔκαιρον ποιεῖσθαι τὴν ἐπιβολὴν αὐτῶν. καὶ δὴ παρακεκλήσθω Πολύγνωτος, καὶ Εὐφάνωρ ἐκεῖνος, καὶ Ἀπελλῆς, καὶ Ἀετίων. οὗτοι δὲ διελόμενοι τὸ ἔργον, ὁ μὲν Εὐφάνωρ, χρωσάτω τὴν κόμην, οἵαν τῆς Ἥρας ἔγραψεν. ὁ Πολύγνωτος δὲ, ὀφρύων τὸ εὐπρεπὲς, καὶ παρειῶν τὸ ἐνερευθὲς, οἵαν τὴν Κασάνδραν ἐν τῇ λέσχῃ ἐποίησε τοῖς Δελφοῖς. καὶ ἐσθῆτα δὲ οὗτος ποιησάτω, ἐς τὸ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λεπτότερον ἐξειργασμένην, ὡς ἐπεστάλθαι μὲν ὅσα χρή, διηνεμῶσθαι δὲ τὰ πολλά. τὸ δὲ ἄλλο σῶμα, ὁ Ἀπελλῆς δειξάτω, κατὰ τὴν Πακάτην, μάλιστα μὴ ἄγαν λευκόν, ἀλλὰ ἔναιμον ἀπλῶς. τὰ χείλη δέ, οἷα Ῥωξάνης, ὁ Ἀετίων ποιησάτω. μᾶλλον δέ, τὸν ἄριστον τῶν γραφέων Ὅμηρον, παρόντος Εὐφάνορος, καὶ Ἀπελλοῦ, δεδέγμεθα. οἷον γάρ τι τοῖς Μενελάου μηροῖς τὸ χρῶμα ἐκεῖνος ἐπέβαλεν, ἐλέφαντι εἰκάσας ἠρέμα πεφοινιγμένῳ, τοιόνδε ἔστω τὸ πᾶν. ὁ δ' αὐτὸς οὗτος, καὶ τοὺς ὀφθαλμοὺς γραψάτω, βοῶπίν τινα ποιήσας αὐτήν. συνεπιλήψεται τοῦ ἔργου αὐτῷ καὶ ὁ Θηβαῖος ποιητής, ὥστε τὸ βλέφαρον ἐξεργάσασθαι. καὶ φιλομειδῆ δὲ Ὅμηρος ποιήσει, καὶ λευκώλενον, καὶ ῥοδοδάκτυλον, καὶ ὅλως τῇ χρυσῇ Ἀφροδίτῃ εἰκάσει πολὺ δικαιότερον, ἢ τὴν τοῦ Βρισέως. ταῦτα μὲν οὖν πλαστῶν, καὶ γραφέων, καὶ ποιητῶν παῖδες ἐργάσονται. ὃ δὲ πᾶσιν ἐπανθεῖ, τουτέστιν ἡ χάρις. μᾶλλον δὲ αἱ πᾶσαι ἅμα, ὁπόσαι χάριτες, καὶ ὁπόσοι ἔρωτες περιχορεύοντες, τίς ἂν μιμήσασθαι δύναιτο; Πο. θεσπέσιόν τι χρῆμα ὦ Λυκῖνε φής, καὶ διιπετὲς ὡς ἀληθῶς, οἷόν τι τῶν ἐξ οὐρανοῦ γένοιτο. τί δὲ πράσσουσαν εἶδες αὐτήν; Λυ. βιβλίον ἐν ταῖν χε-

ροῖν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ῥοῖν εἶχεν, ἐς δύο συνειλημμένον. καὶ ἐῴκει τὸ μέχρι, ἀναγινώσκεσθαι αὐτῷ. τὸ δέ, ἤδη ἀνεγνωκέναι. μεταξὺ δὲ προϊοῦσα, διελέγετο τῶν προσμαρτυρούντων τινὶ οὐκ οἶδ᾽ ὅ, τι. οὐ γὰρ ἐς ἐπήκοον ἐφθέγγετο. πλὴν μειδιάσασα ὦ Πολύστρατε, ὀδόντας ἐξέφηνε, πῶς ἂν εἴποιμί σοι, ὅπως μὲν, λευκούς. ὅπως δὲ, συμμέτρους, καὶ πρὸς ἀλλήλους συνηρμοσμένους, εἴ που κάλλιστον ὅρμον εἶδες ἐκ τῶν στιλπνοτάτων, καὶ ἰσομεγέθων μαργαριτῶν, οὕτως ἐπὶ στίχου ἐπεφύκεσαν. ἐκοσμοῦντο δὲ μάλιστα ὑπὸ τῶν χειλέων ἐρυθήματι. ὑπεφαίνοντο γοῦν αὐτοὶ δὴ ὑπὸ τοῦ Ὁμήρου ἐλέφαντι τῷ πριστῷ, ὅμοιοι. οὐχ οἱ μὲν, πλατύτεροι αὐτῶν, οἱ δέ, προέχοντες, ἢ διεστηκότες, οἷοι ταῖς πλείσταις, ἀλλά τις πάντων ἰσοτιμία, καὶ ὁμόχροια, καὶ μέγεθος ἕν, καὶ προσεχεῖς ὁμοίως. καὶ ὅλως, μέγα τι θαῦμα, καὶ θέαμα, πᾶσαν τὴν ἀνθρωπίνην εὐμορφίαν ὑπερπεπαικός. Πολύ. ἔχ᾽ ἀτρέμας. συνίημι γὰρ ἤδη σαφῶς πάνυ ἥν τινα καὶ λέγεις τὴν γυναῖκα, τούτοις τε αὐτοῖς γνωρίσας, καὶ τῇ πατρίδι. καὶ εὐνούχους δέ τινας ἕπεσθαι αὐτῇ ἔφης, νὴ Δία καὶ στρατιώτας τινάς. τὴν βασιλεῖ συνοῦσαν ὦ μακάριε, τὴν ἀοίδιμον ταύτην λέγεις. Λυ. τί δέ ἐστιν αὐτῇ τοὔ-

νομα; Πο. πάνυ καὶ τοῦτο γλαφυρὸν ὦ Λυκῖ-
νε, καὶ ἐπέραστον. ὁμώνυμος γάρ ἐστι τῇ τοῦ Ἀβρα-
δάτου ἐκείνῃ τῇ καλῇ. οἶσθα πολλάκις ἀκού-
σας Ξενοφῶντος ἐπαινοῦντός τινα σώφρονα, καὶ
καλὴν γυναῖκα; Λυ. νὴ Δία καὶ ὥσπερ ὁρῶν
αὐτὴν, οὕτω διατίθεμαι, ὁπόταν κατ' ἐκεῖνό
που ἀναγιγνώσκων γένωμαι. καὶ μονονουχὶ καὶ
ἀκούω λεγούσης αὐτῆς, ἃ πεποίηται λέγου-
σα, καὶ ὡς ὥπλιζε τὸν ἄνδρα, καὶ οἵα ἦν παρα-
πέμπουσα αὐτὸν ἐπὶ τὴν μάχην. Πο. ἀλ-
λ' ὦ ἄριστε, σὺ μὲν ὥσπερ τινὰ ἀστραπὴν παρα-
δραμοῦσαν ἅπαξ εἶδες αὐτὴν, καὶ ἔοικας τὰ
πρόχειρα ταῦτα, λέγω δὲ τὸ σῶμα, καὶ τὴν μορ-
φὴν ἐπαινεῖν. τῶν δὲ τῆς ψυχῆς ἀγαθῶν, ἀθέ-
ατος εἶ. οὐδὲ οἶσθα ὅσον κάλλος ἐκεῖνό ἐστιν
αὐτῆς, μακρῷ τινι ἄμεινον, καὶ θεοειδέστερον τοῦ
σώματος. ἐγὼ δὲ, συνήθης γάρ εἰμι, καὶ λόγων
ἐκοινώνησα πολλάκις, ὁμοεθνὴς ὤν. καὶ γὰρ ὡς
οἶδα καὶ αὐτὸς, τὸ ἥμερον, καὶ φιλάνθρωπον,
καὶ τὸ μεγαλόφρον, καὶ σωφροσύνην, καὶ παιδεί-
αν, πρὸ τοῦ κάλλους ἐπαινῶ. ἄξια γὰρ προκεκρῖ-
σθαι ταῦτα τοῦ σώματος. ἐπεὶ ἄλογον ἂν εἴη,
καὶ γελοῖον, ὥσπερ εἴ τις τὴν ἐσθῆτα πρὸ τοῦ
σώματος θαυμάζοι. τὸ δ' ἐντελὲς κάλλος οἶ-
μαι τοῦτό ἐστιν, ὁπόταν ἐς τὸ αὐτὸ συνδράμῃ ψυ-

χῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χῆς ἀρετὴ, καὶ εὐμορφία σώματος. ἀμέλει πολλὰς ἄν σοι δείξαιμι, μορφῆς μὲν, εὖ ἡκούσας, τὰ δ' ἄλλα αἰσχυνούσας τὸ κάλλος, ὡς καὶ μόνον φθεγξαμένων, ἀποθανεῖν αὐτὸ, καὶ ἀπομαραίνεσθαι, ἐλεγχόμενόν τε, καὶ ἀσχημονοῦν, καὶ παρ' ἀξίαν συνὸν, πονηρᾷ τινὶ δεσποίνῃ τῇ ψυχῇ. καὶ γὰρ αἱ τοιαῦται, ὅμοιαί μοι δοκοῦσι τοῖς αἰγυπτίοις ἱεροῖς. κἀκεῖ γὰρ, αὐτὸς μὲν ὁ νεὼς, κάλλιστός τε, καὶ μέγιστος, λίθοις τοῖς πολυτελέσιν ἠσκημένος, καὶ χρυσῷ, καὶ γραφαῖς διηνθισμένος. ἔνδον δὲ, ἢν ζητῇς τὸν θεὸν, ἢ πίθηκός ἐστιν, ἢ ἶβις, ἢ τράγος, ἢ αἴλουρος. τοιαύτας πολλὰς ἰδεῖν ἔνεστιν. οὐ τοίνυν ἀπόχρη τὸ κάλλος, ἢν μὴ κεκόσμηται τοῖς δικαίοις κοσμήμασι. λέγω δὴ οὐκ ἐσθῆτι ἁλουργεῖ, καὶ ὅρμοις, ἀλλ' οἷς προεῖπον ἐκείνοις, ἀρετῇ, καὶ σωφροσύνῃ, καὶ ἐπιεικείᾳ, καὶ φιλανθρωπίᾳ, καὶ τοῖς ἄλλοις, ὁπόσοις ταῦτα ὅρος ἐστίν.

Λυ. οὐκοῦν ὦ Πολύστρατε, μῦθον ἀντὶ μύθου ἄμειψαι αὐτῷ τῷ μέτρῳ φασίν. ἢ καὶ λώϊον. δύνασαι γὰρ, καί τινα εἰκόνα γραψάμενος τῆς ψυχῆς, ἐπίδειξον, ὡς μὴ ἐξ ἡμισείας θαυμάζοιμι αὐτήν. Πο. οὐ μικρὸν ὦ ἑταῖρε τὸ ἀγώνισμα προστάττεις. οὐ γὰρ ὅμοιον τὸ πᾶσι προφανὲς ἐπαινέσαι, καὶ τὰ ἄδηλα ἐμφανίζειν τῷ

λόγῳ. καί μοι δοκῶ συνεργῶν καὶ αὐτὸς δεήσεσθαι πρὸς τὴν εἰκόνα, οὐ πλαστῶν, οὐδὲ γραφέων μόνων, ἀλλὰ καὶ φιλοσόφων, ὡς πρὸς τοὺς ἐκείνων κανόνας ἀπευθῦναι τὸ ἄγαλμα, καὶ δεῖξαι κατὰ τὴν ἀρχαίαν πλαστικὴν κατεσκευασμένον. καὶ δὴ πεποιήσθω. αὐδήεσσα μὲν τὸ πρῶτον, καὶ λίγεια. καὶ τό, γλυκίων μέλιτος ἀπὸ τῆς γλώττης, περὶ αὐτῆς μᾶλλον, ἢ περὶ τοῦ Πυλίου γέροντος ἐκείνου, ὁ Ὅμηρος ἂν εἴρηκε. πᾶς δὲ ὁ τόνος τοῦ φθέγματος, οἷος ἁπαλώτατος, οὔτε βαρύς, ὡς εἰς τὸ ἀνδρεῖον ἡρμόσθαι, οὔτε πάνυ λεπτός, ὡς θηλύτατός τε εἶναι, καὶ κομιδῇ ἔκλυτος, ἀλλ' οἷος γένοιτ' ἂν παιδὶ μήπω ἡβάσκοντι, ἡδύς, καὶ προσηνής, καὶ πράως παραδυόμενος ἐς τὴν ἀκοήν, ὡς καὶ παυσαμένης, ἔναυλον εἶναι τὴν βοήν. καί τι λείψανον ἐνδιατρίβειν, καὶ περιβομβεῖν τὰ ὦτα, καθάπερ ἠχώ τινα παρατείνουσαν τὴν ἀκρόασιν, καὶ ἴχνη τῶν λόγων μελιχρὰ ἄττα, καὶ πειθοῦς μεστὰ ἐπὶ τῆς ψυχῆς ἀπολιμπάνουσαν. ὁπόταν δὲ καὶ τὸ καλὸν ἐκεῖνο ᾄδῃ, καὶ μάλιστα πρὸς τὴν κιθάραν, τότε δὴ τί ποτε, ὥρα μὲν σιωπᾶν ταύταις ἀλκυόσι, καὶ τέττιξι, καὶ τοῖς κύκνοις. ἄμουσα γὰρ ὡς πρὸς ἐκείνην ἅπαντα. κἂν τὴν Πανδίονος εἴπῃς, ἰδιῶτις κἀκείνη, καὶ ἄτεχνος, εἰ

καὶ τὸ

καὶ πολυηχία τὴν φωνὴν ἀφίησιν. Ὀρφεὺς δὲ,
καὶ Ἀμφίων, οἳ περὶ ἐπαγωγότατοι ἐγένοντο τῶν
ἀκροατῶν, ὡς καὶ τὰ ἄψυχα ἐπικαλέσασθαι
πρὸς τὸ μέλος, αὐτοὶ ἂν οἶμαι εἴγε ἤκουσαν,
καταλιπόντες ἂν τὰς κιθάρας, παρεστήκε-
σαν σιωπῇ, ἀκροώμενοι. τὸ γὰρ τήν τε ἁρμονί-
ας τὸ ἀκριβέστατον διαφυλάττειν, ὡς μὴ πα-
ραβαίνειν τι τοῦ ῥυθμοῦ, ἀλλ' εὐκαίρῳ τῇ ἄρ-
σει, καὶ θέσει διαμεμετρῆσθαι τὸ ᾆσμα, καὶ συνῳ-
δὸν εἶναι τὴν κιθάραν, καὶ ὁμοχρονεῖν τῇ γλώτ-
τῃ τὸ πλῆκτρον, καὶ τὸ εὐαφὲς τῶν δακτύλων, καὶ
τὸ εὐκαμπὲς τῶν μελῶν, πόθεν ἂν ταῦτα ὑ-
πῆρχε τῷ Θρᾳκὶ ἐκείνῳ, ἢ τῷ ἀνὰ τὸν Κιθαιρῶ-
να μεταξὺ βουκολοῦντι, καὶ κιθαρίζειν μελετῶν-
τι. ὥστε ἤν ποτε ὦ Λυκῖνε, καὶ ᾀδούσης αὐτῆς ἀ-
κούσῃς, οὐκέτι τὸ τῶν Γοργόνων μόνον ἔσῃ πεπον-
θὼς, λίθος ἐξ ἀνθρώπου γενόμενος, ἀλλὰ καὶ τὸ
τῶν σειρήνων εἴσῃ ὁποῖόν τι ἦν. παρεστήξῃ γὰρ εὖ οἶ-
δ' ὅτι, κεκηλημένος, πατρίδος, καὶ οἰκείων ἐπι-
λαθόμενος. καὶ ἢν κηρῷ ἐπιφράξῃ τὰ ὦτα, καὶ
διὰ τοῦ κηροῦ διαδύσεταί σοι τὸ μέλος, τοιοῦ-
τόν τι ἄκουσμά ἐστι Τερψιχόρης τινὸς, ἢ Μελ-
πομένης, ἢ Καλλιόπης αὐτῆς παίδευμα, μυ-
ρία τὰ θέλγητρα, καὶ παντοῖα ἐν ἑαυτῷ ἔχον.
ἑνί τε λόγῳ συνελὼν, φαίνην ἂν, τοιαύτης μοι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆς ᾠδῆς ἀκούειν νόμιζε, οἵαν εἰκὸς ἀπὸ τῶν διαφο-ρούντων χειλῶν, δι' ἐκείνων δὲ τῶν ὀδόντων ἐξιοῦσαν. ἑώρακας δὲ καὶ αὐτὸς ἣν φημι. ὥστε καὶ ἀκηκοέναι νόμιζε. τὸ μὲν γὰρ ἀκριβὲς ἐστι τῆς φωνῆς, καὶ καθαρῶς ἰωνικὸν, καὶ ὅτι ὁμιλῆσαι στωμύλη, καὶ πολὺ τῶν ἀττικῶν χαρίτων ἔχουσα, οὐδὲ θαυμάζειν ἄξιον. πάτριον γὰρ αὐτῇ, καὶ προγονικόν. οὐδὲ ἄλλως ἐχρῆν, μετέχουσαν τῶν Ἀθηναίων κατὰ τὴν ἀποικίαν. οὐδ' ἔτι οὖν δ' ἐκεῖνο θαυμάσαιμ' ἂν, εἰ καὶ ποιήσει χαίρει, καὶ τὰ πολλὰ ταύτῃ ὁμιλεῖ, τοῦ Ὁμήρου πολίτις οὖσα. μία μὲν δή σοι ὦ Λυκῖνε, καλλιφωνίας αὕτη, καὶ ᾠδῆς εἰκὼν, ὡς ἄν τις ἴδοι τὸ ἔλαττον εἰκάσειε. σκόπει δὲ δὴ καὶ τὰς ἄλλας, οὐ γὰρ μίαν ὥσπερ σὺ δὴ ἐκ πολλῶν συντεθεὶς, ἐπιδεῖξαι διέγνωκα. ἧττον γὰρ τοῦτο, καὶ γραφικῶς συντελεσθεῖσαι κάλλη τοιαῦτα, καὶ πολυειδές τι ἐκ πολλῶν ἀποτελεῖν αὐτὸ αὑτῷ ἀνθαμιλλώμενον. ἀλλ' αἱ πᾶσαι τῆς ψυχῆς ἀρεταὶ, καθ' ἑκάστην, εἰκὼν μία γεγράψεται πρὸς τὸ ἀρχέτυπον μεμιμημένη. Λυ. ἑορτὴν ὦ Πολύστρατε, καὶ πανδαισίαν ἐπαγγέλλεις. ἔοικας δ' οὖν λῷον ὡς ἀληθῶς ἀποδώσειν μοι τὸ μέτρον. ἐπιμέτρει δ' οὖν, ὡς οὐκ ἔστιν ὅ, τι ἂν ἄλλο ποιήσας, μᾶλλον χαρίσαιό μοι. Πο.

οὐκοῦν

ρὸς ταύτην ἐτεμόμην τὴν ὁδόν, ἀλλὰ πολλοί,
καὶ ἀγαθοὶ ποιηταί. καὶ μάλιστα ὁ πολίτης ὁ σὸς
Ὅμηρος, ὃν καὶ νῦν ἀναβιβάσομαι συναγορεύ-
σοντά μοι. ἢ οὐδεμία μηχανή, μὴ οὐχὶ καὶ αὐτὸν
σὺν ἐμοὶ ἁλῶναι. ἐρήσομαι τοίνυν αὐτόν, μᾶλ-
λον δὲ σὲ ὑπὲρ αὐτοῦ, καὶ γὰρ διαμνημονεύεις,
εὖ ποιοῦσα τὰ χαριέστατα τῶν ἐρραψῳδημένων
αὐτῷ, τί σοι ἐκεῖνο δοκεῖ, ὁπόταν περὶ τῆς αἰχ-
μαλώτου λέγῃ τῆς Βρισηΐδος, ὅτι χρυσῇ Α-
φροδίτῃ ἰκέλη, ἐπένθει τὸν Πάτροκλον. εἶτα
μετὰ μικρόν, ὡς οὐχ ἱκανὸν εἰ μόνῃ τῇ Ἀφρο-
δίτῃ ἐοικυῖα ἔσται, εἶπε δ' ἄρα φησὶ κλαίουσα
γυνὴ εἰκυῖα θεῇσιν. ὁπόταν οὖν τοιαῦτα λέγῃ, μι-
σεῖς κἀκεῖνον, καὶ ἀπορρίπτεις τὸ βιβλίον, ἢ δί-
δως αὐτῷ ἐλευθεριάζειν ἐν τῷ ἐπαίνῳ. ἀλλὰ
κἂν σὺ μὴ δῷς, ὅτι τοσοῦτος αἰὼν δέδωκεν,
οὐδ' ἔστιν ὅστις αὐτὸν ἐπὶ τούτῳ ᾐτιάσατο, οὐ-
δὲ ὁ μαστίξαι τολμήσας αὐτοῦ τὴν εἰκόνα, οὐδὲ
ὁ τὰ νόθα ἐπισημηνάμενος τῶν ἐπῶν ἐν τῇ παρα-
γραφῇ τῶν ὀβελῶν. εἶτα ἐκείνῳ μὲν ἐφεθήσε-
ται βάρβαρον γυναῖκα, καὶ ταῦτα, κλαίουσαν
τῇ χρυσῇ Ἀφροδίτῃ εἰκάσαι. ἐγὼ δ', ἵνα μὴ τὸ
κάλλος εἴπω, διότι μὴ ἀνέχῃ ἀκούουσα, οὐκ
ἂν παραβάλλοιμι εἰκόσι θεῶν γυναῖκα φαι-
δράν, καὶ μειδιῶσαν τὰ πολλά. ὅπερ θεοῖς

εἰρημένα. Πο. οὐκ οἶδα εἴ μοι ἔσται δυνατὸν ἔτι ὦ Λυκῖνε. μακρὰ γὰρ εἴρηταί σοι καὶ ταῦτα, καὶ ὑπὲρ τὸ ὕδωρ τὸ ἐκχυνόμενον. πειράσομαι δ' ὅμως ἐπιμνησθῆναι αὐτῶν. καὶ ὡς ὁρᾷς, ἤδη ἀποσοβῶ παρ' αὐτήν, ἐπιβυσάμενος τὰ ὦτα, ὡς μή τι παρεμπεσὸν ἄλλο συγχέῃ τὴν τάξιν αὐτῶν, εἶτά μοι συρίττεσθαι συμβῇ πρὸς τῶν θεατῶν. Λυ. αὐτῷ σοὶ μελήσει ὦ Πολύστρατε, ὅπως ἄριστα ὑποκρίνῃ. ἐγὼ δέ, ἐπείπερ ἅπαξ σοι τὸ δρᾶμα παραδέδωκα, νῦν μὲν ἐκ ποδῶν ἀποστήσομαι. ὁπόταν δὲ τὰς ψήφους ἀνακηρύττωσι τῶν κριτῶν, τότε ἤδη καὶ αὐτὸς παρέσομαι, ὀψόμενος ὁποῖόν τι τὸ τέλος τοῦ ἀγῶνος ἔσται.

## ΤΟΞΑΡΙΣ, Η ΦΙΛΙΑ.

### ΜΝΗΣΙΠΠΟΣ.

ΤΙ φὴς ὦ Τόξαρι, θύετε Ὀρέστῃ, καὶ Πυλάδῃ ὑμεῖς οἱ Σκύθαι, καὶ θεοὺς εἶναι πεπιστεύκατε αὐτούς; Τό. θύομεν ὦ Μνήσιππε, θύομεν, οὐ μὴν θεούς γε οἰόμενοι εἶναι, ἀλλὰ ἄνδρας ἀγαθούς. Μνή. νόμος δὲ ὑμῖν καὶ ἀνδράσιν ἀγαθοῖς ἀποθανοῦσι θύειν, ὥσπερ θεοῖς; Τό. οὐ μόνον, ἀλλὰ καὶ ἑορταῖς, καὶ πανηγύρεσι τιμῶμεν αὐτούς. Μνή. τί θηρώμενοι παρ' αὐτῶν; οὐ γὰρ δὴ ἐπ' εὐμενείᾳ

θύετε

οὐκοῦν ἐπειδὴ πάντων καλῶν παιδείαν ἡγεῖ-
σθαι ἀνάγκη, καὶ μάλιστα τούτων, ὁπόσα μελε-
τητά, φέρε καὶ ταύτην ἤδη συνιστώμεθα, ποικί-
λην μέν τι, καὶ πολύμορφον, ὡς μὴ δὲ κατὰ
τοῦτ᾽ ἀπολιποίμεθα τῆς πλαστικῆς. καὶ δὴ
γεγράφθω πάντα συλλήβδην τὰ ἐκ τοῦ Ἑλικῶ-
νος ἀγαθὰ ἔχουσα. οὐχ ὥσπερ ἡ Κλειὼ, καὶ ἡ
Πολύμνια, καὶ ἡ Καλλιόπη, καὶ αἱ ἄλλαι, ἕν τι
ἑκάστη ἐπισταμένη, ἀλλὰ πασῶν. καὶ προσέτι,
τὰ Ἑρμοῦ, καὶ Ἀπόλλωνος. ὁπόσα γὰρ ἢ ποιηταὶ
μέτροις διακοσμήσαντες, ἐξενηνόχασιν, ἢ συγ-
γραφεῖς ἱστορήκασιν, ἢ φιλόσοφοι παρῃνέκα-
σι, πᾶσι τούτοις ἡ εἰκὼν κεκοσμήσθω. οὐκ ἄχρι
τοῦ ἐπικεχρῶσθαι μόνον, ἀλλ᾽ ἐς βάθος δευσο-
ποιοῖς τισι φαρμάκοις ἐς κόρον καταβαφεῖσα.
καὶ συγγνώμη, εἰ μηδὲν ἀρχέτυπον ἐπιδεῖξαι
ταύτης δυναίμην τῆς γραφῆς. οὐ γάρ ἐστιν ὅτι
τοιοῦτον ἐν τοῖς πάλαι, παιδείας πέρι μνημονεύ-
εται. πλὴν ἀλλὰ εἴ πη δοκεῖ, ἀνακείσθω καὶ αὕτη.
οὐ μεμπτὴ γὰρ, ὡς ἐμοὶ φαίνεται. Λυ. καλλίστη
μὲν ὦ Πολύστρατε, καὶ πάσαις ταῖς γραμμαῖς
ἀπηκριβωμένη. Πο. μετὰ δὲ ταύτην, ἡ τῆς σο-
φίας, καὶ συνέσεως εἰκὼν γραπτέα. δεήσει δὲ ἡ-
μῖν ἐνταῦθα πολλῶν τῶν παραδειγμάτων, ἀρ-
χαίων τῶν πλείστων, ἑνὸς μὲν καὶ αὐτοῦ ἰωνικοῦ·



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γραφεῖς δὲ, καὶ δημιουργοὶ αὐτοὶ, Αἰσχίνης, Σωκράτους ἑταῖρος, καὶ αὐτὸς Σωκράτης, μιμηλότατοι τεχνιτῶν ἁπάντων, ὅσῳ καὶ μετ' ἔρωτος ἔγραφον. τὴν δὲ ἐκ τῆς Μιλήτου ἐκείνην ἀσπασίαν, ἣ καὶ ὁ Ὀλύμπιος θαυμασιώτατος καὶ αὐτὸς, συνῆν, οὐ φαῦλον συνέσεως παράδειγμα προθέμενον, ὁπόσον ἐμπειρίας πραγμάτων, καὶ ὀξύτητος ἐς τὰ πολιτικὰ, καὶ ἀγχινοίας, καὶ δριμύτητος ἐκείνῃ προσῆν, ταῦτα πάντα ἐπὶ τὴν ἡμετέραν εἰκόνα μεταγάγωμεν ἀκριβεῖ τῇ στάθμῃ. πλὴν ὅσον ἐκείνη μὲν ἐν μικρῷ πινακίῳ ἐγέγραπτο, αὕτη δὲ κολοσσιαία τὸ μέγεθός ἐστι. ΛΥΚΙ. πῶς τοῦτο φῄς; ΠΟ. ὅτι ὦ Λυκῖνε, οὐκ ἰσομεγέθεις εἶναί φημι τὰς εἰκόνας, ὁμοίας οὔσας. οὐ γὰρ ἴση, οὐδὲ ἐγγὺς Ἀθηναίων ἡ τότε πολιτεία, καὶ ἡ παροῦσα τῶν Ῥωμαίων δύναμις. ὥστε εἰ καὶ τῇ ὁμοιότητι ἡ αὐτὴ, ἀλλὰ τῷ μεγέθει γε ἀμείνων αὕτη, ὡς ἂν ἐπὶ πλατυτάτου πίνακος καταγεγραμμένη. δεύτερον δὲ καὶ τρίτον παράδειγμα, Θεανώ τε ἐκείνη, καὶ ἡ Λεσβία μελοποιὸς, καὶ Διοτίμα ἐπὶ ταύταις. ἡ μὲν, τὸ μεγαλόνουν, ἡ Θεανὼ, συμβαλλομένη εἰς τὴν γραφήν. ἡ Σαπφὼ δὲ, τὸ γλαφυρὸν τῆς προαιρέσεως. τῇ Διοτίμᾳ δὲ, οὐχ ἃ Σωκράτης ἐπῄνεσεν αὐτὴν,

ἐοικυῖα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐοικυῖα ἔσται μόνον, ἀλλὰ καὶ τὴν ἄλλην συνεσίν τε, καὶ συμβουλίαν. τοιαύτη σοι καὶ αὐτὴ Λυκῖνε, ἀνακείσθω ἡ εἰκών. ΛΥΚ. νὴ Δί' ὦ Πολύστρατε, θαυμάσιος οὖσα. σὺ δὲ, ἄλλας γράφε, τὰς περὶ χρηστότητος ὦ ἑταῖρε, καὶ φιλανθρωπίας, ἣ τὸ ἥμερον ἐμφανίζει τοῦ τρόπου, καὶ πρὸς τοὺς δεομένους προσηνές. ΠΟ. εἰκάσθω τοίνυν καὶ αὐτὴ Θεανοῖ τε ἐκείνῃ τῇ Ἀντήνορος, καὶ Ἀρήτῃ, καὶ τῇ θυγατρὶ αὐτῆς τῇ Ναυσικάᾳ, καὶ εἴ τις ἄλλη ἐν μεγέθει πραγμάτων ἐσωφρόνησε πρὸς τὴν τύχην. ἑξῆς δὲ μετὰ ταύτην, ἡ τῆς σωφροσύνης αὐτῆς γεγράφθω, καὶ τῆς πρὸς τὸν συνόντα εὐνοίας, ὡς κατὰ τὴν τοῦ Ἰκαρίου μάλιστα εἶναι τὴν σώφρονα, καὶ τὴν περίφρονα ὑπὸ τοῦ Ὁμήρου περιγεγραμμένην. τοιαύτην γὰρ τὴν τῆς Πηνελόπης εἰκόνα ἐκεῖνος ἔγραψεν, ἢ καὶ νὴ Δία κατὰ τὴν ὁμώνυμον αὐτῆς, τὴν τοῦ Ἀβραδάτα, ἧς μικρὸν ἔμπροσθεν ἐμνημονεύσαμεν. ΛΥ. παγκάλην καὶ ταύτην ὦ Πολύστρατε, ἀπειργάσω. καὶ σχεδὸν ἤδη τέλος σοι ἔχουσιν αἱ εἰκόνες. ἅπασαν γὰρ ἐπελήλυθας τὴν ψυχήν, καὶ τὰ μέρη ἐπαινῶν. ΠΟ. οὐχ ἅπασαν. ἔτι γὰρ τὰ μέγιστα τῶν ἐπαίνων ὑπολείπεται. λέγω δὲ τὸ ἐν τηλικούτῳ ὄγκῳ γενομένην αὐτήν, μήτε τύφον ἐπὶ τῇ εὐπραξίᾳ περιβάλλεσθαι,

μήτε ὑπὲρ τὸ ἀνθρώπινον μεῖζον ἐπαρθῆναι, πιστεύσασαν τῇ τύχῃ. φυλάττειν δὲ ἐπὶ τὸ ἴσον τίθεν ἑαυτὴν, μηδὲν ἀπειρόκαλον, ἢ φορτικὸν φρονοῦσαν, καὶ τοῖς προσιοῦσι δημοτικῶς τε, καὶ ἐκ τοῦ ὁμοίου προσφέρεσθαι, καὶ δεξιώσεις, καὶ φιλοφροσύνας φιλοφρονεῖσθαι. τοσούτῳ ἡδίους τοῖς προσομιλοῦσιν, ὅσῳ καὶ τὰ μείζονος ὅμως γενόμεναι, οὐδὲν τραγικὸν ἐμφαίνουσιν, ὡς ὁπόσοι τῷ μέγα δύνασθαι μὴ πρὸς ὑπεροψίαν, ἀλλὰ καὶ πρὸς εὐποιΐαν, ἐχρήσαντο, οὗτοι καὶ ἄξιοι μάλιστα τῶν παρὰ τῆς τύχης δοθέντων ἀγαθῶν ὤφθησαν. καὶ μόνοι ἂν οὗτοι δικαίως τὸ ἐπίφθονον διαφύγοιεν. οὐδεὶς γὰρ ἂν φθονήσειε τῷ ὑπερέχοντι, ἢν μετριάζοντα ἐπὶ τοῖς εὐτυχήμασιν αὐτὸν ὁρᾷ, καὶ μὴ κατὰ τὴν Ομήρου ἄτην ἐκείνην ἐπ' ἀνδρῶν κράατα βεβηκότα, καὶ τὸ ὑποδεέστερον πατοῦντα. ὅπερ οἱ ταπεινοὶ τὰς γνώμας, πάσχουσιν ἀπειροκαλίᾳ τῆς τύχης, ἐπειδὰν αὐτοὺς ἡ τύχη μηδὲν τοιοῦτον ἐλπίζοντας, ἄφνω ἀναβιβάσῃ ἐς ὑψηλόν τι, καὶ μετάρσιον ὄχημα, οὐ μένουσιν ἐπὶ τῶν ὑπαρχόντων, οὐδ' ἀφορῶσι κάτω, ἀλλ' ἀεὶ πρὸς τὸ ἄναντες βιάζονται. τοιγαροῦν ὥσπερ ὁ Ἴκαρος, τακέντος αὐτοῖς τάχιστα τοῦ κηροῦ, καὶ τῶν πτερῶν περιῤῥυέντων,

τῶν, γέλωτα ὀφλισκάνουσιν ἐπὶ κεφαλὴν εἰς πελάγη, καὶ κλύδωνα ἐμπίπτοντες. ὅσοι δὲ κατὰ τὸν Δαίδαλον ἐχρήσαντο τοῖς πτεροῖς, καὶ μὴ πάνυ ἐπήρθησαν, εἰδότες ὅτι ἐκ κηροῦ ἦν αὐτοῖς πεποιημένα, ἐταμιεύσαντο δὲ πρὸς τὸ ἀνθρώπειον τὴν φοράν, καὶ ἠγάπησαν ὑψηλότεροι μόνον τῶν κυμάτων ἐνεχθέντες, ὥστε μέν τοι νοτίζεσθαι αὐτοῖς ἀεὶ τὰ πτερά, καὶ μὴ παρέχειν αὐτὰ μόνῳ τῷ ἡλίῳ, οὗτοι δὲ ἀσφαλῶς τε ἅμα, καὶ σωφρόνως διέπτησαν. ὅπερ καὶ ταύτην ἄν τις μάλιστα ἐπαινέσειε. τοιγαροῦν καὶ ἄξιον παρὰ πάντων ἀπολαμβάνειν τὸν καρπὸν, εὐχομένων ταῦτά τε αὐτῇ παραμεῖναι τὰ πτερὰ, καὶ ἐπὶ πλεῖον ἐπιῤῥεῖν τἀγαθά.

Λυκῖ. καὶ οὕτως ὦ Πολύστρατε, γιγνέσθω. ἀξία γὰρ οὐ τὸ σῶμα μόνον, ὥσπερ ἡ Ἑλένη καλὴ οὖσα, καλλίων δὲ καὶ ἐρασμιωτέρα ὑπ' αὐτῶν τὴν ψυχὴν σκέπουσα. ἔπρεπε δὲ καὶ βασιλεῖ τῷ μεγάλῳ, χρηστῷ καὶ ἡμέρῳ ὄντι, καὶ τοῦτο μετὰ τῶν ἄλλων ἀγαθῶν, ὁπόσα ἐστὶν αὐτῷ, εὐδαιμονῆσαι, ὡς ἐπ' αὐτοῦ καὶ φῦναι γυναῖκα τοιαύτην, καὶ συνοῦσαν αὐτῷ, ποθεῖν αὐτόν. οὐ γὰρ μικρὸν τοῦτο εὐδαίμονημα γυνὴ, περὶ ἧς ἄν τις εὐλόγως τὸ ὁμηρικὸν ἐκεῖνο εἴποι, χρυσίῃ μὲν Ἀφροδίτῃ ἐρίζειν τὸ

κάλλος, ἔργα δὲ, αὐτὴν Ἀθηνᾷ ἰσοφαρίζειν. γυναικῶν γὰρ συνόλως οὐκ ἄν τις παραβληθείη αὐτῇ, οὐ δέμας, οὐδὲ φυὴν φησὶν Ὅμηρος, οὔτ᾽ ἂρ φρένας, οὔτε τι ἔργα. Πο. ἀληθῆ φῂς ὦ Λυκῖνε. ὥστε εἰ δοκεῖ, ἀναμίξαντες ἤδη τὰς εἰκόνας, ἥν τε σὺ ἔπλασας, τὴν τοῦ σώματος, καὶ ἃς ἐγὼ τῆς ψυχῆς ἐγραψάμην, μίαν ἐξ ἁπασῶν συνθέντες, βιβλίον καταθέμενοι, παρέχωμεν ἅπασι θαυμάζειν, τοῖς τε νῦν οὖσι, καὶ τοῖς ἐν ὑστέρῳ ἐσομένοις. μονιμωτέρα γοῦν τῶν Ἀπελλοῦ, καὶ Παρρασίου, καὶ Πολυγνώτου γένοιτ᾽ ἂν, καὶ αὐτῇ ἐκείνῃ παρὰ πολὺ τῶν τοιούτων κεχαρισμένη, ὅσῳ μὴ ξύλου, καὶ κηροῦ, καὶ χρωμάτων πεποίηται, ἀλλὰ ταῖς παρὰ μουσῶν ἐπινοίαις εἴκασται, ἥπερ ἀκριβεστάτη εἰκὼν γένοιτ᾽ ἂν, σώματος κάλλος, καὶ ψυχῆς ἀρετὴν ἅμα ἐμφανίζουσα.

## ΥΠΕΡ ΤΩΝ ΕΙΚΟΝΩΝ.

Ἐγώ σοι ὦ Λυκῖνε φησὶν ἡ γυνὴ, τὰ μὲν ἄλλα, πολλὴν εἶδον τὴν εὔνοιαν πρὸς ἐμὲ, καὶ τιμὴν ἐκ τοῦ συγγράμματος. οὐ γὰρ ἂν οὕτως ὑπερεπῄνεις, εἰ μὴ καὶ μετ᾽ εὐνοίας συνέγραφες. τὸ δὲ ἐμὸν ὡς ἂν εἰδῇς, τοιόνδε ἐστίν. οὐδὲ ἄλλως μὲν χαίρω τοῖς κολακικοῖς τὸν τρόπον, ἀλλά μοι δοκοῦσιν οἱ τοιοῦτοι,

γόητες

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γόντες εἰσίν, καὶ ἥκιστα ἐλευθέριοι τὴν φύσιν. ἐν δὲ τοῖς ἐπαίνοις μάλιστα, ὅταν τις ἐπαινῇ με φορτικῶς, καὶ ὑπερμέτρους ποιούμενος τὰς ὑπερβολάς, ἐρυθριῶ τε, καὶ ὀλίγου δεῖν ἐπιφράττομαι τὰ ὦτα. καὶ τὸ πρᾶγμα χλεύῃ μᾶλλον, ἢ ἐπαίνῳ ἐοικέναι μοι δοκεῖ. μέχρι γάρ τινος, οἱ ἔπαινοι ἀνεκτοί εἰσιν, εἰς ὅσον ἂν ὁ ἐπαινούμενος γνωρίζῃ ἕκαστον τῶν λεγομένων προσὸν ἑαυτῷ. τὸ δὲ ὑπὲρ τοῦτο, ἀλλότριον ἤδη, καὶ κολακεία σαφής. καίτοι πολλοὺς οἶδα ἔφη χαίροντας, εἴ τις αὐτοὺς ἐπαινῶν, καὶ ἃ μὴ ἔχουσι προσάπτοι τῷ λόγῳ· οἷον, εἰ γέροντας ὄντας, εὐδαιμονίζοι τῆς ἀκμῆς. ἢ ἀμόρφοις οὖσι, τὸ Νιρέως κάλλος, ἢ τὸ Φάωνος περιθείη. οἴονται γὰρ ὑπὸ τῶν ἐπαίνων ἀλλαγήσεσθαι σφίσι καὶ τὰς μορφάς, καὶ αὐτοὶ ἀνηβήσειν αὖθις, ὥσπερ ὁ Πελίας ᾤετο. τὸ δέ, οὐχ οὕτως ἔχει. πολλοῦ γὰρ ἂν ὁ ἔπαινος ἦν τίμιος, εἴ τι καὶ ἔργον αὐτοῦ ἀπολαῦσαι δυνατὸν ἦν ἐκ τῆς τοιαύτης ὑπερβολῆς. νῦν δέ, ὅμοιόν μοι δοκοῦσιν ἔφη πάσχειν, ὥσπερ ἂν εἴ τινι ἀμόρφῳ, προσωπεῖον εὔμορφον ἐπιθείη τις φέρων. ὁ δέ, μέγα ἐπὶ τῷ κάλλει φρονοίη. καὶ ταῦτα, περιαιρετῷ ὄντι, καὶ ὑπὸ τοῦ τυχόντος συντριβῆναι δυναμένῳ. ὅτε καὶ γελοιότερος ἂν γένοιτο. ἀπρόσωπος φανείς, οἷος ὤν, ὑφ'



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρίῳ κέκρυπται. ἢ καὶ νὴ Δί' εἴ τις ὑποδησάμενος κοθόρνους, μικρὸς αὐτὸς ὤν, ἐρίζοι περὶ μεγέθους τοῖς ἀπὸ ἰσοπέδου ὅλῳ πήχει ὑπερέχουσιν. ἐμέμνητο δὲ καὶ τοιούτου τινός. ἔφη γυναῖκά τινα τῶν ἐπιφανῶν, τὰ μὲν ἄλλα, καλὴν, καὶ κόσμιον, μικρὰν δὲ, καὶ πολὺ τοῦ συμμέτρου ἀποδέουσαν, ἐπαινεῖσθαι πρός τινος ποιητοῦ ἐν ᾄσματι, τά τε ἄλλα, καὶ ὅτι καλή τε, καὶ μεγάλη ἦν αἰγείρῳ δ' αὐτῆς εἴκαζεν ἐκεῖνος τὸ εὐμηκές τε, καὶ ὄρθιον, τὴν μὲν δὴ γάννυσθαι τῷ ἐπαίνῳ, καθάπερ αὐξανομένην πρὸς τὸ μέλος, καὶ τὴν χεῖρα ἐπισείειν. τὸν ποιητήν τε πολλάκις τὸ αὐτὸ ᾄδειν. ὁρῶντα ὡς ἥδοιτο ἐπαινουμένη. ἄχρι δὴ τῶν παρόντων, τινὰ προσκύψαντα πρὸς τὸ οὖς, εἰπεῖν αὐτῷ, πέπαυσο ὦ οὗτος, μὴ καὶ ἀναστῆναι ποιήσῃς τὴν γυναῖκα. παραπλήσιον δὲ, καὶ μακρῷ τούτου γελοιότερον Στρατονίκην ποιῆσαι τὴν Σελεύκου γυναῖκα. τοῖς γὰρ ποιηταῖς ἀγῶνα προθεῖναι αὐτὴν περὶ ταλάντου, ὅστις ἂν ἄμεινον ἐπαινέσαι αὐτῆς τὴν κόμην. καίτοι φαλακρὰ ἐτύγχανεν οὖσα, καὶ οὐδὲ ὅσας ὀλίγας τὰς ἑαυτῆς τρίχας ἔχουσα. καὶ ὅμως οὕτω διακειμένη τὴν κεφαλὴν, ἁπάντων εἰδότων ὅτι ἐκ νόσου μακρᾶς τοῦτ' ἐπεπόνθει, ἤκουε τῶν καταράτων ποιητῶν ὑακινθίνας τὰς τρίχας αὐτῆς λεγόντων, καὶ οὔλους

τινὰς

τινὰς πλοκάμους ἀναπλεκόντων, καὶ σελίνοις τοὺς μηδὲ ὅλως ὄντας εἰκαζόντων. ἁπάντων οὖν τῶν τοιούτων κατεγέλα, τῶν παρεχόντων αὑτοὺς τοῖς κόλαξι. καὶ προσετίθει δὲ ὅτι μὴ ἐν ἐπαίνοις μόνον, ἀλλὰ καὶ ἐν γραφαῖς τὰ ὅμοια πολλοὶ κολακεύεσθαί τε, καὶ ἐξαπατᾶσθαι θέλουσι. χαίρουσι γοῦν ἔφη τῶν γραφέων ἐκείνοις μάλιστα, οἳ ἂν πρὸς τὸ εὐμορφότερον αὐτοὺς εἰκάσωσιν. εἰσὶ δέ τινας, οἳ καὶ προστάττουσι τοῖς τεχνίταις, ἢ ἀφελεῖν τι τῆς ῥινός, ἢ μελάντερα γράψασθαι τὰ ὄμματα, ἢ ὅ,τι ἂν ἄλλο ἐπιθυμήσωσιν, αὐτοῖς προσεῖναι. εἶτα λανθάνειν αὑτοὺς ἀλλοτρίας εἰκόνας στεφανοῦντας, καὶ οὐδὲν αὐτοῖς ἐοικυίας. ταῦτα δὲ καὶ τὰ τοιαῦτα ἔλεγε, τὰ μὲν ἄλλα ἐπαινοῦσα τοῦ συγγράμματος, ἓν δὲ τοῦτο οὐ φέρουσα, ὅτι θεαῖς αὐτὴν, Ἥρᾳ, καὶ Ἀφροδίτῃ εἴκασας. ὑπὲρ ἐμὲ γάρ φησι, μᾶλλον δὲ ὑπὲρ ἅπασαν ἀνθρωπίνην φύσιν τὰ τοιαῦτα. ἐγὼ δέ σε οὐδ' ἐκείνας ἠξίουν, ταῖς ἡρωΐναις παραθεωρεῖν με, Πηνελόπῃ, καὶ Ἀρήτῃ, καὶ Θεανοῖ, οὐχ ὅπως θεῶν ταῖς ἀρίσταις. καὶ γὰρ αὖ καὶ τόδε πάνυ ἔφη, τὰ πρὸς τοὺς θεοὺς, δεισιδαιμόνως, καὶ ψοφοδεῶς ἔχω. δέδια τοίνυν μὴ κατὰ τὴν Κασιέπειαν εἶναι δόξω, τὸν τοιοῦτον ἔπαινον προσιεμένη. καί τοι Νηρεΐσιν ἐ-

κείνη αὐτ' ἐξετάζοιτο. Ἥρα δὲ, καὶ Ἀφροδίτην ἔσεβεν. ὥστε ὦ Λυκῖνε, μεταγράψαι σε τὰ τοιαῦτα ἐκέλευσεν. ἡ αὐτὴ μὲν μαρτύρεται τὰς θεὰς, ὡς ἀκούσῃς αὐτῇ γέγραφας. σὲ δὲ εἰδέναι ὅτι ἀνιάσει αὐτὴν τὸ βιβλίον, οὕτω τὸ μὲν νοσοῦν, ὥσπερ νῦν σοι διάκειται, οὐ μάλα εὐσεβῶς, οὐδὲ ὁσίως τὰ πρὸς τοὺς θεούς. ἐδόκει τε ἀσέβημα ἑαυτῇ, καὶ πλημμέλημα οὐ μικρὸν δόξειν, εἰ ὑπομένοι τῇ ἐν Κνίδῳ, καὶ τῇ ἐν κήποις ὁμοία λέγεσθαι. καί σε ὑπεμίμνησκε τῶν τελευταίων ἐν τῷ βιβλίῳ περὶ αὐτῆς εἰρημένων, ὅτι μετρίαν, καὶ ἄτυφον ἔφης αὐτὴν, οὐκ ἀνατεινομένην ὑπὲρ τὸ ἀνθρώπινον μέτρον, ἀλλὰ πρόσγειον τὴν πτῆσιν ποιουμένην. ὁ δὲ, ταῦτα εἰπὼν, ὑπὲρ αὐτὸν τὸν οὐρανὸν ἀναβιβάζεις τὴν γυναῖκα, ὡς καὶ θεαῖς αὐτὴν ἀπεικάζειν. ἠξίου δέ σε μὴ δὲ ἀξυνετωτέραν αὐτὴν ἡγεῖσθαι τοῦ Ἀλεξάνδρου. ὃς τοῦ ἀρχιτέκτονος ὑπισχνουμένου τὸν Ἄθω ὅλον μετασχηματίσειν, καὶ μορφώσειν πρὸς αὐτὸν, ὡς τὸ ὄρος ἅπαν εἰκόνα γενέσθαι τοῦ βασιλέως, ἔχοντα δύο πόλεις ἐν ταῖν χεροῖν, οὐ προσήκατο τὴν τερατείαν τῆς ὑποσχέσεως, ἀλλ' ὑπὲρ αὐτὸν ἡγησάμενος τὸ τόλμημα, ἔπαυσε τὸν ἄνθρωπον, οὐ πιθανῶς κολοσσοὺς ἀναπλάττοντα, καὶ τὸν Ἄθω κατὰ χώ-

ραν

ραν ἐᾶν ἐκέλευσε, μὴ δὲ κατασμικρύνειν ὀρθῶς οὕτω μέγα πρὸς μικροῦ στόματος ὁμοιότητα. ἐπῄνει δὲ τὸν Ἀλέξανδρον τῆς μεγαλοψυχίας, καὶ ἀνδριάντα μείζω τοῦ Ἄθω ἔλεγεν αὐτοῦ ἀνεστάναι, ἐν ταῖς τῶν ἀεὶ μεμνησομένων διανοίαις. οὐ γὰρ μικρᾶς εἶναι γνώμης ὑπεριδεῖν οὕτω παραδόξου τιμῆς. καὶ ἑαυτὴν τὴν τὸ μὲν πλάσμα σου ἐπαινεῖν, καὶ τὴν ἐπίνοιαν τῶν εἰκόνων, μὴ γνωρίζειν δὲ τὴν ὁμοιότητα. μὴ γὰρ εἶναι τῶν τηλικούτων ἀξίαν, μὴ δὲ ἐγγὺς, ὅτι μὴ δὲ ἄλλην τινὰ γυναῖκα γε οὖσαν. ὥστε ἀφίκησί σοι ταύτην τὴν τιμὴν, καὶ προσκυνεῖ σου τὰ ἀρχέτυπα παραδείγματα. σὺ δὲ, τὰ ἀνθρώπινα ταῦτα ἐπαίνει αὐτὴν, μὴ δὲ ὑπὲρ τὸν πόδα ἔστω τὸ ὑπόδημα, μὴ καὶ ἐπιστομίσῃ με φησὶν ἐμποδὼν παροῦσαν αὐτῷ. κἀκεῖνο δέ σοι εἰπεῖν ἐνετείλατο. ἀκούω ἔφη πολλῶν λεγόντων. εἰ δὲ ἀληθὲς ὑμεῖς οἱ ἄνδρες ἐστὲ, μὴ δ᾽ Ὀλυμπίασιν ἐξεῖναι τοῖς νικῶσι μείζους τῶν σωμάτων ἀνεστάναι τοὺς ἀνδριάντας, ἀλλ᾽ ἐπιμελεῖσθαι τοὺς Ἑλλανοδίκας, ὅπως μὴ δὲ εἷς ὑπερβάληται τὴν ἀλήθειαν, καὶ τὴν ἐξέτασιν τῶν ἀνδριάντων ἀκριβεστέραν γίνεσθαι τῆς τῶν ἀθλητῶν ἐγκρίσεως. ὥστε ὅρα ἔφη μὴ αἰτίαν λάβωμεν ψεύδεσθαι ἐν τῷ

μείζω. κατὰ ἡμῶν ἀναστρέψωσιν οἱ Ἑλλανοδί-
και τὴν εἰκόνα. ταῦτα μὲν ἔλεγεν ἐκείνη. σὺ δὲ
σκόπει ὦ Λυκῖνε, ὅπως μετακοσμήσῃς τὸ βι-
βλίον, καὶ ἀφαιρήσῃς τὰ τοιαῦτα, μηδὲ σφα-
λῇς πρὸς τὸ θεῖον, ὡς ἐκείνη πάνυ γε αὐτὰ ἐδυ-
σχέραινε, καὶ ὑπέφριττε μεταξὺ ἀναγινωσκομέ-
νων, καὶ παρῃτεῖτο τὰς θεὰς ἵλεως εἶναι αὐ-
τῇ. καὶ συγγνώμη, εἰ γυναικεῖόν τι ἔπαθε. καί-
τοι εἰ χρὴ τἀληθὲς εἰπεῖν, καὶ αὐτῷ ἐμοὶ τοιοῦ-
τόν τι εἰπεῖν ἔδοξε. τὸ μὲν γὰρ πρῶτον ἀκούων,
οὐδὲν ἐπλημμέλησα, ἐνορῶν τοῖς γεγραμμέ-
νοις. ἐπεὶ δὲ ἐκείνη ἐπεσημήνατο, καὶ αὐτὸς ἄρ-
χομαι τὰ ὅμοια γινώσκειν περὶ αὐτῶν. καὶ πα-
ραπλήσιόν τι ἔπαθον, οἷόν περ ἐπὶ τῶν ὁρωμένων
πάσχομεν. ἢν μὲν πάνυ ἐγγύθεν σκοπῶμέν τι,
καὶ ὑπὸ τῶν ὀφθαλμῶν αὐτῶν, οὐδὲν ἀκριβὲς
διαγινώσκομεν. ἢν δὲ ἀποστάντες, ἐκ τοῦ συμ-
μέτρου διαστήματος ἴδωμεν, ἅπαντα σαφῶς κα-
ταφαίνεται τά τε εὖ, καὶ τὰ μὴ οὕτως ἔχοντα.
τὸ δὴ ἄνθρωπον οὖσαν, Ἀφροδίτῃ καὶ Ἥρᾳ εἰκά-
σαι, τί ἄλλο, ἢ ἄντικρυς ἐστὶν εὐτελίζειν τὰς
θεάς; ἐν γὰρ τοῖς τοιούτοις, οὐχ οὕτω τὸ μικρὸν
μεῖζον γίνεται τῇ παραθέσει, ὡς τὸ μεῖζον ἀπο-
σμικρύνεται, πρὸς τὸ ταπεινότερον κατασπώ-
μενον. οἷον, εἴ τινες ἅμα βαδίζοιεν, ὁ μὲν μέ-
γιστος,

γεθος, ὁ δέ, πάνυ, τὴν ἡλικίαν χαμαίζηλος, εἶ
τα δήσειεν ἀπισῶσαι αὐτούς, ὡς μὴ ὑπερέχειν
θατέρου τὸν ἕτερον, οὔτοι βραχυτέρου ὑπερα-
νατεινομένου τοῦτο γένοιτ' ἄν, κἂν ὅτι μάλιστα
ἀκροποδητὶ ἐπεγείρῃ ἑαυτόν, ἀλλ' εἰ μέλλουσιν
ὁμήλικες φανεῖσθαι, ὁ μείζων ἐκεῖνος ἐπικύ-
ψει, καὶ ταπεινότερον ἀποφανεῖ ἑαυτόν. ὡσαύτως
δὲ καὶ ἐν ταῖς τοιαύταις εἰκόσιν, οὐχ οὕτως
ἄνθρωπος μείζων γίνεται, ἤν τις αὐτὸν θεῷ ἀ-
πεικάζῃ, ὡς τὸ θεῖον ἀνάγκη ἐλαττοῦσθαι πρὸς
τὸ ἐνδέον ἐπικλώμενον. καὶ εἰ μὲν ὑπὸ ἀπορείας
τῶν ἐπιγείων, ἐς τὰ οὐράνια ἐκτείνοιτό τις τὸν
λόγον, ἧττονα ἂν ὁ τοιοῦτος αἰτίαν ἔχοι ὑ-
πὲρ ἀσεβείας αὐτὸ δρᾶν. σὺ δὲ τοσαῦτα ἔχων καλ-
λη γυναικῶν, Ἀφροδίτῃ καὶ Ἥρᾳ εἰκάσαι αὐ-
τὴν ἐτόλμησας, οὐδὲν δέον. ὥστε τὸ ἄγαν τοῦτο,
καὶ ἐπίφθονον, ἀφαίρει ὦ Λυκῖνε. οὐ γὰρ πρὸς τοῦ
σοῦ τρόπου τὸ τοιοῦτον. ὃς οὐδὲ ἄλλως ῥᾴδιος
πρὸς τοὺς ἐπαίνους, καὶ πρόχειρος ὤν, ἐτύγχα-
νες. ἀλλὰ νῦν οὐκ οἶδ' ὅπως ἀθρόαν πεποίηκας
τὴν μεταβολήν, ἐπιδαψιλευόμενος. καὶ ἐκ τοῦ
τέως φειδομένου, ἄσωτος ἐν τοῖς ἐπαίνοις ἀ-
ναπέφηνας. ἀλλὰ μὴ δὲ ἐκεῖνο αἰσχυνθῇς, εἰ
μεταρυθμίσεις τὸν λόγον ἤδη διαδεδομένον. ἐπεὶ
καὶ φειδίαν φασὶν οὕτω ποιῆσαι, ὁπότε τὸν εἰργά-

σάτο τοῖς Ἠλείοις τὸν Δία. στάντα γὰρ αὐτὸν κατόπιν τῶν θυρῶν, ὁπότε τὸ πρῶτον ἀναπετάσας ἐπεδείκνυε τὸ ἔργον, ἐπακούειν τῶν αἰτιωμένων τι, ἢ ἐπαινούντων. ᾐτιᾶτο δέ, ὁ μὲν, τὴν ῥῖνα, ὡς παχεῖαν. ὁ δέ, ὡς ἐπιμηκέστερον τὸ πρόσωπον. ὁ δὲ ἄλλος, ἄλλο τι. εἶτ' ἐπειδὴ ἀπηλλάγησαν οἱ θεαταί, αὖθις τὸν Φειδίαν ἐγκλεισάμενον ἑαυτὸν, ἐπανορθοῦν, καὶ ῥυθμίζειν τὸ ἄγαλμα πρὸς τὸ τοῖς πλείστοις δοκοῦν. οὐ γὰρ ἡγεῖτο μικρὰν εἶναι συμβουλὴν δήμου τοσούτου, ἀλλ' ἀεὶ ἀναγκαῖον ὑπάρχειν τοὺς πολλοὺς ὀξυτιότερον ὁρᾶν τοῦ ἑνός, κἂν Φειδίας ᾖ. ταῦτά σοι ἀπ' ἐκείνης κομίζω, καὶ αὐτὸς παραινῶ, ἑταῖρός τε, καὶ εὔνους ὤν. Λυ. Πολύστρατε, οἷος ὢν ῥήτωρ ἐλελήθεις με. ῥῆσιν γοῦν οὕτω μακρὰν, καὶ κατηγορίαν τοσαύτην διεξενήνοχας κατὰ τοῦ συγγράμματος, ὥστε μὴ ἐλπίδα μοι ἀπολογίας ἔτι καταλείπεσθαι. πλὴν ἀλλ' ἐκεῖνό γε οὐ δικαστικὸν ἐποιήσατε, καὶ μάλιστα σύ, ἐρήμην καταδικάσας τοῦ βιβλίου, μὴ παρόντος αὐτῷ τοῦ συνηγόρου. ῥᾷστον δὲ οἶμαι τοῦτό ἐστι, κατὰ τὴν παροιμίαν, μόνον θέοντα κρατεῖν. ὥστε οὐδὲν θαυμαστὸν, εἰ καὶ ἡμεῖς ἑάλωμεν, οὔτε ὕδατος ἡμῖν ἐγχυθέντος, οὔτε ἀπολογίας ἀποδοθείσης. μᾶλλον δὲ

ὅπερ

τὸ πάντων ἀτοπώτατον, οἱ αὐτοὶ κατήγοροί τε καὶ δικασταὶ ἦτε. πότερα δ' οὖν ἐθέλεις, ἀγαπήσας τοῖς ἐγνωσμένοις ἡσυχίαν ἄγω, ἢ κατὰ τὸν Ἱμεραῖον ποιητὴν, παλινῳδίαν τινὰ συγγράφω; ἢ δώσετέ μοι ἐφέσιμόν τινα γενέσθαι τὴν δίκην; Πο. νὴ Δί' ἤν περ ἔχῃς τι δίκαιον εἰπεῖν. οὐ γὰρ ἀντιδίκοις ὡς σὺ φὴς, ἀλλ' ἐν φίλοις ποιήσῃ τὴν ἀπολογίαν. ἐγὼ δὲ, καὶ συνεξετάζεσθαί σοι ἕτοιμος ὑπὲρ τῆς δίκης. Λυ. ἀλλ' ἐκεῖνο ἀνιαρὸν ὦ Πολύστρατε, ὅτι μὴ ἐκείνης παρούσης, ποιήσομαι τοὺς λόγους. μακρῷ γὰρ ἂν οὕτως ἄμεινον ἦν. νῦν δὲ ἀνάγκη ἀπ' ἐντολῆς ἀπολογήσασθαι. ἀλλ' εἴ μοι τοιοῦτος ἀγγελιαφόρος γένοιο πρὸς αὐτὴν, οἷος παρ' ἐκείνης πρός με γεγένησαι, τολμήσω ἀναρρῖψαι τὸν κύβον. Πο. θάρρει ὦ Λυκῖνε τούτου γε ἕνεκα, ὡς οὐ φαῦλόν με ὑποκριτὴν ἕξων τῆς ἀπολογίας, πειρῶ μέντοι διὰ βραχέων εἰπεῖν, ὡς ἂν μᾶλλον μνημονεύσαιμι. Λυ. ἦ μὴν πάνυ μὲν ἔδει μοι μακρῶν τῶν λόγων, πρὸς οὕτω σφοδρὰν τὴν κατηγορίαν, ὅμως δὲ, σοῦ ἕνεκα ἐπιτεμοῦμαι τὴν ἀπολογίαν. καὶ παρ' ἐμοῦ τοίνυν τάδε αὐτῇ ἀπάγγελλε. Πο. μηδαμῶς ὦ Λυκῖνε. ἀλλ' ὥσπερ αὐτῆς ἐκείνης παρούσης, λέγε τὸν λόγον. εἶτ' ἐγὼ μιμήσομαί σε πρὸς αὐτήν. Λυ. οὐκοῦν ἐπεὶ

λήπτου οὕτω σοι δοκεῖ ὦ Πολύστρατε, ἡ μὲν, πάρεστι, καὶ προείρηκε δηλαδὴ ἐκεῖνα, ὁπόσα σὺ παρ' αὐτῆς ἀπήγγειλας. ἡμᾶς δὲ χρὴ τῶν δευτέρων λόγων ἐνάρχεσθαι. καί τοι, οὐ γὰρ ὀκνήσω πρὸς σὲ εἰπεῖν, ὃ πέπονθα. οὐκ οἶδ' ὅπως φοβερώτερόν μοι τὸ πρᾶγμα πεποίηκας. καὶ ὡς ὁρᾷς, ἱδρῶ τε ἤδη, καὶ δέδοικα, καὶ μονονουχὶ καὶ ὁρᾶν αὐτὴν οἶμαι, καὶ τὸ πρᾶγμα πολλήν μοι τὴν ταραχὴν πεποίηκεν. ἄρξομαι δ' ὅμως. οὐ γὰρ οἷόν τε ἀναδῦναι, ἤδη παρούσης. Πο. Καὶ νὴ Δία πολλὴν τὴν εὐμένειαν ἐπιφαίνει τῷ προσώπῳ. φαιδρὰ γοῦν ὡς ὁρᾷς, καὶ προσηνής. ὥστε θαῤῥῶν λέγε τὸν λόγον. Λυ. ἐγώ σοι ὦ γυναικῶν ἀρίστη, μεγάλα ὡς φῂς, καὶ πέρα τοῦ μέτρου ἐπαινέσασ', οὐχ ὁρῶ ὅτι τηλικοῦτον ἐπῄνεσα, ἡλίκον αὐτὴ σὺ τοῦτο ἐγκώμιον ὑπὲρ σεαυτῆς ἐξενήνοχας, τὴν πρὸς τὸ θεῖον τιμὴν ἐν μεγάλῳ τιθεμένη. σχεδὸν γὰρ ἁπάντων τούτων μεῖζον ὧν εἴρηκα περὶ σοῦ. καὶ συγγνώμη, εἰ μὴ καὶ ταύτην σοι προσέγραψα τὴν εἰκόνα, ὑπ' ἀγνοίας με διαλαθοῦσαν. οὐ γὰρ ἂν ἄλλην πρὸ αὐτῆς ἐγραψάμην. ὥστε ταύτῃ γε οὐχ ὅπως ὑπερβάλλεσθαι τοὺς ἐπαίνους, ἀλλὰ πολὺ καταδεέστερόν μοι δοκῶ τῆς ἀξίας εἰρηκέναι. σκόπει γοῦν ἡλίκον τοῦτο παρέλιπον, ὡς παμμέγεθες

εἰς

εἰς ἐπίδειξιν τρόπου χρηστοῦ, καὶ γνώμης ὀρθῆς, ὡς ὅσοι τὸ θεῖον μὴ ἐν παρέργῳ σέβουσιν, οὗτοι καὶ τὰ πρὸς ἀνθρώπους ἄριστοι ἂν εἶεν. ὥστε εἰ πάντως μετακοσμῆσαι δέοι τὸν λόγον, καὶ τὸ ἄγαλμα ἐπανορθώσασθαι, ἀφελεῖν μὲν οὐκ ἄν τι τολμήσαιμι αὐτοῦ. προσθήσω δὲ καὶ τοῦτο, ὡς τινὰ κεφαλὴν τοῦ παντὸς ἔργου, καὶ κορυφήν. ἐπ' ἐκείνων μέν τοι καὶ πάνυ πολλήν σοι εἰδέναι τὴν χάριν ὁμολογῶ. ἐμοῦ γὰρ ἐπαινέσαντος τὸ μέτριον τοῦ σοῦ τρόπου, καὶ ὅτι μηδὲ σὺ ὑπερπετὲς, μηδὲ τύφου μεστὸν ἐνεποίησέ σοι ὁ περιὼν ὄγκος τῶν πραγμάτων, σὺ τὰ τοιαῦτα αἰτιασαμένη τοῦ λόγου, ἐπιστώσω τοῦ ἐπαίνου τὴν ἀλήθειαν. τὸ γὰρ μὴ προσασπάζειν τὰ τοιαῦτα τῶν ἐγκωμίων. ἀλλ' αἰδεῖσθαι ἐπ' αὐτοῖς, καὶ μείζω ἢ κατὰ σὲ εἶναι λέγειν, μετρίας καὶ δημοτικῆς τινος διανοίας δεῖγμά ἐστι. πλὴν ἀλλ' ὅσῳ περ ἂν πρὸς τὸ ἐπαινεῖσθαι αὐτὸ οὕτω διακειμένη τυγχάνῃς, τοσούτῳ ἀξιωτέραν ὑπερεπαινεῖσθαι ἀποφαίνεις σαυτήν. καὶ σχεδὸν ἐς τὸν τοῦ Διογένους λόγον περιελήλυθέ σοι τὸ πρᾶγμα. ὃς ἐρομένου τινὸς ὅπως ἂν τις ἔνδοξος γένοιτο, εἰ δόξης ἔφη καταφρονήσειε. φαίην γὰρ ἂν καὶ αὐτὸς, εἴ τις ἔροιτό με, τίνες εἰσὶ μάλιστα ἐπαίνου ἄξιοι, ὁπόσοι ἐπαινεῖσθαι μὴ θέλουσιν. ἀλλὰ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῦτα μὲν ἴσως ἐξαγώνια, καὶ πόρρω τοῦ πράγματος. ὑπὲρ δὲ οὗ χρὴ ἀπολογήσασθαι, τοῦτό ἐστιν, ὅτι τῇ ἐν Κνίδῳ, καὶ κήποις, καὶ Ἥρᾳ, καὶ Ἀθηνᾷ, τὴν μορφὴν ἀναπλάττων, εἴκασα. ταῦτά σοι ἔκμετρα ἔδοξε, καὶ ὑπὲρ τὸν πόδα; περὶ αὐτῶν δὴ τούτων ἐρῶ. καίτοι παλαιὸς οὗτος ὁ λόγος, ἀνευθύνους εἶναι ποιητάς, καὶ γραφέας. τοὺς δὲ ἐπαινοῦντας, καὶ μᾶλλον οἶμαι, εἰ καὶ χαμαί, καὶ βάδην, ὥσπερ ἡμεῖς, ἀλλὰ μὴ ἐπὶ μέτρων φέροιντο. ἐλεύθερον γάρ τι ὁ ἔπαινος. οὐδ' ἔστιν αὐτοῦ μέτρον εἰς μέγεθος, ἢ βραχύτητα νενομοθετημένον. ἀλλὰ τοῦτο μόνον ἐξ ἅπαντος ὁρᾷ, ὅπως ὑπερθαυμάσεται, καὶ ζηλωτὸν ἀποφανεῖ τὸν ἐπαινούμενον. οὐ μὴν ταύτῃ ἐγὼ βαδιοῦμαι, μὴ καί σοι δόξω ὑπ' ἀπορίας αὐτὸ δρᾶν. ἐκεῖνο δέ σοι φημὶ τοιαύτας ἡμῖν τὰς ἀφορμὰς τῶν ἐπαινετικῶν τούτων λόγων, ὡς χρὴ τὸν ἐπαινοῦντα, καὶ εἰκόσι, καὶ ὁμοιώσεσι προσχρῆσθαι. καὶ σχεδὸν ἐν τούτῳ τὸ μέγιστόν ἐστιν, εὖ εἰκάσαι. τὸ δὲ εὖ, ὧδε μάλιστα κρίνοιτο. οὐκ ἢν τις τοῖς ὁμοίοις παραβάλλῃ, οὐδ' ἢν πρὸς τὸ ὑποδεέστερον ποιῆται τὴν παράθεσιν, ἀλλ' ἤν τις πρὸς τὸ ὑπερέχον, ὡς οἷόν τε ἐμβιβάζῃ τὸ ἐπαινούμενον. οἷον, ἤν τις κύνα ἐπαινῶν, εἴποι ἀλώπεκος μείζω εἶναι αὐ

τόν,

τὸν, ἢ καλοῦςου, ἆρά σοι ὁ τοιοῦτος δοκεῖ ἐπαι-
νεῖν εἰδέναι; οὐκ ἂν εἴποις. ἀλλὰ μὴν οὐδ᾽ εἰ λυ-
κωφαὴ ἴσον αὐτὴν ὑπάρχειν, οὐδὲ οὕτω με-
γάλως τι ἐπήνεσεν. ἀλλὰ ποῦ τὸ ἴδιον τοῦ ἐπαί-
νου ἀποτελεῖται; ἢν ὁ κύων τῷ λέοντι ἐοικέναι
λέγηται ἢ μέγεθος, ἢ ἀλκήν. ὡς τὸν Ὠρίωνος κύ-
να ἐπαινῶν ἔφη ποιητὴς, λεοντοδάμαν αὐτόν.
οὗτος γὰρ δὴ κυνὸς ἐντελὴς ἔπαινος. καὶ πάλιν
εἴ τις Μίλωνα τὸν ἐκ Κρότωνος, ἢ Γλαῦκον τὸν
ἐκ Καρύστου, ἢ Πολυδάμαντα ἐπαινέσαι θέ-
λων, ἔπειτα λέγοι ἰσχυρότερον ἕκαστον αὐτῶν γυ-
ναικὸς γενέσθαι, οὐκ ἂν οἴει γελασθῆναι αὐτὸν ἐπὶ
τῇ ἀνοίᾳ τοῦ ἐπαίνου, ὅπου γε εἰ καὶ ἑνὸς ἀνδρὸς
ἔλεγεν ἀμείνω εἶναι αὐτὸν, οὐδὲ τοῦτο ἀπέχρη-
σεν ἂν πρὸς ἔπαινον. ἀλλὰ πῶς ἐπήνεσε ποιη-
τὴς εὐδόκιμος τὸν Γλαῦκον, οὐδὲ Πολυδεύκε-
ος βίαν φήσας ἀνατείνασθαι ἂν αὐτῷ ἐναντίας
τὰς χεῖρας. οὐδὲ σιδάρεον Ἀλκμάνας τέκος.
ὁρᾷς ὁποίοις αὐτὸν θεοῖς εἴκασε; μᾶλλον δὲ καὶ
αὐτῶν ἐκείνων ἀπέφηνε. καὶ οὔτε αὐτὸς ὁ Γλαῦ-
κος ἠγανάκτησε τοῖς ἐφόροις τῶν ἀθλητῶν θεοῖς
ἀντεπαινούμενος, οὔτε ἐκεῖνοι ἠμύναντο ἢ τὸν
Γλαῦκον, ἢ τὸν ποιητὴν, ὡς ἀσεβοῦντα περὶ
τὸν ἔπαινον, ἀλλὰ εὐδοκίμουν ἄμφω, καὶ ἐτι-
μῶντο ὑπὸ τῶν Ἑλλήνων. ὁ μὲν, ἐπὶ τῇ ἀλκῇ ὁ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Γλαῦκος. ὁ δὲ ποιητής, ἐπί τε τοῖς ἄλλοις, καὶ ἐπ' αὐτῷ τούτῳ μάλιστα τῷ ᾄσματι. μὴ δὴ θαυμάσῃς εἰ καὶ αὐτὸς εἰκάσαι βουλόμενος ὅπερ ἦν τῶν ἐπαινούντων ἀναγκαῖον, ὑψηλοτέρῳ ἐχρησάμην τῷ παραδείγματι, τῶν ὑπερβαλόντων τοῦ λόγου. ἐπεὶ δὲ καὶ κολακείας ἐπεμνήσθης, ὅτι μὲν καὶ σὺ μισεῖς τοὺς κολακικούς, ἐπαινῶ μέν σε, καὶ οὐκ ἐχρῆν ἄλλως. ἐθέλω δέ σοι διακρῖναι, καὶ ὁρίσαι τό, τε τοῦ ἐπαινοῦντος ἔργον, καὶ τὴν τοῦ κόλακος ὑπερβολήν. ὁ μὲν τοίνυν κόλαξ, ἅτε τῆς χρείας ἕνεκα τῆς ἑαυτοῦ ἐπαινῶν, ἀληθείας δὲ ὀλίγον ποιούμενος τὴν πρόνοιαν, ἅπαντα ὑπερεπαινεῖν οἴεται δεῖν. ἐπιψευδόμενος καὶ προστιθεὶς παρ' αὑτοῦ τὰ πλείω, ὡς μὴ ἂν ὀκνῆσαι καὶ τὸν Θερσίτην εὐμορφότερον ἀποφῆναι τοῦ Ἀχιλλέως. καὶ τὸν Νέστορα φάναι τῶν ἐπὶ Ἴλιον στρατευσάντων, τὸν νεώτατον εἶναι. διομόσαιτο δ' ἂν καὶ τὸν Κροίσου υἱὸν ὀξυηκοώτερον εἶναι τοῦ Μελάμποδος. καὶ τὸν Ιφνέα ὀξύτερον δεδορκέναι τοῦ Λυγκέως, ἢν μόνον κερδᾶναί τι ἐλπίσῃ ἐπὶ τῷ ψεύσματι. ὁ δὲ ἐπ' αὐτὸ τοῦτο ἐπαινῶν, οὐχ ὅπως οὐδ' ἂν ψεύσαιτό τι, ἢ προσθείη τῶν μὴ δὲ ὅλως προσόντων. τὰ δ' ὑπάρχοντα αὐτῷ φύσει ἀγαθά, κἂν μὴ πάνυ μεγάλα ᾖ, παραλαβὼν, ἐπηύξησε, καὶ μείζω ἀπέφηνε.

καὶ γὰρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τολμήσειεν ἂν εἰπεῖν, ἵππον ἐπαινέσαι θέλων, φύσει κοῦφον ὂν ἴσμεν ζώων, καὶ δρομικόν, ὅτι ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέεν, οὐδὲ κατέκλα. καὶ πάλιν οὐκ ἂν ὀκνήσειε φᾶναι ἀελλοπόδων δρόμον ἵππων. καὶ τὴν οἰκίαν ἐπαινῶν καλήν, καὶ ἄριστα κατεσκευασμένην, εἴποι ἄν, Ζηνός που τοιήδε γ' ὀλυμπίου ἔνδοθεν αὐλή. ὁ δὲ κόλαξ, ὥσπερ ὁ ἕτερος, κἂν περὶ τοῦ συβώτου καλύβης εἴποι, εἰ μόνον τι παρὰ τοῦ συβώτου λαβεῖν ἐλπίσειεν. ὥσπερ Κύναιθος ὁ Δημητρίου τοῦ πολιορκητοῦ κόλαξ, ἁπάντων ἀπόρων τῶν πρὸς τὴν κολακείαν καταναλωμένων, ἐπῄνει ὑπὸ βηχὸς ἐνοχλούμενον τὸν Δημήτριον, ὅτι ἐμμελῶς ἐχρέμπτετο. οὐ μόνον δὲ τοῦτο ἑκατέρου αὐτῶν γνώρισμά ἐστι, τὸ τοὺς μὲν κόλακας οὐκ ὀκνεῖν, καὶ ψεύδεσθαι τοῦ χαρίσασθαι ἕνεκα τοῖς ἐπαινουμένοις, ἐξαιρεῖν δὲ τοὺς ἐπαινοῦντας τὰ ὑπάρχοντα πειρᾶσθαι, ἀλλὰ κἀκείνῳ οὐ σμικρῷ διαλλάττουσιν, ὅτι οἱ μὲν κόλακες, ἐφ' ὅσον οἷόν τε αὐτοῖς, χρῶνται ταῖς ὑπερβολαῖς. οἱ ἐπαινοῦντες δέ, καὶ ἐν αὐταῖς ταύταις σωφρονοῦσι, καὶ ἐντὸς τῶν ὅρων μένουσι. ταῦτά σοι ἀπὸ πολλῶν ὀλίγα κολακείας, καὶ ἐπαίνου ἀληθοῦς δείγματα, ὡς μὴ πάντας ὑποπτεύῃς τοὺς ἐπαινοῦντας, ἀλλὰ διακρίνῃς καὶ παραμετρῇς τῷ οἰκείῳ μέτρῳ ἑκάτερον.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φέρ' οὖν εἰ δοκεῖ, πρόσαγε τοῖς ὑπ' ἐμοῦ εἰρημέ-
νοις, τοὺς κανόνας ἀμφοτέρους, ὡς μάθοις εἴ τε
τούτῳ, εἴτ' ἐκείνῳ ἐοίκασιν. ἐγὼ γὰρ εἰ μέν τινα
ἄμορφον οὖσαν ἔφην τῷ ἐν Κνίδῳ ἀγάλματι
ὁμοίαν, γόης ἄν, καὶ τοῦ Κωμάθου κολακικώτερος
ὄντως νομιζοίμην. εἰ δὲ ταύτην τὴν ὑπάρχουσαν,
οἵαν πάντες ἴσασιν, οὐ πάνυ ἐκ πολλοῦ διαστή-
ματος ἦν τὸ τόλμημα. τάχα ὁ νῦν φαίης, μᾶλ-
λον δὲ ἤδη εἴρηκας, ἐπαινεῖν μέν σοι ἐς τὸ κάλ-
λος ἐφείσθω. ἀνεπίφθονον μέντοι ποιήσασθαι τὸν
ἔπαινον ἐχρῆν, ἀλλὰ μὴ θεαῖς ἀπεικάζειν ἄν-
θρωπον οὖσαν. ἐγὼ δέ, ἤδη γάρ με προσάξεται
τἀληθὲς εἰπεῖν, οὐ θεαῖς γε ὦ βελτίστη εἴκα-
σα, τεχνιτῶν δ' ἀγαθῶν δημιουργήμασι, λί-
θου, ἢ χαλκοῦ, ἢ ἐλέφαντος πεποιημένοις.
τὰ δὲ ὑπ' ἀνθρώπων γεγενημένα, οὐκ ἀσεβὲς
οἶμαι ἀνθρώποις εἰκάζειν. ἐκτὸς εἰ μὴ σὺ ταύτην
εἶναι τὴν Ἀθηνᾶν ὑπείληφας, τὴν ὑπὸ Φειδίου
πεπλασμένην, ἢ ταύτην τὴν οὐρανίαν Ἀφροδίτην,
ἣν ἐποίησε Πραξιτέλης ἐν Κνίδῳ, οὐ πάνυ πολ-
λῶν ἐτῶν. ἀλλ' ὅρα μὴ ἄσεμνον ᾖ, τὰ τοιαῦτα
περὶ τῶν θεῶν δοξάζειν. ὧν τάς γε ἀληθεῖς εἰκό-
νας ἀνεφίκτους εἶναι ἀνθρωπίνῃ μιμήσει ἔγωγε
ὑπολαμβάνω. εἰ δὲ καὶ ὅ, τι μάλιστά γε αὐταῖς
ἐκείναις εἴκασα, οὐκ ἐμὸν τοῦτο, οὐδὲ ἐγὼ πρῶ-

τος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θύετε αὐτοῖς, νεκροῖς γε οὖσιν. ΤΟ. οὐ χεῖρον μὲν ἴσως, εἰ καὶ οἱ νεκροὶ ἡμῖν εὐμενεῖς εἶεν. οὐ μὴν ἀλλὰ καὶ πρὸς τοὺς ζῶντας ἄμεινον οἰόμεθα πράξειν, μεμνημένοι τῶν ἀρίστων. καὶ τιμῶμεν ἀποθανόντας. ἡγούμεθα γὰρ οὕτως ἂν ἡμῖν πολλοὺς ὁμοίους αὐτοῖς ἐθελῆσαι γενέσθαι. ΜΝΗ. ἀλλὰ ταῦτα μὲν ὀρθῶς γινώσκετε. Ορέστην δὲ, καὶ Πυλάδην, τίνος μάλιστα θαυμάσαντες, ἰσοθέους ἐποιήσασθε, καὶ ταῦτα, ἐπήλυδας ὑμῖν ὄντας; ἢ τὸ μέγιστον, πολεμίους; οἵ γε, ἐπεὶ σφᾶς ναυαγίᾳ περιπεσόντας, οἱ τότε Σκύθαι συλλαβόντες, ἀπῆγον, ὡς τῇ Αρτέμιδι καταθύσοντες, ἐπιθέμενοι τοῖς δεσμοφύλαξι. καὶ τῆς φρουρᾶς ἐπικρατήσαντες, τόν τε βασιλέα κτείνουσι, καὶ τὴν ἱέρειαν παραλαβόντες. ἀλλὰ καὶ τὴν Αρτεμιν αὐτὴν ἀποσυλήσαντες, ᾤχοντο ἀποπλέοντες, καταγελάσαντες τοῦ κοινοῦ τῶν Σκυθῶν νόμου. ὥστε εἰ διὰ ταῦτα τιμᾶτε τοὺς ἄνδρας, οὐκ ἂν φθάνοιτε πολλοὺς ὁμοίους αὐτοῖς ἐξεργασάμενοι. καὶ τοὐντεῦθεν αὐτοὶ ἤδη πρὸς τὰ παλαιὰ σκοπεῖτε, εἰ καλῶς ἔχει ὑμῖν πολλοὺς εἰς τὴν Σκυθίαν Ορέστας, καὶ Πυλάδας καταίρειν. ἐμοὶ μὲν γὰρ δοκεῖτε τάχιστα ἂν οὕτως ἀσεβεῖς αὐτοὶ, καὶ ἄθεοι γενέσθαι, τῶν περιλοίπων θεῶν τὸν αὐτὸν τρόπον ὑμῖν ἐκ τῆς

χώρας ἀποξενωθέντων. εἶτ᾽ οἶμαι ἀντὶ τῶν θε-
ῶν ἁπάντων, τοὺς ἐπ᾽ ἐξαγωγῇ αὐτῶν ἥκοντας
ἄνδρας ἐκθειάσετε, καὶ ἱεροσύλοις ὑμῶν οὖσι,
θύσετε ὡς θεοῖς. εἰ γὰρ μὴ ἀντὶ τούτων Ὀρέ-
στην, καὶ Πυλάδην τιμᾶτε, ἀλλ᾽ εἴπερ τι ἄλ-
λο ὦ Τόξαρι, ἀγαθὸν ὑμᾶς εἰργάσαντο, αὖθ᾽ ὅ
τε πάλαι οὐ θεοὺς εἶναι δικαιώσαντες αὐτοὺς,
νῦν δὲ ἔμπαλιν θύσαντες αὐτοῖς, θεοὺς εἶναι νενο-
μίκατε, καὶ ἱερείοις ὀλίγου δεῖν τότε γενομέ-
νοις, ἱερεῖα νῦν προσάγετε. γελοῖα γὰρ ἂν ταῦ-
τα δόξειε, καὶ ὑπεναντία τοῖς πάλαι. ΤΟ.
καὶ ταῦτα μὲν ὦ Μνήσιππε, γενναῖα τῶν ἀνδρῶν
ἐκείνων, ἃ κατέλεξας. τὸ δὲ δύο ὄντας, οὕτω
μέγα τόλμημα τολμῆσαι, καὶ τοσοῦτον ἀπὸ τῆς
αὐτῶν ἀπάραντας, ἐκπλεῦσαι εἰς τὸν πόντον,
ἀπείρατον ἔτι τοῖς Ἕλλησιν ὄντα, πλὴν μόνων
τῶν ἐπὶ τῆς ἀργοῦς ἐς τὴν Κολχίδα στρατευ-
σάντων, μὴ καταπλαγέντας, μήτε τοὺς μύθους
τοὺς ἐν αὐτῷ, μήτε τὴν προσηγορίαν καταδεί-
σαντας, ὅτι ἄξενος ἐκαλεῖτο, οἷα οἶμαι ἀγρί-
ων ἐθνῶν περιοικούντων, καὶ ἐπειδὴ ἑάλωσαν,
οὕτως ἀνδρείως χρήσασθαι τῷ πράγματι, καὶ
μὴ ἀγαπῆσαι εἰ διαφυλάξονται μόνον, ἀλλὰ
τιμωρησαμένους τὸν βασιλέα τῆς ὕβρεως, καὶ τὴν
Ἄρτεμιν ἀναλαβόντας, ἀποπλεῦσαι, πῶς

ταῦ

ταῦτα οὐ θαυμαστὰ, καὶ θείας τινὸς τιμῆς ἄξια παρὰ πάντων, ὁπόσοι ἀρετὴν ἐπαινοῦσιν; ἃ γὰρ οὐ ταῦτα ἡμεῖς Ὀρέστῃ, καὶ Πυλάδῃ ἐνιδόντες, ἥρωσιν αὐτοῖς χρώμεθα. ΜΝΗ. λέγοις ἂν ἤδη ὅ, τι σεμνὸν, καὶ θεῖον ἄλλο ἐξειργάσαντο. ἐπεὶ ὅσον ἐν τῷ πλῷ, καὶ τῇ ἀποδημίᾳ, πολλοὺς ἄν σοι θειοτέρους ἐκείνων ἀποδείξαιμι τοὺς ἐμπόρους. καὶ μάλιστα τοὺς Φοίνικας αὐτῶν. οὐκ ἐς τὸν πόντον, οὐδὲ ἄχρι τῆς Μαιώτιδος, καὶ τοῦ Βοσπόρου μόνον ἐσπλέοντας, ἀλλὰ πανταχοῦ τῆς Ἑλληνικῆς, καὶ βαρβαρικῆς θαλάττης ναυτιλλομένους. ἅπασαν γὰρ τὴν οὐρι ἀκτὴν, καὶ πάντα αἰγιαλὸν ὡς εἰπεῖν, διερευνησάμενοι καθ' ἕκαστον ἔτος, ὀψὲ τοῦ μετοπώρου, εἰς τὴν αὐτῶν ἐπανίασιν. οὓς κατὰ τὸν αὐτὸν λόγον, θεοὺς νόμιζε. καὶ ταῦτα, καπήλους, καὶ ταριχοπώλους, εἰ τύχοι, τοὺς πολλοὺς αὐτῶν ὄντας. ΤΟ. ἄκουε δὴ ὦ θαυμάσιε, καὶ σκόπει, καθ' ὅσον ἡμεῖς οἱ βάρβαροι, εὐγνωμονέστερον ὑμῶν περὶ τῶν ἀγαθῶν ἀνδρῶν κρίνομεν, εἴπε ἐν Ἄργει μὲν, καὶ Μυκήναις, οὐδὲ τάφον ἔνδοξόν ἐστιν ἰδεῖν Ὀρέστου, ἢ Πυλάδου. παρ' ἡμῖν δὲ, καὶ νεὼς ἀποδέδεικται αὐτοῖς ἅμα ἀμφοτέροις, ὥσπερ εἰκὸς ἦν ἑταίροις γε οὖσι. καὶ θυσίαι προσάγονται, καὶ ἡ ἄλλη τιμὴ ἅπασα. κωλύει τε οὐδὲν, ὅτι ξέ-

νοι ἦσαν, ἀλλὰ μὴ Σκύθαι, ἀπαθοῖς κεκλεῖσθαι. οὐ γὰρ ἐξετάζομεν ὅθεν οἱ καλοὶ κἀγαθοί εἰσιν, οὐδὲ φθονοῦμεν, εἰ μὴ φίλοι ὄντες ἀγαθὰ εἰργάσαντο. ἐπαινοῦντες δὲ ἃ ἔπραξαν, οἰκείους αὐτοὺς ἀπὸ τῶν ἔργων ποιούμεθα. ὃ δὲ δὴ μάλιστα καταπλαγέντες τῶν ἀνδρῶν ἐκείνων ἐπαινοῦμεν, τοῦτό ἐστιν, ὅτι ἡμῖν ἔδοξαν φίλοι οὗτοι δὴ ἄριστοι ἁπάντων γεγενῆσθαι, καὶ τοῖς ἄλλοις νομοθέται καταστῆναι, ὡς χρὴ τοῖς φίλοις ἁπάσης τύχης κοινωνεῖν, καὶ ὑπὸ Σκυθῶν τῶν ἀρίστων θεραπεύεσθαι. καὶ ἅπερ μετ' ἀλλήλων, ἢ ὑπὲρ ἀλλήλων ἔπαθον, ἀναγράψαντες οἱ πρόγονοι ἡμῶν ἐπὶ στήλης χαλκῆς, ἀνέθεσαν εἰς τὸ Ὀρέστειον, καὶ νόμον ἐποιήσαντο, πρῶτον τοῦτο μάθημα, καὶ παίδευμα τοῖς παισὶ τοῖς σφετέροις εἶναι τὴν στήλην ταύτην, καὶ τὰ ἐπ' αὐτῆς γεγραμμένα διαμνημονεῦσαι. θᾶττον γοῦν τοὔνομα ἕκαστος αὐτῶν ἐπιλάθοιτο τοῦ πατρός, ἢ τὰς Ὀρέστου καὶ Πυλάδου πράξεις ἀγνοήσειεν. ἀλλὰ καὶ ἐν τῷ περιβόλῳ τοῦ νεὼ τὰ αὐτά, ὁπόσα ἡ στήλη δηλοῖ, γραφαῖς ὑπὸ τῶν παλαιῶν εἰκασμένα δείκνυται, πλέων Ὀρέστης ἅμα τῷ φίλῳ. εἶτα ἐν τοῖς κρημνοῖς διαφθαρείσης αὐτῷ τῆς νεώς, συνειλημμένος, καὶ πρὸς τὴν θυσίαν παρεσκευασμένος. καὶ ἡ Ἰφιγένεια ἤδη κα-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τάρχῃ τῇ αὐτῶν. κατὰ πλευρὸν δὲ τὸ τοῦ ἑτέρου τοίχου, ἤδη ἐκδεδυκὼς τὰ δεσμὰ γέγραπται, καὶ φονεύων τὸν Θόαντα, καὶ πολλοὺς ἄλλους τῶν Σκυθῶν. καὶ τέλος, ἀποπλέοντες, ἔχοντες τὴν Ἰφιγένειαν, καὶ τὴν θεόν. οἱ Σκύθαι δὲ, ἄλλως ἐπιλαμβάνονται τοῦ σκάφους ἤδη πλέοντος, ἐκκρεμαννύμενοι τῶν πηδαλίων, καὶ ἐπαναβαίνειν πειρώμενοι. εἶτ' οὐδὲν ἀνύσαντες, οἱ μὲν αὐτῶν, τραυματίαι. οἱ δὲ, καὶ δέει τούτου, ἀπονήχονται πρὸς τὴν γῆν, ἔνθα δὴ καὶ μάλιστα ἴδοι τις ἂν ὁπόσην ὑπὲρ ἀλλήλων εὔνοιαν ἐπεδείκνυντο ἐν τῇ πρὸς τοὺς Σκύθας συμπλοκῇ. πεποίηκε γὰρ ὁ γραφεὺς ἑκάτερον, ἀμελοῦντα μὲν τῶν καθ' ἑαυτὸν πολεμίων, ἀμυνόμενον δὲ τοὺς ἐπιφερομένους θατέρῳ, καὶ πρὸ ἐκείνου ἀπαντᾶν, πειρώμενον τοῖς τοξεύμασι, καὶ παρ' οὐδὲν τιθέμενον, εἰ ἀποθανεῖται, σώσας τὸν φίλον, καὶ τὴν ἐπ' ἐκεῖνον φερομένην πληγὴν προαρπάσας τῷ αὐτοῦ σώματι. τὴν δὴ τοσαύτην εὔνοιαν αὐτῶν, καὶ τὴν ἐν τοῖς δεινοῖς κοινωνίαν, καὶ τὸ πιστὸν, καὶ φιλέταιρον, καὶ τὸ ἀληθὲς, καὶ βέβαιον τοῦ πρὸς ἀλλήλους ἔρωτος, οὐκ ἀνθρώπινα ταῦτα ᾠήθημεν εἶναι, ἀλλά τινος γνώμης βελτίονος, ἢ κατὰ τοὺς πολλοὺς τούτους ἀνθρώπους, οἳ μέχρι μὲν κατ' οὖρον ὁ πλοῦς

εἴη, τοῖς φίλοις ἀγανακτοῦσιν, εἰ μὴ ἐπίσης
κοινωνήσουσι τῶν ἡδέων. εἰ δέ τι καὶ μικρὸν ἀντι-
πνεύσειεν αὐτοῖς, οἴχονται, μόνους τοῖς κινδύ-
νοις ἀπολιπόντες. καὶ γὰρ οὖν καὶ τόδε ὅπως εἰ-
δῇς, οὐδὲν Σκύθαι φιλίας μεῖζον οἴονται εἶναι.
οὐδὲ ἐστιν ἐφ' ὅτῳ ἄν τις σκύθης μᾶλλον σεμ-
νύναιτο, ἢ ἐπὶ τῷ συμπονῆσαι φίλῳ ἀνδρὶ, καὶ
κοινωνῆσαι τῶν δεινῶν, ὥσπερ οὐδ' ἂν ὄνειδος
μεῖζον παρ' ἡμῖν, τοῦ προδότην φιλίας γεγε-
νῆσθαι δοκεῖν. διὰ ταῦτα Ὀρέστην, καὶ Πυλάδην
τιμῶμεν, ἀρίστους γενομένους τὰ Σκυθῶν ἀγα-
θά, καὶ ἐν φιλίᾳ διενεγκόντας. ὃ πρῶτον ἡμεῖς
ἁπάντων θαυμάζομεν. καὶ τοὔνομα τοῦτο ῥύριον
αὐτῶν ἐθέμεθα, κοράκους καλεῖσθαι. τοῦτο δέ
ἐστιν, ἐν τῇ ἡμετέρᾳ φωνῇ, ὥσπερ ἂν εἴ τις λέ-
γοι, φίλιοι δαίμονες. ΜΝΗ. ὦ Τόξαρι, οὐ
μόνον ἄρα τοξεύειν ἀγαθοὶ ἦσαν Σκύθαι, καὶ τὰ
πολεμικὰ τῶν ἄλλων ἀμείνους, ἀλλὰ καὶ ῥῆσιν
εἰπεῖν, ἁπάντων πιθανώτατοι. ἐμοὶ γοῦν τέως
ἄλλως γιγνώσκοντι, ἤδη καὶ οὕτω δίκαια ποιεῖν
δοκεῖτε, οὕτως Ὀρέστην καὶ Πυλάδην ἐκθειά-
σαντες. ἐλελήθεις δέ με ὦ γενναῖε, καὶ γραφεὺς
ἀγαθὸς ὤν. πάνυ γοῦν ἐναργῶς ἐπέδειξας ἡ-
μῖν τὰς ἐν τῷ Ὀρεστείῳ εἰκόνας, καὶ τὴν μάχην
τῶν ἀνδρῶν, καὶ τὰ ὑπὲρ ἀλλήλων τραύμα-

τα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τα. πλὴν ἀλλ' οὐκ ᾠήθην ἂν οὕτω ποτὲ περισπούδαστον εἶναι φιλίαν ἐν Σκύθαις. ἅτε γὰρ ξένους, καὶ ἀγρίους ὄντας αὐτοὺς, ἔχθρᾳ μὲν ἀεὶ συνεῖναι, καὶ ὀργῇ, καὶ θυμῷ, φιλίαν δὲ, μηδὲ πρὸς τοὺς οἰκειοτάτους ἐπαναιρεῖσθαι, τεκμαιρόμενος τοῖς τε ἄλλοις, ἃ περὶ αὐτῶν ἀκούομεν· καὶ ὅτι κατεσθίουσι τοὺς πατέρας ἀποθανόντας. ΤΟ. εἰ μὲν καὶ τἄλλα ἡμεῖς τῶν Ἑλλήνων, καὶ δικαιότεροι τὰ πρὸς τοὺς γονέας, καὶ ὁσιώτεροι ἐσμὲν, οὐκ ἂν ἐν τῷ παρόντι φιλοτιμηθείην πρὸς σέ. ὅτι δὲ οἱ φίλοι Σκύθαι πολὺ πιστότεροι τῶν Ἑλλήνων φίλων εἰσὶ, καὶ ὅτι φιλίας λόγος πλείων παρ' ἡμῖν, ἢ παρ' ὑμῖν, ῥᾴδιον ἐπιδεῖξαι. καὶ πρὸς θεῶν τῶν Ἑλλήνων, μὴ πρὸς ἀχθηδόνα μου ἀκούσῃς, ἤν εἴπω τι, ὧν κατανενόηκα, πολὺν ἤδη χρόνον ὑμῖν συγγινόμενος. ὑμεῖς γάρ μοι δοκεῖτε τοὺς μὲν περὶ φιλίας λόγους, ἄμεινον ἄλλων εἰπεῖν ἂν δύνασθαι. τὰ ἔργα δὲ αὐτῶν, οὐ μόνον οὐ κατ' ἀξίαν τῶν λόγων ἐκμελετᾶν, ἀλλ' ἀπόχρη ὑμῖν ἐπαινέσαι τε αὐτὴν, καὶ δεῖξαι ἡλίκον ἀγαθόν ἐστιν. ἐν δὲ ταῖς χρείαις προδόντες τοὺς λόγους, δραπετεύετε οὐκ οἶδ' ὅπως ἐκ μέσων τῶν ἔργων. καὶ ὁπόταν ὑμῖν οἱ τραγῳδοὶ τὰς τοιαύτας φιλίας ἐπὶ τὴν σκηνὴν ἀναβιβάσαντες



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δεικνύουσιν, ἐπαινεῖτε, καὶ ἐπικροτεῖτε. καὶ κινδυνεύουσιν αὐτοῖς ὑπὲρ ἀλλήλων οἱ πολλοί. καὶ ἐπιδακρύετε. αὐτοὶ δέ, οὐδὲν ἄξιον ἐπαίνου ὑπὲρ τῶν φίλων παρέχεσθαι τολμᾶτε. ἀλλ' ἤν του φίλος δεηθεὶς τύχῃ, αὐτίκα μάλα, ὥσπερ τὰ ὀνείρατα οἴχονται ὑμῖν ἐκ ποδῶν ἀποπτάμεναι αἱ πολλαὶ ἐκεῖναι τραγῳδίαι, τοῖς κενοῖς τούτοις, καὶ κωφοῖς προσωπείοις ἐοικότας ὑμᾶς ἀπολιποῦσαι. ἃ διηρημένα τὸ στόμα, καὶ παμμέγεθες κεχηνότα, οὐδὲ τὸ σμικρότατον φθέγγεται. ἡμεῖς δὲ ἔμπαλιν, ὅσον γὰρ δὴ λειπόμεθα ἐν τοῖς περὶ φιλίας λόγοις, τοσοῦτον ἐν τοῖς ἔργοις αὐτῆς πλεονεκτοῦμεν. εἰ γοῦν δοκεῖ, οὕτω νῦν ποιῶμεν. τοὺς μὲν παλαιοὺς φίλους, ἀτρεμεῖν ἐάσωμεν, εἴ τινας ἢ ἡμεῖς, ἢ ὑμεῖς τῶν πάλαι καταριθμεῖν ἔχομεν. ἐπεὶ κατά γε τοῦτο, πλεονεκτοῖτε ἄν, πολλοὺς, καὶ ἀξιοπίστους μάρτυρας τοὺς ποιητὰς παρεχόμενοι, τὴν Ἀχιλλέως, καὶ Πατρόκλου φιλίαν, καὶ τὴν Θησέως, καὶ Πειρίθου, καὶ τὴν ἄλλων ἑταιρείαν, ἐν καλλίστοις ἔπεσι, καὶ μέτροις ῥαψῳδοῦντας. ὀλίγους δέ τινας προχειρισάμενοι τῶν καθ' ἡμᾶς αὐτούς, καὶ τὰ ἔργα αὐτῶν διηγησάμενοι, ἐγὼ μέν, τὰ σκυθικά. σὺ δέ, τὰ ἑλληνικά. καὶ ὁπότερος ἂν ἐν τούτοις κρατῇ, καὶ ἀμείνους

παρά

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περάρχηται τοὺς φίλους, αὐτός τε νενικηκὼς ἔσται, καὶ τὴν αὐτοῦ ἀνακηρύξει, κάλλιστον ἀγῶνα, καὶ σεμνότατον ἀγωνισάμενος. ὡς ἔγωγε πολὺ ἥδιον ἄν μοι δοκῶ μονομαχῶν ἡττηθεὶς, ἀποτμηθῆναι τὴν δεξιάν, ὅπερ τῆς σκυθικῆς ἐπιτίμιόν ἐστιν, ἢ χείρων ἄλλου κατὰ φιλίαν κεκρίσθαι. καὶ ταῦτα, Ἕλληνος, σκύθης αὐτὸς ὤν. Μνη. ἔστι μὲν ὦ Τόξαρι οὐ φαῦλον τὸ ἔργον ἀνδρὶ οἵῳ σοὶ, πολεμιστῇ μονομαχῆσαι, πάνυ εὐστόχους καὶ τεθηγμένους παρεσκευασμένῳ τοὺς λόγους. οὐ μὴν ἀγεννῶς γε οὕτω καταπροδοὺς ἐν βραχεῖ τὸ ἑλληνικὸν ἅπαν, ὑποχωρήσομαί σοι. καὶ γὰρ ἂν εἴη πάνδεινον, ὑπὸ δυοῖν μὲν ἐκείνοιν ἡττηθῆναι τοσούτους τῶν Σκυθῶν, ὁπόσους οἵ τε μῦθοι δηλοῦσι, καὶ αἱ ὑμέτεραι παλαιαὶ γραφαὶ, ἃς μικρῷ πρόσθεν εὖ μάλα ἐξετραγῴδησας. Ἕλληνας δὲ πάντας, τοσαῦτα ἔθνη, καὶ τοσαύτας πόλεις ἐρήμην ὑπὸ σοῦ ἁλῶναι. εἰ γὰρ τοῦτο γένοιτο, οὐ τὴν δεξιὰν ὥσπερ ὑμεῖς, ἀλλὰ τὴν γλῶτταν ἀποτμηθῆναι καλόν. πότερον δὲ ὡρίσθαι χρὴ τὸν ἀριθμὸν ἡμῖν τῶν φιλικῶν τούτων πράξεων, ἢ ὁπόσῳ ἄν τις πλείους ἔχῃ λέγειν, τοσούτῳ εὐπορώτερος δόξειεν ἂν πρὸς τὴν νίκην; Τό. οὐδαμῶς. ἀλλ' ὡρίσθω μὴ ἐν τῷ πλήθει αὐτῶν τὸ κράτος, ἀλλ' εἰ ἀμεί

νοις, καὶ εἰ ἡττώτεροι φαίνοιντο οἱ περὶ τῶν ἐμῶν, περὶ τὸν ἀριθμὸν οὖσαι, καὶ μειότερα δηλονότι ἐργάσονταί μοι τὰ θαύματα, καὶ θᾶττον ἐνδώσω πρὸς τὰς πληγάς. Μνη. Εὖ λέγεις. καὶ ὡρίσθωσαν ὁπόσοι ἱκανοί. Το. Πέντε ἔμοι γε δοκοῦσιν ἑκατέρῳ. Μνη. Κἀμοὶ δοκεῖ. πρότερος δὲ λέγε. ἀλλὰ ἐπομοσάμενος ἦ μὴν ἀληθῆ ἐρεῖν. ἄλλως γὰρ ἀναπλάττειν τὰ τοιαῦτα, οὐ πάνυ χαλεπόν. καὶ ὁ ἔλεγχος ἀφανής. εἰ δὲ ὀμόσειας, οὐχ ὅσιον ἀπιστεῖν. Το. Ὀμοῦμαι, εἴ τι καὶ ὅρκου δεῖν νομίζεις. Μνη. Τίς δέ σοι τῶν ἡμετέρων θεῶν; ἆρ' ἱκανὸς ὁ Φίλιος; Το. Καὶ μάλα. ἐγὼ δὲ τὸν ἐπιχώριον ὀμοῦμαί σοι ἐν τῷ ἐμαυτοῦ λόγῳ. Μνη. Ἴστω τοίνυν ὁ Ζεὺς ὁ Φίλιος, ἦ μὴν ὁπόσα ἂν λέγω πρὸς σὲ, ἢ αὐτὸς εἰδὼς, ἢ παρὰ ἄλλων, ὁπόσον οἷόν τε ἦν δι' ἀκριβείας ἐκπυνθανόμενος ἐρεῖν, μηδὲν παρ' ἐμαυτοῦ ἐπιτραγῳδῶν. Καὶ πρώτην γέ σοι τὴν Ἀγαθοκλέους καὶ Δεινίου φιλίαν διηγήσομαι, ἀοίδιμον ἐν τοῖς Ἴωσι γενομένην. Ἀγαθοκλῆς γὰρ οὗτος ὁ Σάμιος, οὐ πρὸ πολλοῦ ἐγένετο, ἄριστος μὲν ἐς φιλίαν ὡς ἔδειξε, τἆλλα δὲ, οὐδὲν ἀμείνων Σαμίων τῶν πολλῶν, οὔτε ἐς τὸ γένος, οὔτε ἐς τὴν ἄλλην περιουσίαν. Δεινίᾳ δὲ τῷ Λυσίωνος Ἐφεσίῳ, φίλος ἐκ παί-

δων

τῶν ἦν. ὁ δὲ Δεινίας, ἐπλούτει ἄρα εἰς ὑπερβολήν. καὶ ὥσπερ εἰκὸς, νεόπλουτον ὄντα, πολλοὺς καὶ ἄλλους εἶχε περὶ αὑτὸν, ἱκανοὺς μὲν συμπιεῖν, καὶ πρὸς ἡδονὴν συνεῖναι, φιλίας δὲ, πλεῖστον ὅσον ἀποδέοντας. τέως μὲν οὖν ἐν τούτοις, καὶ ὁ Ἀγαθοκλῆς ἐξητάζετο, καὶ συνῆν, καὶ συνέπινεν αὐτοῖς, οὐ πάνυ χαίρων τῇ τοιαύτῃ διατριβῇ. καὶ ὁ Δεινίας, οὐδὲν αὐτὸν ἐντιμότερον εἶχε τῶν κολάκων. τελευταῖον δὲ, καὶ προσέκρουε, τὰ πολλὰ ἐπιτιμῶν. καὶ φορτικὸς ἐδόκει, ὑπομιμνήσκων τῶν προγόνων, καὶ φυλάττειν παραγγέλλων, ἃ μετὰ πολλῶν καμάτων ὁ πατὴρ αὐτοῦ κτησάμενος, κατέλιπεν. ὥστε δὴ ταῦτα, οὐδὲ ἐς τοὺς κώμους ἐπῆγεν ἔτι αὐτὸν, ἀλλὰ μόνος μετ᾽ ἐκείνων ἐκώμαζε, λανθάνειν πειρώμενος τὸν Ἀγαθοκλέα. καὶ δή ποτε ὑπὸ τῶν κολάκων ἐκείνων ὁ ἄθλιος ἀναπείθεται, ὡς ἐρῴη αὐτοῦ Χαρίκλεια Δημώνακτος γυνὴ, ἀνδρὸς ἐπιφανοῦς, καὶ πρώτου Ἐφεσίων τὰ πολιτικά. καὶ γραμμάτιά τε εἰσεφοίτα παρὰ τῆς γυναικὸς αὐτῷ, καὶ στέφανοι ἡμιμάραντοι, καὶ μῆλά τινα ἀποδεδηγμένα. καὶ ἄλλα, ὁπόσα αἱ μαστροποὶ ἐπὶ τοῖς νέοις μηχανῶνται, κατὰ μικρὸν αὐτοῖς ἐπιτεχνώμεναι τοὺς ἔρωτας, καὶ ἀναφλέγουσαι τὸ πρότερον ἐρᾶσθαι νομίζοντας.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπαγηοχότα τὸν γὰρ τοῦ τρόπου καὶ μάλιστα τοῖς καλοῖς εἶναι οἰομένοις, ἄχρις ἂν λάθωσιν εἰς τὰ δίκτυα ἐμπεσόντων. ἡ Χαρίκλεια δέ, ἦν ἀστεῖον μὲν γύναιον, ἐπαιεικὸν δὲ ἐκτόπως, καὶ τῷ προστυχόντι ἀεί, καὶ εἰ πάνυ ἐπ' ὀλίγῳ ἐθελήσειέ τις. ἢ εἰ προσίδοι τις μόνον, εὐθὺς ἐπένευε. καὶ δέος οὐδὲν ἦν, μή που ἀντείπῃ Χαρίκλεια. δεινὴ δὲ καὶ τἆλλα τεχνῖτις, περὶ ἥν τινα βούλει τῶν ἑταίρων ἐπισπάσασθαι ἐραστήν. καὶ ἀμφίβολον ἔτι ὄντα, ὅλον ὑποποιήσασθαι, καὶ ἐνεχόμενον ἤδη ἐπιτεῖναι, καὶ προσεκκαῦσαι ἄρτι μὲν ὀργῇ, ἄρτι δὲ κολακείᾳ. καὶ μετὰ μικρόν, ὑπεροψίᾳ, καὶ τὸ πρὸς ἕτερον ἀποκλίνειν δοκεῖν. καὶ ὅλη συγκρότητο ἅπαντα χόθεν ἡ γυνή, καὶ πολλὰ μηχανήματα παρεσκεύαστο κατὰ τῶν ἐραστῶν. ταύτην οὖν τότε οἱ Δεινίου κόλακες παραλαμβάνουσιν ἐπὶ τὸ μειράκιον, καὶ τὰ πολλὰ ὑπεκωμῴδουν, συνωθοῦντες αὐτὸν εἰς τὸν ἔρωτα τῆς Χαρικλείας. ἡ δέ, πολλοὺς ἤδη νέους ἐκτραχηλίσασα, καὶ μυρίους ἔρωτας ὑποκριναμένη, καὶ οἴκους πολυταλάντους ἀνατρέψασα, ποικίλον τι, καὶ πολυγύμναστον κακόν, παραλαβοῦσα εἰς τὰς χεῖρας ἁπλοϊκόν, καὶ ἄπειρον τῶν τοιούτων μηχανημάτων νεανίσκον, οὐκ ἀνῆκεν ἐκ τῶν ὀνύχων. ἀλλὰ περιέχουσα

σα παν

τὰς πανταχόθεν, καὶ διαπειρᾶσθαι, ὅτε ἤδη παντάπασιν ἐκράτει, αὐτή τε ἀπώλετο ὑπὸ τῆς ἄγρας, καὶ τῷ κακοδαίμονι Δεινίᾳ μυρίων κακῶν αἰτία ἐγένετο. τὸ μὲν γὰρ πρῶτον εὐθὺς ἐκεῖνα ἐπ' αὐτὸν καθίει τὰ γραμμάτια. καὶ συνεχῶς πεμπομένη τὴν ἅβραν, ὡς ἐδάκρυσε, καὶ ἐπηγρύπνησε. καὶ τέλος, ὡς ἀπάγξει ἑαυτὴν ἡ ἀθλία ὑπὸ τοῦ ἔρωτος, ἕως δὴ ὁ μακάριος ἐπείσθη καλὸς εἶναι, καὶ ταῖς Ἐφεσίων γυναιξὶ περιπόθητος. καί που συνηνέχθη πολλὰ ἱκετευθείς. καὶ τοὐντεῦθεν ἤδη ῥᾷον, ὡς τὸ εἰκὸς ἁλώσεσθαι ἔμελλεν ὑπὸ γυναικὸς καλῆς, καὶ πρὸς ἡδονήν τε ὁμιλῆσαι ἐπισταμένης, καὶ ἐν καιρῷ δακρῦσαι, καὶ μεταξὺ τῶν λόγων, ἐλεεινῶς ὑποστενάξαι. καὶ ἀπιόντος ἤδη, λαβέσθαι. καὶ εἰσελθόντι, προσδραμεῖν, καὶ καλλωπίζεσθαι, ὡς ἂν μάλιστα ἀρέσειε. καί που καὶ ᾆσαι, καὶ κιθαρίσαι. οἷς ἅπασι κατὰ τοῦ Δεινίου ἐκέχρητο. καὶ ἐπεὶ ἤδη πονήρως ἔχοντα, καὶ διάβροχον ἤδη τῷ ἔρωτι, καὶ τακερὸν γεγενημένον, ἄλλο ἤδη τούτοις ἐπενόει, καὶ τὸν ἄθλιον ἀπώλλυε. κυεῖν τε γὰρ ἐξ αὐτοῦ σκήπτεται. ἱκανὸν δὲ καὶ τοῦτο, βλᾶκα ἐραστὴν προσεκπυρῶσαι. καὶ οὐκέτι ἐφοίτα πρὸς αὐτόν, φυλάττεσθαι ὑπὸ τ' ἀνδρὸς λέγουσα, πεπυσμένου



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν ἔρωτα. ὁ δ' οὐκέθ' οἷός τε ἦν φέρειν τὸ πρᾶγμα, οὐδὲ ἠνείχετο μὴ ὁρῶν αὐτήν, ἀλλὰ ἐδάκρυε, καὶ τοὺς κόλακας εἰσέπεμπε, καὶ τοὔνομα τῆς Χαρικλείας ἐπεβόα. καὶ τὴν εἰκόνα περιβαλὼν αὐτῆς, ἐπεποίητο δὲ λίθου λευκοῦ, ἐκώκυε. καὶ τέλος, καταβαλὼν ἑαυτὸν εἰς τοὔδαφος, ἐκυλινδεῖτο. καὶ λύττα ἦν ἀκριβὴς τὸ πρᾶγμα. τὰ μὲν γὰρ δῶρα, οὐ κατὰ μῆλα, καὶ στεφάνους ἀντεδίδοτο αὐτῇ, ἀλλὰ συνοικίαι ὅλαι, καὶ ἀγροί, καὶ θεράπαιναι, καὶ ἐσθῆτες εὐανθεῖς, καὶ χρυσὸν ὁπόσον ἐθελήσειε. καὶ τί γάρ, ἐν βραχεῖ ὁ Λυσίωνος οἶκος ὀνομαστότατος τῶν ἐν Ἰωνίᾳ γενόμενος, ἐξήντλητο ἤδη, καὶ ἐξεκένωτο. εἶτα ὡς ἤδη αὖος ἦν, ἀπολιποῦσα αὐτόν, ἄλλον τινὰ Κρῆτα νεανίσκον τῶν ὑποχρύσων, ἐθήρα, καὶ μετέβαινεν ἐπ' ἐκεῖνον. καὶ ἤρα ἤδη αὐτοῦ. κἀκεῖνος ἐπίστευεν. ἀμελούμενος δ' οὖν ὁ Δεινίας, οὐχ ὑπὸ τῆς Χαρικλείας μόνον, ἀλλὰ καὶ ὑπὸ τῶν κολάκων, κἀκεῖνοι γὰρ ἐπὶ τὸν Κρῆτα ἤδη τὸν ἐρώμενον μετεληλύθεσαν, ἔρχεται παρὰ τὸν Ἀγαθοκλέα, καὶ πάλαι εἰδότα ὡς ἔχοι πονηρῶς τὰ πράγματα αὐτῷ, καὶ αἰδούμενος τὸ πρῶτον, ὅμως διηγεῖτο πάντα. τὸν ἔρωτα, τὴν ἀπορίαν. τὴν ὑπεροψίαν τῆς γυναικός. τὸν ἀντεραστὴν τὸν Κρῆτα. καὶ τέλος, ὡς οὐ βιώ-

σεται

σεται μὴ οὐχὶ συνὼν τῇ Χαρικλείᾳ. ὁ δὲ, ἄκυρον εἶναι νομίσας ἐν τούτῳ ἀπομνημονεύειν τῷ Δεινίᾳ, διότι οὐ προσίετο μόνον αὐτὸν τῶν φίλων, ἀλλὰ τοὺς κόλακας αὐτοῦ προετίμα τότε, ἣν μόνην εἶχε πατρῴαν οἰκίαν ἐν Σάμῳ ἀπεμπολήσας, ἧκεν αὐτῷ τὴν τιμὴν κομίζων, τρία τάλαντα. λαβὼν δὲ ὁ Δεινίας, οὐκ ἀφανὴς εὐθὺς ἦν τῇ Χαρικλείᾳ, καλὸς ποθὲν αὖθις γεγενημένος. καὶ αὖθις ἡ ἅβρα, καὶ τὰ γραμμάτια, καὶ μέμψις, ὅτι μὴ πολλοῦ χρόνου ἀφίκετο. καὶ οἱ κόλακες συνέθεον, ἐπιπαλαμησόμενοι, ὁρῶντες ἁλώσιμον ἔτι ὄντα τὸν Δεινίαν. ὡς δὲ ὑπέσχετο ἥξειν πρὸς αὐτὴν, καὶ ἧκε περὶ τὸν πρῶτον ὕπνον, καὶ ἔνδον ἦν ὁ Δημῶναξ ὁ τῆς Χαρικλείας ἀνὴρ, εἴτε καὶ ἄλλως αἰσθόμενος, εἴτε καὶ ἀπὸ συνθήματος τῆς γυναικὸς, ἄμφω γὰρ λέγεται, ἐπαναστὰς, ὥσπερ ἐκ λόχου, τήν τε αὔλειον ἀποκλείειν ἐκέλευε, καὶ συλλαμβάνειν τὸν Δεινίαν, πῦρ, καὶ μάστιγας ἀπειλῶν, καὶ ξίφος ὡς ἐπὶ μοιχὸν σπασάμενος. ὁ δὲ, συνιδὼν οὗ κακῶν ἦν, μοχλόν τινα πλησίον κείμενον ἁρπάσας, αὐτόν τε ἀποκτείνει τὸν Δημώνακτα, πατάξας εἰς τὸν κρόταφον, καὶ τὴν Χαρίκλειαν, οὐ μιᾷ πληγῇ ταύτην, ἀλλὰ καὶ τῷ μοχλῷ πολλάκις, καὶ τῷ ξίφει τοῦ Δημώνακτος ὕστε-

ρον. οἱ δ᾽ οἰκέται, τέως μὲν ἑστήκεσαν ἄφωνοι ὑπὸ τοῦ παραδόξου τοῦ πράγματος ἐκπεπληγμένοι. εἶτα πειρώμενοι συλλαμβάνειν, ὡς καὶ αὐτοῖς ἐπῄει μετὰ τοῦ ξίφους, ἐκεῖνοι μὲν ἀπέφυγον. ὁ Δεινίας δὲ, ὑπεξέρχεται, τηλικοῦτον ἔργον ἐργασάμενος. καὶ μέχρι μὲν ἕω παρὰ τῷ Ἀγαθοκλεῖ διέτριβεν, ἀναλογιζόμενοι τὰ πεπραγμένα, καὶ περὶ τῶν μελλόντων, ὅ, τι ἀποβήσεται σκοποῦντες. ἕωθεν δὲ οἱ στρατηγοὶ παρῆσαν. ἤδη γὰρ τὸ πρᾶγμα διεβεβόητο. καὶ συλλαβόντες τὸν Δεινίαν, οὐδ᾽ αὐτὸν ἔξαρνον ὄντα μὴ οὐχὶ πεφονευκέναι, ἀπάγουσι παρὰ τὸν ἁρμοστὴν, ὃς ἥρμοζε τὴν Ἀσίαν τότε. ὁ δὲ, βασιλεῖ τῷ μεγάλῳ ἀναπέμπει αὐτόν. καὶ μετ᾽ οὐ πολὺ κατεπέμφθη ὁ Δεινίας εἰς Γύαρον νῆσον τῶν Κυκλάδων, ἐν ταύτῃ φεύγειν εἰς ἀεὶ τεταγμένος ὑπὸ τοῦ βασιλέως. ὁ δὲ Ἀγαθοκλῆς, καὶ τἆλλα μὲν συνῆν, καὶ συναπῆρεν εἰς τὴν Ἰταλίαν, καὶ συνεισῆλθεν εἰς τὸ δικαστήριον μόνος τῶν φίλων, καὶ πρὸς οὐδὲν ἐνεδέησεν. ἐπεὶ δὲ ἤδη ἔφευγεν ὁ Δεινίας, οὐδὲ τότε ἀπελείφθη τοῦ ἑταίρου. καταδικάσας δὲ αὐτὸς ἑαυτοῦ, διέτριβεν ἐν Γυάρῳ, καὶ συνέφευγεν αὐτῷ. καὶ ἐπειδὴ παντάπασιν ἠπόρουν τῶν ἀναγκαίων, παραδοὺς ἑαυτὸν τοῖς πορφυρεῦσι, συγκατεδύετο. καὶ τὸ γι-

νόμενον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νόμιμον ἐκ τούτου ἀποφέρων, ἔθρεψε τὸν Δεινίαν. καὶ νοσήσαντα δὲ ἐπιμήκιστον, ἐθεράπευσε. καὶ ἀποθανόντος, οὐκέτι ἐπανελθεῖν εἰς τὴν ἑαυτοῦ ἠθέλησεν, ἀλλ' αὐτοῦ ἐν τῇ νήσῳ ἔμεινεν, αἰσχυνόμενος καὶ τεθνεῶτα ἀπολιπεῖν τὸν φίλον. τοῦτό σοι ἔργον φίλου Ἕλληνος, οὐ πρὸ πολλοῦ γενόμενον. ἔτη γὰρ οὐκ οἶδα εἰ πέντε διελήλυθεν, ἀφ' οὗ Ἀγαθοκλῆς ἐν Γυάρῳ ἀπέθανε.

ΤΟ. Καὶ εἴθε γε ὦ Μνήσιππε, ἀνώμοτος ὢν ταῦτα ἔλεγες, ἵνα καὶ ἀπιστεῖν ἂν ἐδυνάμην αὐτοῖς. οὕτω Σκυθικόν τινα φίλον τὸν Ἀγαθοκλέα τοῦτον διηγήσω. πλὴν δέδια μή τινα καὶ ἄλλον ὅμοιον εἴπῃς αὐτῷ.

ΜΝΗ. Ἄκουε τοίνυν καὶ ἄλλον ὦ Τόξαρι, Εὐθύδικον τὸν Χαλκιδέα. διηγεῖτο δέ μοι περὶ αὐτοῦ Σίμυλος ὁ ναύκληρος ὁ Μεγαρικός, ἐπομοσάμενος, ἦ μὴν αὐτὸς ἑωρακέναι τὸ ἔργον. πλεῖν μὲν γὰρ ἔφη ἐξ Ἰταλίας Ἀθήναζε περὶ δύσιν Πλειάδος, συλλογιμαίους τινὰς ἀνθρώπους κομίζων. ἐν δὲ τούτοις, εἶναι τὸν Εὐθύδικον. καὶ μετ' αὐτοῦ, Δάμωνα τὸν Χαλκιδέα. καὶ τοῦτον ἑταῖρον αὐτοῦ. ἡλικιώτας δὲ εἶναι, τὸν μὲν Εὐθύδικον, ἐρρωμένον, καὶ καρτερόν. τὸν δὲ Δάμωνα ὕπωχρον, καὶ ἀσθενικόν, ἄρτι ἐκ νόσου μακρᾶς ὡς ἐδόκει ἀνιστάμενον. ἄχρι μὲν τῆς Σικελίας, εὐτυχῶς

διαπλεῦσαι ἔφη ὁ Σίμυλος σφᾶς. ἐπεὶ δὲ τὸν πορθμὸν διεκπεράσαντες, ἐν αὐτῷ ἤδη τῷ Ἰονίῳ ἔπλεον, χειμῶνα μέγιστον ἐπιπεσεῖν αὐτοῖς. καὶ τὰ μὲν πολλά, τί ἄν τις λέγοι; τρικυμίας τινάς, καὶ στροβίλους, καὶ χαλάζας, καὶ ἄλλα, ὅσα χειμῶνος κακά. ἐπεὶ δὲ ἤδη σφᾶς κατὰ τὴν Ζάκυνθον εἶναι ἀπὸ ψιλῆς τῆς κεραίας πλέοντας, ἔτι καὶ σπείρας τινὰς ἐπισυρομένους, ὡς τὸ ῥόθιον ἐπιδέχεσθαι τῆς ὁρμῆς, περὶ μέσας νύκτας, οἷον ἐν τοσούτῳ σάλῳ ναυτιάσαντα τὸν Δάμωνα, ἐμεῖν ἐγκεκυφότα εἰς τὴν θάλασσαν. εἶτα οἶμαι τῆς νεὼς βιαιότερον ἐς ὃ κεκύφει μέρος ἐπικλιθείσης, καὶ τοῦ κύματος συναπώσαντος, ἐκπεσεῖν αὐτὸν ἐπὶ τὴν κεφαλὴν ἐς τὸ πέλαγος, οὐδὲ γυμνὸν τὸν ἄθλιον, ὡς ἂν καὶ ῥᾷον δύνασθαι νεῖν. εὐθὺς οὖν βοᾶν πνιγόμενον, καὶ μόγις ἑαυτὸν ὑπερέχοντα τοῦ κλύδωνος. τὸν δὲ Εὐθύδικον, ὡς ἤκουσε, τυχεῖν δὲ γυμνὸν ἐν τῇ εὐνῇ ὄντα, ῥίψαι ἑαυτὸν εἰς τὴν θάλασσαν, καὶ καταλαβόντα τὸν Δάμωνα ἤδη ἀπαγορεύοντα, φαίνεσθαι γὰρ ἐπὶ πολὺ ταῦτα, τῆς σελήνης καταλαμπούσης, συμπαρανήχεσθαι, καὶ συγκουφίζειν. σφᾶς δέ, ἐπιθυμεῖν μὲν αὐτοῖς βοηθεῖν, καὶ ἐλεεῖν τὴν συμφορὰν τῶν ἀνδρῶν, μὴ δύνασθαι δέ, μεγάλῳ τῷ πνεύματι ἐλαυνομένους.

νοῦ. πλὴν ἐκεῖνά γε ποιῆσαι. φελλούς τε γὰρ πολλοὺς ἀφεῖναι αὐτοῖς, καὶ τῶν κοντῶν τινας, ὡς ἐπὶ τούτων ἀπονήξαιντο, εἴ τινι αὐτῶν περιτύχοιεν. καὶ τέλος, καὶ τὴν ἀποβάθραν αὐτήν, οὐ μικρὰν οὖσαν. ἐννόησον τοίνυν πρὸς θεῶν, ἥντινα ἄν τις ἄλλην ἐπίδειξιν ἐπιδείξαιτο εὐνοίας βεβαιοτέραν πρὸς ἄνδρα φίλον, ἐν νυκτὶ ἐκπεσόντα εἰς πέλαγος οὕτως ἠγριωμένον, ἢ κοινωνήσας τοῦ θανάτου. καί μοι ἐπ' ὀφθαλμῶν λάβε τὴν ἐπανάστασιν τῶν κυμάτων. τὸν ἦχον τοῦ ὕδατος ἐπικλωμένου. τὸν ἀφρὸν περιζέοντα. τὴν νύκτα, καὶ τὴν ἀπόγνωσιν. εἶτα ἀποπνιγόμενον ἐκεῖνον, καὶ μόγις ἀνακύπτοντα, καὶ τὰς χεῖρας ὀρέγοντα πρὸς τὸν ἑταῖρον. τὸν δέ, ἐπιπηδῶντα εὐθύς, καὶ συννέοντα, καὶ δεδιότα μὴ προαπόληται αὐτοῦ ὁ Δάμων. οὕτω γὰρ ἂν μάθοις, ὡς οὐκ ἀγεννῆ σοι καὶ τοῦτον φίλον τὸν Εὐθύδικον διηγησάμην. ΤΟ. πότερον δέ, ἀπώλοντο ὦ Μνήσιππε οἱ ἄνδρες, ἤ τις αὐτοῖς ἐκ παραλόγου σωτηρία ἐγένετο, ὡς ἔγωγε οὐ μετρίως δέδοικα ὑπὲρ αὐτῶν. ΜΝΗ. θάρρει ὦ Τόξαρι, ἐσώθησαν, καὶ ἔτι καὶ νῦν εἰσιν Ἀθήνησιν ἄμφω φιλοσοφοῦντες. ὁ μὲν γὰρ Σίμυλος, ταῦτα μόνα εἶχε λέγειν, ἅπερ εἶδε τῆς νυκτός. τὸν μέν, ἐκπίπτοντα. τὸν δὲ ἐπιπηδῶντα

τα. καὶ νηχομένοις, ἐς ὅσον ἐν νυκτὶ καθορᾶν ἐ
δύνατο. τὰ δὲ ἀπὸ τούτου, οἱ ἀμφὶ τὸν Εὐθύ
δικον αὐτοὶ διηγοῦνται. τὸ μὲν γὰρ πρῶτον, φελ
λοῖς τισι περιπεσόντας, ἀνέχειν ἐπὶ τούτων
ἑαυτούς, καὶ ἀπονήχεσθαι πονήρως. ὕστερον δὲ
τὴν ἀποβάθραν ἰδόντας, ἤδη πρὸς ἕω, προσνή
ξασθαί τε αὐτῇ. καὶ τὸ λοιπὸν ἐπιβάντας, εὐμα
ρῶς προσενεχθῆναι τῇ Ζακύνθῳ. μετὰ δὲ τούτους
οὐ φαύλους ὄντας, ὡς ἔγωγ' ἂν εἴποιμι, ἄκου
σον ἤδη τρίτον ἄλλον οὐδέν τι χείρονα αὐτῶν.
Εὐδαμίδας Κορίνθιος, Ἀρεταίῳ τῷ Κορινθίῳ, καὶ
Χαριξένῳ τῷ Σικυωνίῳ, φίλοις ἐκέχρητο εὐ
πόροις οὖσι, πένης αὐτὸς ὤν. ἐπεὶ δὲ ἀπέ
θνησκε, διαθήκας ἀπέλιπε, τοῖς μὲν ἄλλοις,
ἴσως γελοίους, σοὶ δὲ οὐκ οἶδα εἰ τοιαῦται δό
ξουσιν, ἀνδρὶ ἀγαθῷ, καὶ φιλίαν τιμῶντι, καὶ πε
ρὶ τῶν ἐν αὐτῇ πρωτείων ἁμιλλωμένῳ. ἐγέ
γραπτο γὰρ ἐν αὐταῖς, ἀπολείπω Ἀρεταίῳ μὲν
τὴν μητέρα μου τρέφειν, καὶ γηροκομεῖν. Χαρι
ξένῳ δὲ, τὴν θυγατέρα μου ἐκδοῦναι μετὰ προι
κὸς, ὁπόσην ἂν πλείστην ἐπιδοῦναι παρ' αὐτοῦ
δύνηται. ἦν δὲ αὐτῷ καὶ μήτηρ πρεσβῦτις, καὶ
θυγάτριον ὡραῖον ἤδη γάμου. ἢν δέ τι ἅτερος αὐ
τῶν ἐν τοσούτῳ πάθῃ, καὶ τὴν ἐκείνου μερίδα
φησὶν ἐχέτω ὁ ἕτερος. τούτων ἀναγνωσθεισῶν

τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν διαθηκῶν, οἱ τὴν πενίαν μὲν εἰδότες τοῦ Εὐδαμίδα, τὴν φιλίαν δέ, ἣ πρὸς τοὺς ἄνδρας ἦν αὐτῷ, ἀγνοοῦντες, ἐν παιδιᾷ τὸ πρᾶγμα ἐποιοῦντο. καὶ οὐδεὶς ὅστις οὐ γελῶν ἀπηλλάττετο. οἷον Ἀρεταῖος, καὶ Χαρίξενος οἱ εὐδαίμονες, κλῆρον διαδέξονται, λέγοντες, εἴπερ ἀποτίσουσιν Εὐδαμίδᾳ, καὶ ζῶντες αὐτοὶ κληρονομηθήσονται ὑπὸ τοῦ νεκροῦ. οἱ κληρονόμοι δέ, οἷς ταῦτα καταλέλειπτο, ὡς ἤκουσαν, ἧκον εὐθὺς διαιτῶντες τὰ ἐκ τῶν διαθηκῶν. ὁ μὲν οὖν Χαρίξενος, πέντε μόνας ἡμέρας ἐπιβιοὺς, ἀπέθανεν. ὁ δὲ Ἀρεταῖος, ἄριστος κληρονόμων γενόμενος, τήν τε ἐκείνου, καὶ τὴν αὐτοῦ μερίδα παραλαβών, τρέφει τε τοῦ Εὐδαμίδα τὴν μητέρα, καὶ τὴν θυγατέρα οὐ πρὸ πολλοῦ ἐκδέδωκεν, ἀπὸ τῶν ταλάντων πέντε, ὧν εἶχε. δύο μὲν τῇ αὐτοῦ θυγατρί, δύο δὲ τῇ τοῦ φίλου ἐπιδούς. καὶ τὸν γάμον γε αὐταῖν ὑφ' μιᾶς ἡμέρας ἠξίωσε γενέσθαι. τί σοι δοκεῖ ὦ Τόξαρι ὁ Ἀρεταῖος οὗτος; ἆρα φαῦλον παράδειγμα φιλίας παρεσχῆσθαι, τοιαῦτα κληρονομήσας, καὶ μὴ προδοὺς τὰς διαθήκας τοῦ φίλου. ἢ τίθεμεν καὶ τοῦτον ἐν ταῖς τελείαις ψήφοις, μίαν τῶν πέντε εἶναι. ΤΟ. καὶ οὗτος μὲν καλός. ἐγὼ δέ, τὸν Εὐδαμίδαν πολὺ μᾶλλον ἐθαύμασα τοῦ θάρσους, ὃ εἶχε πρὸς

τοὺς φίλους. ἐδήλου γοῦν ὡς καὶ αὐτὸς ἂν τὰ ὅμοια ἔπραξεν ἐπ' αὐτοῖς, εἰ μὴ καὶ ἐν διαθήκαις ταῦτα ἐνεγέγραπτο, ἀλλὰ πρὸ τῶν ἄλλων ἧκεν ἂν ἄγραφος κληρονόμος τῶν τοιούτων. ΜΝΗ. εὖ λέγεις. τέταρτον δέ σοι διηγήσομαι, Ζηνόθεμιν τὸν Χαρμόλεω Μασσαλιῆθεν. ἐδείχθη δέ μοι ἐν Ἰταλίᾳ πρεσβεύοντι ὑπὲρ τῆς πατρίδος, καλὸς ἀνήρ, καὶ μέγας, καὶ πλούσιος, ὡς ἐδόκει. παρεκάθητο δὲ αὐτῷ γυνὴ ἐπὶ ζεύγους ὁδοιποροῦντι, τά τε ἄλλα εἰδεχθής, καὶ ξηρὰ τὸ ἥμισυ τὸ δεξιόν, καὶ τὸν ὀφθαλμὸν ἐκκεκομμένη, παντλώβητόν τι, καὶ ἀπρόσιτον μορμολύκειον. εἶτα ἐπεὶ ἐθαύμαζον εἰ καλὸς οὗτος, καὶ ὡραῖος ὤν, ἀνέχεται παροχουμένην τοιαύτην αὐτῷ γυναῖκα, ὁ δείξας μοι αὐτόν, διηγεῖτο τὴν ἀνάγκην τοῦ γάμου, ἀκριβῶς εἰδὼς ἕκαστα. μασσαλιώτης δὲ καὶ αὐτὸς ἦν. Μενεκράτει γὰρ ἔφη τῷ πατρὶ τῆς δυσμόρφου ταύτης, φίλος ἦν ὁ Ζηνόθεμις, πλουτοῦντι, καὶ τιμωμένῳ ὁμότιμος ὤν. χρόνῳ δὲ ὁ Μενεκράτης ἀφῃρέθη τὴν οὐσίαν ἐκ καταδίκης, ὅτε περ καὶ ἄτιμος ἐγένετο ὑπὸ τῶν ἑξακοσίων, ὡς ἀποφηνάμενος γνώμην παράνομον. οὕτω δὲ οἱ Μασσαλιῶται κολάζομεν ἔφη, εἴ τις παράνομα γράψειεν. ἐλυπεῖτο οὖν ὁ Μενεκράτης ἐπὶ τῇ καταδίκῃ

ταδίκης. ἐπεὶ ἐκ πλουσίου, πένης, ἐξ ἐνδό
ξου, ἄδοξος ἐν ὀλίγῳ ἐγένετο. μάλιστα δὲ αὐτὸν
ἠνία θυγάτηρ αὐτῷ, ἐπίγαμος ἤδη, καὶ ὀκτωκαι
δεκέτις οὖσα, ἣν οὐδὲ μετὰ πάσης τῆς οὐσίας τοῦ
πατρὸς, ἣν πρὸ τῆς καταδίκης ἐκέκτητο, ἠ
ξίωσεν ἄν τις τῶν γε εὐγενῶν, καὶ πενήτων, ῥᾳδί
ως παραλαβεῖν, οὕτω κακοδαίμονα οὖσαν τὴν
ὄψιν. ἐλέγετο δὲ καὶ καταπίπτειν πρὸς τὴν σελή
νην αὐξανομένην. ὡς δὲ ταῦτα πρὸς τὸν Ζηνόθε
μιν ἀπωδύρετο, θάῤῥει ἔφη ὦ Μενέκρατες, οὔτε
γὰρ ἀπορήσεις τῶν ἀναγκαίων, καὶ ἡ θυγάτηρ σου
ἄξιον τοῦ γένους εὑρήσει νυμφίον τινά. καὶ ταῦτα
ἅμα διεξιὼν, λαβόμενος αὐτὸν τῆς δεξιᾶς, ἧκεν
εἰς τὴν οἰκίαν. καὶ τήν τε οὐσίαν πολλὴν οὖ
σαν, ἐνείματο πρὸς αὐτόν. καὶ δεῖπνον παρασκευ
ασθῆναι κελεύσας, εἱστία τοὺς φίλους, καὶ τὸν
Μενεκράτην, ὡς δή τινα τῶν ἑταίρων πεπει
κὼς ὑποστῆναι τῆς κόρης τὸν γάμον. ἐπεὶ δὲ ἐδε
δείπνητο αὐτοῖς, καὶ ἔσπεισαν τοῖς θεοῖς, ἐνταῦ
θα δὴ μεστὴν αὐτῷ τὴν φιάλην προτείνας, δέ
δεξο εἶπεν ὦ Μενέκρατες παρὰ τοῦ γαμβροῦ φι
λοτησίαν. ἄξομαι γὰρ ἐγὼ τήμερον τὴν σὴν θυ
γατέρα Κυδιμάχην. τὴν προῖκα δὲ πάλαι εἴ
ληφα, τάλαντα πέντε, καὶ εἴκοσι. τοῦ δὲ, ἄπα
γε λέγοντος, μὴ σύ γε ὦ Ζηνόθεμι, μὴ οὕτω μα

νείαν, ὡς ἀποδείξειν σε, νέον καὶ καλὸν ὄντα, κό-
ρῃ αἰσχρᾷ, καὶ λελωβημένῃ συγκαταζευγνύμε-
νον. ὁ δέ, ταῦτα δεξιόντος, ἀράμενος τὴν νύμ-
φην, ἀπῄει ἐς τὸν θάλαμον. καὶ μετ' ὀλίγον προ-
ῆλθε, διακορήσας αὐτήν. καὶ τἀπ' ἐκείνου σύνεστιν
ὑπεραγαπῶν, καὶ πάντῃ ὡς ὁρᾷς περιαγόμενος
αὐτήν· καὶ οὐχ ὅπως οὐκ αἰσχύνεται τῷ γάμῳ, ἀλ-
λὰ καὶ σεμνυνομένῳ ἔοικεν, ἐπιδεικνύμενος, ὡς κα-
ταφρονεῖ μὲν τῶν ἐν σώματι καλῶν, ἢ αἰσχρῶν,
καὶ πλούτου, καὶ δόξης. ἀφορᾷ δὲ ἐς τὸν φίλον,
καὶ τὸν Μενεκράτην. οὐδὲ οἴεται χείρω πρὸς φιλί-
αν ὑπὸ τῆς ψήφου τῶν ἑξακοσίων γεγονέναι.
πλὴν ἤδη γε τούτων οὕτως αὐτὸν ἠμείψατο καὶ
ἡ τύχη. παιδίον γὰρ πάγκαλον ἐκ τῆς αἰσχίστης
αὐτῷ ταύτης ἐγένετο. καὶ πρώην γε, ἐπεὶ ἀράμε-
νος αὐτὸ εἰσεκόμισεν ὁ πατὴρ εἰς τὸ βουλευτήριον,
θαλλῷ ἐστεμμένον, καὶ μέλανα ἀμπεχόμενον,
ὡς ἐλεεινότερον φανείη ὑπὲρ τοῦ πάππου, τὸ μὲν
βρέφος, ἀνεγέλασε πρὸς τοὺς βουλευτάς, καὶ συ-
νεκρότει τὼ χεῖρε. ἡ βουλὴ δὲ ἐπικλασθεῖσα πρὸς
αὐτό, ἀφίησι τῷ Μενεκράτει τὴν καταδίκην.
καὶ ἤδη ἐπίτιμός ἐστι, τηλικούτῳ συνηγόρῳ χρη-
σάμενος πρὸς τὸ συνέδριον. τοιαῦτα ὁ Μασσαλιώ-
της ἔλεγε τὸν Ζηνόθεμιν εἰργάσθαι ὑπὲρ τοῦ φί-
λου, ὡς ὁρᾷς, οὐ μικρά, οὐδ' ὑπὸ πολλῶν ἂν Σκυ-

θῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θεῶν γινόμενα. οἵ γε κἂν τὰς παλλακὰς ἀκοι-
έως τὰς καλλίστας ἐκλέπεσθαι λέγονται, λοιπὸς
ἡμῖν ὁ πέμπτος. καί μοι δοκῶ οὐκ ἄλλον ἐ-
ρεῖν, Δημητρίου τοῦ Σουνιέως ἐπιλαθόμενος. συ-
νεκπλεύσας γὰρ εἰς τὴν Αἴγυπτον ὁ Δημήτρι-
ος Ἀντιφίλῳ τῷ Ἀλωπεκῆθεν, ἑταίρῳ ἐκ παί-
δων ὄντι, καὶ συνεφήβῳ, συνῆν, καὶ συνεπαιδεύε-
το. αὐτὸς μὲν, τὴν κυνικὴν ἄσκησιν ἀσκούμε-
νος ὑπὸ τῷ ῥοδίῳ ἐκείνῳ σοφιστῇ. ὁ δὲ Ἀντίφι-
λος, ἰατρικὴν ἄρα ἐμελέτα. καὶ δή ποτε ὁ μὲν
Δημήτριος, ἔτυχεν ἐς τὴν Αἴγυπτον ἀποδημῶν
κατὰ θέαν τῶν πυραμίδων, καὶ τοῦ Μέμνονος.
ἤκουε γὰρ ταύτας ὑψηλὰς οὔσας, μὴ παρέχεσθαι
σκιάν. τὸν δὲ Μέμνονα, βοᾶν πρὸς ἀνατέλλον-
τα τὸν ἥλιον. τούτων ἐπιθυμήσας Δημήτριος,
θέας μὲν τῶν πυραμίδων, ἀκροάσεως δὲ τοῦ Μέμνο-
νος, ἀναπεπλεύκει κατὰ τὸν Νεῖλον ἕκτον ἤδη
μῆνα, ὀκνήσαντα πρὸς τὴν ὁδὸν, καὶ τὸ θάλπος,
ἀπολιπὼν τὸν Ἀντίφιλον. ὁ δὲ, ἐν τοσούτῳ συμ-
φορᾷ ἐχρήσατο, μάλα γεννικοῦ τινὸς φίλου δεο-
μένῃ. οἰκέτης γὰρ αὐτοῦ Σύρος, καὶ τοὔνομα, καὶ τὴν
πατρίδα, ἱεροσύλοις τισὶ κοινωνήσας, συνεισῆλθέ
τε αὐτοῖς ἐς τὸ Ἀνουβίδιον. καὶ ἀποσυλήσαντες τὸν
θεὸν, χρυσᾶς τε φιάλας δύο, καὶ κηρύκιον χρυ-
σοῦν καὶ αὐτὸ, καὶ κυνοκεφάλους ἀργυροῦς, καὶ ἄλλα



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ριαῦτα, κατέθεντο πάντα παρὰ τῷ Σύρῳ. εἶτ' ἐμπεσόντες, ἑάλωσαν γάρ τι ἀπεμπολοῦντες, ἅπαντες εὐθὺς ἐλέγχων στρεβλούμενοι ὑπὸ τοῦ τροχοῦ. καὶ ἀγόμενοι, ἧκον εἰς τὴν οἰκίαν τοῦ Ἀντιφίλου. καὶ τὰ φώρια ἐξέφερον ὑπὸ κλίνῃ τινὶ, ἐν σκοτεινῷ κείμενα. ὅ, τε οὖν Σύρος ἐδέδετο εὐθὺς, καὶ ὁ δεσπότης αὐτοῦ Ἀντίφιλος. οὗτος μὲν καὶ μεταξὺ ἀκροώμενος τοῦ διδασκάλου, ἀνασπασθείς, ἐβοήθει δὲ οὐδείς, ἀλλὰ καὶ οἱ τέως ἑταῖροι, ἀπεστρέφοντο ὡς τὸν Ἀνουβείδιον σεσυληκότα. καὶ ἀσέβημα αὐτῶν ἡγοῦντο εἰ, εἰ συνέπιόν ποτε, ἢ συνειστιάθησαν αὐτῷ. καὶ οἱ λοιποὶ δὲ τῶν οἰκετῶν, δύο ὄντες, ἅπαντα ἐκ τῆς οἰκίας συσκευασάμενοι, ᾤχοντο φεύγοντες. ἐδέδετο οὖν ὁ ἄθλιος Ἀντίφιλος πολὺν ἤδη χρόνον, ἁπάντων, ὅσοι ἦσαν κακοῦργοι ἐν τῷ δεσμωτηρίῳ, μιαρώτατος εἶναι δοκῶν. καὶ ὁ ἐπὶ τῶν δεσμῶν Αἰγύπτιος δεισιδαίμων ἄνθρωπος, ὥστε χαριεῖσθαι, καὶ τιμωρήσειν τῷ θεῷ, βαρὺς τῷ Ἀντιφίλῳ ἐφεστώς. εἰ δ' ἀπολογοῖτό ποτε λέγων, ὡς οὐδὲν τοιοῦτον εἴργασται, ἀναίσχυντος ἐδόκει, καὶ πολὺ πλέον ἐπὶ τούτῳ ἐμισεῖτο. ὑπενόσει τοιγαροῦν ἤδη, καὶ πονήρως εἶχεν, οἷον εἰκὸς χαμαὶ καθεύδοντα καὶ τῆς νυκτὸς, οὐδὲ ἀποτείνειν τὰ σκέλη δυνάμενον, ἐν τῷ

ξύλῳ

ξύλῳ κατακεκλεισμένα. τὴν μὲν γὰρ ἡμέρας, ὁ κλοιὸς ἤρκει, καὶ ἡ ἑτέρα χεὶρ πεπεδημένη. εἰς δὲ τὴν νύκτα, ἔδει ὅλον καταδεδέσθαι. καὶ μὴν καὶ τοῦ οἰκήματος ἡ δυσοσμία, καὶ τὸ πνῖγος, ἐν ταυτῷ πολλῶν δεδεμένων, καὶ ἐστενοχωρημένων, καὶ μόλις ἀναπνεόντων, καὶ τοῦ σιδήρου ὁ ψόφος, καὶ ὕπνος ὀλίγος. ταῦτα πάντα χαλεπὰ ἦν, καὶ ἀφόρητα, οἵῳ ἀνδρὶ ἐκείνων ἀήθει, καὶ ἀμελετήτῳ πρὸς οὕτω σκληρὰν τὴν δίαιταν. ἀπαγορεύοντος δὲ αὐτοῦ, καὶ μὴ δὲ σιτεῖσθαι θέλοντος, ἀφικνεῖταί ποτε καὶ ὁ Δημήτριος, οὐδέπω εἰδὼς τῶν ἤδη γεγενημένων. καὶ ἐπειδὴ ἔμαθεν, ὡς εἶχεν εὐθὺς ἐπὶ τὸ δεσμωτήριον, δρομαῖος ἐλθών, τότε μὲν οὐκ εἰσεδέχθη. ἑσπέρα γὰρ ἦν. καὶ ὁ δεσμοφύλαξ πάλαι κεκλεικὼς τὴν θύραν ἐκάθευδε, φρουρεῖν τοῖς οἰκέταις παρακελευσάμενος. ἕωθεν δὲ εἰσέρχεται, πολλὰ ἱκετεύσας. καὶ παρελθών, ἐπιπολὺ μὲν ἐζήτει τὸν Ἀντίφιλον, ἄδηλον ὑπὸ τῶν κακῶν γεγενημένον. καὶ περιϊών, ἀνεσκόπει καθ' ἕκαστον τῶν δεδεμένων. ὥσπερ εἰώθασιν οἱ τοὺς οἰκείους νεκρούς, ἤδη ἑώλων ὄντων, ἀναζητοῦντες ἐν ταῖς παρατάξεσι. καὶ εἴ γε μὴ τοὔνομα ἐβόησεν, Ἀντίφιλον Δεινομένους, κἂν ἐπιπολὺ ἠγνόησεν ἂν ὅς τις ἦν. τοσοῦτον ἠλλάκτο ὑπὸ τῶν δεινῶν. ὡς δὲ τὴν φωνὴν . ἀπό



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μένος ἀνεβόησε, καὶ προσιὸν, διαστείλας τὴν κόμην, καὶ ἀπάγων τοῦ προσώπου αὐχμηρὰν, καὶ συμπεπιλημένην, ἔδειξεν αὐτὸν ὅστις ἦν, ἄμφω μὲν αὐτίκα πίπτουσιν ἰλιγγιάσαντες ὑπὸ τῆς ἀπροσδοκήτῳ θέας. χρόνῳ δὲ ἀναλαβὼν αὐτόν τε, καὶ τὸν Ἀντίφιλον ὁ Δημήτριος, καὶ σαφῶς ἕκαστα ὡς εἶχεν, ἐκπυθόμενος παρ' αὐτοῦ, θαῤῥεῖν τε παρακελεύεται, καὶ διελὼν τὸ τριβώνιον, τὸ μὲν ἥμισυ, αὐτὸς ἀναβάλλεται. τὸ λοιπὸν δὲ, ἐκείνῳ δίδωσιν, ἃ εἶχε πιναρὰ, καὶ ἐκτετρυχωμένα ῥάκη περισπάσας. καὶ τὸ ἀπὸ τούτου, πάντα τρόπον συνῆν, ἐπιμελούμενος αὐτοῦ, καὶ θεραπεύων. παραδοὺς γὰρ ἑαυτὸν τοῖς ἐν τῷ λιμένι ἐμπόροις, ἕωθεν εἰς μέσην ἡμέραν, οὐκ ὀλίγον ἀπέφερεν ἀχθοφορῶν. εἶτ' ἐπανελθὼν ἐκ τοῦ ἔργου, μέρος μὲν τοῦ μισθοῦ τῷ δεσμοφύλακι καταβαλὼν, τιθασὸν αὐτῷ, καὶ εἰρηνικὸν ἀπειργάζετο αὐτόν. τὸ λοιπὸν δὲ εἰς τὴν τοῦ φίλου θεραπείαν ἱκανῶς αὐτῷ διήρκει. καὶ τὰς μὲν ἡμέρας, συνῆν τῷ Ἀντιφίλῳ, παραμυθούμενος. ἐπεὶ δὲ νὺξ καταλάβοι, ὀλίγον πρὸ τῆς θύρας τοῦ δεσμωτηρίου, στιβάδιόν τι ποιησάμενος, καὶ φύλλα ὑποβαλλόμενος, ἀνεπαύετο. χρόνον μὲν οὖν τινα οὕτω διῆγον. εἰσιὼν μὲν ὁ Δημήτριος ἀκωλύτως, ῥᾷον δὲ φέρων τὴν συμφο

ῥάν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρᾶν ὁ Ἀντίφιλος. ὕστερον δὲ ἀποθανόντος ἐν τῷ δεσμωτηρίῳ λῃστοῦ τινος ὑπὸ φαρμάκων, ὡς ἐδόκει, φυλακή τε ἀκριβὴς ἐγένετο, καὶ οὐκέτι παρῄει τις ἐς τὸ οἴκημα τῶν λελυμένων. ἐφ' οἷς ἀπορῶν, ὁ Δημήτριος, οὐκ ἔχων ἄλλως παρεῖναι τῷ ἑταίρῳ, προσαγγέλλει ἑαυτὸν, προσελθὼν τῷ συναρμοστῇ, ὡς εἴη κεκοινωνηκὼς τῆς ὑπὸ τὸν Ἀντίφιλον ἐπιβουλῆς. ὡς δὲ τοῦτ' εἶπεν, ἀπήγετο εὐθὺς εἰς τὸ δεσμωτήριον. ὁ ἀχθεὶς παρὰ τὸν Ἀντίφιλον, τοῦτο γοῦν μόλις πολλὰ ἱκετεύσας τὸν δεσμοφύλακα, ἐξειργάσατο παρὰ αὐτὸν πλησίον τῷ Ἀντιφίλῳ, καὶ ὑπὸ τῷ αὐτῷ κλοιῷ δεδέσθαι. ἔνθα δὴ ὁ μάλιστα ἔδειξε τὴν εὔνοιαν, ἣν εἶχε πρὸς αὐτὸν, ἀμελῶν μὲν τῶν καθ' ἑαυτὸν δεινῶν. καί τοι ἐνόσησε ὁ αὐτός. ἐπιμελούμενος δὲ ὅπως ἐκεῖνος μάλιστα καὶ καθευδήσει, καὶ ἧττον ἀνιάσεται. ὥστε ῥᾷον ἔφερον μετ' ἀλλήλων κακοπαθοῦντες. χρόνῳ δὲ καὶ τοιόνδε τι προσπεσὸν, ἔπαυσεν ἐπὶ πλέον αὐτοὺς δυστυχοῦντας. εἷς γάρ τις τῶν δεδεμένων, οὐκ οἶδ' ὅθεν ῥίνης εὐπορήσας, καὶ συνωμότας πολλοὺς τῶν δεσμωτῶν προσλαβὼν, ἀποπρίει τε τὴν ἅλυσιν, ᾗ ἐδέδεντο ἐξῆς, τῶν κλοιῶν εἰς αὐτὴν διειρομένων. καὶ ἀπολύει ἅπαντας. ὁ δὲ, ἀποκτείναντες εὐμαρῶς ὀλίγους ὄντας



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοὺς φύλακας, ἐκπηδῶσιν ἀθρόοι. ἐκεῖνοι μὲν οὖν παραυτίκα ἔνθα ἐδύνατο ἕκαστος διασπαρέντες, ὕστερον συνελήφθησαν οἱ πολλοί. ὁ Δημήτριος δὲ, καὶ ὁ Ἀντίφιλος, κατὰ χώραν ἔμειναν, καὶ τὸν Σύρον λαβόμενοι ἤδη ἀπιόντα. ἐπεὶ δὲ ἡμέρα ἐγένετο, μαθὼν ὁ τὴν Αἴγυπτον ἐπιτετραμμένος τὸ συμβεβηκὸς, ἐπ' ἐκείνους μὲν ἔπεμψε τοὺς διωξομένους. μεταστειλάμενος δὲ τοὺς ἀμφὶ τὸν Δημήτριον, ἀπέλυσε τῶν δεσμῶν, ἐπαινέσας ὅτι μόνοι οὐκ ἀπέδρασαν, ἀλλ' οὐκ ἐκεῖνοί γε ἠγάπησαν, οὕτως ἀφιέμενοι. ἐβόα δὲ ὁ Δημήτριος, καὶ δεινὰ ἐποίει ἀδικεῖσθαι σφᾶς οὐ σμικρὰ, εἰ δόξουσι κακοῦργοι ὄντες, ἐλέῳ, ἢ ἐπαίνῳ τοῦ μὴ ἀποδρᾶναι ἀφεῖσθαι. καὶ τέλος, ἠνάγκασαν τὸν δικαστὴν ἀκριβῶς τὸ πρᾶγμα ἐξετάσαι. ὁ δὲ, ἐπεὶ ἔμαθεν οὐδὲν ἀδικοῦντας, ἐπαινέσας αὐτοὺς, τὸν Δημήτριον δὲ καὶ πάνυ θαυμάσας, ἀφίησι, παραμυθησάμενος ἐπὶ τῇ κολάσει, ἣν ἠνέσχοντο ἀδίκως δεθέντες, καὶ ἑκάτερον δωρησάμενος, παρ' αὑτοῦ δραχμαῖς μὲν μυρίαις τὸν Ἀντίφιλον, δὶς τοσαύταις δὲ τὸν Δημήτριον. ὁ μὲν οὖν Ἀντίφιλος, ἔτι καὶ νῦν ἐν Αἰγύπτῳ ἐστίν. ὁ δὲ Δημήτριος, καὶ τὰς αὑτοῦ δισμυρίας ἐκείνῳ καταλιπὼν, ᾤχετο ἀπιὼν εἰς τὴν Ἰνδικὴν, παρὰ τοὺς Βραχμᾶνας, τοσοῦτον εἰπὼν πρὸς

τὸν Ἀντί

τὸν Ἀντίφιλον, ὡς συγγνωστὸς ἂν εἰκότως νομίζοιτο, ἤδη ἀπολιπὼν αὐτόν. οὔτε γὰρ αὐτὸς δεῖσθαι τῶν χρημάτων, ἔστ' ἂν αὐτὸς ᾖ, ὅπερ ἐστὶν ἀρκέσαι, ὀλίγοις δυνάμενος, οὔτε ἐκείνῳ ἔτι δεῖν φίλου, συμμάχων αὐτῷ τῶν πραγμάτων γεγενημένων. τοιοῦτοι, ὦ Τόξαρι, οἱ Ἕλληνες φίλοι. εἰ δὲ μὴ προδιεβεβλήκεις ἡμᾶς, ὡς ἐπὶ ῥήμασι μέγα φρονοῦντας, καὶ αὐτοὺς ἄν σοι τοὺς λόγους διεξῆλθον πολλούς, καὶ ἀγαθοὺς ὄντας, οὓς ὁ Δημήτριος εἶπεν ἐν τῷ δικαστηρίῳ, ὑπὲρ αὐτοῦ μὲν οὐδὲ ἀπολογούμενος, ὑπὲρ τοῦ Ἀντιφίλου δὲ, καὶ δακρύων προσέτι, καὶ ἱκετεύων, καὶ τὸ πᾶν ἐφ' ἑαυτὸν ἀναδεχόμενος, ἄχρι μαστιγούμενος ὁ Σύρος, ἀμφοτέρους ἀφίησιν αὐτούς. ἐγὼ μὲν τούτους ὀλίγους ἀπὸ πλειόνων, οὓς πρώτους ἡ μνήμη ὑπέβαλε διηγησάμην σοι, ἀγαθοὺς, καὶ βεβαίους φίλους. καὶ τὸ λοιπὸν ἤδη καταβὰς ἀπὸ τοῦ λόγου, σοὶ τὴν ῥῆσιν παραδίδωμι. σὺ δὲ ὅπως μὴ χείρους ἐρεῖς τοὺς Σκύθας, ἀλλὰ πολλῷ τούτων ἀμείνους, αὐτῷ σοι μελήσει, εἴ τι καὶ τῆς δεξιᾶς πεφρόντικας, ὡς μὴ ἀποτμηθείης αὐτήν, ἀλλὰ χρὴ ἄνδρα ἀγαθὸν εἶναι. ἐπεὶ καὶ γελοῖα ἂν πάθοις, Ὀρέστην μὲν, καὶ Πυλάδην πάνυ σοφιστικῶς ἐπαινέσας. ὑπὲρ δὲ τῆς Σκυθίας, φαῦλος ῥήτωρ φαινόμενος.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΤΟ. εὖ γε ὦ Μνήσιππε, ὅτι καὶ προξύνεις με πρὸς τὸν λόγον, ὥσπερ οὐ πάνυ σοι μέλον, εἰ ἀποτμηθείης τὴν γλῶτταν, κρατηθεὶς ἐν τοῖς λόγοις. πλὴν ἄρξομαί γε ἤδη, μηδὲν ὥσπερ σὺ καλλιλεσχησάμενος. οὐ γὰρ σκυθικὸν τοῦτο. καὶ μάλιστα ἐπειδὰν τὰ ἔργα ὑπερφθέγγηται τοὺς λόγους. προσδοκήσῃς δὲ μηδὲν τοιοῦτον παρ' ἡμῶν, οἷα σὺ διεξελήλυθας ἐπαινῶν, εἴ τις ἄπροικον ἔγημεν αἰσχρὰν γυναῖκα, ἢ εἴ τις ἀργύριον ἐπέδωκε γαμουμένῃ θυγατρί, φίλου ἀνδρὸς, δύο τάλαντα. ἢ νὴ Δί' εἴ τις παρέσχεν ἑαυτὸν δεθησόμενον, ἐπὶ προδήλῳ τῷ μικρὸν ὕστερον λυθήσεσθαι. πάνυ γὰρ εὐτελῆ ταῦτα. ἢ μεγαλουργὸν ἐν αὐτοῖς, ἢ ἀνδρεῖον ἔνι οὐδέν. ἐγὼ δέ σοι διηγήσομαι φόνους πολλοὺς, καὶ πολέμους, καὶ θανάτους ὑπὲρ τῶν φίλων, ἵν' εἰδῇς ὡς παιδιὰ τὰ ὑμέτερά ἐστι, πρὸς τὰ Σκυθικὰ ἐξεταζόμενα. καίτοι οὐδὲ ἀλόγως αὐτὸ πεπόνθατε, ἀλλὰ εἰκότως τὰ μικρὰ ταῦτα ἐπαινεῖτε. οὐδὲ γὰρ οὐδέ εἰσιν ὑμῖν ἀφορμαὶ ὑπερμεγέθεις, πρὸς ἐπίδειξιν φιλίας, ἐν εἰρήνῃ βαθείᾳ βιοῦσιν, ὥσπερ οὐδ' ἐν γαλήνῃ μάθοις, εἰ ἀγαθὸς ὁ κυβερνήτης ἐστί. χειμῶνος γὰρ δεήσει σοι πρὸς τὴν διάγνωσιν. παρ' ἡμῖν δέ, συνεχεῖς οἱ πόλεμοι. καὶ ἢ ἐπελαύνομεν ἄλλοις, ἢ ὑποχωροῦμεν ἐπιόντας,

όντες, ἢ συμπεσόντες, ὑπὲρ νομῆς, ἢ λείας, μαχόμεθα. ἔνθα μάλιστα δεῖ φίλων ἀγαθῶν. καὶ διὰ τοῦτο, ὡς βεβαιότατα συντιθέμεθα τὰς φιλίας, μόνον τοῦτο ὅπλον ἄμαχον, καὶ δυσπολέμητον εἶναι νομίζοντες. πρότερον δέ σοι εἰπεῖν βούλομαι, ὃν τρόπον ποιούμεθα τοὺς φίλους, οὐκ ἐκ τῶν πότων, ὥσπερ ὑμεῖς, οὐδ' εἰ συνέφηβός τις, ἢ γείτων ἦν, ἀλλ' ἐπειδάν τινα ἴδωμεν ἀγαθὸν ἄνδρα, καὶ μεγάλα ἐργάσασθαι δυνάμενον, ἐπὶ τοῦτον ἅπαντες σπεύδομεν. καὶ ὅπερ ὑμεῖς ἐν τοῖς γάμοις, τοῦτο ἡμεῖς ἐπὶ τῶν φίλων ποιεῖν ἀξιοῦμεν, ἐπὶ πολὺ μνηστευόμενοι, καὶ πάντα ὁμοῦ πράττοντες, ὡς μὴ διαμαρτάνοιμεν τῆς φιλίας, μηδὲ ἀπόβλητοι δόξωμεν εἶναι. κἀπειδὰν προκριθείς τις ἤδη φίλος ᾖ, συνθῆκαι τὸ ἐπὶ τούτῳ, καὶ ὅρκος ὁ μέγιστος, ἦ μὴν καὶ βιώσεσθαι μετ' ἀλλήλων, καὶ ἀποθανεῖσθαι, ἢν δέῃ ὑπὲρ τοῦ ἑτέρου τὸν ἕτερον. καὶ οὕτω ποιοῦμεν. ἀφ' οὗ γὰρ ἐντεμόντες ἅπαξ τοὺς δακτύλους, ἐσταλάξωμεν τὸ αἷμα εἰς κύλικα, καὶ τὰ ξίφη ἄκρα βάψαντες, ἅμα ἀμφότεροι ἐπισχόμενοι, πίωμεν, οὐκ ἔστιν ὅ, τι τὸ μετὰ τοῦθ' ἡμᾶς διαλύσειεν ἄν. καὶ ἐφεῖται δὲ τὸ μέγιστον ἄχρι τριῶν ἐς τὰς συνθήκας εἰσιέναι, ὡς ὅστις ἂν πολύφιλος ᾖ, ὅμοιος ἡμῖν δοκεῖ ταῖς

κοινὰς ταύτας, καὶ μοιχευομέναις γυναιξί.
καὶ οἰόμεθα οὐκέτ' ὁμοίως ἰσχυρὰν τὴν φιλίαν
αὐτοῖς εἶναι, πρὸς πολλὰς εὐνοίας διαιρεθεῖσαν.
ἄρξομαι δὲ ἀπὸ τῶν Δανδάμιδος πρώην γενο-
μένων. ὁ γὰρ Δάνδαμις, ἐν τῇ πρὸς Σαυρομά
τας συμπλοκῇ, ἀπαχθέντος αἰχμαλώτου Α
μιζώκου τοῦ φίλου αὐτοῦ, μᾶλλον δὲ πρότερον
ὀμοῦμαί σοι τὸν ἡμέτερον ὅρκον, ἐπεὶ καὶ τοῦτο
ἐν ἀρχῇ διωμολογησάμην, οὐ μὰ τὸν ἄνεμον,
καὶ τὸν ἀκινάκην, οὐδὲν πρὸς σὲ ὦ Μνήσιππε
ψεῦδος ἐρῶ περὶ τῶν φίλων τῶν Σκυθικῶν.
Μνη. ἐγὼ μὲν οὐ πάνυ σου ὀμνύοντος ἐδεόμην.
σὺ δὲ ὅμως εὖ ποιῶν, οὐδένα θεῶν ἐπωμόσω.
Τό. τί σὺ λέγεις; οὐ σοι δοκοῦσιν, ὁ ἄνεμος, καὶ
ὁ ἀκινάκης, θεοὶ εἶναι; οὕτως ἄρα ἠγνόηκας, ὅτι
ἀνθρώποις μεῖζον οὐδέν ἐστι ζωῆς τε, καὶ θανά
του; ὁπόταν οὖν τὸν ἄνεμον, καὶ τὸν ἀκινάκην ὀ
μνύωμεν, ταῦτα ὀμνύομεν. ὡς τὸν μὲν ἄνεμον,
ζωῆς αἴτιον ὄντα. τὸν ἀκινάκην δὲ, ὅτι ἀποθνή
σκειν ποιεῖ. Μνη. καὶ μὴν εἰ διὰ τοῦτο, καὶ
ἄλλους ἂν ἔχοιτε πολλοὺς θεοὺς, οἷος ὁ ἀκινά
κης ἐστί. τὸν οἰστὸν, καὶ τὴν λόγχην, καὶ κώνειον,
καὶ βρόχον, καὶ τὰ τοιαῦτα. ποικίλος γὰρ οὗτος
ὁ θεὸς ὁ θάνατος, καὶ ἀπείρους τὰς ἐφ' ἑαυτὸν
παρέχεται ἀγούσας ὁδούς. Τό. ὁρᾷς, τοῦτο

ὡς

ὡς ἐριστικὸν ποιεῖς, καὶ δικανικόν, ἀποκρούων μεταξὺ, καὶ διαφθείρων μου τὸν λόγον. ἐγὼ δέ, ἡσυχίαν ἦγον, σοῦ λέγοντος. Μνη. ἀλλ' οὐκ αὖθις γε ὦ Τόξαρι, ποιήσω αὐτό. πάνυ γὰρ ὀρθῶς ἐπετίμησας. ὥστε φθέγγου, τό γε ἐπὶ τούτῳ λέγε, ὡς μηδὲ παρόντος ἐμοῦ τοῖς λόγοις, οὕτω σιωπήσομαί σοι. Τό. τετάρτη μὲν ἦν ἡμέρα τῆς φιλίας Δανδάμιδι, καὶ Ἀμιζώκῃ, ἀφ' οὗ τὸ ἀλλήλων αἷμα συνεπεπώκεσαν. ἧκον δὲ ἡμῖν ἐπὶ τὴν χώραν Σαυρομάται, μυρίοις μὲν ἱππεῦσιν. οἱ πεζοὶ δέ, τρὶς τοσοῦτοι ἐπεληλυθέναι ἐλέγοντο. οἷα δὲ οὐ προειδομένοις τὴν ἔφοδον αὐτῶν, ἐπιπεσόντες, ἅπαντας μὲν τρέπουσι, πολλοὺς δὲ τῶν μαχίμων κτείνουσι. τοὺς δέ, καὶ ζῶντας, ἀπάγουσι, πλὴν εἴ τις ἔφθη διανηξάμενος εἰς τὸ πέραν τοῦ ποταμοῦ, ἔνθα ἡμῖν τὸ ἥμισυ τοῦ στρατοπέδου, καὶ μέρος τῶν ἁμαξῶν ἦν. οὕτω γὰρ ἐσκηνώκειμεν τότε, οὐκ οἶδα ὅ,τι δόξαν τοῖς ἀρχιπλάνοις ἡμῶν, ἐπ' ἀμφοτέρας τὰς ὄχθας τοῦ Ταναΐδος. εὐθὺς οὖν ἥ τε λεία περιηλαύνετο, καὶ τὰ αἰχμάλωτα συνείχετο, καὶ τὰς σκηνὰς διήρπαζον, καὶ τὰς ἁμάξας κατελάμβανον, αὐτάνδρους τὰς πλείστας ἁλισκομένας, καὶ ἐν ὀφθαλμοῖς ἡμῶν ὕβριζοντες τὰς παλλακίδας, καὶ τὰς γυναῖκας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡμεῖς δὲ, ἠνιώμεθα τῷ πράγματι. ὁ δὲ Ἀμιζώκης ἀγόμενος, ἑαλώκει γὰρ, ἐβόα τὸν φίλον ὀνομαστὶ, κακῶς δεδεμένος. καὶ ὑπεμίμνησκε τῆς κύλικος, καὶ τοῦ αἵματος. ὧν ἀκούσας ὁ Δάνδαμις, οὐδὲν ἔτι μελλήσας, ἁπάντων ὁρώντων, διανήχεται εἰς τοὺς πολεμίους. καὶ οἱ μὲν Σαυρομάται, διηρμένοι τοὺς ἄκοντας, ὥρμησαν ἐπ' αὐτὸν, ὡς κατακεντήσοντες. ὁ δὲ, ἐβόα τὴν ζίριν. τοῦτο δὲ ἦν ὅστις εἴπῃ, οὐκέτι φονεύουσιν αὐτὸν, ἀλλὰ δέχονται, ὡς ἐπὶ λύτροις ἥκοντα. καὶ δὴ ἀναχθεὶς πρὸς τὸν ἄρχοντα αὐτῶν, ἀπῄτει τὸν φίλον. ὁ δὲ, λύτρα ᾔτει, μὴ γὰρ προήσεσθαι, εἰ μὴ μεγάλα ὑπὲρ αὐτοῦ λάβῃ. ὁ Δάνδαμις δὲ, ἃ μὲν εἶχόν φησιν ἅπαντα διήρπασται ὑφ' ὑμῶν. εἰ δέ τι δύναμαι γυμνὸς ἀποτελέσαι, ἕτοιμος ὑποστῆναι ὑμῖν. καὶ πρόσταττε ὅ,τι ἂν θέλῃς. εἰ βούλει δὲ, ἐμὲ ἀντὶ τούτου λαβὼν, κατάχρησαι πρὸς ὅ,τι σοι φίλον. ὁ δὲ Σαυρομάτης, οὐδὲν ἔφη δεῖ ὅλως κατέχεσθαι, καὶ ταῦτα, ζίριν ἥκοντα. σὺ δὲ, ὧν ἔχεις μέρος καταβαλὼν, ἄπει τὸν φίλον. ἤρετο ὁ Δάνδαμις ὅ,τι καὶ βούλεται λαβεῖν. ὁ δὲ, τοὺς ὀφθαλμοὺς ᾔτησεν. ὁ δὲ, αὐτίκα παρέσχεν ἐκκόπτειν αὐτούς. κἀπειδὴ ἐξεκέκοπτο, καὶ ἤδη τὰ λύτρα εἶχον οἱ Σαυρομάται, παραλαβὼν τὸν Ἀμιζώκην,

ἐπανῄει

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπανῄει, ἐπιλαβόμενος αὐτοῦ. καὶ ἅμα διαζευξάμενοι, ἀπεσώθησαν πρὸς ἡμᾶς. τούτου γενομένου, παρεμυθήσατο ἅπαντας Σκύθας, καὶ οὐκέτι ἡττᾶσθαι ἐνόμιζον, ὁρῶντες ὅτι τὸ μέγιστον ἡμῖν τῶν ἀγαθῶν, οὐκ ἀπήγαγον οἱ πολέμιοι, ἀλλ' ὅτι ἦν παρ' ἡμῖν ἡ ἀγαθὴ γνώμη, καὶ ἡ πρὸς τοὺς φίλους πίστις. καὶ τοὺς Σαυρομάτας δὲ, τὸ αὐτὸ οὐ μετρίως ἐφόβησε, λογιζομένους πρὸς οἵους ἄνδρας ἐκ παρασκευῆς μαχοῦνται, εἰ καὶ ἐν τῷ ἀπροσδοκήτῳ τότε ὑπερέσχον. ὥστε νυκτὸς ἐπιγενομένης, ἀπολιπόντες τὰ πλεῖστα τῶν βοσκημάτων, καὶ τὰς ἁμάξας ἐμπρήσαντες, ᾤχοντο φεύγοντες. ὁ μέντοι Ἀμιζώκης, οὐκέτι ἠνέσχετο βλέπειν αὐτὸς ἐπὶ τυφλῷ τῷ Δανδάμιδι. ἀλλὰ τυφλώσας καὶ αὐτὸς ἑαυτὸν ἀμφότεροι κάθηνται ὑπὸ τοῦ κοινοῦ τῶν Σκυθῶν δημοσίᾳ μετὰ πάσης τιμῆς τρεφόμενοι. τί τοιοῦτον ὦ Μνήσιππε, ὑμεῖς ἔχοιτε ἂν εἰπεῖν, εἰ καὶ ἄλλους σοι δέκα δοίη τις ἐπὶ τοῖς πέντε καταριθμήσασθαι, ἀνωμότους εἰ βούλει, ὡς καὶ πολλὰ ἐπιψεύδοιο αὐτοῖς. καίτοι ἐγὼ μέν σοι γυμνὸν τὸ ἔργον διηγησάμην. εἰ δὲ σύ τινα τοιοῦτον ἔλεγες, εὖ οἶδα ὁπόσα ἂν κομψὰ ἐγκατέμιξας τῷ λόγῳ, οἷα ἱκέτευεν ὁ Δάνδαμις, καὶ ὡς ἐτυφλοῦτο, καὶ ἃ εἶπε, καὶ ὡς ἐπανῆκε, καὶ ὡς ὑπεδέξαντο αὐτὸν ἐπιβοώμενοι

μοῦντες οἱ Σκύθαι. καὶ ἄλλα, ὁποῖα ὑμεῖς μη-
χανᾶσθαι εἰώθατε πρὸς τὴν ἀκρόασιν. ἄκουε
γοῦν καὶ ἄλλον ἰσότιμον, Βελίτταν, Ἀμιζώκου
τοῦ ἀνεψιόν. ὃς ἐπεὶ κατασπασθέντα ἐκ τοῦ
ἵππου ὑπὸ λέοντος εἶδε Βάσθην τὸν φίλον, ἅ-
μα δὲ ἔτυχον θηρῶντες, καὶ ἤδη ὁ λέων περι-
πλακεὶς αὐτῷ, ἐνεπεφύκει τῷ λαιμῷ, καὶ τοῖς
ὄνυξιν ἐσπάραττε, καταπηδήσας καὶ αὐτὸς, ἐπι-
πίπτει κατόπιν τῷ θηρίῳ, καὶ περιέσπα, πρὸς
ἑαυτὸν παροξύνων, καὶ μεταλαμβάνων, καὶ διὰ τῶν ὀ-
δόντων μεταξὺ διείρων τοὺς δακτύλους. καὶ τὸν
Βάσθην, ὡς οἷόν τε ἦν, ὑπεξέλκειν πειρώμενος
τοῦ δήγματος. ἄχρι δὴ ὁ λέων ἀφεὶς ἐκεῖνον ἡ-
μιθνῆτα ἤδη, ἐπὶ τὸν Βελίτταν ἀπεστράφη, καὶ
συμπλακεὶς, ἀπέκτεινε κἀκεῖνον. ὁ δὲ, ἀπο-
θνήσκων, τὸ γοῦν τοσοῦτον ἔφθη πατάξας τῷ
ἀκινάκῃ τὸν λέοντα εἰς τὸ στέρνον, ὥστε ἅμα
πάντες ἀπέθανον, καὶ ἡμεῖς ἐθάψαμεν αὐτοὺς,
δύο τάφους ἀναχώσαντες πλησίον, ἕνα μὲν τῶν
φίλων, ἕνα δὲ κατ' ἀντικρὺ τοῦ λέοντος. τρί-
την δέ σοι διηγήσομαι ὦ Μνήσιππε τὴν Μακέν-
του φιλίαν, καὶ Λογχάτου, καὶ Ἀρσακόμα. ὁ γὰρ
Ἀρσακόμας οὗτος, ἠράσθη Μαζαίας τῆς Λευκά-
νορος, τοῦ βασιλεύσαντος ἐν Βοσπόρῳ, ὁπότε
ἐπρέσβευεν ὑπὲρ τοῦ δασμοῦ, ὃν οἱ Βοσπορανοὶ
ἀεὶ

ἀεὶ φέροντες ἡμῖν, τότε ἤδη τρίτον μῆνα ὑπερήμεροι ἐγεγένηντο. ἐν τῷ δείπνῳ τοίνυν ἰδὼν τὴν Μαζαίαν, μεγάλην, καὶ καλὴν παρθένον, ἤρα, καὶ πονήρως εἶχε. τὰ μὲν οὖν περὶ τῶν φόρων, διεπέπρακτο ἤδη, καὶ ἐχρημάτιζεν αὐτῷ ὁ βασιλεὺς, καὶ εἱστία, ἤδη αὐτὸν ἀποπέμπων. ἔθος δέ ἐστιν ἐν Βοσπόρῳ, τοὺς μνηστῆρας ἐπὶ τῷ δείπνῳ αἰτεῖν τὰς κόρας, καὶ λέγειν οἵτινες ὄντες, ἀξιοῦσι καταλεχθῆναι πρὸς τὸν γάμον. καὶ δὴ καὶ τότε ἔτυχον ἐν τῷ δείπνῳ πολλοὶ μνηστῆρες παρόντες, βασιλεῖς, καὶ βασιλέων παῖδες. καὶ Τιγραπάτης ἦν ὁ Λαζῶν δυνάστης, καὶ Ἀδύρμαχος, ὁ Μαχλυήνης ἄρχων, καὶ ἄλλοι πολλοί. δεῖ δὲ τῶν μνηστήρων ἕκαστον προσαγγείλαντα ἑαυτὸν, διότι μνηστευσόμενος ἥκει, δειπνεῖν ἐν τοῖς ἄλλοις, κατακείμενον ἐφ' ἡσυχίας. ἐπειδὰν δὲ παύσωνται δειπνοῦντες, αἰτήσαντα φιάλην, ἐπισπεῖσαι κατὰ τῆς τραπέζης, καὶ μνηστεύεσθαι τὴν παῖδα, πολλὰ ἐπαινοῦντα ἑαυτὸν, ὅστις ἢ γένους, ἢ πλούτου, ἢ δυνάμεως ἔχοι. πολλῶν οὖν κατὰ τόνδε τὸν νόμον σπεισάντων, καὶ αἰτησάντων, καὶ βασιλείας, καὶ πλούτους καταριθμησαμένων, τελευταῖος ὁ Ἀρσακόμας αἰτήσας τὴν φιάλην, οὐκ ἔσπεισεν. οὐ γὰρ ἔθος ἡμῖν ἐκχεῖν τὸν οἶνον, ἀλλ' ὕβρεις εἶν

δοκεῖ τοῦτο εἰς τοὐνθεόν. πιὼν δὲ ἀμυστὶ, δός μοι ὦ βασιλεῦ ἔφη τὴν θυγατέρα σου Μαζαίαν, γυναῖκα ἔχειν, πολὺ ἐπιτηδειοτέρῳ τούτων ὄντι, ὁπόσα γε ἐπὶ τῷ πλούτῳ, καὶ τοῖς κτήμασι. τοῦ δὲ Λευκάνορος θαυμάσαντος, ἠπίστατο γὰρ πένητα τὸν Ἀρσακόμαν καὶ Σκυθῶν τῶν πολλῶν, καὶ ἐρομένου, πόσα δὲ βοσκήματα, ἢ πόσας ἁμάξας ἔχεις ὦ Ἀρσακόμα, ταῦτα γὰρ ὑμεῖς πλουτεῖτε. ἀλλ᾽ οὐχ ἁμάξας ἔφη ἔχω, οὐδὲ ἀγέλας, ἀλλ᾽ εἰσί μοι δύο φίλοι καλοὶ, καὶ ἀγαθοὶ, οἷοι οὐκ ἄλλῳ Σκυθῶν. τότε μὲν οὖν ἐγελάσθη ἐπὶ τούτοις, καὶ παρώφθη, καὶ μεθύειν ἔδοξεν. ἕωθεν δὲ προκριθεὶς τῶν ἄλλων Ἀδύρμαχος, ἔμελλεν ἀπάξειν τὴν νύμφην ἐς τὴν Μαιῶτιν, παρὰ τοὺς Μάχλυας. ὁ δὲ Ἀρσακόμας ἐπανελθὼν οἴκαδε, μηνύει τοῖς φίλοις, ὡς ἀτιμασθείη ὑπὸ τοῦ βασιλέως, καὶ γελασθείη ἐν τῷ συμποσίῳ, πένης εἶναι δόξας. καίτοι ἔφη ἐγὼ διηγησάμην αὐτῷ τὸν πλοῦτον, ὁπόσος ἐστί μοι, ὑμᾶς ὦ Λογχάτα, καὶ Μακέντα, καὶ τὴν εὔνοιαν τὴν ὑμετέραν πολὺ ἀμείνω, καὶ βεβαιοτέραν τῆς Βοσπορανῶν δυνάμεως. ἀλλ᾽ ἐμοῦ ταῦτα διεξιόντος, ἡμᾶς μὲν ἐχλεύαζε, καὶ κατεφρόνει. Ἀδυρμάχῳ δὲ τῷ Μαχλυῒ, παρέδωκεν ἀπάγειν τὴν νύμφην, ὅτι χρυσᾶς τε φιάλας ἔλεγεν

ἔχειν

ἔχειν δέκα, καὶ ἁμάξας τετρακλίνους ὀγδοήκοντα, καὶ πρόβατα, καὶ βοῦς πολλούς. οὕτως ἄρα προετίμησεν ἀνδρῶν ἀγαθῶν βοσκήματα πολλά, καὶ ἐκπώματα περίεργα, καὶ ἁμάξας βαρείας. ἐγὼ δὲ ὦ φίλοι, δι' ἀμφότερα ἀνιῶμαι. καὶ γὰρ ἐρῶ τῆς Μαζαίας, καὶ ἡ ὕβρις ἐν τοσούτοις ἀνθρώποις οὐ μετρίως μου καθίκετο. οἶμαι δὲ καὶ ὑμᾶς ἐπίσης ἠδικῆσθαι. τὸ γὰρ τέλειον μετῆν ἑκάστῳ ἡμῶν τῆς ἀτιμίας, εἴγε οὕτω βιοῦμεν, ὡς ἀφ' οὗ συνεληλύθαμεν, εἷς ἄνθρωπος ὄντες, καὶ τὰ αὐτὰ ἀνιώμενοι, καὶ τὰ αὐτὰ χαίροντες, οὐ μόνον ἐπεῖτην ὁ Λογχάτης, ἀλλὰ καὶ ἕκαστος ἡμῶν ὅλος ὕβρισται, ὁπότε σύ τοι αὐτὰ ἔπαθες. πῶς οὖν ὁ Μακέντης ἔφη χρησόμεθα τοῖς παροῦσι; διελώμεθα ἔφη ὁ Λογχάτης τὸ ἔργον. καὶ ἐγὼ μὲν ὑπισχνοῦμαι Ἀρσακόμᾳ τὴν κεφαλὴν κομιεῖν τὴν Λευκάνορος. σὲ δὲ χρὴ τὴν νύμφην ἐπανάγειν αὐτῷ. οὕτω γινέσθω ἔφη. σὺ δὲ ὦ Ἀρσακόμα, ἐν τοσούτῳ, εἰκὸς γὰρ καὶ στρατείας, καὶ πολέμου τὸ μετὰ τοῦτο δεήσειν ἡμᾶς, αὐτοῦ περιμενόντων, συνάγειρε, καὶ παρασκεύαζε ὅπλα, καὶ ἵππους, καὶ τὴν ἄλλην δύναμιν ὡς πλείστην. ῥᾷστα δ' ἂν πολλοὺς προσαγάγοιο, αὐτός τε ἀγαθὸς ὤν, καὶ ἡμῖν οὐκ ὀλίγων ὄντων οἰκείων. μάλιστα δὲ εἰ καθίζοιο

ἐπὶ τῆς βύρσης τοῦ βοός. ἔδοξε ταῦτα, καὶ ὁ μὲν, ἐχώρει, ὡς εἶχεν εὐθὺς ἐπὶ τοῦ Βοσπόρου ὁ Λογχάτης. ὁ Μακέντης δὲ, ἐπὶ τοὺς Μάχλυας. ἱππότης ἑκάτερος. ὁ δὲ Ἀρσακόμας, οἴκοι μένων, τούς τε ἡλικιώτας διελέγετο, καὶ ὥπλιζε δύναμιν παρὰ τῶν οἰκείων. τέλος δὲ, καὶ ἐπὶ τῆς βύρσης ἐκαθέζετο. τὸ δὲ ἔθος ἡμῖν τὸ περὶ τὴν βύρσαν, οὕτως ἔχει. ἐπειδὰν ἀδικηθείς τις πρὸς ἑτέρου, ἀμύνασθαι βουλόμενος, ἴδῃ καθ' ἑαυτὸν οὐκ ἀξιόμαχος ὢν, βοῦν ἱερεύσας, τὰ μὲν κρέα κατακόψας, ἥψησεν. αὐτὸς δὲ, ἐκπετάσας χαμαὶ τὴν βύρσαν, κάθηται ἐπ' αὐτῆς, εἰς τοὐπίσω παραγαγὼν τὼ χεῖρε, ὥσπερ οἱ ἐκ τῶν ἀγκώνων δεδεμένοι. καὶ τοῦτό ἐστιν ἡμῖν ἡ μεγίστη ἱκετηρία. παρακειμένων δὲ τῶν κρεῶν τοῦ βοὸς, προσιόντες οἱ οἰκεῖοι, καὶ τῶν ἄλλων ὁ βουλόμενος, μοῖραν ἕκαστος λαβὼν, ἐπιβὰς τῇ βύρσῃ τὸν δεξιὸν πόδα, ὑπισχνεῖται κατὰ δύναμιν, ὁ μὲν, πέντε ἱππέας παρέξειν ἀσίτους, καὶ ἀμίσθους. ὁ δὲ, δέκα. ὁ δὲ, πλείους. ὁ δὲ, ὁπλίτας πεζοὺς, ὁπόσους ἂν δύνηται. ὁ δὲ, μόνον ἑαυτὸν, ὁ πενέστατος. ἀθροίζεται οὖν ἐπὶ τῆς βύρσης πολὺ πλῆθος ἐνίοτε. καὶ τὸ τοιοῦτον σύνταγμα, βεβαιότατόν τε ἐστὶ συμμεῖναι, καὶ ἀπρόσμαχον τοῖς ἐχθροῖς, ἅτε καὶ ἔνορκον ὄν. τὸ

γὰρ

ἐπιβῆναι τῆς βύρσης, ὅρκος ἐστίν. ὁ μὲν οὖν Ἀρσακόμας, ἐν τούτοις ἦν. καὶ ἠθροίσθησαν αὐτῷ ἱππεῖς μὲν ἀμφὶ τοὺς πεντακισχιλίους, ὁπλῖται δέ, καὶ πεζοί, συναμφότεροι δισμύριοι. ὁ δὲ Λογχάτης, ἀγνοούμενος, παρελθὼν ἐς τὸν Βόσπορον, προσέρχεται τῷ βασιλεῖ διοικουμένῳ τι τῆς ἀρχῆς, καί φησιν, ἥκειν μὲν ἀπὸ τοῦ κοινοῦ τῶν Σκυθῶν, ἰδίᾳ δὲ αὐτῷ μεγάλα πράγματα κομίζων. τοῦ δέ, λέγειν κελεύσαντος, οἱ μὲν Σκύθαι φησὶ τὰ κοινὰ ταῦτα, καὶ τὰ καθημέραν ἀξιοῦσι, μὴ ὑπερβαίνειν τοὺς νομέας ὑμῶν ἐς τὸ πεδίον, ἀλλὰ μέχρι του Τραχῶνος νέμειν. τοὺς δὲ λῃστάς, οὓς αἰτιᾶσθε ὡς καταθέοντας ὑμῶν τὴν χώραν, οὔ φασιν ἀπὸ κοινῆς γνώμης ἐκπέμπεσθαι, ἀλλὰ ἰδίᾳ ἕκαστον ἐπὶ τῷ κέρδει κλωπεύειν. εἰ δέ τις ἁλίσκοιτο αὐτῶν, σὲ κύριον εἶναι κολάζειν. ταῦτα μὲν ἐκεῖνοι ἐπεστάλκασιν. ἐγὼ δέ, μηνύω σοι μεγάλην ἔφοδον ἐσομένην ἐφ' ὑμᾶς ὑπ' Ἀρσακόμα του Μαριάντα. ὃς ἐπρέσβευε πρώην παρὰ σέ. καὶ οἶμαι διότι αἰτήσας τὴν θυγατέρα, οὐκ ἔτυχε παρὰ σοῦ, ἀγανακτεῖ, καὶ ἐπὶ τῆς βύρσης ἑβδόμην ἡμέραν ἤδη κάθηται, καὶ συνῆκται στρατὸς οὐκ ὀλίγος αὐτῷ. ἤκουσα ἔφη ὁ Λευκάνωρ καὶ αὐτὸς ἀθροίζεσθαι δύναμιν ἀπὸ βύρσης. ὅτι δ' ἐφ' ἡμᾶς συν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἴσασι, καὶ ὅτι Ἀρσακόμας ὁ ἐλαύνων ἦλθεν,
ἠγνόουν. ἀλλ᾽ ἴσθι σε ἔφη ὁ Λογχάτης ἡ παρα
σκευή. ἐμοὶ δὲ ἐχθρὸς ὁ Ἀρσακόμας ἐστί. καὶ
ἄχθεται διότι προτιμῶμαι αὐτοῦ ὑπὸ τῶν γε
ραιτέρων, καὶ ἀμείνων τὰ πάντα δοκῶ εἶναι. εἰ
δέ μοι ὑπόσχοιο τὴν ἑτέραν σου θυγατέρα Βαρ
κέτιν, οὔτε τἄλλα ἀναξίῳ ὑμῶν ὄντι, οὐκ
εἰς μακρὰν σοι ἥξω, τὴν κεφαλὴν αὐτοῦ κομί
ζων. ὑπισχνοῦμαι ἔφη ὁ βασιλεύς, μάλα περι-
δεὴς γενόμενος. ἔγνω γὰρ τὴν αἰτίαν τῆς ὀργῆς
τῆς Ἀρσακόμα, τὴν περὶ τὸν γάμον. καὶ ἄλλως,
ὑπέπτηχεν ἀεὶ τοὺς Σκύθας. ὁ δὲ Λογχάτης,
ὄμοσον ἔφη, ἦ μὴν φυλάξαι τὰς συνθήκας,
μὴ δὲ ἀπαρνήσασθαι. τότε ἤδη τούτων γενομέ-
νων, καὶ ἐπεὶ ἀνατείνας εἰς τὸν οὐρανὸν, ἤθελεν
ὀμνύειν, μὴ σύγε ἐνταῦθα εἶπε, μὴ καί τις ὑπί
δηται τῶν ὁρώντων ἐφ᾽ ὅτῳ ὁρκωμοτοῦμεν, ἀλλ᾽
εἰς τὸ ἱερὸν τοῦ Ἄρεος τουτὶ εἰσελθόντες, ἐπικλει
σάμενοι τὰς θύρας, ὀμνύωμεν. ἀκουσάτω δὲ μη
δείς. εἰ γάρ τι τούτων πύθοιτο Ἀρσακόμας, δέ
δια μὴ προθύσηταί με τοῦ πολέμου, χεῖρα οὐ μι
κρὰν ἤδη περιβεβλημένος. εἰσίωμεν ἔφη ὁ βα-
σιλεύς. ὑμεῖς δὲ, ἀπόστητε ὅτι πορρωτάτω.
μηδεὶς δὲ παρέστω εἰς τὸν νεών, ὅν τινα μὴ ἐγὼ
καλέσω. ἐπεὶ δὲ οἱ μὲν, εἰσῆλθον, οἱ δορυφό

ροι δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ροι δ' ἀπέστησαν, σπασάμενος τὸν ἀκινάκην,
ἐπισχὼν τῇ ἑτέρᾳ τὸ στόμα, ὡς μὴ βοήσειε, παίει
παρὰ τὸν μαστόν. εἶτα ἀποτεμὼν τὴν κεφαλὴν
ὑπὸ τῇ χλαμύδι ἔχων, ἐξῄει, μεταξὺ διαλε-
γόμενος δῆθεν αὐτῷ. καὶ διὰ ταχέων ἥξειν λέ
γων, ὡς δή ἐπί τι πεμφθεὶς ὑπ' ἐκείνου. καὶ
οὕτως ἐπὶ τὸν τόπον ἀφικόμενος, ἔνθα δεδε-
μένον καταλελοίπει τὸν ἵππον, ἀναβὰς, ἀφιπ
πάσατο εἰς τὴν Σκυθίαν. δίωξις δὲ οὐκ ἐγένε
το αὐτοῦ, ἐπὶ πολὺ ἀγνοησάντων τὸ γεγονὸς τῶν
Βοσπορανῶν. καὶ ὅτε ἔγνωσαν ὑπὲρ τῆς βασιλεί-
ας στασιαζόντων. ταῦτα μὲν ὁ Λογχάτης ἔπρα
ξε, καὶ τὴν ὑπόσχεσιν ἀπεπλήρωσε, τῷ Ἀρσα-
κόμᾳ παραδοὺς τὴν κεφαλὴν τοῦ Λευκάνορος.
ὁ Μακέντης δὲ, καθ' ὁδὸν ἀκούσας τὰ ἐν Βο
σπόρῳ γενόμενα, ἧκεν ἐς τοὺς Μαχλύας. καὶ πρῶ
τος ἀγγείλας αὐτοῖς τὸν φόνον τοῦ βασιλέως,
ἡ πόλις δὲ ἔφη, ὦ Ἀδύρμαχε, σὲ γαμβρὸν
ὄντα, ἐπὶ τὴν βασιλείαν καλεῖ. ὥστε, σὺ
μὲν προελάσας, παραλάμβανε τὴν ἀρχὴν,
τεταραγμένοις τοῖς πράγμασιν ἐπιφανείς.
ἡ κόρη δὲ, κατόπιν σοι ἐπὶ τῶν ἁμαξῶν ἑπέ-
σθω. ῥᾷον γὰρ οὕτω προσάξεις Βοσπορανῶν τοὺς
πολλοὺς, ἰδόντας τὴν Λευκάνορος θυγατέρα.
ἐγὼ δὲ, Ἀλανός τε εἰμι, καὶ τῇ παιδὶ ταύ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῇ συγγενὴς μητρόθεν. παρ' ἡμῶν γὰρ οὖσαν τὴν Μάστειραν, ἠγάγετο ὁ Λευκάνωρ. καὶ νῦν σοι ἥκω παρὰ τῶν Μαστείρας ἀδελφῶν, τῶν ἐν Ἀλανίᾳ, παρακελευομένων ὅτι τάχιστα ἐλαύνειν ἐπὶ τὸν Βόσπορον, καὶ μὴ περιϊδεῖν ἐς Εὐβίοτον περιελθοῦσαν τὴν ἀρχήν. ὃς ἀδελφὸς ὢν νόθος Λευκάνορος, Σκύθαις μὲν, ἀεὶ φίλος ἐστίν. Ἀλανοῖς δὲ, ἀπέχθεται. ταῦτα δὲ ἔλεγεν ὁ Μακέντης, ὁμόσκευος, καὶ ὁμόγλωττος τοῖς Ἀλανοῖς ὤν. κοινὰ γὰρ ταῦτα Ἀλανοῖς, καὶ Σκύθαις. πλὴν ὅτι οὐ πάνυ κομῶσιν οἱ Ἀλανοὶ, ὥσπερ οἱ Σκύθαι. ἀλλ' ὁ Μακέντης, καὶ τοῦτο εἴκαστο αὐτοῖς, καὶ ἀποκεκάρκει τῆς κόμης, ὁπόσον εἰκὸς ἦν ἔλαττον κομᾶν τὸν Ἀλανὸν τοῦ Σκύθου. ὥστε ἐπιστεύετο διὰ ταῦτα, καὶ ἐδόκει Μαστείρας, καὶ Μαζαίας συγγενὴς εἶναι. καὶ νῦν ἔφη ὦ Ἀδύρμαχε, ἐλαύνειν ἕτοιμος ἅμα σοὶ ἐπὶ τὸν Βόσπορον, ἢν ἐθέλῃς, μένειν τε εἰ δέοι, καὶ τὴν παῖδα ἄγειν. τοῦτο ἔφη καὶ μᾶλλον ὁ Ἀδύρμαχος ἐθελήσαιμ' ἂν ἀφ' αἵματος ὄντα σε, Μαζαίαν ἄγειν. ἢν μὲν γὰρ ἅμα ἡμῖν ἴῃς ἐπὶ τὸν Βόσπορον, ἱππεῦσιν ἑνὶ πλείους ἂν γενοίμεθα. εἰ δέ μοι τὴν γυναῖκα ἄγοις, ἀντὶ πολλῶν ἂν γένοιο. ταῦτα ἐγίνετο καὶ ὁ μὲν, ἀπήλαυνε, παραδοὺς τῷ Μακέντῃ ἄγειν τὴν Μαζαίαν, παρ-

θένον

θῆνον ἐστὶ οὕτως. ὁ δὲ, ἡμέρας μὲν ἐπὶ τῆς ἁμά-
ξης ἦγεν αὐτήν. ἐπεὶ δὲ νὺξ κατέλαβεν, ἀναθέ-
μενος ἐπὶ τὸν ἵππον, ἐπεθεράπευκει δὲ ἄλλον
ἕνα σφίσιν ἱππέα ἕπεσθαι, ἀναπηδήσας καὶ αὐ-
τὸς, οὐκέτι παρὰ τὴν Μαιῶτιν ἤλαυνεν. ἀλλ'
ἀποστραφόμενος εἰς τὴν μεσόγαιαν, ἐν δεξιᾷ λα-
βὼν τὰ Μιτραίων ὄρη, διαναπαύων μεταξὺ τὴν
παῖδα, τριταῖος ἐτέλεσεν ἐκ Μαχλύων ἐς Σκύ-
θας. καὶ ὁ μὲν ἵππος αὐτῷ, ἐπειδὴ ἐπαύσατο
τοῦ δρόμου, μικρὸν ἐπιστὰς, ἀποθνήσκει. ὁ δὲ
Μακέντης, ἐγχειρίσας τὴν Μαζαίαν τῷ Ἀρ-
σακόμᾳ, δέξαι, εἶπε, καὶ παρ' ἐμοῦ τὴν ὑπόσχε-
σιν. τοῦ δὲ, πρὸς τὸ ἀνέλπιστον τοῦ θεάματος κα-
ταπλαγέντος, καὶ χάριν ὁμολογοῦντος, παῦε
ἔφη ὁ Μακέντης, ἄλλον με ποιῶν σεαυτοῦ. τὸ
γὰρ χάριν ἐμοὶ ὁμολογεῖν ἐφ' οἷς ἔπραξα ὅμ-
οιόν δέ ἐστιν, ὥσπερ ἂν ἡ ἀριστερά μου χάριν εἰ-
δείη τῇ δεξιᾷ, διότι τρωθεῖσάν ποτε αὐτὴν, ἐ-
θεράπευσε, καὶ φιλοφρόνως ἐπεμελήθη καμνού-
σης. γελοῖα τοίνυν καὶ ἡμεῖς ἂν ποιοῖμεν, εἰ πά-
λαι ἀναμιχθέντες, καὶ ὡς οἷόν τε ἦν, εἰς ἕνα
συνελθόντες, ἔτι μέγα νομίζοιμεν εἶναι, εἰ τὸ
μέρος ἡμῶν ἔπραξέ τι χρηστὸν ὑπὲρ ὅλου τοῦ
σώματος. ὑπὲρ ἑαυτοῦ γὰρ ἔπραττε, μέρος ὂν
τοῦ ὅλου εὖ πάσχοντος. οὕτω μὲν ὁ Μακέντης

ἔφη τὸν Ἀρσακόμαν χαίρειν ὁμολογήσαντι. ὁ δὲ
Ἀδύρμαχος, ὡς ἤκουσε τὴν ἐπιβουλήν, εἰς μὲν
τὸν Βόσπορον οὐκέτι ἦλθεν. ἤδη γὰρ Εὐβίοτος ἦρ-
χεν, ἐπικληθεὶς ἐκ Σαυροματῶν, παρ' οἷς διέ-
τριβεν. εἰς δὲ τὴν αὑτοῦ ἐπανελθών, καὶ στρατι-
ὰν πολλὴν συναγαγών, διὰ τῶν ὀρεινῶν ἐσέβαλεν
ἐς τὴν Σκυθίαν. καὶ ὁ Εὐβίοτος, οὐ μετ' οὐ πολὺ
καὶ οὗτος εἰσέπεσεν, ἄγων πανδημεὶ μὲν τοὺς Ἕλ-
λήνας, Ἀλανοὺς δέ, καὶ Σαυρομάτας ἐπικλή-
ρους ἑκατέρους δισμυρίους. ἀναμίξαντες δὲ τὰ
στρατεύματα, ὁ Εὐβίοτος, καὶ ὁ Ἀδύρμαχος,
ἐννέα μυριάδες ἅπαντες ἐγένοντο. καὶ τούτων
τὸ τρίτον, ἱπποτοξόται. ἡμεῖς δέ, καὶ γὰρ καὶ αὐ-
τὸς μετέχον τῆς ἐξόδου, ἀυρῖς ἐπιδοὺς ἐν τῇ
βύρσῃ τότε ἱππέας αὐτοτελεῖς ἑκατόν, οὐ πολ-
λῷ ἔλαττον τῶν τρισμυρίων σὺν τοῖς ἱππεῦσι
συναθροισθέντες, ὑπεμένομεν τὴν ἔφοδον. ἐστρα-
τήγει δὲ ὁ Ἀρσακόμας. καὶ ἐπειδὴ προσιόντας
εἴδομεν αὐτούς, ἀντεπήειμεν, προεπαφέντες
τὸ ἱππικόν. γενομένης δὲ ἐπὶ πολὺ μάχης καρ-
τερᾶς, ἐνεδίδου ἤδη τὰ ἡμέτερα, καὶ παρερρήγνυ-
το ἡ φάλαγξ. καὶ τέλος, εἰς δύο διεκόπη τὸ Σκυ-
θικὸν ἅπαν. καὶ τὸ μέν, ὑπέφευγεν, οὐ πάνυ σα-
φῶς ἡττημένον, ἀλλ' ἀναχώρησις ἐδόκει ἡ φυ-
γή. οὐδὲ γὰρ οἱ Ἀλανοὶ ἐτόλμων ἐπὶ πολὺ διώ-

κειν. τὸ

κεν. τὸ δὲ ἥμισυ, ὅπερ καὶ ἔλαττον, περιέχοντες οἱ Ἀλανοὶ, καὶ Μάχλυες, ἔκοπτον πανταχόθεν, ἀφθόνως ἀφιέντες τῶν οἰστῶν, καὶ ἀκοντίων. ὥστε πάνυ ἐπονοῦμεν ἡμῶν οἱ περιεχημένοι. καὶ ἤδη προΐεντο οἱ πολλοὶ τὰ ὅπλα. ἐν τούτοις δὲ, ὁ Λογχάτης, καὶ ὁ Μακέντης, ἔτυχον ὄντες, καὶ ἐτέτρωντο ἤδη, προκινδυνεύοντες. ὁ μὲν, παρακεκόντιστο τὸν μηρὸν, ὁ Λογχάτης. ὁ Μακέντης δὲ, πελέκει εἰς τὴν κεφαλὴν, καὶ κοντῷ εἰς τὸν ὦμον. ὅπερ αἰσθόμενος ὁ Ἀρσακόμας, ἐν ἡμῖν τοῖς ἄλλοις ὢν, δεινὸν ἡγησάμενος, εἰ ἄπεισι καταλιπὼν τοὺς φίλους, προσβαλὼν τοὺς μύωπας τῷ ἵππῳ, ἐμβοήσας, ἤλαυνε διὰ τῶν πολεμίων, κοπίδα ἀνηρμένος. ὥστε τοὺς Μάχλυας μὴ δὲ ὑποστῆναι τὸ ῥόθιον τοῦ θυμοῦ, ἀλλὰ διαιρεθέντες, ἔδωκαν αὐτῷ διεξελθεῖν. ὁ δὲ, ἀνακτησάμενος τοὺς φίλους, καὶ τοὺς ἄλλους ἅπαντας παρακαλέσας, ὥρμησεν ἐπὶ τὸν Ἀδύρμαχον. καὶ πατάξας τῇ κοπίδι παρὰ τὸν αὐχένα, μέχρι τῆς ζώνης διέτεμε. πεσόντος δὲ ἐκείνου διελύθη τὸ μαχλυϊκὸν ἅπαν, καὶ τὸ ἀλανικὸν οὐ μετ' οὐ πολύ. καὶ οἱ Ἕλληνες ἐπὶ τούτοις. ὥστε ἐκρατοῦμεν ἐξ ὑπαρχῆς ἡμεῖς, καὶ ἐπεξήλθομεν ἂν ἐπὶ πολὺ κτείνοντες, εἰ μὴ νὺξ τὸ ἔργον ἀφείλετο. εἰς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ τὴν ἰωθοῦσαν, ἱκέται παρὰ τῶν πολεμίων ἥκοντες, ἐλεεινῶς φιλίαν ποιεῖσθαι. Βοσπορανοὶ μὲν, ὑποτελέσειν διπλάσιον τὸν δασμὸν ὑπισχνούμενοι, Μαχλυῆς δὲ, ὁμήρους δώσειν ἔφασαν. οἱ Ἀλανοὶ δὲ, ἀντὶ τῆς ἐφόδου ἐκείνης, Σινδιανοὺς ἡμῖν χειρώσασθαι ὑπέστησαν, ἐκ πολλοῦ ἀφεστῶτας. ἐπὶ τούτοις ἐπείθημεν, δόξαν πολὺ πρότερον Ἀρσακόμᾳ καὶ Λογχάτῃ. καὶ ἐγένετο εἰρήνη, ἐκείνων πρυτανευόντων ἕκαστα. τοιαῦτα ὦ Μνήσιππε, τολμῶσι ποιεῖν Σκύθαι ὑπὲρ τῶν φίλων. Μνή. πάνυ τραγικὰ ὦ Τόξαρι, καὶ μύθοις ὅμοια. καὶ ἵλεως μὲν ὁ ἀκινάκης, καὶ ὁ ἄνεμος εἶεν, οὓς ὤμοσας. εἰ γοῦν τις ἀπιστοίη αὐτοῖς, οὐ πάνυ μεμπτὸς εἶναι δόξειεν ἄν. Τό. ἀλλ' ὅρα ὦ γεννάδα, μὴ φθόνος ὑμῶν ἡ ἀπιστία ᾖ. πλὴν οὐκ ἐμὲ ἀποτρέψεις ἀπιστῶν καὶ ἄλλα τοιαῦτα εἰπεῖν, ἃ οἶδα ὑπὸ Σκυθῶν γιγνόμενα. Μνή. μὴ μακρὰ μόνον ὦ ἄριστε, μὴ δὲ οὕτως ἀφέτοις χρώμενος τοῖς λόγοις, ὡς νῦν τε ἄνω καὶ κάτω τὴν Σκυθίαν, καὶ τὴν Μαχλυανὴν διαθέων, καὶ εἰς τὸν Βόσπορον ἀπιὼν. εἶτ' ἐπανιὼν, πάνυ μου κατεχρήσω τῇ σιωπῇ. Τό. πειστέον καὶ ταῦτά σοι νομοθετοῦντι, καὶ διὰ βραχέων λεκτέον, μὴ καὶ κάμῃς ἡμῖν τῇ ἀκοῇ συμπεριναοστῶν. μᾶλλον δὲ ἄκουσον ἐμοὶ αὐτῷ οἷα φίλος

Σισίν

Σισίννης τοὔνομα, ὑπηρέτης ἦν. ὅτε γὰρ Ἀθή-
ναζε ἀπῄειν οἴκοθεν ἐπιθυμίᾳ παιδείας τῆς ἑλ-
ληνικῆς, κατέπλευσα ἐς Ἄμαστριν τὴν ποντι-
κήν. ἐν προσβολῇ δὲ ἐπὶ τοῖς ἀπὸ Σκυθίας προσ-
πλέουσιν, οὐ πολὺ τῆς Καράμβεως ἀπέχουσα
ἡ πόλις. εἵπετο δὲ ὁ Σισίννης, ἑταῖρος ἐκ παι-
δὸς ὤν. ἡμεῖς μὲν οὖν καταγωγήν τινα ἐπὶ τῷ
λιμένι σκεψάμενοι, κἀκ τοῦ πλοίου ἐς αὐτὴν
μετασκευασάμενοι, ἠγοράζομεν, οὐδὲν πονη-
ρὸν ὑφορώμενοι. ἐν τοσούτῳ δέ, κλῶπές τι-
νες ἀνασπάσαντες τὸ κλεῖθρον, ἐκφέρουσιν ἅπαν-
τα, ὡς μηδὲ τὰ ἐς ἐκείνην τὴν ἡμέραν διαρ-
κέσοντα καταλιπεῖν. ἐπανελθόντες οὖν οἴκα-
δε, καὶ τὸ γεγονὸς μαθόντες, δικάζεσθαι μὲν τοῖς
γείτοσι πολλοῖς οὖσιν, ἢ τῷ ξένῳ, οὐκ ἐδοκιμά-
ζομεν, δεδιότες μὴ συκοφάνται δόξωμεν τοῖς
πολλοῖς, λέγοντες, ὡς ὑφείλετο ἡμῶν τις
δαρεικοὺς τετρακοσίους, καὶ ἐσθῆτα πολλήν,
καὶ τάπιδάς τινας, καὶ τἆλλα, ὁπόσα εἴχο-
μεν. ἐσκοπούμεθα δὲ περὶ τῶν παρόντων ὅ, τι
πράξομεν, ἄποροι παντάπασιν ἐν τῇ ἀλλοδα-
πῇ γενόμενοι. κἀμοὶ μὲν ἐδόκει ὡς εἶχον, αὐ-
τοῦ παραβύσαντα ἐς τὴν πλευρὰν τὸν ἀκινά-
κην, ἀπελθεῖν τοῦ βίου, πρὶν ἀγεννές τι ὑποστῆ-
ναι, λιμῷ, ἢ δίψει πιεσθέντα. ὁ δὲ Σισίννης,

παρεμυθεῖτο, καὶ ἱκέτευε μηδὲν τοιοῦτον ποιεῖν. αὐτὸς γὰρ ἐπινοήσειν ἔλεγεν ὅθεν ἕξομεν ἱκανῶς τὰς τροφάς. καὶ τότε μὲν ξύλα ἐκ τοῦ λιμένος παρεκόμισε, καὶ ἧκεν ἡμῖν, ἐκ τοῦ μισθοῦ ἐπισιτισάμενος. ἕωθεν δὲ περιιὼν κατὰ τὴν ἀγορὰν, εἶδε πομπήν τινα ὥς ἔφη, γενναίων καὶ καλῶν νεανίσκων. μονομαχεῖν δὲ οὗτοι ἐπὶ μισθῷ ἀνομολογηθέντες, εἰς τρίτην ἡμέραν διαγωνιεῖσθαι ἔμελλον. καὶ δὴ τὸ πᾶν ὡς εἶχεν ἀμφ' αὐτοὺς πυθόμενος, ἐλθὼν ὡς ἐμὲ, μηκέτι ὦ Τόξαρι ἔφη, σαυτὸν πένητα λέγε. εἰς γὰρ τρίτην ἡμέραν, πλούσιόν σε ἀποφανῶ. ταῦτα εἶπε. καὶ πονηρῶς τὸν μεταξὺ ἀποζήσαντες, ἐνστάσης ἤδη τῆς θέας, ἐθεώμεθα καὶ αὐτοί. παραλαβὼν γάρ με ὡς ἐπὶ τερπνόν τι, καὶ παράδοξον θέαμα τῶν Ἑλληνικῶν, ἄγει εἰς τὸ θέατρον. καὶ καθίσαντες, ἑωρῶμεν. τὸ μὲν πρῶτον, θηρία κατακοντιζόμενα, καὶ ὑπὸ κυνῶν διωκόμενα, καὶ ἐπ' ἀνθρώπους δεδεμένους ἀφιέμενα κακούργους τινὰς, ὡς εἰκάζομεν. ἐπεὶ δὲ εἰσῆλθον οἱ μονομάχοι, καί τινα παραγαγὼν ὁ κῆρυξ εὐμεγέθη νεανίσκον, εἶπεν, ὅστις ἂν ἐθέλῃ τούτῳ μονομαχῆσαι, ἥκειν εἰς τὸ μέσον, δραχμὰς ληψόμενος μυρίας, μισθὸν τῆς μάχης. ἐνταῦθα ἐξανίσταται ὁ Σισίννης. καὶ καταπηδήσας, ὑπέ

στημα

ςη μαχεῖσθαι, καὶ τὰ ὅπλα ᾔτει. καὶ τὸν μισθὸν λαβὼν, τὰς μυρίας, ἐμοὶ φέρων, ἐνεχείρισε. καὶ εἰ μὲν κρατήσαιμι ὦ Τόξαρι εἶπεν, ἅμα ἄπιμεν, ἔχοντες τὰ ἀρκοῦντα. ἢν δὲ πέσω, θάψας με, ὑποχώρει ὀπίσω ἐς Σκύθας. ἐγὼ μὲν οὖν τούτοις ἐκώκυον. ὁ δὲ, λαβὼν τὰ ὅπλα, τὰ μὲν ἄλλα, περιεδήσατο. τὸ κράνος δὲ, οὐ κατέθηκεν, ἀλλ' ἀπὸ γυμνῆς τῆς κεφαλῆς καταστὰς, ἐμάχετο. καὶ τὸ μὲν πρῶτον, τιτρώσκεται αὐτὸς, καμπύλῳ τῷ ξίφει ὑποτμηθεὶς τὴν ἰγνύην. ὥστε αἷμα ἔῤῥει πολύ. ἐγὼ δὲ, προαπεθνήκειν ἤδη τῷ δέει. θρασύτερον δὲ ἐπιφερόμενον τηρήσας τὸν ἀντίπαλον, παίει εἰς τὸ στέρνον, καὶ διήλασεν. ὥστε αὐτίκα ἐπεπτώκει πρὸ τοῖν ποδοῖν αὐτοῦ. ὁ δὲ, κάμνων καὶ αὐτὸς ὑπὸ τοῦ τραύματος, ἐπεκάθιζε τῷ νεκρῷ. καὶ μικροῦ δεῖν, ἀφῆκεν αὐτὸν ἡ ψυχή. ἀλλ' ἐγὼ προσδραμὼν, ἀνέστησα, καὶ παρεμυθησάμην. ἐπεὶ δὲ ἀφεῖτο ἤδη νενικηκὼς, ἀράμενος αὐτὸν, ἐκόμισα εἰς τὴν οἰκίαν. καὶ ἐπὶ πολὺ θεραπευθεὶς, ἐπέζησε μὲν, καὶ ἔστι μέχρι νῦν ἐν Σκύθαις, γήμας τὴν ἐμὴν ἀδελφήν. χωλὸς δέ ἐστιν ὅμως ἀπὸ τοῦ τραύματος. τοῦτο ὦ Μνήσιππε, οὐκ ἐν Μαχλυῶν, οὐδ' ἐν Ἀλανίᾳ ἐγένετο, ὡς ἀμάρτυρον εἶναι, καὶ ἀπιστεῖσθαι δύνασθαι, ἀλλὰ πολ

λοὶ πάρεισιν Ἀμαστριανῶν, μεμνημένοι τὴν μά
χην τοῦ Σισίννου. πέμπτον ἔτι σοι τὸ Ἀβαύχα ἔρ
γον διηγησάμενος, παύσομαι. ἧκέ ποτε οὗτος ὁ
Ἀβαύχας εἰς τὴν Βορυσθενιτῶν πόλιν, ἐπαγό
μενος καὶ γυναῖκα, ἧς ἤρα μάλιστα, καὶ παιδία
δύο. τὸ μὲν ἐπιμαστίδιον ἄρρεν. τὸ δὲ ἕτερον,
κόρη ἑπτέτις ἦν. συναπεδήμει δὲ καὶ ἑταῖρος αὐ
τοῦ Γυνδάνης, οὗτος μὲν καὶ νοσῶν ἀπὸ τοῦ τραύ
ματος, ὃ ἐτέτρωτο κατὰ τὴν ὁδὸν ὑπὸ λῃστῶν,
ἐπιπεσόντων σφίσι. διαμαχόμενος γὰρ πρὸς αὐ
τοὺς, ἐλαύνεται εἰς τὸν μηρὸν, ὥστε οὐδὲ ἑστά
ναι ἐδύνατο ὑπὸ τῆς ὀδύνης. νύκτωρ δὲ καθευ
δόντων, ἔτυχον δὲ ἐν ὑπερῴῳ τινὶ κατοικοῦν
τες, πυρκαϊὰ μεγάλη ἐξανίσταται, καὶ πάντα
περιεκλείετο, καὶ περιεῖχεν ἡ φλὸξ ἁπανταχό
θεν τὴν οἰκίαν. ἐνταῦθα δὴ ἀνεγρόμενος ὁ
Ἀβαύχας, καταλιπὼν τὰ παιδία κλαυθμυ
ριζόμενα, καὶ τὴν γυναῖκα ἐκκρεμαμένην ἀπο
σεισάμενος, καὶ σώζειν αὐτὴν παρακελευσάμε
νος, ἀράμενος τὸν ἑταῖρον, κατῆλθε. καὶ ἔφθη
διεκπαίσας, καθὸ μηδέπω τελέως ἀπεκέκαυ
το ὑπὸ τοῦ πυρός. ἡ γυνὴ δὲ, φέρουσα τὸ βρέφος
εἵπετο, ἀκολουθεῖν κελεύσασα καὶ τὴν κόρην. ἡ δὲ
ἡμίφλεκτος ἀφεῖσα τὸ παιδίον ἐκ τῶν ἀγκά
λης, μόλις διεπήδησε τὴν φλόγα. καὶ ἡ παῖς

σὺν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σὺν αὐτῇ, παρὰ μικρὸν ἐλθοῦσα κἀκείνη ἀποθανεῖν. καὶ ἐπειδὴ ὠνείδισέ τις ὕστερον τὸν Ἀβαύχαν, διότι προδοὺς τὰ τέκνα, καὶ τὴν γυναῖκα, ὁ δὲ, Γυνδάνην ἐξεκόμισεν, ἀλλὰ παῖδας μὲν ἔφη καὶ αὖθις ποιήσασθαί μοι ῥᾴδιον, καὶ ἄδηλον εἰ ἀγαθοὶ ἔσονται οὗτοι. φίλον δὲ, οὐκ ἂν εὕροιμι ἄλλον ἐν πολλῷ χρόνῳ τοιοῦτον, οἷος Γυνδάνης ἐστὶ, πεῖράν μοι πολλὴν τῆς εὐνοίας παρεσχημένος. εἴρηκα ὦ Μνήσιππε, ἀπὸ πολλῶν πέντε τούτους προχειρισάμενος. ἤδη δὲ καιρὸς εἴη κεκρίσθαι ὁπότερον ἡμῶν ἢ τὴν γλῶτταν, ἢ τὴν δεξιὰν ἀποτετμῆσθαι δέοι. τίς οὖν ὁ δικάσων ἐστίν; Μνη. οὐδεὶς. οὐ γὰρ ἐκαθίσαμέν τινα δικαστὴν τοῦ λόγου. ἀλλ' οἶσθα ὃ δράσωμεν; ἐπειδὴ νῦν ἄσκοπα τετοξεύκαμεν, αὖθις ἑλόμενοι διαιτητὴν, ἄλλους ἐπ' ἐκείνῳ εἴπωμεν φίλους. εἶτα ὃς ἂν ἡττῶν γένηται, ἀποτετμήσεται τότε, ἢ ἐγὼ τὴν γλῶτταν, ἢ σὺ τὴν δεξιάν. ἢ τοῦτο μὲν ἄγροικον. ἐπεὶ δὲ καὶ σὺ φιλίαν ἐπαινεῖν ἔδοξας, ἐγὼ δὲ οὐδὲν ἄλλο ἡγοῦμαι ἀνθρώποις τούτου κτῆμα ἄμεινον, ἢ κάλλιον, τί οὐχὶ καὶ ἡμεῖς συνθέμενοι πρὸς ἡμᾶς αὐτοὺς, φίλοι τε αὐτόθεν εἶναι, καὶ εἰσαεὶ ἔσεσθαι ἀγαπῶμεν, ἀμφωνικήσαντες, τὰ μέγιστα ἆθλα προσλαβόντες, ἀντὶ μιᾶς γλώττης, καὶ μιᾶς δεξιᾶς, δύο

ἑκάτερος ἐπικτησάμενοι, καὶ προσέτι γε, καὶ ὀφθαλμοὺς τέτταρας, καὶ πόδας τέτταρας, καὶ ὅλως, διπλᾶ πάντα. τοιοῦτόν τι γάρ ἐστι συνελθόντες δύο, ἢ τρεῖς φίλοι, ὁποῖον τὸν Γηρυόνην οἱ γραφεῖς ἐνδείκνυνται, ἄνθρωπον ἑξάχειρα, καὶ τρικέφαλον. ἐμοὶ δὲ δοκεῖ, τρεῖς ἐκεῖνοι ἦσαν, ἅμα πράττοντες πάντα, ὥσπερ ἐστὶ δίκαιον φίλους γε ὄντας. ΤΟ. εὖ γε λέγεις. καὶ οὕτω ποιῶμεν. ΜΝΗ. ἀλλὰ μήτε αἵματος ὦ Τόξαρι, μήτε ἀκινάκου δεώμεθα, τὴν φιλίαν ἡμῖν βεβαιώσοντος. ὁ γὰρ λόγος ὁ παρὼν, καὶ τὸ τῶν ὁμοίων ὀρέγεσθαι, πολὺ πιστότερα τῆς κύλικος ἐκείνης, ἣν πίνετε. ἐπεὶ τά γε τοιαῦτα, οὐκ ἀνάγκης, ἀλλὰ γνώμης δεῖσθαί μοι δοκεῖ. ΤΟ. ἐπαινῶ ταῦτα. καὶ ἤδη ὦμεν φίλοι, καὶ ξένοι, ἐμοὶ μὲν σὺ ἐνταῦθα ἐν τῇ Ἑλλάδι, ἐγὼ δέ σοι, εἴποτε ἐς τὴν Σκυθίαν ἀφίκοιο. ΜΝΗ. καὶ μὴν εὖ ἴσθι, οὐκ ἂν ὀκνήσαιμι καὶ ἔτι πορρωτέρω ἐλθεῖν, εἰ μέλλω τοιούτοις φίλοις ἐντεύξεσθαι, οἷος σὺ ὦ Τόξαρι, διεφάνης ἡμῖν ἀπὸ τῶν λόγων.

## ΛΟΥΚΙΟΣ, Η ΟΝΟΣ.

Ἀπῄειν ποτὲ ἐς Θετταλίαν. ἦν δέ μοι πατρικόν τι συμβόλαιον ἐκεῖ, πρὸς ἄνθρωπον ἐπιχώριον. ἵππος δέ με κατῆγε,

καὶ τὰ

καὶ τὰ σκεύη, καὶ θεράπων ἠκολούθει εἷς. ἐπορευόμην δὲ τὴν προκειμένην ὁδόν. καί πως ἔτυχον καὶ ἄλλοι ἀπιόντες ἐς Ὕπατα, πόλιν τῆς Θετταλίας, ἐκεῖθεν ὄντες. καὶ ἁλῶν ἐκοινωνοῦμεν. καὶ οὕτως ἐκείνην τὴν ἀργαλέαν ὁδὸν ἀνύσαντες, πλησίον ἤδη τῆς πόλεως ἦμεν. κἀγὼ ἠρόμην τοὺς Θετταλούς, εἴπερ ἐπίστανται ἄνδρα οἰκοῦντα ἐς τὰ Ὕπατα, Ἵππαρχον τοὔνομα. γράμματα δὲ αὐτῷ ἐκόμιζον οἴκοθεν, ὥστε οἰκῆσαι παρ' αὐτῷ. οἱ δὲ, εἰδέναι τὸν Ἵππαρχον τοῦτον ἔλεγον, καὶ ὅπη τῆς πόλεως οἰκεῖ, καὶ ὅτι ἀργύριον ἱκανὸν ἔχοι, καὶ ὅτι μίαν θεράπαιναν τρέφει, καὶ τὴν αὐτοῦ γαμετὴν, μόνας. ἔστι γὰρ φιλαργυρώτατος δεινῶς. ἐπεὶ δὲ πλησίον τῆς πόλεως ἐγεγόνειμεν, κῆπός τις ἔνδον ἦν, καὶ οἰκίδιον ἀνεκτὸν, ἔνθα ὁ Ἵππαρχος ᾤκει. οἱ μὲν, δὴ ἀσπασάμενοί με, ᾤχοντο. ἐγὼ δὲ, κόπτω προσελθὼν τὴν θύραν. καὶ μόλις μὲν, καὶ βραδέως, ὑπήκουσε δὲ δὴ ἡ γυνή. εἶτα καὶ προῆλθεν. ἐγὼ μὲν, ἠρόμην εἰ ἔνδον εἴη ὁ Ἵππαρχος. ἔνδον ἔφη. σὺ δὲ, τίς, ἢ τί βουλόμενος, πυνθάνῃ; γράμματα εἶπον κομίζω αὐτῷ παρὰ Δεκειανοῦ τοῦ Πατρέως σοφιστοῦ. μεῖνόν με ἔφη αὐτοῦ. καὶ τὴν θύραν συγκλείσασα, ᾤχετο εἴσω πάλιν. καί ποτε ἐξελ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θύουσα, κελεύει ἡμᾶς εἰσελθεῖν. κἀγὼ δὲ πα-
ρελθὼν εἴσω, ἀσπάζομαι αὐτὴν, καὶ τὰ γράμ-
ματα ἐπέδωκα. ἔτυχε δὲ ἐν ἀρχῇ δείπνου ὤν.
καὶ κατέκειτο ἐπὶ κλινιδίου στενοῦ. γυνὴ δὲ αὐ-
τοῦ καθῆστο πλησίον, καὶ τράπεζα μηδὲν ἔχουσα
παρέκειτο. ὁ δὲ, ἐπειδὴ τοῖς γράμμασιν ἐνέτυ-
χεν, ἀλλ' ὁ μὲν φίλτατος ἐμοὶ ἔφη, καὶ τῶν
Ἑλλήνων ἐξοχώτατος Δεκριανὸς, εὖ ποιεῖ,
καὶ θαῤῥῶν πέμπει παρ' ἐμοὶ τοὺς ἑταίρους τοὺς ἑ-
αυτοῦ. τὸ δὲ οἰκίδιον τὸ ἐμὸν ὁρᾷς ὦ Λούκιε,
ὡς ἔστι μικρὸν μὲν, ἀλλὰ εὔγνωμον τὸν οἰκοῦν-
τα ἐνεγκεῖν. ποιήσεις δὲ αὐτὸ σὺ μεγάλην
οἰκίαν, ἀνεξικάκως οἰκήσας. καὶ καλεῖ τὴν
παιδίσκην. ὦ Παλαίστρα, δὸς τῷ ἑταίρῳ κοι-
τῶνα, καὶ θὲς λαβοῦσα, εἴ τι κομίζει σκεῦος.
εἶτα πέμπε αὐτὸν εἰς βαλανεῖον. οὐχὶ γὰρ
μετρίαν ἐλήλυθεν ὁδόν. ταῦτα εἰπόντος,
τὸ παιδισκάριον ἡ Παλαίστρα, ἄγει με, καὶ δεί-
κνυσί μοι κάλλιστον οἰκημάτιον. καὶ σὺ μὲν ἔ-
φη ἐπὶ ταύτης τῆς κλίνης κοιμήσῃ. τῷ δὲ
παιδί σου, σκιμπόδιον αὐτοῦ παραθήσω, καὶ
προσκεφάλαιον ἐπιθήσω. ταῦτα εἰπούσης,
ἡμεῖς ἀπῄειμεν λουσόμενοι, δόντες αὐτῇ κρι-
θιδίων τιμὴν εἰς τὸν ἵππον. ἡ δὲ, πάντα ἔ-
φερε λαβοῦσα εἴσω, καὶ κατέθηκεν. ἡμεῖς δὲ

λουσά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λουσάμενοι, ἀναστρέψαντες, εἴσω εὐθὺς παρήλθομεν. καὶ ὁ ἵππαρχός με ἀξιωσάμενος, ἐκέλευε συνανακλίνεσθαι μετ' αὐτοῦ. τὸ δὲ δεῖπνον, οὐ σφόδρα λιτόν. ὁ δὲ οἶνος, ἡδὺς, καὶ παλαιὸς ἦν. ἐπεὶ δὲ ἐδεδειπνήκειμεν, πότος ἦν, καὶ λόγος, οἷος ἐπὶ δείπνου ξένου. καὶ οὕτω τὴν ἑσπέραν ἐκείνην πότῳ δόντες, ἐκοιμήθημεν. τῇ δ' ὑστεραίᾳ, ὁ ἵππαρχος ἤρετό με, τίς μὲν ἔσται νῦν μοι ὁδὸς, καὶ εἰ πάσαις ταῖς ἡμέραις αὐτοῦ προσμενῶ. ἄπειμι μὲν ἔφην εἰς Λάρισαν. ἔοικα δὲ ἐνταῦθα διατρίψειν, τριῶν, ἢ πέντε ἡμερῶν. ἀλλὰ τοῦτο μὲν ἦν σκῆψις. ἐπεθύμουν δὲ σφόδρα μείνας ἐνταῦθα, ἐξευρεῖν τινα τῶν μαγεύειν ἐπισταμένων γυναικῶν, καὶ θεάσασθαί τι παράδοξον, ἢ πετόμενον ἄνθρωπον, ἢ λιθούμενον. καὶ τῷ ἔρωτι τῆς θέας ταύτης δοὺς ἐμαυτὸν, περιῄειν τὴν πόλιν, ἀπορῶν μὲν τῆς ἀρχῆς τῆς ζητήσεως. ὅμως δὲ, περιῄειν. κἀν τούτῳ γυναῖκά τινα ὁρῶ προσιοῦσαν, ἔτι νέαν, εὐπορουμένην, ὅσον ἦν ἐκ τῆς ὁδοῦ συμβαλεῖν. ἱμάτια γὰρ ἀνθινὰ, καὶ παῖδες συχνοὶ, καὶ χρυσίον περιττόν. ὡς δὲ πλησιαίτερον γίνομαι, προσαγορεύει με ἡ γυνή. καὶ ἀμείβομαι αὐτῇ ὁμοίως. καὶ φησὶν, ἐγὼ Ἄβροιά εἰμι, εἴ τινα τῆς σῆς μητρὸς φίλην ἀκούεις. καὶ ὑμᾶς δὲ τοὺς ἐξ ἐκεί-

ῆς γενομένους φίλῳ, ὥσπερ οὓς ἔτεκον αὐτή. τί οὖν οὐχὶ παρ' ἐμοὶ καταλύεις ὦ τέκνον; ἀλλὰ σοὶ μὲν ἔφην πολλὴ χάρις. αἰδοῦμαι δὲ οὐδὲν ἀνδρὶ φίλῳ ἐγκαλῶν, ἔπειτα φεύγειν τὴν ἐκείνου οἰκίαν. ἀλλὰ τῇ γνώμῃ ὦ φιλτάτη, κατάγομαι παρὰ σοί. ποῦ δὲ ἔφη καὶ κατάγῃ; παρὰ Ἱππάρχῳ. τῷ φιλαργύρῳ ἔφη; μηδαμῶς εἶπον ὦ μῆτερ, τοῦτο εἴπῃς. λαμπρὸς γὰρ, καὶ πολυτελὴς γέγονεν εἰς ἐμὲ, ὥστε καὶ ἐγκαλέσαι ἄν τις τῇ τρυφῇ. ἡ δὲ, μειδιάσασα, καί με τῆς χειρὸς λαβομένη, ἄγει πορρωτέρω, καὶ λέγει πρὸς ἐμέ. φυλάττου μοι ἔφη τὴν Ἱππάρχου γυναῖκα πάσῃ μηχανῇ. μάγος γάρ ἐστι δεινὴ, καὶ μάχλος, καὶ πᾶσι τοῖς νέοις ἐπιβάλλει τὸν ὀφθαλμόν. καὶ εἰ μή τις ὑπακούσει αὐτῇ, τοῦτον τῇ τέχνῃ ἀμύνεται. καὶ πολλοὺς μετεμόρφωσεν εἰς ζῶα. τοὺς δὲ, τέλεον ἀπώλεσε. σὺ δὲ, καὶ νέος εἶ τέκνον, καὶ καλὸς, ὥστε εὐθὺς ἀρέσαι γυναικί. „ καὶ, ξένος, πρᾶγμα εὐκαταφρόνητον. ἐγὼ δὲ, πυθόμενος ὅτι τὸ πάλαι μοι ζητούμενον, οἴκοι παρ' ἐμοὶ κάθηται, προσεῖχον αὐτῇ οὐδὲν ἔτι. ὡς δέ ποτε ἀφείθην, ἀπῄειν οἴκαδε, λαλῶν πρὸς ἐμαυτὸν ἐν τῇ ὁδῷ. ἄγε δὴ σὺ ὁ φάσκων ἐπιθυμεῖν ταύτης τῆς παραδόξου θέας, ἔγειρέ μοι σαυτὸν, καὶ τέχνην εὕ-

ρισκε

εισκε σοφὴν, ἢ τεύξῃ τούτων, ὧν ἐρᾷς. καὶ ἤδη τὴν θεράπαιναν τὴν Παλαίστραν ἤδη ἀποδύου. σὺ γὰρ γυναικὸς τοῦ ξένου, καὶ φίλου, πόῤῥω ἵστασο. κατὰ ταύτης κυλιόμενος, καὶ γυμναζόμενος, καὶ ταύτῃ συμπλεκόμενος, εὖ ἴσθι ὡς ῥαδίως γνώσῃ. Δοῦλοι γὰρ τὰ δεσποτῶν ἐπί- “ στανται καὶ καλὰ, καὶ αἰσχρά. ταῦτα λέγων “ πρὸς ἐμαυτὸν, εἰσῄειν οἴκαδε. τὸν μὲν Ἵππαρχον, οὐ κατέλαβον ἐν τῇ οἰκίᾳ, οὐδὲ τὴν ἐκείνου γυναῖκα. ἡ δὲ Παλαίστρα, τῇ ἑστίᾳ παρήδρευε, δεῖπνον ἡμῖν εὐτρεπίζουσα. κἀγὼ εὐθὺς ἔνθεν ἀρξάμενος, ὡς εὐρύθμως ἔφην ὦ καλὴ Παλαίστρα, τὴν πυγὴν τῇ χύτρᾳ ὁμοῦ συμπεριφέρεις, καὶ κλίνεις. ἡ δὲ ὀσφῦς ἡμῖν, ὑγρῶς ἐπικινεῖται. μακάριος ὅστις ἐνταῦθα ἐνεβάψατο. ἡ δὲ, σφόδρα γὰρ ἦν ἰταμὸν, καὶ χαρίτων μεστὸν τὸ κοράσιον, φεύγοις ἂν εἶπεν ὦ νεανίσκε, εἴγε νοῦν ἔχοις, καὶ ζῆν ἐθέλοις, ὡς πολλοῦ πυρὸς, καὶ κνίσσης μεστά. ἢν γὰρ αὐτοῦ μόνον ἅψῃ, τραῦμα ἔχων πυρίκαυτον, αὐτοῦ μοι παρεδρεύσεις. θεραπεύσει δέ σε οὐδεὶς ἄλλος, οὐδὲ θεὸς ἰατρός. ἀλλὰ κατακαύσασά σε μόνη ἐγὼ, ἣ τὸ παραδοξότατον, ἐγὼ μέν σε ποιήσω πλέον ποθεῖν. καὶ σὺ ἀπὸ τῆς θεραπείας ὀδύνης ἀρδόμενος, ἀεὶ ἀνέξῃ. καὶ οὐδὲ λίθοις βαλλόμενος,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν γλυκεῖαν ὀδύνην φεύξῃ. τί πλάσσεις; ἀκριβῆ βλέπεις ἀνθρωπομάγειρον. οὐ γὰρ μόνα ταῦτα φαῦλα ἐδέσματα κατασκευάζω, ἀλλ' ἤδη τὸ μέγα τοῦτο, καὶ καλόν, τὸν ἄνθρωπον οἶδα ἔγωγε καὶ σφάττειν, καὶ δέρειν, καὶ κατακόπτειν. ἥδιστα δὲ τῶν σπλάγχνων αὐτῶν, καὶ τῆς καρδίας ἅπτομαι. τοῦτο μὲν, ὀρθῶς ἔφην λέγεις. καὶ γὰρ ἐμὲ πόῤῥωθεν, καὶ μὴ δὲ ἐγγὺς ὄντα, οὐ κατακαύμαι μὰ Δί', ἀλλὰ ὅλῳ ἐμπρησμῷ ἐπέθηκας. καὶ διὰ τῶν ὀμμάτων τῶν ἐμῶν, τὸ σὸν μὴ φαινόμενον πῦρ, κάτω ἐς τὰ σπλάγχνα τὰ μὰ ῥίψασα, φύγεις. καὶ ταῦτα, οὐδὲν ἀδικοῦντα. ὥστε πρὸς θεῶν, ἴασαί με ταύταις, αἷς λέγεις αὐτή, ταῖς πικραῖς, καὶ ἡδίαις θεραπείαις. καί με ἤδη ἀπεσφαγμένον λαβοῦσα, δεῖρε ὅπως ἂν αὐτὴ ἐθέλῃς. ἡ δὲ, μέγα, καὶ ἥδιστον ἐκ τούτου ἀνακαγχάσασα, ἐμὴ τὸ λοιπὸν ἦν. καὶ συνέκειτο ἡμῖν. ὅπως ἐπειδὰν κατακοιμίσῃ τοὺς δεσπότας, ἔλθῃ εἴσω πρὸς ἐμέ, καὶ καθευδήσῃ. κἀπειδὴ ἀφίκετό ποτε ὁ ἵππαρχος, λουσάμενοι, ἐδειπνοῦμεν. καὶ πότος ἦν συχνός, ἡμῶν ὁμιλούντων. εἶτα ὕπνου καταψευσάμενος, ἀνίσταμαι. καὶ ἔργῳ ἀπῄειν, ἔνθα ᾤκουν. πάντα δὲ τὰ ἔνδον εὖ παρεσκεύαστο. τῷ μὲν παιδί, ἔξω ὑπέστρωτο. τράπεζα δὲ τῇ κλίνῃ παρειστήκει,

ἐκτήκειον

ποτήριον ἔχουσα. καὶ οἶνος αὐτοῦ παρέκειτο, καὶ ὕδωρ ἕτοιμον, καὶ ψυχρὸν, καὶ θερμόν. πᾶσα δὲ ἦν αὕτη τῆς Παλαίστρας παρασκευή. τῶν δὲ στρωμάτων, ῥόδα πολλὰ κατεπέπαστο. τὰ μὲν, οὕτω γυμνὰ καθ' αὑτά. τὰ δὲ, λελυμένα. τὰ δὲ, στεφάνοις συμπεπλεγμένα. κἀγὼ τὸ συμπόσιον εὑρὼν ἕτοιμον, ἔμενον τὸν συμπότην. ἡ δὲ, ἐπειδὴ κατέκλινε τὴν δέσποιναν, σπουδῇ παρ' ἐμὲ ἧκε. καὶ ἦν εὐφροσύνη ἡμῶν, τὸν οἶνον, καὶ τὰ φιλήματα προπινόντων ἀλλήλοις. ὡς δὲ τῷ ποτῷ παρεσκευάσαμεν ἑαυτοὺς εὖ πρὸς τὴν νύκτα, λέγει πρός με ἡ Παλαίστρα. τοῦτο μὲν, πάντως δεῖ σε μνημονεύειν ὦ νεανίσκε, ὅτι εἰς Παλαίστραν ἐμπέπτωκας, καὶ χρή σε νῦν ἐπιδεῖξαι εἰ γέγονας ἐν τοῖς ἐφήβοις γοργὸς, καὶ παλαίσματα πολλὰ ἔμαθες ποτε. ἀλλ' οὐκ ἂν ἴδοις φεύγοντά με τὸν ἔλεγχον τοῦτον. ὥστε ἀπόδυσαι, καὶ ἤδη παλαίωμεν. ἡ δὲ, οὕτως ἔφη, ὡς ἐγὼ θέλω, παράσχου μοι τὴν ἐπίδειξιν. ἐγὼ μὲν, νόμῳ διδασκάλου, καὶ ἐπιστάτου τὰ ὀνόματα τῶν παλαισμάτων, ὧν ἐθέλω εὑροῦσα, ἐρῶ. σὺ δὲ, ἕτοιμος γίνου εἰς τὸ ὑπακούειν, καὶ ποιεῖν πᾶν τὸ κελευόμενον. ἀλλ' ἐπίταττε ἔφην, καὶ σκόπει, ὅπως εὐχερῶς, καὶ ὑγρῶς τὰ παλαίσματα, καὶ εὐτόνως ἔσται.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡ δὲ, ἀποδυσαμένη τὴν ἐσθῆτα, καὶ στᾶσα ὅλη γυμνὴ, ἔνθεν ἤρξατο ἐπιτάττειν. ὦ μειράκιον, ἐκδύσαι, καὶ ἀλειψάμενος ἔνθεν ἐκ τοῦ μύρου, συμπλέκου τῷ ἀνταγωνιστῇ. δύο μηρῶν σπάσας, κλῖνον ὕπτιον. ἔπειτα ἀνώτερος ὑποβάλλων διὰ μηρῶν, καὶ διαστείλας, αἰώρει, καὶ τεῖνε ἄνω τὰ σκέλη. καὶ χαλάσας, καὶ στῆθι, κολλῶ αὐτῷ. καὶ προσελθὼν, βάλε. καὶ τρώσας, νύττε ἤδη πανταχοῦ, ἕως πονέσῃ. καὶ ἡ ὀσφὺς ἰσχυέτω. εἶτα ἐξελκύσας κατὰ πλάτος διὰ βουβῶνος, δίηξον. καὶ πάλιν συνώθει εἰς τὸν τοῖχον. εἶτα τύπτε. ἐπειδὰν δὲ χάλασμα ἴδῃς, τότ' ἤδη ἐπιβὰς, ἅμα κατ' ἰξύος δήσας, σύνεχε, καὶ πειρῶ μὴ σπεύδειν. ἀλλ' ὀλίγον διακαρτερήσας, σύνδραμε. ἤδη ἀπολέλυσαι. κἀγὼ ἐπειδὴ ῥᾳδίως πάντα ὑπήκουσα, καὶ εἰς τέλος ἡμῖν ἔληξε τὰ παλαίσματα, καὶ λέγω πρὸς τὴν Παλαίστραν ἅμα ἐπιγελάσας, ὦ διδάσκαλε, ὁρᾷς ὅπως εὐχερῶς, καὶ εὐηκόως πεπάλαισταί μοι, σκόπει δὲ, μὴ οὐκ ἐν κόσμῳ τὰ παλαίσματα ὑποβάλλῃς. ἄλλα γὰρ ἐξ ἄλλων ἐπιτάττεις. ἡ δὲ, τῆς κόρρης πλήξασά με, ὡς φλύαρον ἔφη παρέλαβον τὸν μαθητήν. σκόπει οὖν μὴ πληγὰς ἐπὶ πλείω λάβῃς. ἀλλὰ καίου, τὰ ἐπιτατόμενα παλαίων. καὶ ταῦτ' εἰποῦσα, ἐπανίσταται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νίσατο. καὶ θεραπεύσασα ἑαυτὴν, νῦν ἔφη δείξεις,
εἴπερ νέος εἶ, καὶ εὔρωστος παλαιστὴς, καὶ εἰ ἐπί-
στασαι παλαίειν, καὶ ποιεῖν τὰ ἀπὸ γονατίου. καὶ
πεσοῦσα ὠθεῖ τοῦ λέχους ἐς γόνυ, ἀπεδύσω σὺ ὁ πα
λαιστὴς, ἔχεις τὰ μέσα. ὥστε τινάξας ὀξεῖαν,
ἐπίπρωσον, καὶ βάθυνον. ψιλὸν ὁρᾷς αὐτοῦ πα-
ρακείμενον. τούτῳ χρῆσαι, πρῶτον δὲ κατὰ λό
γον, ὡς ἅμμα σφίγγε. εἶτα ἀνακλάσας, ἔμ-
βαλλε, καὶ σύνεχε, καὶ μὴ δίδου διάστημα. ἐὰν
δὲ χαλᾷ τε, θᾶττον ἐπάρας, ἀνώτερον μετά
θες. καὶ κρούσας, κρύψον. καὶ σκόπει, ὅπως μὴ
ἀνασπάσῃς θᾶττον, ἢ κελευσθείς. ἀλλὰ δὴ κυρ
τώσας πολὺ αὐτὴν, ὕφελε. καὶ ὑποβαλὼν κάτω
αὖθις τὴν περεμβολὴν, σύνεχε, καὶ κίνου. εἶτα ἄ
φες αὐτόν. πέπτωκε γὰρ καὶ λέλυται, καὶ ὕδωρ ὅλος
ἐστί σοι ὁ ἀνταγωνιστής. ἐγὼ δὲ, ἤδη μέγα ἀναγε
λῶν, ἐθέλω ἔφην καὶ αὐτὸς ὦ διδάσκαλε, πα-
λαίσματα ὀλίγ' ἄττα συντάξαι. σὺ δὲ ὑπάκου
σον, ἐπαναστᾶσα, καὶ κάθισον. εἶτα δοῦσα κατὰ χει
ρὸς, πάραψαι τὸ λοιπὸν, καὶ καταμάττου, καί με
πρὸς τοῦ Ἡρακλέους περιλαβοῦσα, ἤδη κοίμισον.
ἐν ῥιαύταις ἡδοναῖς καὶ παιδιαῖς παλαισμά-
των, ἀγωνιζόμενοι νυκτερινοὺς ἀγῶνας, ἐστεφα
νούμεθα. καὶ ἦν πολλὴ μὲν ἐν τούτῳ τρυφή. ὥστε τῆς
εἰς τὴν Λάρισσαν ὁδοῦ παντάπασιν ἐπιλελή

σμην. καὶ ὅτε ἐπεθύμουν μοι ἦλθεν ἐς τὸ μαθεῖν ὧν ἕνεκα ἦλθον. καὶ φημὶ πρὸς αὐτήν. ὦ φιλτάτη, δεῖξόν μοι μαγγανεύουσαν, ἢ μεταμορφουμένην τὴν δέσποιναν. πάλαι γὰρ τῆς παραλόγου ταύτης θέας ἐπιθυμῶ. μᾶλλον εἴ τι σὺ οἶδας, αὐτὴ μαγγάνευσον, ὥστε φανῆναί μοι ἄλλην ἐξ ἄλλης ὄψιν. οἶμαι δὲ καὶ σὲ οὐκ ἀπείρως ταύτης τῆς τέχνης ἔχειν. τοῦτο δὲ οὐ παρ' ἑτέρου μαθὼν, ἀλλὰ παρὰ τῆς ἐμαυτοῦ ψυχῆς λαβὼν, οἶδα. ἐπεί με τὸν πάλαι ἀδαμάντινον, ὡς ἔλεγον αἱ γυναῖκες, ἐς μηδεμίαν γυναῖκα τὰ ὄμματα ταῦτα ἐρωτικῶς ποτε ἐκτείναντα, συλλαβοῦσα τῇ τέχνῃ ταύτῃ, αἰχμάλωτον ἔχεις, ἐρωτικῷ πολέμῳ ψυχαγωγοῦσα. ἡ δὲ Παλαίστρα, παῦσαί φησι προσπαίζων. τίς γὰρ ᾠδὴ δύναται μαγεῦσαι τὸν ἔρωτα, ὄντα τῆς τέχνης κύριον; ἐγὼ δὲ ὦ φίλτατε, τούτων μὲν οἶδα οὐδὲν μὰ τὴν κεφαλὴν τὴν σὴν, καὶ τὴν δὲ τὴν μακαρίαν εὐνήν. οὐδὲ γὰρ γράμματα ἔμαθον. καὶ ἡ δέσποινα βάσκανος οὖσα τυγχάνει εἰς τὴν αὐτῆς τέχνην. εἰ δέ μοι καιρὸς ἐπιτρέψει, πειράσομαι παρασχεῖν σοι ἰδεῖν μεταμορφουμένην τὴν κεκτημένην. καὶ τότε μὲν ἐπὶ τούτοις ἐκοιμήθημεν. ἡμέραις δὲ ὕστερον οὐ πολλαῖς, ἀγγέλλει πρός με ἡ Παλαίστρα,

ὡς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὡς ἡ δέσποινα αὐτῆς μέλλοι ὄρνις γενομένη, πέτεσθαι πρὸς τὸν ἐρώμενον. κἀγὼ νῦν ἔφην ὁ καιρὸς ὦ Παλαίστρα, δεῖ εἰς ἐμὲ χάριτος, ἣ νῦν ἔχεις, τὸν σαυτῆς ἱκέτην ἀναπαῦσαι πολυχρονίου ἐπιθυμίας. θάῤῥει ἔφη. κἀπειδὴ ἑσπέρα ἦν, ἄγει με λαβοῦσα πρὸς τὴν θύραν τοῦ δωματίου, ἔνθα ἐκεῖνοι ἐκάθευδον. καὶ κελεύει με προσάγειν ὀπῇ τινι τῆς θύρας λεπτῇ, καὶ ἀποσκοπεῖν τὰ γινόμενα. ὁρῶ οὖν τὴν μὲν γυναῖκα ἀποδυομένην. εἶτα γυμνὴ τῷ λύχνῳ προσελθοῦσα, καὶ χόνδρους δύο λαβοῦσα, τὸν μὲν λιβανωτὸν, τῷ πυρὶ τοῦ λύχνου ἐπέθηκε. καὶ στᾶσα, πολλὰ τοῦ λύχνου κατελάλησεν. εἶτα κιβώτιον ἁδρὸν ἀνοίξασα, πάνυ πολλὰς ἔχον πυξίδας ἐν αὐτῷ, ἔνθεν ἀναιρεῖται, καὶ προσφέρει μίαν. ἡ δὲ, εἶχεν ἐμβεβλημένον, ὅ, τι μὲν οὐκ οἶδα, διὰ δὲ ὄψεως αὐτῆς ἕνεκα, ἔλαιον αὐτὸ ἐδόκουν εἶναι. ἐκ τούτου λαβοῦσα, χρίεται ὅλη, ἀπὸ τῶν ὀνύχων ἀρξαμένη τῶν κάτω. καὶ ἄφνω πτερὰ ἐκφύεται αὐτῇ, καὶ ἡ ῥὶν κερατίνη, καὶ γρυπὴ ἐγένετο. καὶ ἄλλα δὲ, ὅσα ὀρνίθων κτήματα, καὶ σύμβολα πάντα εἶχε. καὶ ἦν ἄλλο οὐδὲν, ἢ κόραξ νυκτερινός. ἐπεὶ δὲ εἶδεν ἑαυτὴν ἐπτερωμένην, κρώξασα δεινὸν, καὶ οἷον ἐκεῖνοι οἱ κόρακες, ἀναστᾶσα, ᾤχετο πετομένη ἔξω διὰ

τῆς θυείδος. ἐγὼ δὲ ὄντως ἐκεῖνο οἰόμενος ὁρᾶν,
τοῖς δακτύλοις τῶν ἐμαυτοῦ βλεφάρων ἡ-
πτόμην, οὐ πιστεύων τοῖς ἐμαυτοῦ ὀφθαλμοῖς.
οὔθ' ὅτι βλέπουσιν, οὔθ' ὅτι ἐγρηγόρασιν. ὡς δὲ
μόλις καὶ βραδέως ἐπείσθην ὅτι μὴ καθεύδω,
ἐδεόμην τότε τῆς Παλαίστρας πληρῶσαι κἀμὲ,
καὶ χρίσασαν δὴ ἐκείνου τοῦ φαρμάκου, ἐᾶσαι
πέτεσθαί με. ἐβουλόμην γὰρ πείρᾳ μαθεῖν, εἰ
μεταμορφωθεὶς ἐκ τοῦ ἀνθρώπου, εἶτα καὶ τὴν
ψυχὴν ὄρνις ἔσομαι. ἡ δὲ, τὸ δωμάτιον ὑπα-
νοίξασα, κομίζει τὴν πυξίδα. ἐγὼ δὲ σπεύδων
ἤδη, ἀποδύσας, χρίω ὅλον ἐμαυτόν. καὶ ὄρνις
μὲν οὐ γίνομαι ὁ δυστυχής. ἀλλά μοι οὐρὰ ὄπι-
σθεν ἐξῆλθε, καὶ οἱ δάκτυλοι παντὲς ᾤχοντο
οὐκ οἶδ' ὅπου. ὄνυχας δὲ τοὺς πάντας τέσσα-
ρας εἶχον. καὶ τούτους οὐδὲν ἄλλο, ἢ ὁπλάς.
καί μοι αἱ χεῖρες, καὶ οἱ πόδες, κτήνους πόδες
ἐγένοντο. καὶ τὰ ὦτα δὲ, μακρά. καὶ τὸ πρόσω-
πον, μέγα. ἐπεὶ δὲ κύκλῳ περιεσκόπουν, αὐ-
τὸν ἑώρων ὄνον. φωνὴν δὲ ἀνθρώπου ἐς τὸ μέμψα-
σθαι τὴν Παλαίστραν, οὐκέτι εἶχον. τὸ δὲ χεῖ-
λος ἐκτείνας κάτω, καὶ αὐτῷ δὴ τῷ σχήματι
ὡς ὄνος ὑποβλέπων, ᾐτιώμην αὐτήν, ὅσῃ
δύναμις, ὄνος ἀντὶ ὄρνιθος γενόμενος. ἡ δὲ,
ἀμφοτέραις ταῖς χερσὶ τυψαμένη τὸ πρόσω-
πον,

πον, τάλαινα εἶπεν ἐγὼ, μέγα εἴργασμαι κα-
κόν. σπεύσασα γὰρ, ἥμαρτον ἐν τῇ ὁμοιότητι τῶν
πυξίδων, καὶ ἄλλην ἔλαβον οὐχὶ τὴν τὰ πτερὰ
φύουσαν. ἀλλὰ θάρρει μοι ὦ φίλτατε, ῥάων
γὰρ ἡ τούτου θεραπεία. ῥόδα γὰρ μόνον εἰ φάγοις,
ἀπολύσῃ μὲν αὐτίκα τὸ κτῆνος, τὸν δὲ ἐραστὴν
μοι τὸν ἐμὸν αὖθις ἀποδώσεις. ἀλλά μοι φίλ-
τατε, μίαν νύκτα ταύτην ὑπόμεινον ἐν τῷ ὄ-
νῳ. ὄρθρου δὲ δραμοῦσα, οἴσω σοι ῥόδα, ὧν φα-
γὼν, ἰαθήσῃ. ταῦτα εἶπε, καταψήσασά μου
τὰ ὦτα, καὶ τὸ λοιπὸν δέρμα. ἐγὼ δὲ, τὰ μὲν
ἄλλα, ὄνος ἤμην. τὰς δὲ φρένας, καὶ τὸν νοῦν ἄνθρω-
πος ἐκεῖνος ὁ Λούκιος, δίχα τῆς φωνῆς. πολλὰ οὖν
κατ' ἐμαυτὸν μεμψάμενος τὴν Παλαίστραν ἐπὶ
τῇ ἁμαρτίᾳ, δακὼν τὸ χεῖλος, ἀπῄειν, ἔνθα ἠπι-
στάμην ἑστῶτα τὸν ἐμαυτοῦ ἵππον, καὶ ἄλλον ἀληθι-
νὸν ὄνον τοῦ Ἱππάρχου. οἱ δὲ αἰσθόμενοί με εἴσω παρι-
όντα, δείσαντες μὴ τοῦ χόρτου αὐτοῖς κοινωνὸς ἐ-
πεισέρχομαι, τὰ ὦτα κατακλίναντες, ἕτοι-
μοι ἦσαν τοῖς ποσὶν ἀμύνειν τῇ γαστρί. κἀγὼ συνεὶς,
πορρωτέρω ποι τῆς φάτνης ὑποχωρήσας, ἑ-
στὼς, ἐγέλων. ὁ δέ μοι γέλως, ὀγκηθμὸς ἦν.
ταῦτα γὰρ ἐνενόουν πρὸς ἐμαυτόν. ὢ τῆς ἀκαί-
ρου ταύτης περιεργασίας. τί δ' εἰ λύκος πα-
ρεισέλθοι, ἢ ἄλλο τι θηρίον; κινδυνεύεται μοι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μηδὲν κακὸν πεποιηκότι, διαφθαρῆναι. ταῦ-
τα ἐννοῶν, ἠγνόουν ὁ δύστυχης τὸ μέλλον κακόν.
ἐπεὶ γὰρ ἦν ἤδη νὺξ βαθεῖα, καὶ σιωπὴ πολλή, καὶ
ὕπνος ὁ γλυκὺς, ψοφεῖ μὲν ἔξωθεν ὁ τοῖχος, ὡς
διορυττόμενος. καὶ διωρύττετό γε. καὶ ὀπὴ ἤδη
ἐγεγόνει, ἄνθρωπον δέξασθαι δυναμένη. καὶ εὐθὺς
ἄνθρωπος ταύτῃ παρῄει, καὶ ἄλλος ὁμοίως. καὶ
πολλοὶ ἔνδον ἦσαν. καὶ πάντες εἶχον ξίφη. εἶτα
καταδήσαντες ἔνδον ἐν τοῖς δωματίοις τὸν
ἵππαρχον, καὶ τὴν Παλαίστραν, καὶ τὸν ἐμὸν οἰ-
κέτην, ἀδεῶς ἤδη τὴν οἰκίαν ἐκείνου, τά τε χρή-
ματα, καὶ τὰ ἱμάτια, καὶ τὰ σκεύη κομίζοντες
ἔξω. ὡς δὲ οὐδὲν ἔνδον ἄλλο κατελείπετο, λα-
βόντες καὶ τὸν ἄλλον ὄνον, καὶ τὸν ἵππον, ἐπέσα-
ξαν. ἔπειτα ὅσα ἐβάστασαν, ἐπικατέδησαν ἡμῖν.
καὶ οὕτω μέγα ἄχθος φέροντας ἡμᾶς, ξύλοις
παίοντες, ἤλαυνον, ὡς εἰς τὸ ὄρος ἀτρίπτῳ ὁ-
δῷ φεύγειν πειρώμενοι. τὰ μὲν οὖν ἄλλα κτή-
νη, οὐκ ἔχω εἰπεῖν ὅ, τι ἔπασχεν. ἐγὼ δέ, ἀνυπό-
δετος ἀσυνήθης ἀπιὼν, πέτραις ὀξείαις ἐπιβαί-
νων, τοσαῦτα σκεύη φέρων, ἀπωλλύμην. καὶ
πολλάκις προσέπταιον, καὶ οὐκ ἦν ἐξὸν καταπε-
σεῖν. καὶ εὐθὺς ἄλλος ὄπισθε κατὰ τῶν μηρῶν ἔ-
παιε ἀεὶ ξύλῳ. ἐπεὶ δὲ πολλάκις ὦ Καῖσαρ,
ἀναβοῆσαι ἐπεθύμουν, οὐδὲν ἄλλο, ἢ ὠγκώμην,

καὶ τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τὸ μὲν ὦ, μέγιστον, καὶ μεγαλοφωνότατον ἐβόων, τὸ δὲ Καῖσαρ, οὐκ ἐπηκολούθει, ἀλλὰ μὴν καὶ δι' αὐτὸ τοῦτ' ἐτυπτόμην, ὡς προδιδοὺς αὐτοὺς τῷ ὀγκηθμῷ. μαθὼν οὖν ὅτι ἄλλο ἐβόων, ἔγνων σιγῇ προϊέναι, καὶ κερδαίνειν τὸ μὴ παίεσθαι. ἐπὶ τούτῳ, ἡμέρα τε ἦν ἤδη, καὶ ἡμεῖς ὄρη πολλὰ ἀνεβεβήκειμεν. καὶ στόματα δὲ ἡμῶν δεσμῷ ἐπείχετο, ὡς μὴ περιβοσκόμενοι, τὴν ὁδὸν ἐς τὸ ἄριστον ἀναλίσκοιμεν. ὥστε ἔστην τότε, καὶ ἔμεινα ὄνος. ἐπεὶ δὲ ἦν αὐτὸ τὸ μέσον τῆς ἡμέρας, καταλυόμεθ' εἴς τινα ἔπαυλιν συνήθων ἐκείνοις ἀνθρώπων, ὅσον ἦν ἐκ τῶν γινομένων σκοπεῖν. καὶ γὰρ φιλήμασιν ἠσπάζοντο ἀλλήλους, καὶ καταλύειν ἐκέλευον αὐτοὺς οἱ ἐν τῇ ἐπαύλει. καὶ παρέθηκαν ἄριστον, καὶ τοῖς κτήνεσιν ἡμῖν, παρέβαλον κριθίδια. καὶ οἱ μὲν, ἠρίστων. ἐγὼ δὲ, ἐπείνων μὲν κακῶς. ἀλλ' ἐπειδὴ οὐ πώποτε κριθὰς ὠμὰς ἠριστήκειν, ἐσκοπούμην ὅ, τι καὶ καταφάγοιμι. ὁρῶ δὲ κῆπον αὐτοῦ ὀπίσω τῆς αὐλῆς, καὶ εἶχε λάχανα πολλά, καὶ καλά, καὶ ῥόδα ὑπὲρ αὐτῶν ἐφαίνετο. κἀγὼ λαθὼν πάντας τοὺς ἔνδον, ἀσχολουμένους περὶ τὸ ἄριστον, ἔρχομαι ἐπὶ τὸν κῆπον, τοῦτο μὲν, ὠμῶν λαχάνων ἐμπλησθησόμενος, τοῦτο δὲ, τῶν ῥόδων ἕνεκα. ἐλογιζόμην γὰρ ὅτι δήπου φα-

γὰρ τῶν ἀνθέων, πάλιν ἄνθρωπος ἔσομαι. εἶτα ἐμβὰς εἰς τὸν κῆπον, θριδάκων μὲν, καὶ ῥαφανίδων, καὶ σελίνων, ὅσα ὠμὰ ἐσθίει ἄνθρωπος, ἐνεπλήσθην. τὰ δὲ ῥόδα ἐκεῖνα, οὐκ ἦν ῥόδα ἀληθινά. τὰ δ' ἦν ἐκ τῆς ἀγρίας δάφνης φυόμενα ῥόδα ἐκεῖνα. δάφνην αὐτὴν καλοῦσιν ἄνθρωποι, κακὸν ἄριστον ὄνῳ τοῦτο παντὶ, καὶ ἵππῳ. φασὶ γὰρ τὸν φαγόντα, ἀποθνήσκειν αὐτίκα. ἐν τούτῳ ὁ κηπουρὸς αἰσθόμενος, καὶ ξύλον ἁρπάσας, εἰσελθὼν εἰς τὸν κῆπον, καὶ τὸν πολέμιον ἰδὼν, καὶ τῶν λαχάνων τὸν ὄλεθρον, ὥσπερ τις δυνάστης μισοπόνηρος, κλέπτην λαβὼν, οὕτω με συνέκοψε ξύλῳ, μήτε πλευρῶν φεισάμενος: μήτε μηρῶν. καὶ μὴν καὶ τὰ ὦτά μου κατέκλασε, καὶ τὸ πρόσωπον συνέτριψεν. ἐγὼ δὲ, οὐκέτ' ἀνεχόμενος, ἀπολακτίσας ἀμφοτέροις, καὶ καταβαλὼν ὕπτιον ἐπὶ τῶν λαχάνων, ἔφυγον ἄνω ἐς τὸ ὄρος. ὁ δὲ, ἐπειδὴ εἶδε δρόμῳ ἀπιόντα, ἀνέκραγε λῦσαι τοὺς κύνας ἐπ' ἐμέ. οἱ δὲ κύνες, πολλοί τε ἦσαν, καὶ μεγάλοι, καὶ ἄρκτοις μάχεσθαι ἱκανοί, ἔγνων ὅτι δὴ διασπάσονταί με οὗτοι λαβόντες. καὶ ὀλίγον ἐκπεριελθὼν, ἐκεῖνα τοῦ δὴ τοῦ λόγου, πάλιν δρομῆσαι μᾶλλον, ἢ κακῶς δραμεῖν. ὀπίσω οὖν ἀπῄειν. καὶ εἴσειμι αὖθις εἰς τὴν ἔπαυλιν. οἱ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λιν. οἱ δέ, τοὺς μὲν κύνας δρόμῳ ἐπιφερομένους, ἐδέξαντο, καὶ κατέδησαν. ἐμὲ δὲ παίοντες οὐ πρότερον ἀφῆκαν, πρὶν ὑπὸ τῆς ὀδύνης πάντα τὰ λάχανα κάτωθεν ἐξεμέσαι. καὶ μὴν ὅτε ὁδοιπορεῖν ὥρα ἦν, τὰ βαρύτατα τῶν κλεμμάτων, καὶ τὰ πλεῖστα, ἐμοὶ ἐπέθηκαν. κἀκεῖθεν τότε οὕτως ἐξελαυνόμην. ἐπεὶ δὲ ἀπηγόρευον ἤδη, παιόμενός τε, καὶ τῷ φορτίῳ ἀχθόμενος, καὶ τὰς ὁπλὰς ἐκ τῆς ὁδοῦ ἐκτετριμμένος, ἔγνων αὐτοῦ καταπεσεῖν, καὶ μηδ᾽ ἂν ἀποσφάττωσί με ταῖς πληγαῖς, ἀναστῆναί ποτε. τοῦτ᾽ ἐλπίσας μέγα μοι ὄφελος ἔσεσθαι ἐκ τοῦ βουλεύματος, ᾤμην γὰρ ὅτι πάντως ἡττώμενοι, τὰ μὲν ἐμὰ σκεύη διανεμοῦσι τῷ τε ἵππῳ, καὶ τῷ ἡμιόνῳ, ἐμὲ δὲ αὐτοῦ ἐάσουσι κεῖσθαι τοῖς λύκοις. ἀλλά τις δαίμων βάσκανος, συνεὶς τῶν ἐμῶν βουλευμάτων, ἐς τοὐναντίον περιήνεγκεν. ὁ γὰρ ἕτερος ὄνος, ἴσως ἐμοὶ τὰ αὐτὰ νοήσας, πίπτει ἐν τῇ ὁδῷ. οἱ δέ, τὰ μὲν πρῶτα, ξύλῳ παίοντες ἀναστῆναι τὸν ἄθλιον ἐκέλευον. ὡς δὲ οὐδὲν ὑπήκουε ταῖς πληγαῖς, λαβόντες αὐτόν, οἱ μέν, τῶν ὤτων, οἱ δέ, τῆς οὐρᾶς, ἀνεγείρειν ἐπειρῶντο. ὡς δ᾽ οὐδὲν ἤνυον, ἔκειτο δὲ ὥσπερ λίθος ἐν τῇ ὁδῷ ἀπηγορευκώς, λογισάμενοι ἐν ἀλλήλοις ὅτι δὴ μάτην πονοῦσι, καὶ

τὸν χρόνον τῆς φυγῆς ἀναλίσκουσιν, ὄνῳ νεκρῷ προσεδρεύοντες, τὰ μὲν σκεύη πάντα, ὅσα ἐκόμιζεν ἐκεῖνος, διανέμουσιν ἐμοί τε, καὶ τῷ ἵππῳ. τὸν δὲ ἄθλιον κοινωνὸν τῆς αἰχμαλωσίας, καὶ τῆς ἀχθοφορίας, λαβόντες, τῷ ξίφει ἀποτέμνουσιν ἐκ τῶν σκελῶν, καὶ σπαίροντα ἔτι, ὠθοῦσιν εἰς τὸν κρημνόν. ὁ δὲ, ἀπῄει κάτω, τὸν θάνατον ὀρχούμενος. ἐγὼ δὲ ὁρῶν ἐν τῷ συνοδοιπόρῳ τῶν ἐμῶν βουλευμάτων τὸ τέλος, ἔγνων φέρειν εὐγενῶς τὰ ἐν ποσὶ, καὶ προθύμως ὁδοιπορεῖν, ἐλπίδας ἔχων πάντως ποτὲ ἐμπεσεῖσθαι εἰς τὰ ῥόδα. κἀκ τούτων, εἰς ἐμαυτὸν ἀναστοιχειωθήσεσθαι. καὶ τῶν λῃστῶν δὲ ἤκουον, ὡς οὐκ εἴη ἔτι πολὺ τῆς ὁδοῦ, καὶ ὅτι καταλύσουσι λοιπὸν, ἔνθα καταμένουσιν. ὥστε πάντα ταῦτα δρόμῳ ἐκομιζόμεθα, καὶ πρὸ τῆς ἑσπέρας ἤλθομεν εἰς τὰ οἰκεῖα. γραῦς δὲ γυνὴ ἔνδον καθῆστο, καὶ πῦρ πολὺ ἐκαίετο. οἱ δὲ, πάντα ἐκεῖνα, ἅπερ ἐτυγχάνομεν ἡμεῖς κομίζοντες, εἴσω κατέθηκαν. εἶτα ἤροντο τὴν γραῦν διατί οὕτω καθέζῃ, καὶ οὐ παρασκευάζεις ἄριστον. ἀλλὰ πάντα εἶπεν ἡ γραῦς εὐτρεπῆ ὑμῖν. ἄρτοι πολλοὶ, οἴνου παλαιοῦ πίθοι. καὶ τὰ κρέα δὲ ὑμῖν τὰ ἄγρια σκευάσασα ἔχω. οἱ δὲ, τὴν γραῦν ἐπαινέσαντες, ἀποδυσάμενοι ἤλειφον

τὸ πρὸς

πρὸς τὸ πῦρ. καὶ λέβητος ἔνδον ὕδωρ θερμὸν ἔ-
χοντος, ἀρυσάμενοι ἔνθεν, καὶ καταχεάμενοι,
αὐτοσχεδίῳ τῷ λουτρῷ ἐχρήσαντο. εἶτα ὀλί-
γον ὕστερον ἧκον νεανίσκοι πολλοὶ, κομίζοντες
σκεύη πλεῖστα, ὅσα χρυσᾶ, καὶ ἀργυρᾶ, καὶ ἱμά-
τια, καὶ κόσμον γυναικεῖον, καὶ ἀνδρεῖον πολύν.
ἐκοινώνουν δὲ οὗτοι ἀλλήλοις. καὶ ἐπειδὴ ταῦτα
ἔνδον κατέθεντο, ὁμοίως ἐλούσαντο καὶ οὗτοι.
λοιπὸν μετὰ τοῦτο, ἦν ἄριστον δαψιλὲς, καὶ λό-
γος πολὺς ἐν τῷ συμποσίῳ τῶν ἀνδροφόνων.
ἡ δὲ γραῦς, ἐμοὶ, καὶ τῷ ἵππῳ, κριθὰς πα-
ρέθηκεν. ἀλλ᾽ ἐκεῖνος μὲν, σπουδῇ τὰς κρι-
θὰς κατέπινε, δεδιὼς ὡς εἰκὸς, ἐμὲ τὸν συ-
νάριστον. ἐγὼ δὲ, ἐπειδὰν ἴδοιμι τὴν γραῦν
ἐξιοῦσαν τῶν ἔνδον, ἄρτον ἤσθιον. τῇ δὲ ὑστε-
ραίᾳ καταλιπόντες τὴν γραῦν, καὶ νεανίσκον
ἕνα, οἱ λοιποὶ πάντες ἐπὶ ἔργον ἀπῄεσαν. ἐ-
γὼ δὲ ἔστενον ἐμαυτὸν, καὶ τὴν ἀκριβῆ φρουράν.
τῆς μὲν γὰρ γραὸς καταφρονῆσαι ἦν μοι, καὶ φυ-
γεῖν ἐκ τῶν ἐκείνης ὀμμάτων δυνατόν. ὁ δὲ
νεανίσκος, μέγας τε ἦν, καὶ φοβερὸν ἔβλεπε,
καὶ τὸ ξίφος ἀεὶ ἔφερε, καὶ τὴν θύραν ἀεὶ ἐπῆγε.
τρισὶ δὲ ὕστερον ἡμέραις, μεσούσης σχεδὸν τῆς
νυκτὸς, ἀναστρέφουσιν οἱ λῃσταὶ, χρυσίον μὲν,
οὐδὲ ἀργύρειον, οὐδὲ ἄλλο οὐδὲν κομίζοντες,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μόνην δὲ παρθένον ὡραίαν, σφόδρα καλήν,
κλάουσαν, καὶ κατεσπαραγμένην τὴν ἐσθῆτα,
καὶ τὴν κόμην. καὶ καταθέμενοι αὐτὴν ἔνδον ἐπὶ
τῶν στιβάδων, θαῤῥεῖν ἐκέλευον. καὶ τὴν γραῦν
ἐκέλευον ἔνδον μένειν, καὶ τὴν παῖδα ἐν φρουρᾷ
ἔχειν. ἡ δὲ παῖς, οὔτε ἐμφαγεῖν τι ἤθελεν, οὔ-
τε πιεῖν, ἀλλὰ πάντα ἔκλαε, καὶ τὴν κόμην
τὴν αὐτῆς ἐσπάραττεν. ὥστε καὶ αὐτὸς πλησί-
ον ἑστὼς πρὸς τῇ φάτνῃ, συνέκλαιον ἐκείνῃ
τῇ καλῇ παρθένῳ. ἐν δὲ τούτῳ, οἱ λῃσταὶ ἔξω
ἐν τῷ προδόμῳ ἐδείπνουν. πρὸς ἡμέραν δὲ, τῶν
σκοπῶν τις, τῶν τὰς ὁδοὺς φρουρεῖν εἰληχό-
των, ἔρχεται ἀπαγγέλλων ὅτι ξένος ταύτῃ πα-
ρειέναι μέλλοι, καὶ πολὺν πλοῦτον κομίζοι. οἱ
δὲ, οὕτως ὡς εἶχον ἀναστάντες, καὶ ὁπλισά-
μενοι, κἀμὲ, καὶ τὸν ἵππον ἐπισάξαντες, ἤλαυ-
νον. ἐγὼ δὲ ὁ δυστυχὴς, ἐπιστάμενος ἐπὶ μά-
χην, καὶ πόλεμον ἐξελαύνεσθαι, ὀκνηρῶς προή-
ειν. ἔνθεν ἐπαιόμην τῷ ξύλῳ, ἐπειγομένων
αὐτῶν. ἐπεὶ δὲ ἤκομεν εἰς τὴν ὁδὸν, ἔνθα ὁ ξέ-
νος παρελάσειν ἔμελλε, συμπεσόντες οἱ λῃ-
σταὶ τοῖς ὀχήμασιν, αὐτόν τε, καὶ τοὺς ἐκείνου θε-
ράποντας ἀπέκτειναν. καὶ ὅσα ἦν τιμιώτατα ἐξε-
λόντες, τῷ ἵππῳ κἀμοὶ ἐπέθηκαν. τὰ δὲ ἕ-
τερα τῶν σκευῶν, αὐτοῦ ἐν τῇ ὕλῃ ἔκρυψαν.

ἐπεὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔπειτα ἤλαυνον ἡμᾶς· οὕτως ὀπίσω. κἀγὼ ἐπειγόμενος, καὶ τῷ ξύλῳ τυπτόμενος, κρούω τὴν ὁπλὴν περὶ πέτραν ὀξεῖαν. καί μοι ἀπὸ τῆς πληγῆς, γίνεται τραῦμα ἀλγεινόν. καὶ χωλεύων, ἔνθεν τὸ λοιπὸν τὴν ὁδὸν ἐβάδιζον. οἱ δὲ, πρὸς ἀλλήλους ἔλεγον, τί δὲ ἡμῖν δοκεῖ τρέφειν τὸν ὄνον τοῦτον, πάντα καταπίπτοντα; ῥίψωμεν αὐτὸν ἀπὸ τοῦ κρημνοῦ, οἰωνὸν οὐκ ἀγαθόν. ναί φησι ῥίψωμεν αὐτὸν, καθαρμὸν τοῦ στρατοῦ ἐσόμενον. καὶ οἱ μὲν, συνετάττοντο ἐπ' ἐμέ. ἐγὼ δὲ ἀκούων ταῦτα, τῷ τραύματι λοιπὸν ὡς ἀλλοτρίῳ, ἐπέβαινον. ὁ δὲ τοῦ θανάτου με φόβος, ἀναίσθητον τῆς ὀδύνης ἔθηκεν. ἐπεὶ δὲ ἤλθομεν εἴσω, ἔνθα κατελύομεν, τὰ μὲν σκεύη τῶν ἡμετέρων ὤμων ἀφελόντες, εὖ κατέθηκαν. αὐτοὶ δὲ ἀναπεσόντες, ἐδείπνουν. καὶ ἐπειδὴ νὺξ ἦν, ἀπήεσαν, ὡς τὰ λοιπὰ τῶν σκευῶν ἀνασῶσαι. τὸν δὲ ἄθλιον τοῦτον ὄνον ἔφη τις αὐτῶν, τί ἐπαγόμεθα ἄχρηστον ἐκ τῆς ὁπλῆς; τῶν δὲ σκευῶν, ἃ μὲν, ἡμεῖς οἰσόμεθα, ἃ δὲ, καὶ ὁ ἵππος. καὶ ἀπήεσαν, τὸν ἵππον ἄγοντες. νὺξ δὲ ἦν λαμπροτάτη ἐκ τῆς σελήνης. κἀγὼ τότε πρὸς ἐμαυτὸν εἶπον, ἄθλιε, τί ἔτι μένεις ἐνταῦθα; γυπῶν σε, καὶ γυπιδῶν τέκνα δειπνήσουσιν. οὐκ ἀκούεις οἷα περὶ σοῦ ἐβουλεύσαντο; θέλεις

τοῦ κρημνοῦ περιπεσεῖν; νὺξ μὲν αὕτη, καὶ σελήνη πολλή. οἱ δὲ, οἴχονται ἀπιόντες. φυγὴ σώζει σαυτὸν ἀπὸ δεσποτῶν ἀνδροφόνων. ταῦτα πρὸς ἐμαυτὸν ἐννοούμενος, ὁρῶ ὅτι οὐδὲ προσεδεδέμην οὐδενὶ, ἀλλά με ὁ σύρων ἐν ταῖς ὁδοῖς ἱμὰς περιεκρέματο. τοῦτό με καὶ παρώξυνεν ὡς μάλιστα πρὸς τὴν φυγήν. καὶ δρόμῳ ἐξιὼν, ἀπῄειν. ἡ δὲ γραῦς ἐπειδὴ εἶδεν ἀποδιδράσκειν ἔρημον, λαμβάνεταί μου ἐκ τῆς οὐρᾶς, καὶ εἴχετο. ἐγὼ δὲ ἄξιον κρημνοῦ, καὶ θανάτων ἄλλων εἰπὼν εἶναι τὸ ὑπὸ γραίας ἁλῶναι, ἔσυρον αὐτήν. ἡ δὲ μάλ' ἀνέκραγεν ἔνδοθεν τὴν παρθένον τὴν αἰχμάλωτον. ἡ δὲ προσελθοῦσα, καὶ ἰδοῦσα γραῦν, δίκην κέρκου ἐξ ὄνου ἠρτημένην, τολμᾷ τόλμημα γενναῖον, καὶ ἄξιον ἀπονενοημένου νεανίσκου. ἀναπηδᾷ γὰρ εἰς ἐμὲ, καὶ ἐπικαθίσασά μοι, ἤλαυνε. κἀγὼ τῷ τε ἔρωτι τῆς φυγῆς, καὶ τῇ τῆς κόρης σπουδῇ, ἔφυγον ἵππου δρόμῳ. ἡ δὲ γραῦς, ὀπίσω ἀπελέλειπτο. ἡ δὲ παρθένος, τοῖς μὲν θεοῖς ηὔχετο, σῶσαι αὐτὴν τῆς φυγῆς. πρὸς δὲ ἐμὲ, ἤν με ἔφη κομίσῃς πρὸς τὸν πατέρα ὦ καλὲ σὺ, ἐλεύθερον μέν σε παντὸς ἔργου ἀφήσω, κριθῶν δὲ μέδιμνος ἔσται σοι ἐφ' ἑκάστης ἡμέρας τὸ ἄριστον. ἐγὼ δὲ, καὶ τοὺς φονέας τοὺς ἐμαυτοῦ φευξόμενος,

καὶ πολλὴν ἐπικουρείαν, καὶ θεραπείαν ἐκ τῆς ἀνασωθείσης ἐμοὶ κόρης ἐλπίζων, ἔθεον, τοῦ τραύματος ἀμελήσας. ἐπεὶ δὲ ἥκομεν ἔνθα ἐσχίζετο διπλῆ ὁδὸς, οἱ πολέμιοι ἡμᾶς καταλαμβάνουσιν, ἀναστρέφοντες, καὶ πόρρωθεν εὐθὺς πρὸς τὴν σελήνην ἔγνωσαν τοὺς δυστυχεῖς αἰχμαλώτους. καὶ προσδραμόντες, λαμβάνονταί μου, καὶ λέγουσιν, ὦ καλὴ κἀγαθὴ σὺ παρθένος, ποῖ βαδίζεις ἀωρίᾳ ταλαίπωρε; οὐδὲ τὰ δαιμόνια δέδοικας; ἀλλὰ δεῦρο ἴθι πρὸς ἡμᾶς. ἡμεῖς σε τοῖς οἰκείοις ἀποδώσομεν, σαρδόνιον γελῶντες ἔλεγον. κἀμὲ ἀποστρέψαντες, εἷλκον ὀπίσω. κἀγὼ τότε τοῦ ποδὸς, καὶ τοῦ τραύματος ἀναμνησθεὶς, ἐχώλευον. οἱ δὲ, νῦν ἔφασαν χωλὸς, ὅτε ἀποδιδράσκων ἑάλωκας; ἀλλ' ὅτε φεύγειν ἐδόκει σοι, ὑγιαίνων, ἵππου ὠκύτερος, καὶ πτηνὸς ἦσθα. τοῖς δὲ λόγοις τούτοις τὸ ξύλον εἵπετο. καὶ ἤδη ἕλκος περὶ τῷ μηρῷ εἶχον, νουθετούμενος. ἐπεὶ δὲ εἴσω πάλιν ἀνεστρέψαμεν, τὴν μὲν γραῦν, εὕρομεν ἐκ τῆς πέτρας κρεμαμένην ἐν καλωδίῳ. δείσασα γὰρ οἷον εἰκὸς τοὺς δεσπότας ἐπὶ τῇ τῆς παρθένου φυγῇ, κρεμᾷ ἑαυτὴν, σφίγξασα ἐκ τοῦ τραχήλου. οἱ δὲ τὴν γραῦν θαυμάσαντες τῆς εὐγνωμοσύνης, τὴν μὲν, ἀπολύσαντες, ἐς τὸν κρημνὸν κάτω ἀ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φῆκαν ὡς ἦν ἐν τῷ δεσμῷ. τὴν δὲ παρθένον, ἔνδον κατέδησαν. εἶτα ἐδείπνουν. καὶ πότος ἦν μακρός. κἀν τούτῳ ἤδη περὶ τῆς κόρης διελέγοντο πρὸς ἀλλήλους. τί ποιοῦμεν ἔφη τις αὐτῶν τὴν δραπέτιν; τί δὲ ἄλλο εἶπεν ἕτερον, ἢ τῇ γραῒ ταύτῃ κάτω ἐπερρίψωμεν αὐτήν, ἀφελομένην μὲν ἡμᾶς χρήματα πολλά, ὅσον ἐπ' αὐτῇ, καὶ προδοῦσαν ἡμῶν ὅλον τὸ ἐργαστήριον. εὖ ἴστε γὰρ ὦ φίλοι, ὅτι αὕτη εἰ τῶν οἴκοι ἐδράξατο, οὐδὲ εἷς ἂν ἡμῶν ζῶν ὑπελείπετο. πάντες γὰρ ἂν ἑάλωμεν, τῶν ἐχθρῶν ἐκ παρασκευῆς ἡμῖν ἐπιπεσόντων. ὥστε ἀμυνώμεθα μὲν τὴν πολεμίαν. ἀλλὰ μὴ οὕτω ῥᾳδίως ἀποθνησκέτω, πεσοῦσα ἐπὶ τοῦ λίθου. θάνατον δὲ αὐτῇ τὸν ἀλγεινότατον, καὶ μακρότατον ἐξευρωμεν. καὶ ὅστις αὐτὴν χρόνῳ, καὶ βασάνῳ, φυλάξας, ὕστερον ἀπολεῖ. εἶτα ἐζήτουν θάνατον. καί τις εἶπεν, οἶδα ὅτι ἐπαινέσετε τὸ ἀρχιτεκτόνημα. τὸν ὄνον δεῖ ἀπολέσαι, ὀκνηρὸν ὄντα, νῦν δὲ καὶ χωλὸν εἶναι ψευδόμενον, καὶ μὴν καὶ τῆς φυγῆς τῆς παρθένου γενόμενον ὑπηρέτην, καὶ διάκονον. τοῦτον οὖν ἕωθεν ἀποσφάξαντες, ἀνατέμωμεν ἐκ τῆς γαστρός, καὶ τὰ μὲν ἔγκατα πάντα ἔξω βάλωμεν, τὴν δὲ ἀγαθὴν ταύτην παρθένον, τῷ ὄνῳ ἐγκαρικίσωμεν, τὴν

μὲν κε

μὲν κεφαλήν, ἔξω τοῦ ὄνου πρόχειρον, ὡς ἂν μὴ εὐθὺς ἀποπνιγείη. τὸ δὲ ἄλλο σῶμα πᾶν, ἔνδον κρυπτόμενον, ὡς ἂν αὐτὴν κατακειμένην εὖ μάλα συῤῥάψαντες, ῥίψωμεν ἔξω ἄμφω ταῦτα τοῖς γυψὶ, καινῶς τοῦτο ἐσκευασμένον ἄριστον. σκοπεῖτε δὲ ὦ φίλοι, τῆς βασάνου τὸ δεινόν. πρῶτον μὲν, τὸ, νεκρῷ ὄνῳ, συνοικεῖν. εἶτα, τὸ, θέρους ὥρᾳ θερμοτάτῳ ἡλίῳ ἐν κτήνει καθέψεσθαι, καὶ λιμῷ ἀεὶ κτείνοντι ἀποθνήσκειν, καὶ μηδ᾽ ἑαυτὴν ἀποπνῖξαι ἔχειν. τὰ μὲν γὰρ ἄλλ᾽, ὅσα πείσεται, σηπομένου τοῦ ὄνου τῇ ὀδμῇ, καὶ τοῖς σκώληξι πεφυρμένη, ἐῶ λέγειν. τέλος δὲ, οἱ γῦπες διὰ τοῦ ὄνου παρεισιόντες ἔσω, καὶ ταύτην ὡς ἐκεῖνον ἴσως, καὶ ζῶσαν ἔτι, διασπάσονται. πάντες ἀνεβόησαν, ὡς ἐπὶ ἀγαθῷ μεγάλῳ τῷ τερατώδει τούτῳ εὑρήματι. ἐγὼ δὲ, ἀνέστενον αὐτὸν, ὡς ἂν ἀποσφαγησόμενος, καὶ μὴ δὲ νεκρὸς εὐτυχὴς κεισόμενος. ἀλλὰ παρθένον ἀθλίαν ὑποδεξόμενος, καὶ θήκη, οὐδὲν ἀδικούσης κόρης, ἐσόμενος. ὄρθρος δὲ ἦν ἔτι. καὶ ἐξαίφνης ἐφίσταται πλῆθος στρατιωτῶν, ἐπὶ τοὺς μιαροὺς τούτους ἀφιγμένον. καὶ εὐθέως πάντας ἐδέσμουν, καὶ πρὸς τὸν τῆς χώρας ἡγεμόνα ἀπῆγον. ἔτυχε δὲ καὶ ὁ τὴν κόρην μεμνηστευμένος, σὺν αὐτοῖς ἐλθών. αὐτὸς γὰρ ἦν ὁ καὶ

τὸ καταγώγιον τῶν λῃστῶν μηνύσας. παραλαβὼν οὖν τὴν παρθένον, καὶ καθίσας ἐπ' ἐμέ, οὕτως ἦγεν οἴκαδε. οἱ δὲ κωμῆται, ὡς εἶδον ἡμᾶς ἔτι πόρρωθεν, ἔγνωσαν εὐτυχοῦντας, εὐαγγέλιον αὐτοῖς ἐμοῦ προσογκησαμένου. καὶ προσδραμόντες, ἠσπάζοντο, καὶ ἦγον εἴσω. ἡ δὲ παρθένος, πολὺν λόγον εἶχεν ἐμοῦ δίκαιον ποιοῦσα, τοῦ συναιχμαλώτου, συναποδράσαντος, καὶ τὸν κοινὸν ἐκεῖνον αὐτῇ θάνατον συγκινδυνεύσαντος. καί μοι τοῖς κεκτημένοις, ἄριστον παρέκειτο μέδιμνος κριθῶν, καὶ χόρτος, ὅσος καὶ καμήλῳ ἱκανός. ἐγὼ δὲ τότε μάλιστα κατηρώμην τὴν Παλαίστραν, ὡς ὄνον με, καὶ οὐ κύνα τῇ τέχνῃ μεταθεῖσαν. ἑώρων γὰρ τοὺς κύνας εἰς τοὐπτανεῖον παρεισιόντας, καὶ λαφύσσοντας πολλά, καὶ ὅσα ἐν γάμοις πλουσίων νυμφίων. ἡμέραις δὲ ὕστερον μετὰ τὸν γάμον οὐ πολλαῖς, ἐπειδὴ χάριν μοι ἔφη ἡ δέσποινα ἔχειν παρὰ τῷ πατρί, καὶ ἀμείψασθαί με ἀμοιβῇ τῇ δικαίᾳ θέλειν, ὁ πατὴρ ἐκέλευσεν ἐλεύθερον ἀφεῖναι ὕπαιθρον, καὶ σὺν ταῖς ἀγελαίαις ἵπποις νέμεσθαι. καὶ γὰρ ὡς ἐλεύθερος ἔφη, ζήσεται ἐν ἡδονῇ, καὶ ταῖς ἵπποις ἐπιβήσεται. καὶ αὕτη δικαιοτάτη ἀμοιβὴ ἐδόκει τότε, εἰ ἦν τὰ πράγματα ἐν ὄνῳ δικαστῇ. καλέσας οὖν τῶν ἱπ

φορ

ποφορβῶν ἵνα, τούτῳ με παραδίδωσιν. ἐγὼ δὲ ἔχαιρον, ὡς οὐκ ἔτι ἀχθοφορήσων. ἐπεὶ δὲ ἥκομεν εἰς τὸν ἀγρόν, ταῖς ἵπποις με ὁ νομεὺς συνέμιξε, καὶ ἦγεν ἡμᾶς τὴν ἀγέλην, εἰς νομόν. ἐχρῆν δὲ ἄρα κἀνταῦθα, ὥσπερ Κανδαύλῃ, καὶ μοὶ γενέσθαι. ὁ γὰρ ἐπιστάτης τῶν ἵππων, τῇ αὐτοῦ γυναικὶ Μεγαπόλῃ ἔνδον με κατέλιπεν. ἡ δὲ, τῇ μύλῃ με ὑπεζεύγνυεν, ὥστε ἀλεῖν αὐτῇ καὶ πυροὺς, καὶ κριθὰς ὅλας. καὶ τοῦτο μὲν ἦν μέτριον κακὸν εὐχαρίστῳ ὄνῳ ἀλεῖν τοῖς ἑαυτοῦ ἐπιστάταις. ἡ δὲ βελτίστη, καὶ παρὰ τῶν ἄλλων τῶν ἐν ἐκείνοις τοῖς ἀγροῖς, πολλοὶ δὲ πάνυ ἦσαν, ἄλευρα τὸν μισθὸν αἰτοῦσα, ἐξεμίσθου τὸν ἐμὸν ἄθλιον τράχηλον. καὶ τὰς μὲν κριθὰς, τοὐμὸν ἄριστον φρύγουσα, κἀμοὶ ὥστε ἀλεῖν ἐπιβάλλουσα, μάζας ὅλας ποιοῦσα, κατέπινεν. ἐμοὶ δὲ, πίτυρα ἄριστον ἦν. εἰ δέ ποτε καὶ συνελάσειέ με ταῖς ἵπποις ὁ νομεὺς, παιόμενός τε, καὶ δακνόμενος ὑπὸ τῶν ἀρσένων, ἀπωλλύμην. ἀεὶ γάρ με μοιχὸν ὑποπτεύοντες εἶναι τῶν ἵππων τῶν αὐτῶν γυναικῶν, ἐδίωκον, ἀμφοτέροις εἰς ἐμὲ ἀπολακτίζοντες. ὥστε φέρειν οὐκ ἠδυνάμην ζηλοτυπίαν ἱππικήν. λεπτὸς οὖν, καὶ ἄμορφος ἐν οὐ πολλῷ χρόνῳ ἐγενόμην, οὔτε ἔνδον εὐφαινόμενος πρὸς τῇ μύλῃ, οὔτε ὑπαί

θεῖος νεμόμενος, ἀπὸ τῶν συνόντων πολεμού-
μενος. καὶ μὴν καὶ τὰ πολλὰ εἰς τὸ ὄρος ἄνω ἐπεμ-
πόμην, καὶ ξύλα τοῖς ὤμοις ἐκόμιζον. τοῦτο
δὲ ἦν τὸ κεφάλαιον τῶν ἐμῶν κακῶν. πρῶτον
μὲν, ὑψηλὸν ὄρος ἀναβαίνειν ἔδει, ὀρθὴν δει-
νῶς ὁδόν. εἶτα, καὶ ἀνυπόδητος ὄρει ἐν λιθίνῳ.
καί μοι συνεξέπεμπον ὀνηλάτην, παιδάριον
ἀκάθαρτον. τοῦτό με καινῶς ἑκάστοτε ἀπώλ-
λυε. πρῶτον μὲν ἔπαιέ με, καὶ τρέχοντα λίαν,
οὐ ξύλῳ ἁπλῷ, ἀλλὰ τῷ ὄζους πυκνοὺς ἔχον-
τι, καὶ ὀξεῖς. καὶ ἀεὶ ἔπαιεν εἰς τὸ αὐτὸ τοῦ μη-
ροῦ. ὥστε ἀνέῳκτό μοι κατ' ἐκεῖνο ὁ μηρὸς τῇ
ῥάβδῳ. ὁ δὲ, ἀεὶ τὸ τραῦμα ἔπαιεν. εἶτά μοι ἐ-
πετίθει φορτίον, ὅσον χαλεπὸν ἦν καὶ ἐλέφαντι
ἐνεγκεῖν. καὶ ἄνωθεν ἡ κατάβασις ὀξεῖα ἦν. ὁ δὲ
καὶ ἐνταῦθα ἔπαιεν. εἰ δέ μοι περιπῖπτον ἴδοι
τὸ φορτίον, καὶ εἰς τὸ ἕτερον ἀποκλῖνον, δέον
τῶν ξύλων ἀφαιρεῖν, καὶ τῷ κουφοτέρῳ προ-
σβαλεῖν, καὶ τὸ ἴσον ποιεῖν, τοῦτο μὲν, οὐδέποτε εἰρ-
γάζετο. λίθους δὲ μεγάλους ἐκ τοῦ ὄρους ἀναι-
ρούμενος, εἰς τὸ κουφότερον, καὶ ἄνω νεῦον τοῦ φορ-
τίου προσετίθει, καὶ κατῄειν ἄθλιος τοῖς ξύλοις,
ὁμοῦ καὶ λίθους ἀχρείους περιφέρων. καὶ ποτα-
μὸς ἦν ἀέναος ἐν τῇ ὁδῷ. ὁ δὲ, τῶν ὑποδημάτων
φειδόμενος, ὀπίσω τῶν ξύλων ἐπ' ἐμοὶ καθί-
ζων,

ξων, ἑτέρα τὸν ποταμόν. εἰ δέ ποτε οἷα κάμνων, καὶ ἀχθοφορῶν, καταπέσοιμι, τότε δὴ τὸ δεινὸν ἀφόρητον ἦν. οὐ γὰρ ἂν καταβὰς τὴν χεῖρά μοι ὑποδοῦναι, κἀμὲ χαμόθεν ἐπεγείρειν, καὶ τὸ φορτίον ἀφελεῖν, ἄν ποτε καὶ δέοι. ὁ δέ, οὔτε κατῆλθεν, οὔτε χεῖρα ἄν ποτε ἐπέδωκεν, ἀλλ' ἄνωθεν ἀπὸ τῆς κεφαλῆς, καὶ τῶν ὤτων ἀρξάμενος, συνέκοπτέ με τῷ ξύλῳ, ἕως ἐπιπείρωσί με αἱ πληγαί. καὶ μὴν καὶ ἄλλο κακὸν εἰς ἐμὲ ἀφόρητον ἔπαιζε. συνενεγκὼν ἀκανθῶν ὀξυτάτων φορτίον, καὶ τοῦτο δεσμῷ συσφίγξας, ἀπεκρέμα ὄπισθεν ἐκ τῆς οὐρᾶς. αἱ δέ, οἷον εἰκὸς ἦν, ἀπιόντος τὴν ὁδόν, ἀποκρεμάμεναι, προσέπιπτόν μοι, καὶ πάντα μοι τὰ ὄπισθε νύττουσαι, ἐτίτρωσκον. καὶ ἦν μοι τὸ ἀμύνειν ἀδύνατον, τῶν τιτρωσκόντων ἀεί μοι ἑπομένων, κἀμοῦ ἠρτημένων. εἰ μὲν γὰρ ἀτρέμα προΐοιμι φυλαττόμενος τῶν ἀκανθῶν τὴν προσβολήν, ὑπὸ τῶν ξύλων ἀπωλλύμην. εἰ δὲ φεύγοιμι τὸ ξύλον, τότ' ἤδη τὸ δεινὸν ὄπισθεν ὀξὺ προσέπιπτε. καὶ ὅλως ἔργον ἦν τῷ ὀνηλάτῃ τῷ ἐμῷ ἀποκτενεῖν με. ἐπεὶ δέ ποτε ἅπαξ κακὰ πάσχων πολλά, οὐκ ἔτι φέρων, πρὸς αὐτὸν λὰξ ἐκίνησα, εἶχεν ἀεὶ τοῦτο τὸ λὰξ ἐν μνήμῃ. καί ποτε κελεύεται στυππεῖον ἐξ ἑτέρου χωρίου εἰς ἕτερον

χωρίον μετενεγκεῖν. κομίσας οὖν με, καὶ τὸ στυπ-
πεῖον τὸ πολὺ συνενεγκὼν, κατέδησεν ἐπ' ἐμέ.
καὶ δεσμῷ ἀργαλέῳ εὖ μάλα προσέδησέ με
τῷ φορτίῳ, κακὸν ἐμοὶ μέγα τυχεύων. ἐπεὶ δὲ
προϊέναι λοιπὸν ἔδει ἐκ τῆς ἑστίας, κλέψας δα-
λὸν ἔτι θερμὸν, ἐπειδὴ πόρρω τῆς αὐλῆς ἐγι-
νόμεθα, τὸν δαλὸν ἐνέκρυψεν εἰς τὸ στυππεῖον.
τὸ δὲ, τί γὰρ ἄλλο ἐδύνατο, εὐθὺς ἀνάπτεται.
καὶ λοιπὸν οὐδὲν ἔφερον ἄλλο, ἢ πῦρ ἄπλετον.
μαθὼν οὖν ὡς αὐτίκα ὀπτήσομαι ἐν τῇ ὁδῷ,
τέλματι βαθεῖ ἐντυχὼν, ῥίπτω ἐμαυτὸν τοῦ
τέλματος ἐς τὸ ὑγρότατον. εἶτα ἐκύλιον ἐνταῦ-
θα τὸ στυππεῖον. καὶ δινῶν, καὶ στρέφων ἐμαυτὸν,
τῷ πηλῷ κατέσβεσα τὸ θερμὸν ἐκεῖνο, καὶ πι-
κρὸν ἐμοὶ φορτίον. καὶ οὕτω λοιπὸν ἀκινδυνότε-
ρον ἐβάδιζον τῆς ὁδοῦ τὸ ὑπόλοιπον. οὐδὲ γὰρ
ἔτι ἀνάψαι με τῷ παιδὶ δυνατὸν ἦν τοῦ στυπ-
πείου, πηλῷ ὑγρῷ πεφυρμένου. καὶ τοῦτό γε ὁ
τολμηρὸς παῖς προσελθὼν, ἐμοῦ κατεψεύσα-
το εἰπὼν, ὡς παριὼν, ἑκὼν ἑαυτὸν ἐνσείσαιμι
τῇ ἑστίᾳ. καὶ τότε μὲν, ἐκ τοῦ στυππείου μηδὲ
ἐλπίζων, ὑπεξῆλθον. ἀλλ' ἕτερον ὁ ἀκάθαρ-
τος παῖς ἐξεῦρεν ἐπ' ἐμὲ μακρῷ κάκιον. κομί-
σας γάρ με εἰς τὸ ὄρος, καί μοι φορτίον ἁδρὸν ἐ-
πιθεὶς ἐκ τῶν ξύλων, ἅπερ μὲν, πιπράσκει γε-

ωργῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γεωργῷ πλησίον οἰκοῦντι. ἐμὲ δὲ, γυμνὸν, καὶ ἄ-
ξυλον κομίσας οἴκαδε, καταψεύδεταί μου
πρὸς τὸν αὑτοῦ δεσπότην ἔργον ἀνόσιον. τοῦτον
δέσποτα τὸν ὄνον, οὐκ οἶδ' ὅτι βόσκομεν, δει-
νῶς ἀργὸν ὄντα, καὶ βραδύν. ἀλλὰ μὴν νῦν ἐπι-
τηδεύει καὶ ἄλλο ἔργον. ἐπὰν γυναῖκα, ἢ παρθέ-
νον καλὴν, καὶ ὡραίαν ἴδῃ, ἢ παῖδα, ἀπολακ-
τίσας, ἕπεται δρόμῳ ἐπ' αὐτοὺς, ὡς εἴ τις ἐρᾷ
ἄνθρωπος ἄῤῥην, ἐπὶ ἐρωμένῃ γυναικὶ κινούμε-
νος. καὶ δάκνει ἐν φιλήματος σχήματι, καὶ
πλησιάζειν βιάζεται. ἐκ δὲ τούτου, σοὶ δίκας,
καὶ πράγματα παρέξει, πάντων ὑβριζομένων,
πάντων ἀνατρεπομένων. καὶ γὰρ νῦν ξύλα κο-
μίζων, γυναῖκα εἰς ἀγρὸν ἀπιοῦσαν ἰδὼν, τὰ
μὲν ξύλα πάντα χαμαὶ ἐσκόρπισεν, ἀποσεισά-
μενος, τὴν δὲ γυναῖκα ἐς τὴν ὁδὸν ἀνατρέψας,
γαμεῖν ἐβούλετο, ἕως ἄλλος ἄλλοθεν ἐκδρα-
μόντες, ἠμύναμεν τῇ γυναικὶ, ἐς τὸ μὴ διασπα-
σθῆναι ὑπὸ τοῦ καλοῦ τούτου ἐραστοῦ. ὁ δὲ, ταῦ
τα πυθόμενος, ἀλλ' εἰ μήτε βαδίζειν ἔφη ἐθέ-
λει, μήτε φορτηγεῖν, καὶ ἔρωτας ἀνθρωπίνους
ἐρᾷ, ἐπὶ γυναῖκας, καὶ παῖδας οἰστρούμενος,
ἀποσφάξατε αὐτόν. καὶ τὰ μὲν ἔγκατα, τοῖς
κυσὶ δότε, καὶ τὰ κρέα, τοῖς ἐργάταις φυλά-
ξατε. καὶ ἣν ἔρηται πῶς οὗτος ἀπέθανε, λύκου

ἐμοῦ καταψεύσασθαι. ὁ μὲν οὖν ἀκάθαρτος παῖς ὀνηλάτης ἐμὸς, ἔχαιρε, καί με αὐτίκα ἤθελεν ἀποσφάττειν. ἀλλ' ἔτυχε γάρ τις παρὼν τῶν γειτόνων γεωργῶν, καὶ οὗτος ἐρρύσατό με ἐκ τοῦ θανάτου, δεινὰ ἐπ' ἐμοὶ βουλευσάμενος. μηδαμῶς ἔφη ἀποσφάξῃς ὄνον, καὶ ἀλεῖν καὶ ἀχθοφορεῖν δυνάμενον. καὶ οὐ μέγα ἔργον. ἐπειδὴ γὰρ εἰς ἀνθρώπους, ἔρωτι καὶ οἴστρῳ φέρεται, λαβὼν αὐτὸν, ἔκτεμε. τῆς γὰρ ἐπαφροδίτου ταύτης ὁρμῆς ἀφαιρεθεὶς, ἥμερός τε εὐθὺς, καὶ πίων ἔσται, καὶ οἴσει φορτίον μέγα, οὐδὲν ἀχθόμενος. εἰ δὲ αὐτὸς ἀπείρως ἔχεις ταύτης τῆς ἰατρείας, ἀφίξομαι δεῦρο μεταξὺ τριῶν ἢ τεττάρων ἡμερῶν, καί σοι τοῦτον σωφρονέστερον προβάτου ἐπέξω τῇ τομῇ. οἱ μὲν οὖν ἔνδον ἅπαντες, ἐπῄνουν τὸν σύμβουλον, ὡς εὖ λέγοι. ἐγὼ δὲ ἤδη ἐδάκρυον, ὡς ἀπολέσων αὐτίκα τὸν ἐν τῷ ὄνῳ ἄνδρα, καὶ ζῆν οὐκ ἔτι ἐθέλειν ἔφην, εἰ γενοίμην εὐνοῦχος. ὥστε καὶ ὅλως ἀποσιτῆσαι τὸ λοιποῦ ἐγνώκειν, ἢ ῥίψαι ἐμαυτὸν ἐκ τοῦ ὄρους, ἔνθα ἐκπεσὼν, θανάτῳ οἰκτίστῳ ὁλόκληρος ἔτι, καὶ ἀκέραιος νεκρὸς τεθνήξομαι. ἐπεὶ δὲ ἦν νὺξ βαθεῖα, ἄγγελός τις ἀπὸ τῆς κώμης ἦλθεν εἰς τὸν ἀγρὸν, καὶ τὴν ἔπαυλιν, ταύτην λέγων τὴν νεόνυμφον κόρην, τὴν ὑπὸ τοῖς λη

σταῖς γε

σταῖς γενομένην, καὶ τὸν ταύτης νυμφίον, περὶ δείλην ὀψίαν ἀμφοτέρους αὐτοὺς ἐν τῷ αἰγιαλῷ περιπατοῦντας, ἐπιπολάσασαν ἄφνω τὴν θάλασσαν, ἁρπάσαι, καὶ ἀφανεῖς ποιῆσαι. καὶ τέλος, αὐτοῖς τοῦτο τῆς συμφορᾶς, καὶ θανάτου γενέσθαι. οἱ δὲ, οἷα δὴ κεκενωμένης οἰκίας νέων δεσποτῶν, ἔγνωσαν μηκέτι μένειν ἐν τῇ δουλείᾳ, ἀλλὰ πάντα διαρπάσαντες τὰ ἔνδον, φυγῇ ἐσώζοντο. ὁ δὲ νομεὺς τῶν ἵππων, κἀμὲ παραλαβὼν, καὶ πάνθ᾽ ὅσα δυνατὸς ἦν συλλαβὼν, ἐπικατέδησέ μοι καὶ ταῖς ἵπποις. ἐγὼ δὲ, ἠχθόμην μὲν, φέρων φορτίον ὄνου ἀληθινοῦ. ἀλλ᾽ οὖν ἄσμενος τὸ ἐμπόδιον τοῦτο τῆς ἐμῆς ἐδεξάμην ἐκτομῆς. καὶ τὴν νύκτα ὅλην ἐλθόντες ὁδὸν ἀργαλέαν, καὶ τριῶν ἄλλων ἡμερῶν τὴν ὁδὸν ἀνύσαντες, ἐρχόμεθα ἐς πόλιν τῆς Μακεδονίας, Βέροιαν, μεγάλην, καὶ πολυάνθρωπον. ἐνταῦθα ἔγνωσαν οἱ ἄγοντες, ἡμᾶς ἱδρύσαι, καὶ ἑαυτούς. καὶ τότε δὴ πρᾶσις ἦν ἡμῶν τῶν κτηνῶν. καὶ κῆρυξ εὔφωνος ἐν ἀγορᾷ μέσῃ ἑστὼς, ἐκήρυττεν. οἱ δὲ προσιόντες, ἰδεῖν ἤθελον, τὰ στόματα ἡμῶν ἀνοίγοντες, καὶ τὴν ἡλικίαν ἐν τοῖς ὀδοῦσιν ἑκάστῳ ἔβλεπον. καὶ τοὺς μὲν, ὠνήσαντο, ἄλλος ἄλλον. ἐμὲ δ᾽ ὕστατον ἀπολελειμμέ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νον, ὁ κῆρυξ ἐκέλευσεν αὖθις ἐπανάγειν ἐς οἶ-
κον, ὁρᾷς λέγων, οὗτος μόνος οὐχ εὕρηκε κύ-
ριον. ἡ δὲ, πολλὰ πολλάκις δινουμένη, καὶ με-
ταπίπτουσα νέμεσις, ἤγαγε κἀμοὶ τὸν δεσπό-
την, οἷον οὐκ ἂν εὐξαίμην. κίναιδος γὰρ, καὶ γέ-
ρων ἦν, τούτων εἷς τῶν τὴν θεὸν τὴν συρίαν εἰς
τὰς κώμας, καὶ τοὺς ἀγροὺς περιφερόντων, καὶ τὴν
θεὸν ἐπαιτεῖν ἀναγκαζόντων. τούτῳ πιπρά-
σκομαι πολλῆς πάνυ τιμῆς, τριάκοντα δρα-
χμῶν. καὶ στένων ἤδη, τῷ δεσπότῃ εἱπόμην ἄ-
γον τι. ἐπεὶ δὲ ἥκομεν ἔνθα ᾤκει Φίληβος, τοῦτο
γὰρ εἶχεν ὄνομα ὁ ὠνησάμενός με, μέγα εὐθὺς
πρὸ τῆς θύρας ἀνακέκραγεν, ὦ κοράσια, δοῦ-
λον ὑμῖν ἐώνημαι καλὸν, καὶ ἁδρὸν, καὶ καππα-
δόκην τὸ γένος. ἦσαν δὲ τὰ κοράσια ταῦτα,
ὄχλος κιναίδων συνεργῶν τοῦ Φιλήβου. καὶ πάν-
τες πρὸς τὴν βοὴν ἀνεκρότησαν. ᾤοντο γὰρ ἀλη-
θῶς ἄνθρωπον εἶναι τὸν ἐωνημένον. ὡς δὲ εἶδον
ὄνον ὄντα τὸν δοῦλον, ἤδη ταῦτα ἐς τὸν Φίληβον
ἔσκωπτον, τοῦτον οὐ δοῦλον, ἀλλὰ νυμφίον
σαυτῇ πόθεν ἄγεις λαβοῦσα; ὄναιο δὲ τού-
των τῶν καλῶν γάμων, καὶ τέκοις ταχέως ἡ-
μῖν πώλους τοιούτους. καὶ οἱ μὲν, ἐγέλων. τῇ
δὲ ὑστεραίᾳ, συνετάττοντο ἐπ' ἔργον, ὥσπερ
αὐτοὶ ἔλεγον. καὶ τὴν θεὸν ἐνσκευασάμενοι, ἐ-

μοὶ

μοὶ ἐπέθηκαν. εἶτα τῆς πόλεως ἐξηλαύνομεν, καὶ τὴν χώραν περιῄειμεν. ἐπειδὰν δ' εἰς κώμην τινὰ προσέλθοιμεν, ἐγὼ μὲν ὁ θεοφόρητος, ἱστάμην. ὁ δὲ αὐλητὴς ὅμιλος, ἐφύσα ἔνθεον, οἱ δὲ, τὰς μίτρας ἀπορρίψαντες, τὴν κεφαλὴν κάτωθεν ἐκ τοῦ αὐχένος ἑλίσσοντες, τοῖς ξίφεσιν ἐτέμνοντο τοὺς πήχεις. καὶ τὴν γλῶτταν τῶν ὀδόντων ὑπερβάλλων ἕκαστος, ἔτεμνε καὶ ταύτην. ὥστε ἐν ἀκαρεῖ πάντα πεπλῆσθαι μαλακοῦ αἵματος. ἐγὼ δὲ ταῦτα ὁρῶν, τὰ πρῶτα ἔτρεμον ἑστώς, μή ποτε χρεία τῇ θεῷ καὶ ὀνείου αἵματος γένοιτο. ἐπειδὰν δὲ κατακόψαιεν οὕτως ἑαυτοὺς, ἐκ τῶν περιεστηκότων θεατῶν συνέλεγον ὀβολοὺς, καὶ δραχμάς. ἄλλος ἰσχάδας, καὶ οἶνον, καὶ τυροῦ κάδον ἐπέδωκε, καὶ πυρῶν μέδιμνον, καὶ κριθῶν τῷ ὄνῳ. οἱ δὲ, ἐκ τούτων ἐτρέφοντο. καὶ τὴν ἐπ' ἐμοὶ κομιζομένην θεὸν, ἐθεράπευον. καί ποτε εἰς κώμην τινὰ αὐτῶν εἰσβαλλόντων ἡμῶν, νεανίσκον τῶν κωμητῶν μέγαν ἀγρεύσαντες εἰσάγουσιν εἴσω, ἔνθα καταλύοντες ἔτυχον. ἔπειτα ἔπασχον ἐκ τοῦ κωμήτου ὅσα συνήθη, καὶ φίλα τοῖς τοιούτοις ἀνοσίοις κιναίδοις ἦν. ἐγὼ δὲ, ὑπεραλγήσας ἐπὶ τῇ ἐμαυτοῦ μεταβολῇ, ὅτι μέχρι νῦν ἀνέχομαι κακῶν, ἀναβοῆσαι ὦ Ζεῦ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σχέτλιε ἤθελον. ἀλλ' ἡ μὲν φωνή, οὐκ ἀνέβη
μοι ἡ ἐμή, ἀλλ' ἡ τοῦ ὄνου ἐκ τοῦ φάρυγγος,
καὶ μέγα ὠγκησάμην. τῶν δὲ κωμητῶν τι-
νες, ἔτυχον γὰρ τότε ὄνον ἀπολωλεκότες, καὶ
τὸν ἀπολωλότα ζητοῦντες, ἀκούσαντές μου
μέγα βοήσαντος, παρέρχονται εἴσω, οὐδενὶ
οὐδὲν εἰπόντες, ὡς ἐμοῦ τοῦ ἐκείνου ὄντος.
καὶ καταλαμβάνουσι τοὺς κιναίδους, ἄρρητα
ἔνδον ἐργαζομένους. καὶ γέλως ἐκ τῶν ἐπεισελ-
θόντων πολὺς γίνεται ἔξω. καὶ ἐκδραμόντες,
ὅλῃ τῇ κώμῃ τῷ λόγῳ διέδωκαν τῶν ἱερέων
τὴν ἀσέλγειαν. οἱ δὲ, αἰδούμενοι δεινῶς ταῦ-
τα ἐληλεγμένα, τῆς ἐπιούσης νυκτὸς εὐθὺς
ἔνθεν ἐξήλασαν. καὶ ἐπειδὴ ἐγένοντο ἐν τῇ ἐρή-
μῳ τῆς ὁδοῦ, ἐχαλέπαινον, καὶ ὠργίζοντο
ἐμοὶ τῷ μηνύσαντι τὰ ἐκείνων μυστήρια. καὶ
τοῦτο μὲν ἀνεκτὸν τὸ δεινὸν ἦν, κακῶς τῷ λό-
γῳ ἀκούειν. ἀλλὰ τὰ μετὰ τοῦτο, οὐκέτ' ἀ-
νεκτά. τὴν γὰρ θεὸν ἀφελόντες μου, καὶ χα-
μαὶ καταθέμενοι, καὶ τὰ στρώματά μου πάν-
τα περισπάσαντες, γυμνὸν ἤδη προσδέουσί
με δένδρῳ μεγάλῳ. εἶτα ἐκείνῃ τῇ ἐκ τῶν ἀ-
στραγάλων μάστιγι παίοντες, ὀλίγου ἐδέη-
σαν ἀποκτεῖναι, κελεύοντές με τοῦ λοιποῦ
ἄφωνον εἶναι θεοφόρητον. καὶ μὴν καὶ ἀποσφά-
ξαι

ξαι μετὰ τὰς μάστιγας ἐβουλεύσαντο, ὥς ἐς ὕβειν αὐτὸν βαλόντα πηλὴν, καὶ τῆς κώμης οὐκ ἐξειργασμένους, ἐκβαλόντα. ἀλλ' ὥστε με μὴ ἀποκτεῖναι, δεινῶς αὐτὸν ἡ θεὸς ἐδυσώπησε, χαμαὶ καθημένη, καὶ οὐκ ἔχουσα ὅπως ὀδεύοι. ἐντεῦθεν οὖν μετὰ τὰς μάστιγας, λαβὼν τὴν δέσποιναν, ἐβάδιζον. καὶ πρὸς ἑσπέραν ἤδη καταλυόμενοι εἰς ἀγρὸν πλουτοῦντος ἀνθρώπου. καὶ ἦν οὗτος ἔνδον. καὶ τὴν θεὸν μάλα ἄσμενος τῇ οἰκίᾳ ὑπεδέξατο, καὶ θυσίας αὐτῇ προσήγαγεν. ἐνθάδε οἶδα μέγαν κίνδυνον αὐτὸς ὑποστάς. τῶν φίλων γάρ τις τῷ δεσπότῃ τῶν ἀγρῶν ἔπεμψε δῶρον, ὄνου ἀγρίου μηρόν. τοῦτον ὁ μάγειρος σκευάσαι λαβὼν, ῥαθυμίᾳ ἀπώλεσε, κυνῶν πολλῶν λαθραίως εἴσω παρελθόντων. ὃς δεδιὼς πληγὰς πολλὰς, καὶ βάσανον ἐκ τῆς ἀπωλείας τοῦ μηροῦ, ἔγνω κρεμάσαι ἑαυτὸν ἐκ τοῦ τραχήλου. ἡ δὲ γυνὴ ἡ αὐτοῦ, κακὸν ἐξαίσιον ἐμὸν, ἀλλὰ μήτε ἀπόθνησκε εἶπεν ὦ φίλτατε, μήτε ἀθυμίᾳ τοιαύτῃ δῷς σεαυτόν. πειθόμενος γάρ μοι, πράξεις εὖ πάντα. τῶν κιναίδων τὸν ὄνον λαβὼν ἔξω εἰς ἔρημον χωρίον, κἄπειτα σφάξας αὐτὸν, τὸ μέρος μὲν ἐκεῖνο, τὸν μηρὸν ἀποτεμὼν, κόμιζε δεῦρο. καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σκευάσας, τῷ δεσπότῃ ἀπόδος. καὶ τὸ ἄλλο
τοῦ ὄνου, κάτω που ἐς τὸν κρημνὸν ἄφες. δόξει
γὰρ ἀποδρὰς, οἴχεσθαί ποι, καὶ εἶναι ἀφανής.
ὁρᾷς δὲ ὡς ἔστιν εὔσαρκος, καὶ τοῦ ἀγρίου ἐκείνου
πάντα ἀμείνων; ὁ δὲ μάγειρος, τῆς γυναικὸς
ἐπαινέσας τὸ βούλευμα, ἄριστα ἔφη σοι ὦ γύ-
ναι, ταῦτα, καὶ τούτῳ μόνῳ τῷ ἔργῳ τὰς μά-
στιγας φυγεῖν ἔχω. καὶ τοῦτό μοι ἤδη πεπράξε-
ται. ὁ μὲν οὖν ἀνόσιος οὗτος οὑμὸς μάγειρος,
ἐμοῦ πλησίον ἑστὼς, τῇ γυναικὶ ταῦτα συνε-
βουλεύετο. ἐγὼ δὲ, τὸ μέλλον ἤδη προορώμενος,
κράτιστον ἔγνων τὸ σώζειν ἐμαυτὸν ἐκ τῆς καινί-
δος. καὶ ῥήξας τὸν ἱμάντα, ᾧ ἠγόμην, καὶ ἀ-
νασκιρτήσας, ἵεμαι δρόμῳ εἴσω, ἔνθα ἐδεί-
πνουν οἱ κίναιδοι σὺν τῷ δεσπότῃ τῶν ἀγρῶν.
ἐνταῦθα εἰσδραμὼν, ἀνατρέπω πάντα τῷ
σκιρτήματι, καὶ λυχνίαν, καὶ τραπέζας. κἀ-
γὼ μὲν ᾤμην κομψόν τι τοῦτο πρὸς σωτηρίαν
ἐμὴν εὑρηκέναι, καὶ τὸν δεσπότην τῶν ἀγρῶν κε-
λεύειν εὐθέως ὡς ἀγέρωχον ὄνον ἐμὲ κατα-
κλεισθέντα, φυλάττεσθαι ἀσφαλῶς. ἀλ-
λά με τοῦτο τὸ κομψὸν, εἰς ἔσχατον ἤνεγκε κινδύ-
νου. λυττᾶν δόξαντές με, ξίφη πολλὰ ἤδη, καὶ
λόγχας ἐπ' ἐμὲ ἐσπάσαντο, καὶ ξύλα μακρά.
καὶ εἶχον οὕτως, ὥστε ἀποκτενεῖν με. ἐγὼ δὲ

ὁρῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὀρέων τοῦ δεινοῦ τὸ μέγεθος, δρόμῳ εἰς τὰ παρέρχομαι, ἔνθα οἱ ἐμοὶ δεσπόται κοιμηθήσεσθαι ἔμελλον. οἱ δὲ, θεασάμενοι τοῦτο, συγκλείουσι τὰς θύρας εὖ μάλα ἔξωθεν. ἐπεὶ δὲ ἤδη ὄρθρος ἦν, ἀράμενος τὴν θεὸν αὖθις, ἀπῄειν ἅμα τοῖς ἀγύρταις. καὶ ἀφικόμεθα εἰς κώμην ἄλλην μεγάλην, καὶ πολυάνθρωπον. ἐν ᾗ καὶ καινότερόν τι ἐτερατεύσαντο, τὴν θεὸν μὴ μεῖναι ἐν ἀνθρώπου οἰκίᾳ. τῷ δὲ παρ᾽ ἐκείνοις μάλιστα τιμωμένῳ ἐπιχωρίου δαίμονος, τὸν ναὸν οἰκῆσαι. οἱ δὲ, καὶ μάλα ἄσμενοι τὴν ξένην θεὸν ὑπεδέξαντο, τῇ σφῶν αὐτῶν θεῷ συνοικίσαντες. ἡμῖν δὲ οἰκίαν ἀπέδειξαν ἀνθρώπων πενήτων. ἐνταῦθα συχνὰς ἡμέρας οἱ δεσπόται διατρίψαντες, ἀπιέναι ἤθελον εἰς τὴν πλησίον πόλιν. καὶ τὴν θεὸν ἀπῄτουν τοὺς ἐπιχωρίους. καὶ αὐτοὶ ἐς τὸ τέμενος παρελθόντες, ἐκόμιζον αὐτήν. καὶ θέντες ἐπ᾽ ἐμοί, ἤλαυνον ἔξω. ἔτυχον δὲ οἱ δυσεβεῖς εἰς τὸ τέμενος ἐκεῖνο παρελθόντες, ἀνάθημα φιάλην χρυσῆν κλέψαντες, ἣν ὑπὸ τῇ θεῷ ἔφερον. οἱ δὲ κωμῆται, αἰσθόμενοι τοῦτο, εὐθὺς ἐδίωκον. εἶτα ὡς πλησίον ἐγένοντο, καταπηδήσαντες ἀπὸ τῶν ἵππων, εἶχον αὐτῶν ἐν τῇ ὁδῷ, καὶ δυσεβεῖς, καὶ ἱεροσύλους ἐκάλουν, καὶ ἀπῄτουν τὸ κλαπὲν ἀνάθημα. καὶ ἐρευνῶντες



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πάντα, εὗρον αὐτὸ ἐν τῷ κόλπῳ τοῦ θεοῦ. δήσαν-
τες οὖν τὰς γυναικίας, ἦγον ὀπίσω. καὶ τοὺς μὲν,
εἰς τὴν εἱρκτὴν ἐμβάλλουσι. τὴν δὲ θεὸν τὴν
ἐπ' ἐμοὶ κομιζομένην ἀράμενοι, ναῷ ἄλλῳ ἔ-
δωκαν. τὸ δὲ χρυσίον, τῇ πρὶν ἤδη θεῷ πάλιν ἀ-
πέδωκαν. τῇ δὲ ὑστεραίᾳ, τά τε σκεύη, κἀμὲ
πιπράσκειν διέγνωσαν. καὶ ἀπέδοντό με ξένῳ
ἀνθρώπῳ, τὴν πλησίον κώμην οἰκοῦντι, τέ-
χνην ἔχοντι ἄρτους πέττειν. οὗτός με παραλα-
βὼν, καὶ πυρῶν μεδίμνους δέκα ὠνησάμενος,
ἐπιθεὶς μοι τὸν πυρὸν, ὡς ἑαυτὸν ἤλαυνεν ὁδὸν
ἀργαλέαν. ὡς δὲ ἤκομεν, εἰσάγει με εἰς τὸν μυ-
λῶνα. καὶ ὁρῶ πολὺ πλῆθος ἔνδον ὁμοδούλων
κτηνῶν. καὶ μύλαι πολλαὶ ἦσαν. καὶ πᾶσαι τού-
τοις ἐστρέφοντο. καὶ πάντα ἐκεῖνα μεστὰ ἦν ἀλεύ-
ρων. καὶ τότε μέν με, οἷα ξένον δοῦλον, καὶ
φορτίον βαρύτατον ἀράμενον, καὶ ὁδὸν ἀργα-
λέαν ἀφιγμένον, ἀναπαύεσθαι ἔνδον ἀφῆ-
καν. τῇ δὲ ὑστεραίᾳ, ὀθόνην τοῖς ὄμμασιν ἐπι-
πετάσαντες, ὑποζευγνύουσί με τῇ κώπῃ τῆς
μύλης. εἶτα ἤλαυνον. ἐγὼ δὲ ἠπιστάμην ὅπως
χρὴ ἀλεῖν, πολλάκις μαθών. προσεποιού-
μην δὲ ἀγνοεῖν. ἀλλὰ μάτην ἤλπισα. λα-
βόντες γοῦν πολλοὶ τῶν ἔνδον βακτηρίας, περιΐ-
στανταί με. καὶ μὴ προσδοκῶντα ὡς οὐχ ὁρῶν-
τα, παί

πτα, παίουσιν ἀθρόᾳ τῇ χειρί, ὥστε με ὑπὸ τῆς πληγῆς, ὥσπερ στρόμβον ἐξαπίνης στρέφεσθαι. καὶ πείρᾳ ἔμαθον, ὡς χρὴ τὸν δοῦλον ἐς τὰ δέοντα ποιεῖν, μὴ περιμένειν τὴν χεῖρα τοῦ δεσπότου. λεπτὸς οὖν πάνυ γίνομαι, καὶ ἀσθενὴς τὸ σῶμα, ὥστε ἔγνω με ὁ δεσπότης πωλῆσαι. καὶ ἀποδίδοταί με ἀνθρώπῳ κηπουρῷ τὴν τέχνην. οὗτος γὰρ εἶχε κῆπον, λαβὼν γεωργεῖν. καὶ τοῦτο εἴχομεν ἔργον. ὁ δεσπότης οὖν ἕωθεν ἐπιθείς μοι τὰ λάχανα, ἐκόμιζεν εἰς τὴν ἀγοράν. καὶ παραδοὺς τοῖς ταῦτα πιπράσκουσιν, ἦγέ με πάλιν εἰς τὸν κῆπον. εἶτα ἐκεῖνος μὲν καὶ ἔσκαπτε, καὶ ἐφύτευε, καὶ τὸ ὕδωρ τοῖς φυτοῖς ἐπῆγεν. ἐγὼ δὲ, ἐν τούτῳ εἱστήκειν ἀργός. ἦν δέ μοι δεινῶς ἀλγεινὸς ὁ τότε βίος. πρῶτον μὲν, ἐπεὶ χειμὼν ἤδη ἦν, κἀκεῖνος οὐδὲ αὑτῷ στρῶμα εἶχεν ἀγοράσαι, οὐχ ὅπως ἐμοί. καὶ ἀνυπόδητος, πηλὸν ὑγρὸν, καὶ πάνυ σκληρὸν, καὶ ὀξὺν ἐπάτουν. καὶ φαγεῖν τοῦτο μόνον ἀμφοτέροις ἦν, θρίδακας πικρὰς, καὶ σκληράς. καί ποτε ἐξιόντων ἡμῶν ἐς τὸν κῆπον, ἐντυγχάνει ἀνὴρ γενναῖος, στρατιώτου στολὴν ἠμφιεσμένος. καὶ τὰ μὲν πρῶτα, λαλεῖ πρὸς ἡμᾶς τῇ Ἰταλῶν φωνῇ. καὶ ἤρετο τὸν κηπουρὸν ὅποι ἀπάγει τὸν ὄνον ἐμέ. ὁ δὲ, οἶμαι, τῆς φωνῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀνόητος ὢν, οὐδὲν ἀπεκρίνατο. ὁ δέ, ὀργιζόμενος, ὡς ὑπερορώμενος, παίει τῇ μάστιγι τὸν κηπουρόν. κἀκεῖνος συμπλέκεται αὐτῷ. καὶ ἐκ τῶν ποδῶν ὑποσπάσας, εἰς τὴν ὁδὸν ἐκτείνει. καὶ κείμενον ἔπαιεν οὕτω, καὶ χειρί, καὶ ποδί, καὶ λίθῳ τῷ ἐκ τῆς ὁδοῦ. καὶ ὃς τὰ πρῶτα καὶ ἀντεμάχετο, καὶ ἠπείλει, εἰ ἀναστάιη, ἀποκτενεῖν τῇ μαχαίρᾳ. ὁ δέ, ὥσπερ ὑπ' αὐτοῦ ἐκείνου διδαχθεὶς τὸ ἀκινδυνότατον, σπᾷ τὴν μάχαιραν αὐτοῦ, καὶ ῥίπτει πόρρω. εἶτα αὖθις ἔπαιε κείμενον. ὁ δέ, τὸ κακὸν ὁρῶν ἤδη ἀφόρητον, ψεύδεται, ὡς τεθνηκὼς ἐν ταῖς πληγαῖς. ὁ δέ, δείσας ἐπὶ τούτῳ, τὸν μὲν, αὐτοῦ ὡς εἶχε κείμενον, ἀπολείπει. τὴν δὲ μάχαιραν βαστάσας ἐπ' ἐμοί, ἤλαυνεν ἐς τὴν πόλιν. ὡς δὲ ἤλθομεν, τὸν μὲν κῆπον αὐτοῦ, συνεργῷ τινι ἐπέδωκε γεωργεῖν. αὐτὸς δέ, τὸν κίνδυνον τὸν ἐκ τῆς ὁδοῦ δεδιώς, κρύπτεται ἅμα ἐμοί, πρός τινα τῶν ἐν ἄστει συνήθων. τῇ δ' ὑστεραίᾳ, δόξαν αὐτοῖς, οὕτω ποιοῦσι. τὸν μὲν ἐμὸν δεσπότην, κιβωτῷ ἐνέκρυψαν. ἐμὲ δέ, ἀράμενοι ἐκ τῶν ποδῶν, κομίζουσιν ἄνω τῇ κλίμακι, ἐς οἴκημα ὑπερῷον. κἀκεῖ με ἄνω συγκλείουσιν. ὁ δὲ στρατιώτης, ἐκ τῆς ὁδοῦ τότε μόλις ἐξαναστάς, ὡς ἔφασαν, καρηβαρῶν ταῖς πληγαῖς, ἧκεν εἰς

τὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν πόλιν. καὶ τοῖς στρατιώταις τοῖς σὺν αὐτῷ ἐντυχών, λέγει τὴν ἀπόνοιαν τοῦ κηπουροῦ. οἱ δὲ, σὺν αὐτῷ συνελθόντες, μανθάνουσιν ἔνθα ἦμεν κεκρυμμένοι. καὶ παραλαμβάνουσι τοὺς τῆς πόλεως ἄρχοντας. οἱ δὲ, εἴσω τινὰ τῶν ὑπηρετῶν πέμπουσι, καὶ τοὺς ἔνδον ἅπαντας προελθεῖν ἔξω κελεύουσιν. ὡς δὲ προῆλθον, ὁ κηπουρὸς οὐδαμοῦ ἐφαίνετο. οἱ μὲν οὖν στρατιῶται, ἔνδον ἔφασαν εἶναι τὸν κηπουρὸν, κἀμὲ τὸν ἐκείνου ὄνον. οἱ δὲ, οὐδὲν ἄλλο ὑπολελεῖφθαι ἔλεγον, οὔτε ἄνθρωπον, οὔτε ὄνον. θορύβου δὲ ἐν τῷ στενωπῷ, καὶ πολλῆς βοῆς ἐκ τούτου γενομένης, ὁ ἀγέρωχος, καὶ πάντα περίεργος ἐγώ, βουλόμενος μαθεῖν τίνες εἶεν οἱ βοῶντες, διακύπτω ἄνωθεν κάτω διὰ τῆς θυρίδος. οἱ δέ με ἰδόντες, εὐθὺς ἀνέκραγον. οἱ δὲ, ἑαλώκεσαν ψευδῆ λέγοντες. καὶ οἱ ἄρχοντες εἴσω παρελθόντες, καὶ πάντα ἀνερευνῶντες, εὑρίσκουσι τὸν ἐμὸν δεσπότην τῇ κιβωτῷ ἐγκείμενον. καὶ λαβόντες, τὸν μὲν, εἰς τὸ δεσμωτήριον πέμπουσι, λόγον τῶν τετολμημένων ὑφέξοντα. ἐμὲ δὲ, κάτω βαστάσαντες, τοῖς στρατιώταις ἐπέδωκαν. πάντες δὲ ἄσβεστον ἐγέλων ἐπὶ τῷ μηνύσαντι ἐκ τῶν ὑπερῴων, καὶ προδόντι τὸν ἑαυτοῦ δεσπότην, κἀκ τότε δὴ ἐμοῦ πρώ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ τοῦ κληθέντος εἰς ἄνθρωπον ὁ λόγος οὗτος, ἐξ
„ ὄνου παρακύψεως. τῇ δ' ὑστεραίᾳ, τί μὲν ἐπα-
θεν ὁ κατάρατος ὁ ἐμὸς δεσπότης, οὐκ οἶδα. ὁ δὲ
στρατιώτης πωλῆσαί με ἔγνω. καὶ πιπράσκει
με πέντε καὶ εἴκοσιν ἀττικῶν. ὁ δὲ ὠνησάμενος,
θεράπων ἦν ἀνδρὸς σφόδρα πλουσίου, πόλεως
τῶν ἐν Μακεδονίᾳ τῆς μεγίστης Θεσσαλονίκης.
οὗτος τέχνην εἶχε ταύτην, τὰ ὄψα τῷ δεσπό-
τῃ ἐσκεύαζε, καὶ εἶχε καὶ ἀδελφὸν σύνδουλον,
ἄρτους πέττειν, καὶ μελίπηκτα κιρνᾶν ἐπιστά-
μενον. οὗτοι οἱ ἀδελφοὶ, σύσκηνοί τε ἀεὶ ἦσαν
ἀλλήλοις, καὶ κατέλυον ἐν ταὐτῷ, καὶ τὰ σκεύη
τῶν τεχνῶν εἶχον ἀναμεμιγμένα. καὶ μετὰ ταῦτα,
κἀμὲ ἵστασαν ἔνθα κατέλυον. καὶ οὗτοι μετὰ τὸ
δεῖπνον τοῦ δεσπότου, πολλὰ λείψανα ἄμφω
εἴσω ἐκόμιζον. ὁ μὲν, κρεῶν, καὶ ἰχθύων. ὁ δὲ,
ἄρτων, καὶ πλακούντων. οἱ δὲ, κατακλείσαντες
τοὺς ἔνδον ἐμὲ μετὰ τούτων, καὶ φυλακὴν ἐμοὶ
γλυκυτάτην παραστήσαντες, ἀπῄεσαν, ὥστε
ἀπολούσασθαι. κἀγὼ τοῖς παρακειμένοις
κριθιδίοις μακρὰ χαίρειν λέγων, ταῖς τέχναις,
καὶ τοῖς κέρδεσι τῶν δεσποτῶν ἐδίδουν ἐμαυτόν.
καὶ διὰ μακροῦ πάνυ ἐγεμιζόμην ἀνθρωπείου
τροφῆς. οἱ δὲ, ἀναστρέψαντες εἴσω, τὰ μὲν πρῶ-
τα οὐδὲν ᾐσθάνοντο τῆς ὀψοφαγίας τῆς ἐμῆς.

ἐκ τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκ τοῦ πλήθους τῶν παρακειμένων, κἀμοῦ ἔτι ἐν φόβῳ, καὶ φειδοῖ κλέπτοντος τὸ ἄριστον. ἐπεὶ δὲ καὶ τέλεον ἤμην αὐτῶν καταγνοὺς ἀνοίαν, τὰς καλλίστας τῶν μερίδων, καὶ ἄλλα πολλὰ κατέτρωγον. καὶ ἐπειδὴ ᾔσθοντο ἤδη τῆς ζημίας, τὰ μὲν πρῶτα, ἄμφω ὕποπτον πρὸς ἀλλήλους ἔβλεπον, καὶ κλέπτην ὁ ἕτερος τὸν ἕτερον, καὶ ἅρπαγα τῶν κοινῶν, καὶ ἀναίσχυντον ἔλεγον. καὶ ἦσαν ἀκριβεῖς λοιπὸν ἄμφω. καὶ τῶν μερίδων ἀριθμὸς ἐγίνετο. ἐγὼ δὲ τὸν βίον εἶχον ἐν ἡδονῇ, καὶ τρυφῇ. καὶ τὸ σῶμά μου ἐκ τῆς συνήθους τροφῆς πάλιν καλὸν ἐγεγόνει, καὶ τὸ δέρμα ἐπανθούσῃ τῇ τριχὶ ἀπέστιλβεν. οἱ δὲ γενναιότατοι μέγαν τέ με, καὶ πίονα ὁρῶντες, καὶ τὰ κριθίδια μὴ δαπανώμενα, ἀλλ᾽ ἐν ταὐτῷ μέτρῳ ὄντα, εἰς ὑπόνοιαν ἔρχονται τῶν τολμημάτων τῶν ἐμῶν. καὶ προελθόντες, ὡς εἰς τὸ βαλανεῖον ἀπιόντες, ἔπειτα τὰς θύρας συγκλείσαντες, προσβαλόντες ὀπῇ τινι τὰ ὄμματα τῆς θύρας, ἐσκόπουν τὰ ἔνδον. κἀγὼ τότε τοῦ δόλου μηδὲν εἰδώς, ἠρίστων, προσελθών. οἱ δὲ, τὰ μὲν πρῶτα ἐγέλων, ὁρῶντες ἄριστον ἄπιστον. εἶτα καὶ τοὺς ὁμοδούλους ἐκάλουν ἐπὶ τὴν ἐμὴν θέαν, καὶ γέλως πολὺς ἦν. ὥστε καὶ ὁ δεσπότης αὐτῶν ἤκουσε τοῦ γέλωτος,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θορύβου ὄντος ἔξωθεν, καὶ ἤρετό τινα ἐφ' ὅτῳ τοσοῦ
τον οἱ ἔξω γελῶσιν. ἐπεὶ δὲ ἤκουσε, καὶ ἐξανίστα
ται τοῦ συμποσίου, καὶ διακύψας εἴσω, ὁρᾷ με
συὸς ἀγρίου μερίδα καταπίνοντα, καὶ μέγα ἐν γέ
λωτι ἀναβοήσας, εἰστρέχει εἴσω. κἀγὼ σφό
δρα ἠχθόμην ἤδη τοῦ δεσπότου, κλέπτης ἅμα,
καὶ λίχνος ἑαλωκώς. ὁ δὲ, πολὺν εἶχεν ἐπ'
ἐμοὶ γέλωτα. καὶ τὰ μὲν πρῶτα, κελεύει με
εἴσω ἄγεσθαι εἰς τὸ ἐκείνου συμπόσιον. ἔπειτα
τράπεζάν μοι παραθεῖναι εἶπε, καὶ εἶναι ἐπ' αὐτῇ
πολλὰ τῶν, ὅσα μὴ δυνατὸν ἄλλῳ ὄνῳ καταφα
γεῖν, κρέα, λοπάδας, ζωμοὺς, ἰχθῦς. τοὺς
μὲν, γάρῳ, καὶ ἐλαίῳ κατακειμένους. τοὺς δὲ
νάπυϊ ἐγκεχυμένους. κἀγὼ τὴν τύχην ὁρῶν
ἤδη ἁπαλόν μοι προσμειδιῶσαν, καὶ μαθὼν ὅτι
με τοῦτο μόνον τὸ παίγνιον ἀνασώσει, καίτοι ἤδη
ἐμπεπλησμένος, ὅμως ἠρίστων, τῇ τραπέζῃ
παραστάς. τὸ δὲ συμπόσιον ἐκλονεῖτο τῷ γέ
λωτι. καί τις εἶπε, καὶ πίεται οἶνον οὗτος ὁ ὄ
νος, ἤν τις αὐτῷ ἐγκερασάμενος ἐπιδῷ. καὶ ὁ
δεσπότης ἐκέλευε. κἀγὼ τὸ προσενεχθὲν ἔπι
νον. ὁ δὲ, οἷον εἰκὸς, ὁρῶν με κτῆμα παράδο
ξον, τὴν μὲν τιμὴν τὴν ἐμὴν κελεύει τῶν διοική
τῶν τινι καταβαλεῖν, τῷ ἐμὲ ὠνησαμένῳ, καὶ
ἄλλο τοσοῦτον. ἐμὲ δὲ παρέδωκεν ἀπελευθέ-

ρῳ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐρῶ τινὶ τῶν ἑαυτοῦ νεανίσκων, καὶ εἶπε κατηχεῖν, ὅσα ποιῶν μάλιστα, ψυχαγωγεῖν αὐτὸν δυναίμην. τὸ δέ γε ῥᾷστα ἦν πάντα. ὑπήκουον γὰρ εὐθὺς, εἰς ἅπαντα διδασκόμενος. καὶ πρῶτον μὲν κατακλίνεσθαί με ἐπὶ κλίνης, ὥσπερ ἄνθρωπον ἐπ' ἀγκῶνος ἐποίησεν. εἶτα καὶ προσπαλαίειν αὐτῷ, καὶ μὴν καὶ ὀρχεῖσθαι, ἐπὶ τοῖν δύο ἐπανιστάμενον ὀρθὸν, καὶ κατανεύειν, καὶ ἀνανεύειν πρὸς τὰς φωνάς, καὶ πάνθ' ὅσα ἐδυνάμην μὲν, καὶ δίχα τοῦ μανθάνειν ποιεῖν. καὶ τὸ πρᾶγμα περιβόητον ἦν, ὄνος ὁ τοῦ δεσπότου, οἰνοπότης, παλαίων, ὀρχούμενος. τὸ δὲ μέγιστον, ὅτι πρὸς τὰς φωνὰς ἀνένευον ἐν καιρῷ, καὶ κατένευον. καὶ πιεῖν δὲ ὁπότε θελήσαιμι ᾔτουν, τοῖς ὀφθαλμοῖς τὸν οἰνοχόον κινήσας. καὶ οἱ μὲν ἐθαύμαζον τὸ πρᾶγμα, ὡς παράδοξον, ἀγνοοῦντες τὸν ἄνθρωπον ἐν τῷ ὄνῳ κείμενον. ἐγὼ δὲ, τρυφὴν ἐποιούμην τὴν ἐκείνων ἄγνοιαν. καὶ μὴν καὶ βαδίζειν ἐμάνθανον, καὶ κομίζειν τὸν δεσπότην ἐπὶ τοῦ νώτου, καὶ τρέχειν δρόμον ἀλυπότατον, καὶ τῷ ἀναβάτῃ ἀναίσθητον. καὶ σκευή μοι ἦν πολυτελής. καὶ στρώματα πορφυρᾶ ἐπιβάλλομαι. καὶ χαλινοὺς εἰσεδεχόμην, ἀργύρῳ, καὶ χρυσῷ πεποικιλμένους. καὶ κώδωνες ἐξῆπτόν μου, μέλος μουσικώτατον ἐκφωνοῦντες.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁ δὲ Μενεκλῆς ὁ δεσπότης ἡμῶν, ὥσπερ ἔφην, ἐκ τῆς Θεσσαλονίκης δεῦρο ἐληλύθει ἐπ' αἰτίᾳ τοιαύτῃ. ὑπέσχετο τῇ πατρίδι θέαν παρέξειν ἀνδρῶν, ὅπλοις πρὸς ἀλλήλους μοναμαχεῖν εἰδότων. καὶ οἱ μὲν ἄνδρες, τῆς μάχης ἤδη ἦσαν ἐν παρασκευῇ. καὶ ἀφῖκτο ἡ πορεία. ἐξελαύνομεν οὖν ἕωθεν. κἀγὼ τὸν δεσπότην ἔφερον, εἴ ποτε χωρίον ἦν τῆς ὁδοῦ τραχὺ, καὶ τοῖς ὀχήμασιν ἐπιβαίνειν χαλεπόν. ὡς δὲ κατέβημεν εἰς Θεσσαλονίκην, οὐκ ἦν ὅστις ἐπὶ θέαν οὐκ ἠπείγετο, καὶ τὴν ὄψιν τὴν ἐμήν. ἡ γὰρ ἐμὴ δόξα, προεληλύθει ἐκ μακροῦ, καὶ τὸ πολυπρόσωπον, καὶ τὸ ἀνθρώπινον τῶν ἐμῶν ὀρχημάτων, καὶ παλαισμάτων. ἀλλ' ὁ μὲν δεσπότης, τοῖς ἐνδοξοτάτοις τῶν αὐτοῦ πολιτῶν, παρὰ τὸν πότον ἐδείκνυέ με, καὶ τὰ παράδοξα ἐκεῖνα ἐν ἐμοὶ παίγνια ἐν τῷ δείπνῳ παρετίθει. ὁ δὲ ἐμὸς ἐπιστάτης, πρόσοδον εὗρεν ἐξ ἐμοῦ πολλῶν πάνυ δραχμῶν. κατακλείσας γάρ με ἔνδον, εἶχεν ἑστῶτα. καὶ τοῖς βουλομένοις ἰδεῖν ἐμὲ, καὶ τὰ ἐμὰ παράδοξα ἔργα, μισθοῦ τὴν θύραν ἤνοιγεν. οἱ δ' εἰσεκόμιζον, ἄλλος ἄλλο τι τῶν ἐδωδίμων. μάλιστα τὸ ἐχθρὸν εἶναι ὄνου γαστρὶ δοκοῦν. ἐγὼ δὲ ἤσθιον. ὥστε ὀλίγων ἡμερῶν τῷ δεσπότῃ, καὶ τοῖς ἐν τῇ πόλει συναριστῶν, μέ-

γας τε,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γας τε, καὶ πίων δεινῶς ἤδη ἐγεγόνειν. καὶ ἡ γυνὴ ξένη, οὐ μετρία κεκτημένη, τὴν ὄψιν ἱκανή, παρελθοῦσα εἴσω ἰδεῖν ἐμὲ ἀριστῶντα, εἰς ἔρωτά μου θερμὸν ἐμπίπτει, τοῦτο μὲν, τὸ κάλλος ἰδοῦσα τοῦ ὄνου, τοῦτο δὲ, τῷ παραδόξῳ τῶν ἐμῶν ἐπιτηδευμάτων, εἰς ἐπιθυμίαν συνουσίας προελθοῦσα. καὶ διαλέγεται πρὸς τὸν ἐπιστάτην τὸν ἐμὸν, καὶ μισθὸν ἁδρὸν αὐτῷ ὑπέσχετο, εἰ συγχωρήσειεν αὐτῇ, σὺν ἐμοὶ τὴν νύκτα ἀναπαύσασθαι. κἀκεῖνος οὐδὲν φροντίσας, εἴτε καὶ ἀνύσει τι ἐκείνη ἐξ ἐμοῦ, εἴτε καὶ μή, λαμβάνει τὸν μισθόν. κἀπειδὴ ἑσπέρα τε ἤδη ἦν, κἀκ τοῦ συμποσίου ἀφῆκεν ἡμᾶς ὁ δεσπότης, ἀναστρέφομεν ἔνθα ἐκαθεύδομεν. καὶ τὴν γυναῖκα εὕρομεν πάλαι ἀφιγμένην ἐπὶ τὴν ἐμὴν εὐνήν. ἐκεκόμιστο δὲ αὐτῇ προσκεφάλαια μαλακά, καὶ στρώματα εἴσω κατέθεντο, καὶ χαμεύνιον ἡμῖν εὐπρεπὲς ἦν. εἶτα οἱ μὲν τῆς γυναικὸς θεράποντες, αὐτοῦ που πλησίον πρὸ τοῦ δωματίου ἐκάθευδον. ἡ δὲ, λύχνον ἔνδον ἔκαιε μέγαν, τῷ πυρὶ λαμπόμενον. ἔπειτα ἀποδυσαμένη, παρέστη τῷ λύχνῳ γυμνὴ ὅλη. καὶ μύρον ἔκ τινος ἀλαβάστρου προχεαμένη, τούτῳ ἀλείφεται. κἀμὲ δὲ μυρίζει. ἔνθεν μάλιστα τὴν ῥῖνά μου μύρων ἐνέπλησεν. εἶτά με καὶ ἐφίλη-

α. καὶ οἷα, πρὸς ἄνδρα ἐρώμενον, καὶ ἀνθρωπινα, διελέγετο. καί με ἐκ τῆς φορβειᾶς ἐπιλαβομένη, ὥσπερ τὸ χαμεύνιον εἷλκε. κἀγὼ οὐδὲν τοῦ ἑτέρου παρακαλέσοντος, εἰς τοῦτο δεόμενος, καὶ οἴνῳ δὲ παλαιῷ πολλῷ ὑποβεβρεγμένος, καὶ τῷδε χριστῷ τοῦ μύρου οἰστρημένος, καὶ τὴν παιδίσκην ὁρῶν πάντα καλὴν, κλίνομαι. καὶ σφόδρα ἠπόρουν, ὅπως ἀναβήσομαι τὴν ἄνθρωπον. καὶ γὰρ ἐξ ὅτου ἐγεγόνειν ὄνος, συνουσίας οὐδὲ τοῖς ὄνοις συνήθους ἔτυχον ἐφαψάμενος, οὐδὲ γυναικὶ ἐχρησάμην ὄνῳ. καὶ μὴν καὶ τοῦτό μ' εἰς δέος οὐχὶ μέτριον ἦγε, μὴ οὐ χωρήσασα ἡ γυνὴ, διασπασθείη, κἀγὼ ὥσπερ ἀνδροφόνος, καλὴν δώσω δίκην. ἠγνόουν δὲ οὐκ εἰς δέον δεδιώς. ἡ γὰρ γυνὴ, πολλοῖς τοῖς φιλήμασι, καὶ τούτοις ἐρωτικοῖς, προσκαλουμένη, ὡς εἶδεν οὐ κατέχοντα ὥσπερ ἀνδρὶ παρακειμένη, περιβάλλεταί με. καὶ ἄρασα εἴσω, ὅλον παρεδέξατο. κἀγὼ μὲν ὁ δειλὸς, ἐδεδοίκειν ἔτι, καὶ ὀπίσω ἀπῆγον ἐμαυτὸν ἀτρέμα. ἡ δὲ, τῆς τε ὀσφύος τῆς ἐμῆς εἴχετο, ὥστε μὴ ὑποχωρεῖν, καὶ αὐτὴ εἵπετο τὸ φεῦγον. ἐπεὶ δὲ ἀκριβῶς ἐπείσθην ἔτι μοι καὶ προσδεῖν πρὸς τὴν τῆς γυναικὸς ἡδονήν τε καὶ τέρψιν, ἀδεῶς λοιπὸν ὑπηρέτουν, ἐννοούμενος, ὡς οὐδὲν εἴην κακίων τοῦ τῆς Πασιφάης μοιχοῦ.

χου. ἡ δὲ γυνή, οὕτως ἦν ἄρα ἐς τὰ ἀφροδίσια ἐπτοίμη, καὶ τῆς ἀπὸ τῆς συνουσίας ἡδονῆς ἀκόρεστος, ὥστε ὅλην τὴν νύκτα ἐν ἐμοὶ ἐδαπάνησεν. ἅμα δὲ τῇ ἡμέρᾳ, ἡ μὲν, ἀναστᾶσα, ἀπῄει, συνθεμένη πρὸς τὸν ἐπιστάτην τὸν ἐμὸν οἴσειν ἄχρις αὔριον τὸν μισθὸν τὸν αὐτὸν τῆς νυκτός. ὁ δὲ, ἅμα μὲν πλουσιώτερος ἐκ τῶν ἐμῶν γενόμενος, καὶ τῷ δεσπότῃ καινότερον ἐν ἐμοὶ ἐπιδειξάμενος, συγκατακλείει με τῇ γυναικί. ἡ δὲ, κατεχρῆτό μοι δεινῶς. καί ποτε ἐλθὼν ὁ ἐπιστάτης, ἀγγέλλει τῷ δεσπότῃ τὸ ἔργον, ὡς ἂν αὐτὸς διδάξας. καὶ ἐμοῦ μὴ εἰδότος, ἄγει αὐτὸν ἑσπέρας ἤδη, ἔνθα ἐκαθεύδομεν. καὶ διά τινος ὀπῆς τῆς θύρας δείκνυσί με, ἔνδον τῇ μείρακι συνευναζόμενον. ὁ δὲ, ἡσθεὶς τῇ θέᾳ, καὶ δημοσίᾳ με δεῖξαι ταῦτα ποιοῦντα ἐπεθύμησε. καὶ κελεύει πρὸς μηδένα ἔξω τοῦτο εἰπεῖν, ἵνα ἔφη ἐν τῇ ἡμέρᾳ τῆς θέας παραγάγωμεν τοῦτον εἰς τὸ θέατρον σύν τινι τῶν καταδεδικασμένων γυναικῶν, καὶ πάντων ὀφθαλμοῖς ἐπὶ τὴν γυναῖκα ἀναβήσεται. καί τινα τῶν γυναικῶν, ἥτις κατεκέκριτο θηρίοις ἀποθανεῖν, ἄγουσιν ἔνδον παρ' ἐμέ. καὶ προσιέναι τε ἐκέλευον, καὶ ψαύειν ἐμοῦ. εἶτα δὲ τελευταῖον τῆς ἡμέρας ἐκείνης ἐνστάσης, ἐν ᾗ τὰς φιλοτιμί-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ες ἧκεν ὁ ἐμὸς δεσπότης, εἰσάγειν ἔγνωσάν
με εἰς τὸ θέατρον. καὶ εἰσῄειν οὕτω. κλίνη ἦν με-
γάλη, ἀπὸ χελώνης ἰνδικῆς πεποιημένη, χρυ-
σῷ ἐσφηνωμένη. ἐπὶ ταύτης με ἀνακλίνουσι.
κἀκεῖ μοι τὴν γυναῖκα παρακατέκλιναν. εἶτα
οὕτως ἡμᾶς ἐπέθηκαν ἐπί τινος μηχανήματο-
ς. καὶ εἴσω εἰς τὸ θέατρον παρενέγκαντες, κατέ-
θηκαν ἐν τῷ μέσῳ. καὶ οἱ ἄνθρωποι μέγα ἀνεβό-
ησαν. καὶ κρότος πάσης χειρὸς ἐξήλατο ἐπ' ἐ-
μοί. καὶ τράπεζα ἡμῖν παρέκειτο. καὶ πολλὰ ἐ-
σκευασμένα ἐν αὐτῇ ἔκειτο, ὅσα τρυφῶντες
ἄνθρωποι ἐν δείπνῳ ἔχουσι. καὶ παῖδες ἡμῖν
παρεστήκεισαν οἰνοχόοι καλοί, τὸν οἶνον ἡμῖν χρυ-
σίῳ διακονούμενοι. ὁ μὲν δὴ ἐπιστάτης ἑστὼς
ὄπισθεν, ἐκέλευέ με ἀριστᾶν. ἐγὼ δὲ, ἅμα μὲν
ᾐδούμην ἐν τῷ θεάτρῳ κατακείμενος, ἅμα δὲ ἐ-
δεδίειν μή πού ἄρκτος, ἢ λέων ἀναπηδήσῃ. ἐν
τούτῳ δέ τινος ἄνθη φέροντος, παροδεύοντος,
ἐν τοῖς ἄλλοις ἄνθεσιν, ὁρῶ καὶ ῥόδων χλωρῶν φύλ-
λα. καὶ μηδὲν ἔτι ὀκνῶν, ἀναπηδήσας τοῦ λέ-
χους, ἐκπίπτω. καὶ οἱ μὲν, ᾤοντό με ἀνίστασθαι ὀρ-
χησόμενον. ἐγὼ δὲ, ἓν ἐξ ἑνὸς ἐπιτρέχων, καὶ ἀπαν-
θιζόμενος ἀπ' αὐτῶν τῶν ἀνθέων τὰ ῥόδα, κα-
τέπινον. τῶν δὲ, ἔτι θαυμαζόντων ἐπ' ἐμοί, ἀ-
ποπίπτει δὴ ἐμοῦ ἐκείνη ἡ τοῦ κτήνους ὄψις, καὶ

ἀπόλ

ἀπόλλυται. καὶ ἀφανὴς ἦν ἐκεῖνος ὁ παλαιὸς ὄ-
νος. ὁ δὲ Λούκιος αὐτὸς, ἔνδον μοι γυμνὸς εἱ-
στήκει. τῇ δὲ παραδόξῳ ταύτῃ, καὶ μηδέποτε
ἐλπισθείσῃ θέᾳ, πάντων ἐκπεπληγμένων, δει-
νὸν ἐπεθορύβησαν, καὶ τὸ θέατρον εἰς δύο γνώμας
ἐσχίζετο. οἱ μὲν, γὰρ ὥσπερ φάρμακα δεινὰ
ἐπιστάμενον, καὶ κακόν τι πολύμορφον, ἠξίουν
εὐθὺς ἔνδον πυρί με ἀποθανεῖν. οἱ δὲ, περι-
μεῖναι καὶ τοὺς ἀπ' ἐμοῦ λόγους ἔλεγον δεῖν,
καὶ πρότερον διαγνῶναι, εἶθ' οὕτω δικάσαι πε-
ρὶ τούτων. κἀγὼ δραμὼν πρὸς τὸν ἄρχοντα τῆς
ἐπαρχίας, ἔτυχε δὲ τῇ θέᾳ ταύτῃ πα-
ρὼν, ἔλεγον κάτωθεν ὅτι γυνή με Θετταλὴ,
γυναικὸς Θετταλῆς δούλη, χρίσματι με-
μαγευμένῳ ἐπαλείψασα, ὄνον ποιήσειε. καὶ
ἱκέτευον αὐτὸν λαβόντα ἔχειν με ἐν φρουρᾷ.
ἔστ' ἂν αὐτὸν πείσαιμι, ὡς οὐ καταψεύδομαι
οὕτω γενόμενος. καὶ ὁ ἄρχων, λέγε φησὶν ἡμῖν
ὄνομα τὸ σὸν, καὶ γονέων τῶν σῶν, καὶ συγγενῶν,
εἴ τινας φῂς ἔχειν τῷ γένει προσήκοντας, καὶ
πόλιν. κἀγὼ, πατὴρ μὲν ἔφην ἐστί μοι Λούκιος.
τῷ δὲ ἀδελφῷ τῷ ἐμῷ, Γάϊος. ἄμφω δὲ, τὰ
λοιπὰ δύο ὀνόματα κοινὰ ἔχομεν. κἀγὼ μὲν,
ἱστοριῶν, καὶ ἄλλων εἰμὶ συγγραφεύς. ὁ δὲ,
ποιητὴς ἐλεγείων ἐστὶ, καὶ μάντις ἀγαθός.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πατρὶς δὲ ἡμῖν, Πάτραι τῆς ἀχαΐας. ὁ δὲ δι-
καστὴς, ἐπεὶ ταῦτα ἤκουσε, φιλτάτων ἐμοὶ ἔ-
φη λίαν ἀνθρώπων υἱὸς εἶ καὶ ξένων. οἰκίᾳ τέ με ὑ-
ποδεξαμένων, καὶ δώροις τιμησάντων. καὶ ἐπί-
σταμαι ὅτι οὐδὲν ψεύδῃ, παῖς ἐκείνων ὤν. καὶ
τοῦ δίφρου ἀναπηδήσας, περιβάλλει τὲ, καὶ
πολλὰ ἐφίλει. καί με καὶ οἴκαδε ἦγεν ὡς ἑαυ-
τόν. ἐν τούτῳ δὲ καὶ ὁ ἀδελφὸς ὁ ἐμὸς ἀφίκε-
το, ἀργύριον, καὶ ἄλλα μοι πολλὰ κομίζων.
κἀν τούτῳ με ὁ ἄρχων δημοσίᾳ πάντων ἀκουόν-
των, ἀπολύει. καὶ ἐλθόντες ἐπὶ θάλατταν,
ναῦν ἐσκεψάμεθα, καὶ τὴν ἀποσκευὴν ἐνεθέμε-
θα. ἐγὼ δὲ, κράτιστον εἶναι ἔγνων ἐλθεῖν πα-
ρὰ τὴν γυναῖκα τὴν ἐρασθεῖσάν μου τοῦ ὄνου, καλ-
λίων αὐτῇ φανεῖσθαι λέγων, νῦν ἐν ἀνθρώ-
πῳ ὤν. ἡ δέ μ' ἀσμένη τε εἰσεδέξατο τῷ πα-
ραδόξῳ οἶμαι τοῦ πράγματος ἐπιτερπομένη.
καὶ δειπνεῖν σὺν αὐτῇ, καὶ καθεύδειν ἱκέτευε.
κἀγὼ ἐπειθόμην, νεμέσεως ἄξιον εἶναι νομίζων
τὸν ὄνον ἀγαπηθέντα, νῦν γενόμενον ἄνθρωπον,
ὑπερτρυφᾶν, καὶ τὴν ἐρασθεῖσαν ὑπερορᾶν. καὶ
δειπνῶ σὺν αὐτῇ, καὶ ἐκ τοῦ μύρου ἀλείφομαι,
καὶ στεφανοῦμαι τῷ φιλτάτῳ καὶ ἐς ἀνθρώπους
με ἀνασώσαντι ῥόδῳ. ἐπεὶ δ' ἦν νὺξ βαθεῖα, ἤ-
δη καὶ καθεύδειν ἔδει. κἀγὼ δ' ἐπανίσταμαι, καὶ
ὥσπε

ὥσπερεὶ μέγα τι ποιῶν ἀγαθὸν, ἀπολύομαι,
καὶ ἵσταμαι γυμνὸς ὡς δῆθεν ἔτι μᾶλλον ἀρέ-
σων ἐκ τῆς πρὸς τὸν ὄνον συγκρίσεως. ἡ δὲ, ἐπεὶ
δὴ εἶδέ με πάντα ἀνθρώπινα ἔχοντα, προσ-
πτύσασά μοι, οὐ φθερῇ ἀπ' ἐμοῦ ἔφη, καὶ τῆς ἐ-
μῆς οἰκίας, καὶ μακράν που ἀπελθὼν, κοιμή-
σῃ; ἐμοῦ δ' ἐρομένου, τί γὰρ καὶ ἡμάρτηταί
μοι τοιοῦτον. ἐγὼ δὲ ἔφη μὰ Δία οὐχὶ σοῦ, ἀλ-
λὰ τοῦ ὄνου τοῦ σοῦ ἐρῶσα τότε, ἐκείνῳ, καὶ οὐ-
χὶ σοὶ συνεκάθευδον. καὶ ᾤμην σε καὶ νῦν κἂν
ἐκεῖνό γε μόνον τὸ μέγα τοῦ ὄνου σύμβολον διασώ-
ζειν, καὶ σύρειν. σὺ δέ μοι ἐλήλυθας ἐξ ἐκείνου
τοῦ καλοῦ καὶ χρησίμου ζώου ἐς πίθηκον μετα-
μορφωθείς. καὶ καλεῖ ἤδη εὐθὺς τοὺς οἰκέτας,
καὶ κελεύει με τῶν νώτων μετέωρον κομισθῆναι
ἔξω τῆς οἰκίας. καὶ ἐξωσθεὶς πρὸ τοῦ δωματίου
ἔξω γυμνὸς, καλὸς, ἐστεφανωμένος, καὶ μεμυ-
ρισμένος τὴν γῆν γυμνὴν περιλαβὼν, ταύ-
τῃ συνεκάθευδον. ἅμα δὲ τῷ ὄρθρῳ γυμνὸς ὢν,
ἔθεον ἐπὶ ναῦν, καὶ λέγω πρὸς τὸν ἀδελφὸν, τὴν ἐ-
μαυτοῦ ἐν γέλωτι συμφοράν. ἔπειτα ἐκ τῆς πόλεως
δεξιοῦ πνεύσαντος ἀνέμου, πλέομεν ἔνθεν. καὶ ὀ-
λίγαις ἡμέραις ἔρχομαι εἰς τὴν ἐμὴν πατρίδα.
ἐνταῦθα, θεοῖς σωτῆρσιν ἔθυον, καὶ ἀναθήμα-
τα ἔθηκα, μὰ Δί' οὐκ ἐκ κυνὸς πρωκτοῦ, τοῦτο δὴ

οὐ τοῦ λόγου, ἀλλ' ἐξ ὄνου περιεργίας διὰ μακροῦ πάνυ, καὶ οὕτω δὲ μόλις, οἴκαδε ἀνασωθείς.

## ΖΕΥΣ ΕΛΕΓΧΟΜΕΝΟΣ.

### ΚΥΝΙΣΚΟΣ.

Ἐγὼ δὲ ὦ ζεῦ, τὰ μὲν τοιαῦτα, οὐκ ἐνοχλήσω σε, πλοῦτον, ἢ χρυσὸν, ἢ βασιλείαν αἰτῶν, ἅπερ εὐκταιότατα τοῖς πολλοῖς. σοὶ δ' οὐ πάνυ ῥᾴδια παρασχεῖν. ὁρῶ γοῦν σε τὰ πολλὰ παρακούοντα, εὐχομένων αὐτῶν. ἓν δὲ καὶ τοῦτο ῥᾷστον ἐβουλόμην παρὰ σοῦ μοι γενέσθαι. Ζ. τί τοῦτό ἐστιν ὦ κυνίσκε. οὐ γὰρ ἀτυχήσεις, καὶ μάλιστα μετρίων ὡς ἔφης δεόμενος. ΚΥ. ἀπόκριναί δή μοι πρός τινα οὐ χαλεπὴν ἐρώτησιν. Ζ. μικρά γε ὡς ἀληθῶς ἡ εὐχὴ, καὶ πρόχειρος. ὥστε ἐρώτα ὁπόσα ἂν ἐθέλῃς. ΚΥ. ἰδοὺ ταῦτα ὦ ζεῦ. ἀνέγνως γὰρ δηλονότι καὶ σὺ τὰ ὁμήρου, καὶ ἡσιόδου ποιήματα. εἰπὲ οὖν μοι εἰ ἀληθῆ ἐστιν, ἃ περὶ τῆς εἱμαρμένης καὶ τῶν μοιρῶν ἐκεῖνοι ἐρραψῳδήκασιν, ἄφυκτα εἶναι, ὁπόσα ἂν αὗται ἐπινήσωσι γεινομένῳ ἑκάστῳ. Ζ. καὶ πάνυ ἀληθῆ ταῦτα. οὐδὲν γάρ ἐστιν, ὅ, τι μὴ αἱ μοῖραι διατάττουσιν. ἀλλὰ πάντα ὁπόσα γίνεται ὑπὸ τῷ τούτων ἀτράκτῳ στρεφόμενα, εὐθὺς ἐξ ἀρχῆς ἕκαστον ἐπικεκλωσμένην ἔχει τὴν ἀπόβασιν, καὶ οὐ θέμις ἄλ

λως

λως γενέσθαι. ΚΥ. οὐκοῦν ὁπόταν ὁ αὐτὸς ὅμηρος ἐν ἑτέρῳ μέρει τῆς ποιήσεως λέγῃ, μὴ καὶ ὑπὲρ μοῖραν δόμον ἄϊδος εἰσαφίκηαι, καὶ τὰ τοιαῦτα, ληρεῖν δηλαδὴ φήσομεν τότε αὐτόν; Ζ. καὶ μάλα. οὐδὲν γὰρ οὕτω γένοιτ' ἂν, ἔξω τοῦ νόμου τῶν μοιρῶν, οὐδὲ ὑπὲρ τὸ λίνον. οἱ ποιηταὶ δὲ, ὁπόσα μὲν ἂν ἐκ τῶν μουσῶν κατεχόμενοι ᾄδωσιν, ἀληθῆ ταῦτά ἐστιν. ὁπόταν δὲ ἀφῶσιν αὐτοὺς αἱ θεαὶ, καὶ καθ' αὐτοὺς ποιῶσι, τότε δὴ καὶ σφάλλονται, καὶ ὑπεναντία τοῖς πρότερον διεξέρχονται. καὶ συγγνώμη, εἰ ἄνθρωποι ὄντες, ἀγνοοῦσι τἀληθὲς, ἀπελθόντος ἐκείνου, ὃ τέως παρὸν, ἐῤῥαψῴδει δι' αὐτῶν. ΚΥ. ἀλλὰ τοῦτο μὲν οὕτω φήσομεν. ἔτι δὲ κἀκεῖνό μοι ἀπόκριναι. οὐ τρεῖς αἱ μοῖραί εἰσι, κλωθὼ, λάχεσις οἶμαι, καὶ ἄτροπος; Ζ. πάνυ μὲν οὖν. ΚΥ. ἡ εἱμαρμένη τοίνυν, καὶ ἡ τύχη, πολυθρύλητοι γὰρ καὶ αὗται, τίνες εἰσὶν, ἢ τί δύναται αὐτῶν ἑκατέρα; πότερον, τὰ ἴσα ταῖς μοίραις, ἢ τί ὑπὲρ ἐκείνας; ἀκούω γοῦν ἁπάντων λεγόντων μηδὲν εἶναι τύχης καὶ εἱμαρμένης δυνατώτερον. Ζ. οὐ θέμις ἅπαντά σε εἰδέναι ὦ Κυνίσκε. τίνος δ' οὖν ἕνεκα ἠρώτησάς ποτε περὶ τῶν μοιρῶν; ΚΥ. ἢν πρότερόν μοι ὦ Ζεῦ, κἀκεῖνο εἴ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πῆς, εἰ καὶ ὑμῶν αὗται ἄρχουσι, καὶ ἀνάγκη ὑ-
μῖν ἠρτῆσθαι ἀπὸ τοῦ λίνου αὐτῶν. Ζ. ἀνα
γκη ὦ Κυνίσκε. τί δ' οὖν ἐμειδίασας; Κυ. ἀνε
μνήσθην ἐκείνων τῶν Ὁμήρου ἐπῶν, ἐν οἷς πε
ποίησαι αὐτῷ ἐν τῇ ἐκκλησίᾳ τῶν θεῶν δημη
γορῶν, ὁπότε ἠπείλεις αὐτοῖς, ὡς ἀπὸ σειρᾶς
τινος χρυσῆς ἀναρτησάμενος τὰ πάντα. ἔφης
γὰρ αὐτὸς, τὴν μὲν σειρὰν, καθήσειν ἐξ οὐρανοῦ.
τοὺς θεοὺς δὲ ἅπαντας, εἰ βούλοιντο, ἐκκρεμαν
νυμένους, κατασπᾶν βιάσεσθαι, οὐ μὴν κατα
σπάσειν γε. σὺ δὲ ὁπόταν ἐθελήσῃς, ῥᾳδίως ἅ
παντας αὐτῇ κεν γαίῃ ἐρύσαις, αὐτῇ τε θαλάσ
σῃ. τότε μὲν οὖν θαυμάσιος ἐδόκεις μοι τὴν βί
αν, καὶ ὑπέφριττον μεταξὺ ἀκούων τῶν ἐπῶν.
νυνὶ δὲ, αὐτόν σε ἤδη ὁρῶ μετὰ τῆς σειρᾶς, καὶ
τῶν ἀπειλῶν, ἀπὸ λεπτοῦ νήματος ὡς φῂς κρε
μάμενον. δοκεῖ δ' οὖν μοι δικαιότερον ἂν ἡ Κλω
θὼ μεγαλαυχήσασθαι, ὡς καὶ αὐτόν σε ἀνάσπα
στον θεωροῦσα ἐκ τοῦ ἀτράκτου, καθάπερ οἱ ἁλι
εῖς ἐκ τοῦ καλάμου τὰ ἰχθύδια. Ζ. οὐκ
οἶδ' ὅ, τι σοι ταυτὶ βούλεται τὰ ἐρωτήματα.
Κυ. ἐκεῖνο ὦ Ζεῦ, καὶ πρὸς τῶν μοιρῶν, καὶ τῆς
εἱμαρμένης, μὴ τραχέως, μηδὲ πρὸς ὀργὴν
ἀκούσῃς μου, τἀληθῆ μετὰ παῤῥησίας λέγοντος.
εἰ γὰρ οὕτως ἔχει ταῦτα, καὶ πάντων αἱ μοῖραι
κρα

κρυφόσι, καὶ οὐδ' ἂν ὑπ' οὐδενὸς ἔτι ἀλλαγείη
τῶν ἅπαξ δοξάντων αὐταῖς, τίνος ἕνεκα ὑμῖν
οἱ ἄνθρωποι θύομεν, καὶ ἑκατόμβας προσάγο-
μεν, εὐχόμενοι γενέσθαι ἡμῖν παρ' ὑμῶν τὰ ἀ-
γαθά; οὐχ ὁρῶ γὰρ ὅ, τι ἂν ἀπολαύσαιμεν τῆς ἐ-
πιμελείας ταύτης, εἰ μήτε τῶν φαύλων ἀ-
ποτροπὰς εὑρέσθαι δυνατὸν ἡμῖν ἐκ τῶν εὐχῶν,
μήτε ἀγαθοῦ τινος θεοσδότου ἐπιτυχεῖν. Ζ.
οἶδα ὅθεν σοι τὰ κομψὰ ταῦτα ἐρωτήματά ἐστι,
παρὰ τῶν καταράτων σοφιστῶν. οἳ μηδὲ προ-
νοεῖν ἡμᾶς τῶν ἀνθρώπων φασίν. ἐκεῖνοι γοῦν
τὰ τοιαῦτα ἐρωτῶσιν ὑπ' ἀσεβείας, ἀποτρέ-
ποντες καὶ τοὺς ἄλλους θύειν, καὶ εὔχεσθαι, ὡς
εἰκαῖον ὄν. ἡμᾶς γὰρ, οὔτε ἐπιμελεῖσθαι τῶν
πραττομένων παρ' ὑμῖν, οὔθ' ὅλως τι δύνα-
σθαι πρὸς τὰ ἐν τῇ γῇ πράγματα. πλὴν οὐ χαι-
ρήσουσί γε, τὰ τοιαῦτα διεξιόντες. Κυ. οὐ μὰ
τὴν τῆς Κλωθοῦς ἄτρακτον ὦ Ζεῦ. οὐχ ὑπ' ἐκεί-
νων ἀναπεισθεὶς, ταῦτά σε ἠρώτησα. ὁ δὲ λό-
γος αὐτὸς, οὐκ οἶδ' ὅπως εἰπεῖν προϊὼν ἡμῖν,
εἰς τοῦτ' ἀπέβη. περιττὰς εἶναι τὰς θυσίας φη-
σίν. αὖθις δ' εἰ δοκεῖ, διὰ βραχέων ἐρήσομαί σε,
σὺ δὲ, μὴ ὀκνήσῃς ἀποκρίνασθαι, καὶ ὅπως ἀ-
σφαλέστερον ἀποκρίνῃ. Ζ. ἐρώτα, εἴ σοι σχο-
λὴ τὰ τοιαῦτα ληρεῖν. Κυ. πάντα φὴς ἐκ

τῶν μοιρῶν γίνεσθαι. Ζ. Φημὶ γάρ. Κυ. ὑμῖν δὲ δυνατὸν ἀλλάττειν ταῦτα, καὶ ἀνακλώθειν; Ζ. οὐδαμῶς. Κυ. βούλει οὖν ἐπαγάγω τὸ ἐντεῦθεν, ἢ δῆλον κἂν μὴ εἴπω αὐτό; Ζ. δῆλον μέν. οἱ δέ γε θύοντες, οὐ τῆς χρείας ἕνεκα θύουσιν, ἀντιδόσιν δέ τινα ποιούμενοι, καὶ ὥσπερ ὠνούμενοι τὰ ἀγαθὰ παρ' ἡμῶν, ἢ τιμῶντες ἄλλως τὸ βέλτιον. Κυ. ἱκανὸν καὶ τοῦτο, εἰ καὶ σὺ φὴς τοῦτο μηδενὶ χρησίμῳ γίνεσθαι τὰς θυσίας, χρηστότητι δέ τινι, τῶν ἀνθρώπων τιμώντων τὸ βέλτιον. καίτοι εἴ τις τῶν σοφιστῶν ἐκείνων παρῆν, ἤρετο ἄν σε καθ' ὅ τι βελτίους φὴς τοὺς θεούς, καὶ ταῦτα, ὁμοδούλους τῶν ἀνθρώπων ὄντας, καὶ ὑπὸ ταῖς αὐταῖς δεσποίναις ταῖς μοίραις ταττομένους. οὐ γὰρ ἀποχρήσει αὐτοῖς τὸ ἀθανάτους εἶναι, ὡς δι' αὐτὸ ἀμείνους δοκεῖν. ἐπεὶ τοῦτό γε μακρῷ χεῖρόν ἐστιν, εἴ γε τοὺς μὲν, εἰ μηδὲν ἄλλο, θάνατός γε εἰς ἐλευθερίαν ἀφείλετο. ὑμῖν δέ, εἰς ἄπειρον ἐκπίπτει τὸ πρᾶγμα, καὶ ἀΐδιος ἡ δουλεία γίνεται, ὑπὸ μακρῷ τῷ λίνῳ στρεφομένη. Ζ. ἀλλ' ὦ Κυνίσκε, τὸ ἀΐδιον τοῦτο, καὶ ἄπειρον, εὐδαίμον ἡμῖν ἐστι, καὶ ἐν ἅπασιν ἀγαθοῖς ἡμεῖς βιοῦμεν. Κυ. οὐχ ἅπαντες ὦ Ζεῦ, ἀλλὰ διώρισται καὶ παρ' ὑμῖν τὸ πρᾶγμα, καὶ πολλὴ ταραχὴ ἔνεστι. σὺ μὲν

γὰρ

δ' εὐδαίμων, βασιλεὺς γὰρ, καὶ δύνασαι ἀνασπᾷν τὴν γῆν, καὶ τὴν θάλατταν, ὥσπερ ἱμονιὰν καθιείς. ὁ δὲ Ἥφαιστος, χωλός ἐστι, βάναυσός τις, καὶ πυρίτης τὴν τέχνην. ὁ Προμηθεὺς δὲ, καὶ ἀνεσκολοπίσθη ποτέ. τὸν δὲ πατέρα σου τί ἂν λέγοιμι, πεδήτην ἔτι ἐν τῷ ταρτάρῳ ὄντα; καὶ ἐρᾶν δέ φασιν ὑμᾶς, καὶ τιτρώσκεσθαι, καὶ δουλεύειν ἐνίοτε παρὰ τοῖς ἀνθρώποις, ὥσπερ ἀμέλει καὶ τὸν σὸν ἀδελφὸν παρὰ τῷ Λαομέδοντι, καὶ παρὰ τῷ Ἀδμήτῳ τὸν Ἀπόλλω. ταῦτα δέ μοι οὐ πάνυ εὐδαίμονα εἶναι δοκεῖ, ἀλλ' ἐοίκασιν ὑμῶν οἱ μέν τινες, εὐτυχεῖς τε, καὶ εὔμοιροι εἶναι. οἱ δὲ, ἔμπαλιν. ἐῶ γὰρ λέγειν ὅτι καὶ λῃστεύεσθε, ὥσπερ ἡμεῖς, καὶ περισυλᾶσθε ὑπὸ τῶν ἱεροσύλων, καὶ ἐκ πλουσιωτάτων, πενέστατοι ἐν ἀκαρεῖ γίγνεσθε. πολλοὶ δὲ καὶ κατεχωνεύθησαν ἤδη, χρυσοῖ, ἢ ἀργυροῖ ὄντες. οἷς τοῦτ' εἵμαρτο δηλαδή.

Ζ. ὁρᾷς; ταῦτ' ἤδη ὑβριστικὰ ὦ Κυνίσκε φής. καί σοι τάχα μεταμελήσει ποτὲ αὐτῶν.

Κυ. φείδου ὦ Ζεῦ τῶν ἀπειλῶν, εἰδὼς οὐδέν με πεισόμενον, ὅ, τι μὴ καὶ τῇ μοίρᾳ πρὸ σοῦ ἔδοξεν. ἐπεὶ οὐδ' αὐτοὺς ἐκείνους ὁρῶ τοὺς ἱεροσύλους κολαζομένους. ἀλλ' οἵ γε πλεῖστοι, διαφεύγουσιν ὑμᾶς. οὐ γὰρ εἵμαρτο οἶμαι ἁλῶναι αὐτούς.

Ζ. οὐκ ἔλεγον ὡς ἄρ' ἐκείνων τις εἶ, τῶν ἀνε-

ρούντων τὴν πρόνοιαν τῷ λόγῳ; Κυ. πάνυ ὦ Ζεῦ, δέδιας αὐτοὺς οὐκ οἶδ' ὅτου ἕνεκα. πάντα γοῦν ὁπόσα ἂν εἴπω, οἷς ἐκείνων παιδεύματά ἐστιν. ἐγὼ δέ, παρὰ τίνος ἂν ἄλλου τἀληθές, ἢ παρὰ σοῦ μάθοιμι; ἡδέως δ' ἂν καὶ τοῦτο ἐροίμην σε, τίς ἡ πρόνοια ὑμῖν αὕτη ἐστί, μοῖρα τίς, ἢ καὶ ὑπὲρ ταύτας θεός, ὥσπερ ἄρχουσα καὶ αὐτῶν ἐκείνη; Ζ. ἤδη σοι καὶ πρότερον ἔφην οὐ θεμιτὸν εἶναι πάντα σε εἰδέναι. σὺ δ' ἓν περὶ ἀρχῆς ἐρωτήσειν φήσας, οὐ παύῃ πρός με τοιαῦτα λεπτολογούμενος. καὶ ὁρῶ ὅτι σοι τὸ κεφάλαιόν ἐστι τοῦ λόγου, ἐπιδεῖξαι οὐδενὸς ἡμᾶς προνοοῦντας τῶν ἀνθρωπίνων. Κυ. οὐκ ἐμὸν τοῦτο, ἀλλὰ σὺ μικρὸν ἔμπροσθεν ἔφησθα τὰς μοίρας εἶναι τὰς πάντα ἐπιτελούσας, εἰ μὴ μεταμέλει σοι ἐκείνων, καὶ μετατίθεσαι αὖθις τὰ εἰρημένα. καὶ ἀμφισβητεῖτε τῆς ἐπιμελείας, ἀπωσάμενοι τὴν εἱμαρμένην. Ζ. οὐδαμῶς. ἀλλ' ἡ μοῖρα δι' ἡμῶν ἕκαστα ἐπιτελεῖ. Κυ. μανθάνω, ὑπηρέται, καὶ διάκονοί τινες τῶν μοιρῶν εἶναί φατε. πλὴν ἀλλὰ καὶ οὕτως ἐκεῖναι ἂν εἶεν αἱ προνοοῦσαι. ὑμεῖς δέ, ὥσπερ σκεύη τινά, καὶ ἐργαλεῖα ἐστὲ αὐτῶν.

Ζ. πῶς λέγεις; Κυ. ὥσπερ οἶμαι καὶ τὸ σκέπαρνον τῷ τέκτονι, καὶ τὸ τρύπανον, συνεργεῖ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ μέν τι πρὸς τὴν τέχνην, οὐδεὶς δ' ἂν εἴποι ὡς ταῦτα, τεχνίτης ἐστὶν, οὐδ' ἡ ναῦς ἔργον τοῦ σκεπάρνου, ἢ τοῦ τρυπάνου, ἀλλὰ τοῦ ναυπηγοῦ. οὕτως ἀνάλογον ἡ μὲν ναυπηγουμένη ἕκαστα, ἡ εἱμαρμένη ἐστίν. ὑμεῖς δέ, ἄρα τρύπανα, καὶ σκέπαρνα ἐστὲ τῶν μοιρῶν. καὶ ὡς ἔοικεν, οἱ ἄνθρωποι δέον τῇ εἱμαρμένῃ θύειν, καὶ παρ' ἐκείνης αἰτεῖν τἀγαθά. οἱ δέ, ἐφ' ὑμᾶς ἴασι, προσόδοις, καὶ τιμαῖς γεραίροντες. οἱ δ' οὐδὲ τὴν εἱμαρμένην τιμῶντες ἄν, εἰς δέον αὐτοῖς ἔπραττον. οὐ γὰρ οἶμαι δυνατὸν εἶναι οὐδὲ αὐταῖς ἔτι ταῖς μοίραις ἀλλάξαι, καὶ μεταστρέψαι τι τῶν ἐξ ἀρχῆς δοξάντων περὶ ἑκάστου. ἡ γοῦν ἄτροπος, οὐκ ἀνάσχοιτο ἄν, εἴ τις εἰς τοὐναντίον στρέψειε τὸν ἄτρακτον, ἀναλύων τῆς κλωθοῦς τὸ ἔργον. Ζ. σὺ ἤδη ὦ Κυνίσκε, οὐδὲ τὰς μοίρας τιμᾶσθαι πρὸς τῶν ἀνθρώπων ἀξιοῖς, ἀλλ' ἔοικας ἅπαντα συγχεῖν προαιρεῖσθαι. ἡμεῖς δέ, εἰ καὶ μηδενὸς ἄλλου ἕνεκα, τοῦ γε μαντεύεσθαι, καὶ προμηνύειν ἕκαστα τῶν ὑπὸ τῶν μοιρῶν κεκυρωμένων, δικαίως τιμοίμεθα ἄν.

Κυ. τὸ μὲν ὅλον, ἄχρηστον ὦ Ζεῦ, προειδέναι τὰ μέλλοντα, οἷς γε τὸ φυλάξασθαι αὐτά, παντελῶς ἀδύνατον, εἰ μὴ ἄρα τοῦτο φής, ὡς προμαθών, ὡς ὑπ' αἰχμῆς σιδηρᾶς τεθνήξεται,

δύναιτ' ἂν ἐκφυγεῖν τὸν θάνατον, καθείρξας ἑαυτόν. ἀλλ' ἀδύνατον. ἐξάγει γὰρ αὐτὸν ἡ μοῖρα κυνηγετήσοντα, καὶ παραδώσει τῇ αἰχμῇ. καὶ ὁ Ἄδραστος, τὸν σῦν ἀφεὶς τὴν λόγχην, ἐκείνου μὲν ἁμαρτήσεται, φονεύσει δὲ τὸν Κροίσου παῖδα, ὡς ἂν ἀπὸ ἰσχυροῦ προστάγματος τῶν μοιρῶν φερομένου τοῦ ἀκοντίου ἐπὶ τὸν νεανίσκον. τὸ μὲν γὰρ Λαΐου καὶ γελοῖον, τό, „Μὴ σπεῖρε τέκνων „ἄλοκα, δαιμόνων βίᾳ. εἰ γὰρ τεκνώσεις φησὶ „παῖδα, ἀποκτενεῖ σε ὁ φύς. περιττὴ γὰρ οἶμαι ἡ παραίνεσις πρὸς τὰ πάντως οὕτω γενησόμενα. τοιγάρτοι μετὰ τὸν χρησμὸν, καὶ ἔσπειρε, καὶ ὁ φὺς, ἀπέκτεινεν αὐτόν. ὥστε οὐχ ὁρῶ ἀνθ' ὅτου ἀπαιτεῖτε τὸν μισθὸν ἐπὶ τῇ μαντικῇ. ἐῶ γὰρ λέγειν ὡς λοξὰ, καὶ ἐπαμφοτερίζοντα τοῖς πολλοῖς χρᾶν εἰώθατε, οὐ πάνυ ἀποσαφοῦντες, εἰ ὁ τὸν Ἅλυν διαβὰς, τὴν αὐτοῦ ἀρχὴν καταλύσει, ἢ τὴν τοῦ Κύρου. ἄμφω γὰρ δύναται ὁ χρησμός. Ζ. Ἦν τις ὦ Κυνίσκε, τῷ Ἀπόλλωνι ὀργῆς αἰτία κατὰ τοῦ Κροίσου, διότι ἐπείρασεν ἐκεῖνος αὐτὸν ἄρνεια κρέα, καὶ χελώνης ἐς τὸ αὐτὸ ἕψων. Κυ. Ἐχρῆν μὲν μὴ δὲ ὀργίζεσθαι, θεὸν ὄντα. πλὴν ἀλλὰ τὸ ἐξαπατηθῆναι τῷ Λυδῷ ὑπὸ τοῦ χρησμοῦ, ἐπέπρωτο οἶμαι. καὶ ὅλως, τὸ μὴ σαφῶς ἀκοῦσαι τὰ μέλλοντα,

εἰ

ἡ εἱμαρμένη ἐπέκλωσεν. ὥστε καὶ ἡ μαντικὴ ὑμῶν, ἐκείνης μέρος ἐστίν. Ζ. ἡμῖν δὲ, οὐδὲν ἀπολείπεις, ἀλλὰ μάτην θεοί ἐσμεν, οὔτε πρόνοιάν τινα εἰσφερόμενοι εἰς τὰ πράγματα, οὔτε τῶν θυσιῶν ἄξιοι, καθάπερ τρύπανα ὡς ἀληθῶς, ἢ σκέπαρνα; καί μοι δοκεῖς εἰκότως μου καταφρονεῖν, ὅτι κεραυνὸν ὡς ὁρᾷς διηγκυλημένος, ἀνέχομαί σε τοσαῦτα καθ᾽ ἡμῶν διεξιόντα. Κ. βάλλε ὦ Ζεῦ, εἴ μοι κεραυνῷ πληγῆναι εἵμαρται. καί σε οὐδὲν αἰτιάσομαι τῆς πληγῆς, ἀλλὰ τὴν Κλωθὼ, τὴν διὰ σοῦ τιτρώσκουσαν. οὐδὲ γὰρ τὸν κεραυνὸν αὐτὸν φαίην ἂν αἴτιόν μοι γενέσθαι τοῦ τραύματος. πλὴν ἐκεῖνό γε ὑμᾶς ἐρήσομαι, καὶ σὲ, καὶ τὴν εἱμαρμένην. σὺ δέ μοι καὶ ὑπὲρ ἐκείνης ἀπόκριναι. ἀνέμνησας γάρ με, ἀπειλήσας. τί δή ποτε τοὺς ἱεροσύλους, καὶ λῃστὰς ἀφέντες, καὶ τοσούτους ὑβριστὰς, καὶ βιαίους, καὶ ἐπιόρκους, δρῦν τινα πολλάκις κεραυνοῦτε, ἢ λίθον, ἢ νεὼς ἱστίον, οὐδὲν ἀδικούσης; ἐνίοτε δὲ, χρηστόν τινα, καὶ ὅσιον ὁδοιπόρον; τί σιωπᾷς ὦ Ζεῦ; ἢ οὐδὲ τοῦτό με θέμις εἰδέναι; Ζ. οὐ γὰρ ὦ Κυνίσκε. σὺ δὲ πολυπράγμων τις εἶ, καὶ οὐκ οἶδ᾽ ὅθεν ταῦτα ἥκεις μοι συμπεφορηκώς. Κυ. οὐκοῦν μηδὲ ἐκεῖνο ὑμᾶς ἔρωμαι, σέ τε, καὶ τὴν πρόνοιαν, καὶ τὴν εἱμαρμένην, τί δή ποτε Φωκίων μὲν ὁ χρηστὸς, ἐν τοσαύτῃ πε-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νίᾳ, καὶ σπάνει τῶν ἀναγκαίων, ἀπέθανε. ἢ Ἀριστείδης πρὸ αὐτοῦ. Καλλίας δὲ, καὶ Ἀλκιβιάδης, ἀκόλαστα μειράκια, ὑπερπλουτοῦσι, καὶ Μειδίας ὁ ὑβριστὴς, καὶ Χάροψ ὁ αἰγινήτης, κίναιδος ἄνθρωπος, τὴν μητέρα λιμῷ ἀποκτονώς. καὶ πάλιν, Σωκράτης μὲν, παρεδόθη τοῖς ἕνδεκα, Μέλητος δὲ, οὐ παρεδόθη. καὶ Σαρδανάπαλος μὲν, ἐβασίλευσε, θῆλυς ὢν, Περσῶν δὲ τοσοῦτοι καλοὶ κἀγαθοὶ ἄνδρες, ἀνεσκολοπίζοντο πρὸς αὐτοῦ, διότι μὴ ἠρέσκοντο τοῖς γινομένοις. ἵνα δὲ ὑμῖν μὴ τὰ νῦν λέγω καθ᾽ ἕκαστον ἐπεξιὼν, τοὺς μὲν πονηροὺς, εὐδαιμονοῦντας, καὶ τοὺς πλεονέκτας, ἀγομένους δὲ, καὶ φερομένους, τοὺς χρηστοὺς, ἐν πενίᾳ, καὶ νόσοις, καὶ μυρίοις κακοῖς πιεζομένους. Ζ. οὐ γὰρ οἶσθα ὦ Κυνίσκε, ἡλίκας μετὰ τὸν βίον οἱ πονηροὶ τὰς κολάσεις ὑπομένουσιν, ἢ ἐν ὅσῃ οἱ χρηστοὶ εὐδαιμονίᾳ διατρίβουσιν. Κυ. ᾅδην μοι λέγεις, καὶ Τιτυοὺς, καὶ Ταντάλους. ἐγὼ δὲ, εἰ μέν τι καὶ τοιοῦτόν ἐστιν, εἴσομαι τὸ σαφὲς ἐπειδὰν ἀποθάνω. τὸ δὲ νῦν ἔχον, ἐβουλόμην ἂν τὸν ὁποσονοῦν τοῦτον χρόνον εὐδαιμόνως διαβιώσας, ὑπὸ ἑκκαίδεκα γυπῶν κείρεσθαι τὸ ἧπαρ ἀποθανὼν, ἀλλὰ μὴ ἐνταῦθα διψήσας, ὥσπερ ὁ Τάνταλος, ἐν μακάρων νήσοις πίνειν μετὰ τῶν ἡρώων, ἐν τῷ Ἠλυσίῳ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τίῳ λειμῶνι κατακείμενος. Ζ. τί φῄς; ἀπιστεῖς εἶναί τινας κολάσεις, ἢ τιμάς, καὶ δικαστήριον, ἔνθα δὴ καὶ ἐξετάζεται ὁ ἑκάστου βίος; Κυ. ἀκούω τινὰ Μίνω κρῆτα δικάζειν κάτω τὰ τοιαῦτα. καί μοι ἀπόκριναί τι καὶ ὑπὲρ ἐκείνου. σὸς γὰρ υἱὸς εἶναι λέγεται. Ζ. τί δὲ καὶ αὐτὸν ἐρωτᾷς ὦ Κυνίσκε; Κυ. τίνας κολάζει μάλιστα. Ζ. τοὺς πονηροὺς δηλαδή, οἷον ἀνδροφόνους, καὶ ἱεροσύλους. Κυ. τίνας δὲ παρὰ τοὺς ἥρωας ἀποπέμπει. Ζ. τοὺς ἀγαθούς τε, καὶ ὁσίους, καὶ κατ' ἀρετὴν βεβιωκότας. Κυ. τίνος ἕνεκα ὦ Ζεῦ; Ζ. διότι οἱ μὲν, τιμῆς, οἱ δὲ, κολάσεως ἄξιοι. Κυ. εἰ δέ τις ἀκούσιόν τι δεινὸν ἐργάσαιτο, κολάζεσθαι καὶ τοῦτον δικαιοῖς; Ζ. οὐδαμῶς. Κυ. οὐδ' ἄρα εἴ τις ἄκων τι ἀγαθὸν ἔδρασεν, οὐδὲ τοῦτον τιμᾶν ἀξιώσειεν ἄν; Ζ. οὐ γὰρ οὖν. Κυ. οὐδένα τοίνυν ὦ Ζεῦ οὔτε τιμᾶν, οὔτε κολάζειν αὐτῷ προσήκει. Ζ. πῶς οὐδένα; Κυ. ὅτι οὐδὲν ἑκόντες οἱ ἄνθρωποι ποιοῦμεν, ἀλλά τινι ἀνάγκῃ ἀφύκτῳ κεκελευσμένοι, εἴ γε ἀληθῆ ἐκεῖνά ἐστι τὰ ἔμπροσθεν ὡμολογημένα, ὡς ἡ μοῖρα, πάντων αἰτία. καὶ ἢν φονεύσῃ τις, ἐκείνη ἐστὶν ἡ φονεύσασα. καὶ ἢν ἱεροσυλῇ, προστεταγμένον αὐτῷ δρᾷ. ὥστε εἴ γε τὰ δίκαια ὁ Μίνως δικάζειν

μέλλοι, τὴν εἱμαρμένην, ἀντὶ τοῦ Σισύφου κολάσεται, καὶ τὴν μοῖραν, ἀντὶ τοῦ Ταντάλου. τί γὰρ ἐκεῖνοι ἠδίκησαν, πεισθέντες τοῖς ἐπιτάγμασιν; Ζ. οὐκ ἔτι οὐδὲ ἀποκρίνεσθαί σοι ἄξιον, τοιαῦτα ἐρωτῶντι. θρασὺς γὰρ εἶ, καὶ σοφιστής. καί σε ἄπειμι ἤδη καταλιπών. ΚΥ. ἐδεόμην μὲν κἂν ἔτι τοῦτ' ἐρέσθαι, ποῦ αἱ μοῖραι διατρίβουσιν, ἢ πῶς ἐφικνοῦνται τῇ ἐπιμελείᾳ τῶν τοσούτων ἐς τὸ λεπτότατον. καὶ ταῦτα, τρεῖς οὖσαι. ἐπίπονον γάρ τινα, καὶ οὐκ εὔμοιρόν μοι δοκοῦσι βιοῦν τὸν βίον, τοσαῦτα ἔχουσαι πράγματα. καὶ ὡς ἔοικεν, οὐ πάνυ οὐδὲ αὐταὶ ὑπὸ χρηστῇ εἱμαρμένῃ ἐγεννήθησαν. ἐγὼ γοῦν εἴ μοι αἵρεσις δοθείη, οὐκ ἂν ἀλλαξαίμην πρὸς αὐτὰς τὸν ἐμαυτοῦ βίον, ἀλλ' ἑλοίμην ἂν ἔτι πενέστερος διαβιῶναι, ἢ ὑπὸ καθῆσθαι κλώθων ἄτρακτον, τοσούτων πραγμάτων μεστόν, ἐπιτηρῶν ἕκαστα. εἰ δὲ μὴ ῥᾴδιόν σοι ἀποκρίνασθαι πρὸς ταῦτα, ὦ Ζεῦ, καὶ τούτοις ἀγαπήσομεν, οἷς ἀπεκρίνω. ἱκανὰ γὰρ ἐμφανίσαι τὸν περὶ τῆς εἱμαρμένης, καὶ προνοίας λόγον. τὰ λοιπὰ δ', ἴσως οὐχ εἵμαρτο ἀκοῦσαί μοι.

## ΖΕΥΣ ΤΡΑΓΩΔΟΣ. ΕΡΜΗΣ.

Ὦ Ζεῦ, τί σύννους, καὶ κατὰ μόνας σαυτῷ λαλεῖς, ὠχρὸς περιπατῶν, φι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λοσόφου τὸ χρῶμα ἔχων; ἐμοὶ προσανάθου. λάβε με σύμβουλον πόνων. μὴ καταφρονήσῃς οἰκέτου φλυαρίας. Αθη. ναὶ πάτερ ἡμέτερε κρονίδη, ὕπατε κρειόντων. γουνοῦμαί σε θεὰ γλαυκῶπις, τριτογένεια, ἔξαυδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδωμεν ἤδη, τίς μή πως δάκνει σε κατὰ φρένα, καὶ κατὰ θυμόν. ἢ τί βαρὺ στενάχεις. ὦ χρῶτε στεῖλε παρειάς. Ζ. οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος, οὐδὲ πάθος, οὐδὲ συμφορὰ τραγῳδική, ἧς οὐκ ἂν ἄροιτ' ἄχθος ἡ θεῶν φύσις. Αθη Ἄπολλον, οἵοις φροιμίοις ἀρχῇ λόγων. Ζ ὦ παγκάκιστοι, χθόνια γῆς παιδεύματα, σύ τ' ὦ Προμηθεῦ, οἷά μ' εἰργάσαι κακά. Αθη. τί δ' ἐστί; πρὸς χορὸν τῶν οἰκείων ἐρεῖς. Ζ. ὦ μεγαλοσμαράγου στροπᾶς ῥοίζημα, τί μ' ἔρξεις; Αθη. κοίμισον ὀργάν, εἰ μὴ κωμῳδεῖν ὥσπερ οὗτοι δυνάμεθα, μηδὲ τὸν Εὐριπίδην ὅλον καταπεπώκαμεν, ὥστε σοι ὑποδραματουργεῖν. Ηρα. ἀγνοεῖν ἡμᾶς νομίζεις τὴν αἰτίαν τῆς λύπης, ἥ τις ἐστί σοι; Ζ. οὐκ οἶσθ', ἐπί γ' ἂν ἐκώκυες μέγα. Η. οἶδα τὸ κεφάλαιον αὐτό, ὧν πάσχεις, ὅτι ἐρωτικόν ἐστιν. οὐ μὴν κωκύω γε, ὑπὸ ἔθους ἤδη πολλάκις ὑβρισθεῖσα ὑπὸ σοῦ τὰ τοιαῦτα. εἰκὸς γοῦν ἤτοι Δανάην τινά, ἢ Σε-

μέλλω, ἢ Εὐρώπην αὖθις εὑρόντα σε, ἀνιᾶσθαι ὑπὸ τοῦ ἔρωτος. εἶτα βουλεύεσθαι ταῦρον, ἢ σάτυρον, ἢ χρυσὸν γενόμενον, ῥυῆναι διὰ τοῦ ὀρόφου εἰς τὸν κόλπον τῆς ἀγαπωμένης. τὰ σημεῖα γὰρ ταῦτα, οἱ στεναγμοί, καὶ τὰ δάκρυα, καὶ τὸ ὠχρὸν εἶναι, οὐκ ἄλλου του, ἢ ἐρῶντός ἐστιν. Ζ. ὦ μακαρία, ἥτις ἐν ἔρωτι, καὶ ταῖς τοιαύταις παιδιαῖς, οἴει τὰ ἡμέτερα πράγματα εἶναι. Η. ἀλλὰ τί ἄλλο, εἰ μὴ τοῦτο ἀνιᾷ σε, Δία ὄντα; Ζ. ἐν ἐσχάτοις ὦ Ἥρα τὰ θεῶν πράγματα. καὶ τοῦτο δὴ τὸ τοῦ λόγου, ἐπὶ ξυροῦ ἕστηκεν, εἴτε χρὴ ἡμᾶς τιμᾶσθαι ἔτι, καὶ τὰ γέρα ἔχειν τὰ ἐν τῇ γῇ, εἴτε καὶ ἠμελῆσθαι παντάπασι, καὶ τὸ μηδὲν εἶναι δοκεῖν. Η. μῶν γίγαντάς τινας ἡ γῆ ἔφυσεν; ἢ οἱ Τιτᾶνες τὰ δεσμὰ διαρρήξαντες, καὶ τῆς φρουρᾶς ἐπικρατήσαντες, αὖθις ἡμῖν ἐναντία αἴρονται τὰ ὅπλα; Ζ. θάρσει. τὰ νέρθεν ἀσφαλῶς ἔχει θεοῖς. Ηρα. τί οὖν ἄλλο δεινὸν ἂν γένοιτο; οὐχ ὁρῶ γὰρ ὅτε μὴ τὰ τοιαῦτα παραλυποῖ, ἐφ' ὅτῳ Πῶλος, ἢ Ἀριστόδημος, ἀντὶ Διὸς ἡμῖν ἀναπέφηνας. Ζ. Τιμοκλῆς ὦ Ἥρα ὁ στωϊκός, καὶ Δάμις ὁ ἐπικούρειος, χθὲς οὐκ οἶδα ὅθεν σφίσιν ἀρξαμένου τοῦ λόγου, προνοίας πέρι διελεγέσθην, παρόντων μάλα συχνῶν, καὶ δοκίμων ἀνθρώ-

πων,

πρῶτον ὅπερ μάλιστα καὶ ἠνίασέ με, καὶ ὁ μὲν Δάμις, οὔτ᾽ εἶναι θεοὺς ἔφασκεν, οὔθ᾽ ὅλως τὰ γιγνόμενα ἐπισκοπεῖν, ἢ διατάττειν. ὁ Τιμοκλῆς δὲ ὁ βέλτιστος, ἐπειρᾶτο ξυναγωνίζεσθαι ἡμῖν. εἶτα ὄχλου πολλοῦ ἐπιρρυέντος, οὐδὲν πέρας ἐγένετο τῆς συνουσίας. διελύθησαν γὰρ εἰσαῦθις, ἐπισκέψασθαι τὰ λοιπὰ συνθέμενοι. καὶ νῦν μετέωροι πάντες εἰσὶ πρὸς τὴν ἀκρόασιν, ὁπότερος κρατήσει, καὶ ἀληθέστερα δόξει λέγειν. ὁρᾶτε τὸν κίνδυνον, ὡς ἐν στενῷ παντάπασι τὰ ἡμέτερα, ἐν ἑνὶ ἀνδρὶ κινδυνευόμενα; καὶ δυοῖν θάτερον, ἢ παρεωρᾶσθαι ἀνάγκη τὰ ἡμέτερα, ὀνόματα μόνον εἶναι δόξαντα, ἢ τιμᾶσθαι ὥσπερ πρὸ τοῦ, ἢν ὁ Τιμοκλῆς ὑπέρσχῃ λέγων. Ηρ. δεινότατα ὡς ἀληθῶς, καὶ οὐ μάτην ὦ Ζεῦ ἐπετραγῴδεις αὐτοῖς. Ζ. σὺ δὲ, ᾤου Δανάης τινὸς, ἢ Ἀντιόπης, εἶναί μοι λόγον ἐν ταράχῳ τοσούτῳ. τί δ᾽ οὖν ὦ Ἑρμῆ, καὶ Ἥρα, καὶ Ἀθηνᾶ, πράττοιμεν ἄν; συνευρίσκετε γὰρ καὶ αὐτοὶ τὸ μέρος. Ερ. ἐγὼ μὲν ἐπὶ τὸ κοινόν φημι δεῖν τὴν ἐπίσκεψιν ἐπανάγειν, ἐκκλησίαν συναγαγόντα. Ηρα. κἀμοὶ ταῦτα συνδοκεῖ, ἅπερ καὶ τούτῳ. Αθη. ἀλλ᾽ ἐμοὶ τἀναντία δοκεῖ ὦ πάτερ. καὶ μὴ συνταράττειν τὸν οὐρανὸν, μηδὲ δῆλον εἶναί σε θορυβούμενον τῷ πράγματι·



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πράττειν δειλίᾳ ταῦτα, εἰ ὧν κρατήσει μὲν
ὁ Τιμοκλῆς λέγων, ὁ Δᾶμις δὲ καταπλαγεὶς,
ἀπίοι ἐκ τῆς συνουσίας. Ερ. ἀλλ' οὔτε ἀγνοή-
σεται ταῦτα ὦ Ζεῦ, ἐν φανερῷ ἐσομένης τῆς ἐ-
ριδος τοῖς φιλοσόφοις. καὶ σὺ δόξεις τυραννι-
κὸς εἶναι, μὴ κοινούμενος περὶ τῶν οὕτω μεγά-
λων καὶ κοινῶν ἅπασιν. Ζ. οὐκοῦν ἤδη κή-
ρυττε, καὶ παρέστωσαν ἅπαντες. Ερ. ὀρθῶς γε
λέγεις. ἰδοὺ δὴ εἰς ἐκκλησίαν συνέλθετε οἱ θε-
οί. μὴ μέλλετε, ξυνέλθετε πάντες. ἥκετε. περὶ
μεγάλων ἐκκλησιάσομεν. Ζ. οὕτω ψιλὰ
ὦ Ἑρμῆ, καὶ ἀπλοϊκὰ, καὶ πεζὰ κηρύττεις, καὶ ταῦ-
τα, ἐπὶ τοῖς μεγίστοις συγκαλῶν; Ερ. ἀλλὰ
πῶς γὰρ ὦ Ζεῦ ἀξιοῖς; Ζ. ὅπως ἀξιῶ; ἀποσε-
μνῦναι φημὶ δεῖν τὸ κήρυγμα μέτροις τισὶ, καὶ με-
γαλοφωνίᾳ ποιητικῇ, ὡς μᾶλλον συνέλθοιεν.
Ερ. ναί. ἀλλ' ἐποποιῶν ὦ Ζεῦ, καὶ ῥαψῳδῶν
τὰ τοιαῦτα. ἐγὼ δὲ, ἥκιστα ποιητικός εἰμι. ὥσ-
τε διαφθερῶ τὸ κήρυγμα, ὑπέρμετρα, ἢ ἐνδεᾶ
ξυνείρων. καὶ γέλως ἔσται παρ' αὐτῶν ἐπὶ τῇ ἀ-
μουσίᾳ τῶν ἐπῶν. ὁρῶ γοῦν καὶ τὸν Ἀπόλλω πλώ-
μενον ἐπ' ἐνίοις τῶν χρησμῶν. καίτοι ἐπικρυπτού-
σης τὰ πολλὰ τῆς ἀσαφείας, ὡς μὴ πάνυ σχο-
λὴν ἄγειν τοὺς ἀκούοντας ἐξετάζειν τὰ μέτρα.
Ζ. οὐκοῦν ὦ Ἑρμῆ τῶν Ὁμήρου ἐπῶν ἐγκαταμί-

γνυε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γνοε τὰ πολλὰ τῷ κηρύγματι, ὡς ἐκεῖνος ἡμᾶς συνεκάλει. μεμνῆσθαι δέ σε εἰκός. Ερ. οὐ πάνυ μὲν οὕτω σαφῶς, καὶ προχείρως. πειράσομαι δὲ ὅμως. Μήτε τις οὖν θήλεια θεός, μήτε τις ἄρσην, μηδ' αὖ τῶν ποταμῶν μενέτω, νόσφ' Ὠκεανοῖο, μηδέ τε νυμφάων, ἀλλ' ἐς Διὸς ἔλθετε πάντες, εἰς ἀγορήν, ὅσσοι τε κλυτὰς δαίνυσθ' ἑκατόμβας, ὅσσοι τ' αὖ μέσατοι, ἢ ὕστατοι, ἢ μάλα πάγχυ νώνυμοι, βωμοῖσι παρὰ κνισήεσσι κάθησθε. Ζ. εὖγε ὦ Ερμῆ. ἄριστα κεκήρυκταί σοι. καὶ συνίασι γὰρ ἤδη. ὥστε παραλαμβάνων, κάθιζε αὐτοὺς, κατὰ τὴν ἀξίαν ἕκαστον, ὡς ἂν ὕλης, ἢ τέχνης ἔχῃ. ἐν προεδρίᾳ μὲν, τοὺς χρυσοῦς. εἶτα ἐπὶ τούτοις, τοὺς ἀργυροῦς. εἶτα ἑξῆς, ὁπόσοι ἐλεφάντινοι. εἶτα τοὺς χαλκοῦς, ἢ τοὺς λιθίνους. καὶ ἐν αὐτοῖς τούτοις, οἱ Φειδίου μὲν, ἢ Ἀλκαμένους, ἢ Μύρωνος, ἢ Εὐφράνορος, ἢ τῶν ὁμοίων τεχνιτῶν, προτετιμήσθων. οἱ συρφετώδεις δὲ οὗτοι, καὶ ἄτεχνοι, πόρρω που συνωσθέντες, καθεδοῦνται σιωπῇ, ἀναπληροῦντες μόνον τὴν ἐκκλησίαν. Ερ. ἔσται ταῦτα. καὶ καθεδοῦνται, ὡς προσῆκεν. ἀλλ' ἐκεῖνο οὐ πρόχειρον εἰδέναι, ἤν τις αὐτῶν χρυσοῦς μὲν, καὶ πολυτάλαντος ᾖ τὴν ὁλκὴν, οὐκ

ἀκριβὴς δὲ τὴν ἐργασίαν, ἀλλὰ κομιδῇ ἰδιωτικὸς, καὶ ἀσύμμετρος, πρὸ τῶν χαλκῶν τῶν Μύρωνος, καὶ Πολυκλείτου, καὶ τῶν Φειδίου, καὶ Ἀλκαμένους τῶν λιθίνων, καθεδεῖται. ἢ προτιμητέαν χρὴ νομίζειν εἶναι τὴν τέχνην. Ζ. ἐχρῆν μὲν οὕτως. ἀλλ' ὁ χρυσὸς ὅμως προτιμητέος. Ερ. μανθάνω, ὅτι πλουτίνδην κελεύεις, ἀλλὰ μὴ ἀριστίνδην καθίζειν, καὶ ἀπὸ τιμημάτων. ἥκετε οὖν εἰς τὴν προεδρίαν ὑμεῖς οἱ χρυσοῖ. ἐοίκασι δ' οὖν ὦ Ζεῦ, οἱ βαρβαρικοὶ προεδρεύσειν μόνοι. ὡς τούς γε Ἕλληνας ὁρᾷς ὁποῖοί εἰσι. χαρίεντες μὲν, καὶ εὐπρόσωποι, καὶ κατὰ τέχνην ἐσχηματισμένοι. λίθινοι δὲ, ἢ χαλκοῖ ὅμως ἅπαντες. ἢ οἵ γε πολυτελέστατοι αὐτῶν, ἐλεφάντινοι, ὀλίγον ὅσον τοῦ χρυσοῦ ἐπιστίλβον ἔχοντες, ὡς ἐπικεχρῶσθαι, καὶ ἐπηυγάσθαι μόνον. τὰ δὲ ἔνδον, ὑπόξυλοι, καὶ οὗτοι μυῶν ἀγέλας ὅλας ἐμπολιτευομένας σκέποντες. ἡ Βενδῖς δὴ αὕτη, καὶ ὁ Ἄνουβις ἐκεινοσὶ, καὶ παρ' αὐτὸν, ὁ Ἄττις, καὶ ὁ Μίθρης, καὶ Μὴν ὅλοι ὁλόχρυσοι, καὶ βαρεῖς, καὶ πολυτίμητοι ὡς ἀληθῶς. Πο. καὶ ποῦ ἐστιν ὦ Ἑρμῆ δίκαιον, τὸν κυνοπρόσωπον τοῦτον προκαθίζειν μου τὸν αἰγύπτιον, καὶ ταῦτα, Ποσειδῶνος ὄντος; Ερ. ναί. ἀλλὰ σὲ μὲν ὦ ἐννοσίγαιε,

χαλ

χαλκοῦν ὁ Λύσιππος, καὶ τὸ χεῖρον ἐποίησεν, οὐκ
ἐχόντων τότε Κορινθίων χρυσόν. οὗτος δὲ, ὅ
λοις μετάλλοις πλουσιώτερός ἐστιν. ἀνέχεσθαι
οὖν χρὴ παρεωσμένον, καὶ μὴ ἀγανακτεῖν, εἴ τις
ῥῖνα τηλικαύτην χρυσῆν ἔχων, προτιμήσεταί
σου. Ἀφρ. οὐκοῦν ὦ Ἑρμῆ, κἀμὲ λαβὼν, ἐν
τοῖς προεδρίοις που κάθιζε. χρυσῆ γάρ εἰμι.
Ἑρ. οὐχ ὅσα γε ὦ Ἀφροδίτη κἀμὲ ὁρᾶν. ἀλλ'
εἰ μὴ πάνυ λημῶ, λίθου τοῦ λευκοῦ πεντέλη-
θεν οἶμαι λιθοτομηθεῖσα. εἶτα δόξαν οὕτω Πρα-
ξιτέλει, Ἀφροδίτη γενομένη, Κνιδίοις παρεδό-
θης. Ἀφρ. καὶ μὴν ἀξιόπιστόν σοι μάρτυρα τὸν
Ὅμηρον παρέξομαι, ἄνω καὶ κάτω τῶν ῥαψῳδι-
ῶν χρυσῆν με τὴν Ἀφροδίτην εἶναι λέγοντα. Ἑρ.
καὶ γὰρ τὸν Ἀπόλλω ὁ αὐτὸς πολύχρυσον ἔφη
εἶναι, καὶ πλούσιον. ἀλλὰ νῦν ὄψει κἀκεῖνον ἐν
τοῖς ζευγίταις που καθήμενον, ἀπεστεφανωμέ-
νον γε ὑπὸ τῶν λῃστῶν, καὶ τοὺς κόλλοπας τῆς κι-
θάρας περισεσυλημένον. ὥστε ἀγάπα καὶ σὺ, μὴ
πάνυ ἐν τῷ θητικῷ ἐκκλησιάζουσα. Κολοσσός.
ἐμοὶ δὲ τίς ἂν ἐρίσαι τολμήσειεν, ἡλίῳ
τε ὄντι, καὶ τηλικούτῳ τὸ μέγεθος; εἰ δὲ μὴ ὑ-
περφυᾶ, μηδ' ὑπέρμετρον οἱ Ῥόδιοι κατα-
σκευάσασθαί με ἠξίωσαν, ἀπὸ τοῦ ἴσου τελέ-
σματος, ἑκκαίδεκα χρυσοῦς θεοὺς ἐπεποίηντο.

ὥστε ἀνάλογον πολυτελέστερος ἂν νομιζοίμην
καὶ πρόσεστιν ἡ τέχνη, καὶ τῆς ἐργασίας τὸ ἀκρι-
βὲς ἐν μεγέθει τοσούτῳ. Ερ. τί ὦ Ζεῦ, χρὴ
ποιεῖν; δύσκριτον τι ἐμοὶ γοῦν ἡ σκέψις. εἰ μὲν γὰρ
ἐς τὴν ὕλην ἀποβλέποιμι, χαλκοῦς ἐστιν. εἰ
δὲ λογιζοίμην ἀφ' ὁπόσων ταλάντων κεχάλ-
κευται, ὑπὲρ τοὺς πεντακοσιομεδίμνους, καὶ τὴν
προεδρίαν ἂν εἴη. Ζ. τί γὰρ ἔδει παρεῖναι καὶ
τοῦτον ἐλέγξοντα τὴν τῶν ἄλλων μικρότη-
τα, καὶ ἐνοχλήσοντα τῇ καθέδρᾳ; πλὴν ἀλλ'
ὦ Ροδίων ἄριστε, εἰ καὶ ὅτι μάλιστα προτιμη-
τέος εἴη τῶν χρυσῶν, πῶς ἂν καὶ προεδρεύ-
οις, εἰ μὴ δεήσει ἀναστῆναι πάντας, ὡς μόνος
καθίζοιο, τὴν πύκνα ὅλην θατέρᾳ τῶν πυγῶν
ἐπιλαβών. ὥστ' ἄμεινον ποιήσεις ὀρθοστάδην
ἐκκλησιάζων, ἐπικεκυφὼς τῷ συνεδρίῳ.

Ερ. ἰδοὺ πάλιν ἄλλο δύσλυτον ἡ σκέψις. χαλ-
κὼ μὲν γὰρ ἀμφοτέρω ἐστὸν, καὶ τέχνης τῆς αὐ-
τῆς, Λυσίππου ἑκάτερον τὸ ἔργον. καὶ τὸ μέγιστον,
ὁμοτίμω τὰ ἐς γένος, ἅτε δὴ παῖδε ὄντες
Διὸς, ὁ Διόνυσος οὑτοσὶ, καὶ Ηρακλῆς. πότε-
ρος οὖν αὐτῶν προκαθιζῆται· φιλονεικοῦσι γὰρ
ὡς ὁρᾷς. Ζ. διατριβόμεθα ὦ Ερμῆ, πάλαι δέ-
ον ἐκκλησιάζειν. ὥστε νῦν μὲν ἀναμὶξ καθιζόν-
των, ἔνθα ἂν ἕκαστος ἐθέλῃ. εἰσαῦθις δὲ ἀπο-

δοθήσ

ἀθήσεται τῇ πολυχρόνων ἐκκλησία. κἀγὼ εἴσο-
μαι τότε ἥν τινα χρὴ ποιήσασθαι τὴν τάξιν ἐπ'
αὐτοῖς. Ερ. ἀλλ' Ἡράκλεισ, ὡς θορυβοῦσι
τὰ κοινά, καὶ τὰ καθ' ἡμέραν ταῦτα βοῶντες
[ὀ]νομάσ. ποῦ δ' νέκταρ, καὶ ἡ ἀμβροσία ἐπέ-
λιπε; ποῦ αἱ ἑκατόμβαι; κοινὰς τὰς θυσίασ.
Ζ. κατασιώπησον αὐτοὺς ὦ Ερμῆ, ὡσ
[μ]άθωσιν ὅτου ἕνεκα ξυνελέγησαν, τοὺς λήρους
[τ]ούτους ἀφέντες. Ερ. οὐχ ἅπαντες ὦ Ζεῦ,
[τ]ὴν Ελλήνων φωνὴν συνιᾶσιν. ἐγὼ δέ, οὐ πολύγλωσ-
[σ]ός εἰμι, ὥστε καὶ Σκύθαις, καὶ Πέρσαισ, καὶ
[Θ]ραξί, καὶ Κελτοῖς συνετὰ κηρύττειν. ἄμεινον
[δ]ὲ οἶμαι τῇ χειρὶ σημαίνειν, καὶ παρακελεύεσθαι
[σι]ωπᾶν. Ζ. οὕτω ποίει. Ερ. εὖ γε. ἀ-
[φ]ωνότεροι γεγένηνταί σοι τῶν σοφιστῶν. ὥστε
[ὥ]ρα δημηγορεῖν. ὁρᾷσ, πάλαι πρὸς σὲ ἀποβλέ-
[π]ουσι, περιμένοντες ὅ,τι καὶ ἐρεῖσ. Ζ. ἀλλ'
[ὅ γ]ε πέπονθα ὦ Ερμῆ, οὐκ ἂν ὀκνήσαιμι πρὸς σὲ
[εἰ]πεῖν υἱὸν ὄντα. οἶσθα ὅπως θαρραλέος ἀεί, καὶ
[με]γαλήγορος ἐν ταῖς ἐκκλησίαις ἦν; Ερ. οἶ-
[δα], καὶ ἐδεδίειν γε ἀκούων σου δημηγοροῦντος.
[κα]ὶ μάλιστα ὁπόταν ἠπείλεις ἀνασπάσειν ἐκ βά-
[θρ]ων τὴν γῆν, καὶ τὴν θάλασσαν αὐτοῖς θεοῖσ,
[τὴ]ν σειρὰν ἐκείνην τὴν χρυσῆν καθείσ. Ζ. ἀλ-
[λ]ὰ νῦν ὦ τέκνον, οὐκ οἶδα εἴτε ὑπὸ μεγέθους

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν ἐφεστώτων δεινῶν, εἴτε καὶ ὑπὸ πλήθους τῶν παρόντων, πολυθεωτάτη γὰρ ὡς ὁρᾷς ἡ ἐκκλησία, διατετάραγμαι τὴν γνώμην, καὶ ὑπότρομός εἰμι, καὶ ἡ γλῶττά μοι πεπεδημένη ἔοικε. τὸ δὲ ἀτοπώτατον ἁπάντων, ἐπιλέλησμαι τὸ προοίμιον ἁπάντων τῶν λόγων, ὃ παρεσκευασάμην, ὡς εὐπροσωποτάτη μοι ἡ ἀρχὴ γένοιτο πρὸς αὐτούς. Ερ. ἀπολώλεκας ὦ Ζεῦ πάντα. οἱ δὲ, ὑποπτεύουσι τὴν σιωπὴν, καί τι ὑπέρμεγα κακὸν ἀκούσεσθαι προσδοκῶσιν, ἐφ' ὅτῳ σὺ διαμέλλεις. Ζ. βούλει γοῦν ὦ Ερμῆ, τὸ ὁμηρικὸν ἐκεῖνο προοίμιον ἀναῤῥαψῳδήσω πρὸς αὐτούς; Ερ. τὸ ποῖον; Ζ. κέκλυτέ μευ πάντες τε θεοὶ, πᾶσαί τε θέαιναι. Ερ. ἄπαγε. ἱκανὰ καὶ πρὸς ἡμᾶς πεπαρῴνηταί σοι τὰ πρῶτα. πλὴν εἰ δοκεῖ, τὸ μὲν φορτικὸν τῶν μέτρων, ἄφες. σὺ δὲ, τῶν Δημοσθένους δημηγοριῶν τῶν κατὰ Φιλίππου, ἥν τινα ἂν ἐθέλοις, σύνειρε, ὀλίγα ἐναλλάττων. οὕτω γοῦν οἱ πολλοὶ νῦν ῥήτορες ποιοῦσιν. Ζ. εὖ λέγεις, σύντομόν τινα ῥητορείαν, καὶ ῥᾳδιουργίαν ταύτην εὔκαιρον τοῖς ἀπορουμένοις. ἄρξομαι δ' οὖν ποτε.

Αντὶ πολλῶν ἂν ὦ ἄνδρες θεοὶ χρημάτων, ὑμᾶς ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο ὑμῖν, ὅ,τι δή ποτε ἄρα τοῦτό ἐστιν, ἐφ' ὅτῳ νῦν συνει

λέχθητε

λέγητε. ὅτι περ ἂν νῦν τοῦθ' οὕτως ἔχῃ, προσήκει
ροθύμως ἀκροᾶσθαί μου λέγοντος. ὁ μὲν γὰρ
ρὼν καιρὸς ὦ θεοί, μονονουχὶ λέγει φωνὴν ἀ-
μεὶς, ὅτι τῶν παρόντων ἐῤῥωμένως αὐτιλη-
πτέον ἡμῖν ἐστίν. ἡμεῖς δὲ, πάνυ ὀλιγώρως ἔ-
χειν δοκοῦμεν πρὸς αὐτά. βούλομαι δὲ ἤδη,
ὃ ἐπιλείπει ὁ Δημοσθενικὸς, αὐτὰ ὑμῖν δη-
λῶσαι σαφῶς, ἐφ' οἷς διαταραχθεὶς, συνήγα-
γον τὴν ἐκκλησίαν. χθὲς γὰρ ὡς ἴστε, Μνησίθεος
ὁ ναυκλήρος θύσαντες τὰ σωτήρια ἐπὶ τῇ νηὶ
ὀλίγου δεῖν ἀπολουμένῃ περὶ τὸν Καφηρέα, εἱ-
στιώμεθα ἐν Πειραιεῖ, ὁπόσους ἡμῶν ὁ Μνησίθε-
ος ἐπὶ τὴν θυσίαν ἐκάλεσεν. εἶτα μετὰ τὰς
σπονδὰς, ὑμεῖς μὲν, ἄλλος ἄλλην ἐτράπεσθε,
ὡς ἑκάστῳ ἔδοξεν. ἐγὼ δὲ, οὐδέπω γὰρ πάνυ
ὀψὲ ἦν, ἀνῆλθον ἐς τὸ ἄστυ, ὡς περιπατήσαιμι
τὸ δειλινὸν ἐν Κεραμεικῷ, ἐννοῶν ἅμα τοῦ Μνη-
σιθέου τὴν μικρολογίαν, ὃς ἑκκαίδεκα θεοὺς
ἑστιῶν, ἀλεκτρυόνα μόνον κατέθυσε, γέροντα κἀ-
κεῖνον. ἤδη καὶ κορυζῶντα. καὶ λιβανωτοῦ χόν-
δρους τέτταρας, εὖ μάλα εὐρωτιῶντας, ὡς
αὐτίκα ἀποσβεσθῆναι τῷ ἄνθρακι, μηδὲ ὅ-
σον ἄκρᾳ τῇ ῥινὶ ὀσφραίνεσθαι τοῦ καπνοῦ πα-
ρασχόντας. καὶ ταῦτα, ἑκατόμβας ὅλας ὑπο-
σχόμενος, ὁπότε ἡ ναῦς ἤδη προσεφέρετο τῷ

σκοπέλῳ, καὶ ἐν οἷς ἦν τῶν ἐρημάτων. ἐπεὶ δὲ ταῦτα ἐννοῶν, γίγνομαι κατὰ τὴν Ποικίλην, ὁρῶ πλῆθος ἀνθρώπων πάμπολυ συνεστηκός. ἐνίους μὲν, ἔνδον ἐν αὐτῇ τῇ στοᾷ. πολλοὺς δὲ καὶ ἐν τῷ ὑπαίθρῳ. καί τινας βοῶντας, καὶ διατεινομένους, ἐπὶ τῶν θάκων καθημένους. εἰκάσας οὖν ὅπερ ἦν, φιλοσόφους εἶναι τῶν ἐριστικῶν τούτων, ἐβουλήθην ἐπιστὰς, ἀκοῦσαι αὐτῶν ὅ,τι καὶ λέγουσι. ἔτυχον δὲ νεφέλην τῶν παχειῶν περιβεβλημένος, σχηματίσας ἐμαυτὸν εἰς τὸν ἐκείνων τρόπον, καὶ τὸν πώγωνα ἐπισπασάμενος, εὖ μάλα ἐῴκειν φιλοσόφῳ. καὶ δὴ παραγκωνισάμενος τοὺς πολλοὺς, εἰσέρχομαι ἀγνοούμενος ὅστις εἴην. εὑρίσκω δὲ τὸν Ἐπικούρειον Δᾶμιν, τὸν ἐπίτριπτον, καὶ Τιμοκλέα τὸν στωϊκὸν, ἀνδρῶν βέλτιστον, ἐκθύμως πάνυ ἐρίζοντας. ὁ γοῦν Τιμοκλῆς, καὶ ἵδρου, καὶ τὴν φωνὴν ἤδη ἐξεκέκοπτο ὑπὸ τῆς βοῆς. ὁ Δᾶμις δὲ, τὸ σαρδώνιον ἐπιγελῶν, ἔτι μᾶλλον παρώξυνε τὸν Τιμοκλέα. ἦν δὲ ἄρα περὶ ἡμῶν ὁ πᾶς λόγος αὐτοῖς. ὁ μὲν γὰρ κατάρατος Δᾶμις, οὔτε προνοεῖν ἡμᾶς ἔφασκε τῶν ἀνθρώπων, οὔτε ἐπισκοπεῖν τὰ γιγνόμενα παρ' αὐτοῖς, οὐδὲν ἄλλο, ἢ μὴ δὲ ὅλως ἡμᾶς εἶναι λέγων. τοῦτο γὰρ αὐτῷ δηλαδὴ ὁ λόγος ἐδύνατο. καί τινες ἦσαν, οἳ ἐπῄνουν αὐτόν. ὁ δ' ἕτερος,

ταῖ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ μέτρια ὁ Τιμοκλῆς ἐφώνει, καὶ ὑπερεμάχει, καὶ ἠγανάκτει, καὶ πάντα τρόπον συνηγωνίζετο, τὴν ἐπιμέλειαν ἡμῶν ἐπαινῶν, καὶ διεξιὼν, ὡς ἐν κόσμῳ τε, καὶ τάξει τῇ προσηκούσῃ ἐξηγούμενα, καὶ διατέτακται ἕκαστα. καὶ εἶχε καὶ τινας καὶ αὐτὸς τοὺς ἐπαινοῦντας. πλὴν, ἐκεκμήκει ἤδη, καὶ πονήρως ἐφώνει, καὶ τὸ πλῆθος εἰς τὸν Δάμιν ἀπέβλεπε. συνεὶς δὲ ἐγὼ τὸ κινδυνευόμενον, τὴν νύκτα ἐκέλευσα περιχυθεῖσαν, διαλῦσαι τὴν συνουσίαν. ἀπῆλθον οὖν, εἰς τὴν ὑστεραίαν συνθέμενοι εἰς τέλος ἐπεξελεύσεσθαι τὸ σκέμμα. κἀγὼ παρομαρτῶν τοῖς πολλοῖς, ἐπήκουον μεταξὺ ἀπιόντων οἴκαδε παρ' αὐτοὺς, ἐπαινούντων τὰ τοῦ Δάμιδος, καὶ ἤδη παρὰ πολὺ αἱρουμένων τὰ ἐκείνου. ἦσαν δὲ καὶ οἱ μὴ ἀξιοῦντες προκατεγνωκέναι τῶν ἐναντίων, ἀλλὰ περιμένειν, εἴ τι καὶ ὁ Τιμοκλῆς ἄμεινον ἐρεῖ. ταῦτ' ἐστὶν ἐφ' οἷς ὑμᾶς συνεκάλεσα. οὐ μικρὰ ὦ θεοὶ, εἰ λογίσαισθε ὡς ἡ πᾶσα μὲν ἡμῖν τιμὴ, καὶ δόξα, καὶ πρόσοδος, οἱ ἄνθρωποί εἰσιν. εἰ δ' οὗτοι πεισθεῖεν ἢ μηδὲ ὅλως θεοὺς εἶναι, ἢ ὄντας, ἀπρονοήτους εἶναι σφῶν αὐτῶν, ἄθυτα, καὶ ἀγέραστα, καὶ ἄτιμα ἡμῖν ἔσται τὰ ἐκ γῆς, καὶ μάτην ἐν οὐρανῷ καθεδούμεθα, λιμῷ ἐχόμενοι, ἑορτῶν ἐκείνων, καὶ πα-

νηγύρεων, καὶ ἀγώνων, καὶ θυσιῶν, καὶ παννυχί-
δων, καὶ πομπῶν στερούμενοι. ὡς ἔγωγε ὑπὲρ τηλι-
κούτων φημὶ δεῖν ἅπαντας ἐπινοεῖν τι σωτή-
ριον τοῖς παροῦσι, καὶ ἀφ' ὅτου κρατήσει μὲν ὁ Τι-
μοκλῆς, καὶ δόξει ἀληθέστερα λέγειν, ὁ Δᾶμις
δὲ, καταγελασθήσεται πρὸς τῶν ἀκουόντων·
ὡς ἔγωγε οὐ πάνυ τι τῷ Τιμοκλεῖ πέποιθα, ὡς
κρατήσει καθ' ἑαυτὸν, ἢν μὴ καὶ τὰ παρ' ἡμῶν
αὐτῷ προσγένηται. κήρυττε ὦ Ἑρμῆ τὸ κήρυ-
γμα τὸ ἐκ τοῦ νόμου, ὡς ἀνιστάμενοι, συμβουλεύ-
οιεν. Ερ. ἄκουε. σίγα. μὴ τάραττε. τίς
ἀγορεύειν βούλεται τῶν τελείων θεῶν, οἷς ἔ-
ξεστι; τί τοῦτο, οὐδεὶς ἀνίσταται, ἀλλ' ἡσυχάζε-
τε, πρὸς τὸ μέγεθος τῶν ἠγγελμένων ἐκπε-
πληγμένοι; Μω. ἀλλ' ὑμεῖς μὲν ἅπαντες
ὕδωρ, καὶ γαῖα γένοισθε. ἐγὼ δὲ, εἴ γέ μοι μετὰ
παρρησίας λέγειν δοθείη, πολλὰ ἂν ὦ Ζεῦ, ἔ-
χοιμι εἰπεῖν. Ζ. λέγε ὦ Μῶμε, πάνυ θαρ-
ρῶν. δῆλος γὰρ εἶ ἐπὶ τὸ συμφέρον τι παρρησια-
ζόμενος. Μω. οὐκοῦν ἀκούετε ὦ θεοὶ πάντες,
τά γε ἀπὸ καρδίας φασίν. ἐγὼ γὰρ καὶ πάνυ
προσεδόκων ἐς τόδε ἀμηχανίας περιστήσεσθαι
τὰ ἡμέτερα, καὶ πολλοὺς τοιούτους ἀναφύσε-
σθαι ἡμῖν σοφιστὰς, παρ' ἡμῶν αὐτῶν τὴν αἰτίαν
τῆς τόλμης λαμβάνοντας, καὶ μὰ τὴν Θέμιν, οὐ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πε τῷ Ἐπικούρῳ ἄξιον ὀργίζεσθαι, οὔτε τοῖς ὁμιληταῖς αὐτοῦ, καὶ διαδόχοις τῶν δογμάτων, εἰ τοιαῦτα περὶ ἡμῶν ὑπειλήφασιν. ἢ τί γὰρ αὐτοὺς ἀξιώσειέ τις ἂν φρονεῖν, ὁπόταν ὁρῶσι τοσαύτην ἐν τῷ βίῳ τὴν ταραχήν; καὶ τοὺς μὲν χρηστοὺς αὐτῶν, ἀμελουμένους, ἐν πενίᾳ, καὶ νόσοις, καὶ δουλείᾳ καταφθειρομένους. παμπονήρους δὲ, καὶ μιαροὺς ἀνθρώπους, προτιμωμένους, καὶ ὑπερπλουτοῦντας, καὶ ἐπιτάττοντας τοῖς κρείττοσι, καὶ τοὺς ἱεροσύλους οὐ κολαζομένους, ἀλλὰ διαλανθάνοντας. ἀνασκολοπιζομένους δὲ, καὶ τυμπανιζομένους ἐνίοτε τοὺς οὐδὲν ἀδικοῦντας. εἰκότως τοίνυν ταῦτα ὁρῶντες, οὕτω διανοοῦνται περὶ ἡμῶν, ὡς οὐδὲν ὅλως ὄντων. καὶ μάλιστα ὅταν ἀκούωσι τῶν χρησμῶν λεγόντων, ὡς διαβὰς τὸν Ἅλυν, μεγάλην ἀρχὴν καταλύσει. οὐ μέντοι δηλούντων εἴτε τὴν αὐτοῦ, εἴτε τὴν τῶν πολεμίων. καὶ πάλιν, ὦ θεία Σαλαμὶς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν. καὶ Πέρσαι γὰρ οἶμαι, καὶ Ἕλληνες, γυναικῶν τέκνα ἦσαν. ὅτε μὲν γὰρ πάλιν τῶν ῥαψῳδῶν ἀκούουσιν, ὅτι καὶ ἐρῶμεν, καὶ τιτρωσκόμεθα, καὶ δουλεύομεν, καὶ δεσμούμεθα, καὶ στασιάζομεν, καὶ μυρία ὅσα πράγματα ἔχομεν. καὶ ταῦτα, μακάριοι, καὶ ἄφθαρτοι ἀξιοῦντες



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θεῶν, τί ἄλλο, ἢ δίκαιος καταγελᾶσθαι, καὶ οὐδενὶ λόγῳ τίθενται τὰ ἡμέτερα; ἡμεῖς δὲ ἀγανακτοῦμεν, εἴ τινες ἄνθρωποι ὄντες, οὐ πάνυ ἀνόητοι διελέγχουσι ταῦτα, καὶ τὴν πρόνοιαν ἡμῶν παρωθοῦνται, δέον ἀγαπᾶν εἴ τινες ἡμῖν ἔτι θύουσι, τοιαῦτα ἐξαμαρτάνουσι. καί μοι ἐνταῦθα ὦ Ζεῦ, μόνοι γὰρ ἐσμέν, καὶ οὐδεὶς ἄνθρωπος πάρεστιν ἐν τῷ συλλόγῳ ἔξω Ἡρακλέους, καὶ Διονύσου, καὶ Γανυμήδους, καὶ Ἀσκληπιοῦ, τῶν παρεγγράπτων τούτων, ἀπόκριναί μοι μετ᾽ ἀληθείας, εἴ ποτέ σοι ἐμέλησεν ἐς τοσοῦτον τῶν ἐν τῇ γῇ, ὡς ἐξετάσαι οἵ τινες αὐτῶν οἱ φαῦλοι, ἢ οἵ τινες οἱ χρηστοί εἰσιν. ἀλλ᾽ οὐκ ἂν εἴποις. εἰ γοῦν μὴ ὁ Θησεὺς ἐκ Τροιζῆνος εἰς Ἀθήνας ἰών, ὁδοῦ πάρεργον ἐξέκοψε τοὺς κακούργους, ὅσον ἐπὶ σοὶ, καὶ τῇ σῇ προνοίᾳ, οὐδὲν ἂν ἐκώλυε ζῆν ἐντρυφῶντας ταῖς τῶν ὁδῷ βαδιζόντων σφαγαῖς, τὸν Σκείρωνα, καὶ τὸν Πιτυοκάμπτην, καὶ Κερκύονα, καὶ τοὺς ἄλλους. ἢ εἴ γε μὴ ὁ Εὐρυσθεύς, ἀνὴρ δίκαιος, καὶ προνοητικός, ὑπὸ φιλανθρωπίας ἀναπυνθανόμενος τὰ παρ᾽ ἑκάστοις, ἐξέπεμπε τουτονὶ τὸν οἰκέτην αὐτοῦ, ἐργατικὸν ἄνθρωπον, καὶ πρόθυμον εἰς τοὺς πόνους, ὦ Ζεῦ, σὺ ὀλίγον ἐφρόντισας ἂν τῆς Ὕδρας, καὶ τῶν ἐν Στυμφάλῳ

ὀρνέ

ὀρνέων, καὶ ἵππων τῶν Θρακικῶν, καὶ τῆς κενταύρων ὕβρεως, καὶ παροινίας. ἀλλ' εἰ χρὴ τἀληθῆ λέγειν, καθήμεθα, ὅσον μόνον ἐπιτηροῦντες, εἴ τις θύει, καὶ κνισᾷ περὶ τοὺς βωμούς. τὰ δ' ἄλλα, κατὰ ῥοῦν φέρεται, ὡς ἂν τύχοι ἕκαστον παρασυρόμενα. τοιγαροῦν, εἰκότα νῦν πάσχομεν, καὶ ἔτι πεισόμεθα. ἐπειδὰν κατ' ὀλίγον οἱ ἄνθρωποι ἀνακύπτοντες, εὑρίσκωσιν οὐδὲν ὄφελος αὐτοῖς ὄν, εἰ θύοιεν ἡμῖν, καὶ τὰς σπονδὰς πέμποιεν. εἶτ' ἐν βραχεῖ ὄψει καταγελῶντας μὲν τοὺς Ἐπικούρους, καὶ Μητροδώρους, καὶ Δάμιδας, κρατουμένους δέ, καὶ ἀποσφαττομένους ὑπ' αὐτῶν, τοὺς ἡμετέρους συνηγόρους. ὥστε ἡμέτερον ἂν εἴη παύειν, καὶ ἰᾶσθαι τὰ τοιαῦτα, τῶν καὶ ἐς τόδε αὐτὰ προαγαγόντων. Μώμῳ δὲ οὐ μέγας ὁ κίνδυνος, εἰ ἄτιμος ἔσται. οὐδὲ γὰρ πάλαι τῶν τιμωμένων ἦν, ὑμῶν ἔτ' εὐτυχούντων, καὶ τὰς θυσίας καρπουμένων. Ζ. τοῦτον μὲν ὦ θεοὶ ληρεῖν ἐάσωμεν, ἀεὶ τραχὺν ὄντα, καὶ ἐπιτιμητικόν. ἔστι μὲν γὰρ ὡς ὁ θαυμαστὸς Δημοσθένης ἔφη, τὸ μὲν ἐγκαλέσαι, καὶ μέμψασθαι, καὶ ἐπιτιμῆσαι, ῥᾴδιον καὶ τοῦ βουλομένου παντός. τὸ δὲ ὅπως τὰ παρόντα βελτίω γένηται συμβουλεῦσαι, τοῦτ' ἔμφρονος ὡς ἀληθῶς συμ-

βούλει. ὅπερ οἱ ἄλλοι εὖ οἶδ᾽ ὅτι ποιήσετε, καὶ γρύ του σιωπῶντος. Πο. ἐγὼ τὰ μὲν ἄλλα, ὑποβρύχιός εἰμι ὡς ἴστε, καὶ ἐν βυθῷ πολιτεύομαι, κατ᾽ ἐμαυτὸν εἰς ὅσον ἐμοὶ δυνατὸν, σώζων τοὺς πλέοντας, καὶ παραπέμπων τὰ πλοῖα, καὶ τοὺς ἀνέμους καταμαλάττων. ὅμως δ᾽ οὖν, μέλει γάρ μοι καὶ τῶν ἐνταῦθα, φημὶ δεῖν τὸν Δάμιν τοῦτον, ἐκποδὼν ποιήσασθαι, πρὶν ἐπὶ τὴν ἔριν ἥκειν, ἤτοι κεραυνῷ τινι, ἢ ἄλλῃ μηχανῇ, μὴ καὶ ὑπέρσχῃ λέγων. φὴς γὰρ ὦ Ζεῦ, πιθανόν τινα εἶναι αὐτόν. ἅμα γὰρ καὶ δείξομεν αὐτοῖς, ὡς μετερχόμεθα τοὺς τὰ τοιαῦτα καθ᾽ ἡμῶν διεξιόντας. Ζ. παίζεις ὦ Πόσειδον, ἢ τέλεον ἐπιλέλησαι; οὐδὲν ἐφ᾽ ἡμῖν τῶν τοιούτων ἐστὶν, ἀλλ᾽ αἱ μοῖραι ἑκάστῳ ἐπικλώθουσι, τὸν μὲν, κεραυνῷ, τὸν δὲ, ξίφει, τὸν δὲ, πυρετῷ, ἢ φθόῃ, ἀποθανεῖν. ἐπεὶ εἴγε μοι ἐπ᾽ ἐξουσίας τὸ πρᾶγμα ἦν, εἴασα ἂν οἴει τοὺς ἱεροσύλους πρώην ἀπελθεῖν ἀκεραυνώτους ἐξ ὀλυμπίας, δύο μου τῶν πλοκάμων ἀποκείραντας, ἓξ μνᾶς ἑκάτερον ἕλκοντα; ἢ σὺ αὐτὸς περιεῖδες ἂν ἐν Γεραιστῷ τὸν ἁλιέα τὸν ἐξ Ὠρεοῦ, ὑφαιρούμενόν σου τὴν τρίαιναν; ἄλλως τε καὶ δόξομεν ἀγανακτεῖν, λελυπημένοι τῷ πράγματι, καὶ δεδιέναι τοὺς παρὰ τοῦ Δάμιδος λόγους,

λόγου, καὶ δεῖ αὐτοὺς ἀποσκευάζεσθαι, τὸν ἄνδρα οὐ περιμείναντες ἀπεξετασθῆναι αὐτὸν ὑπὸ Τιμοκλεῖ. ὥστε τί ἄλλο, ἢ δεῖ ἐρήμης κρατεῖν οὕτω λεγομένων; Πο. καὶ μὴν σύντομόν τινα ταύτην ὤμην ἐπινενοηκέναι ἔγωγε πρὸς τὴν νίκην. Ζ. ἄπαγε, θυννῶδες τὸ ἐνθύμημα ὦ Πόσειδον, καὶ κομιδῇ παχύ, προαναιρήσειν τὸν ἀνταγωνιστήν, ὡς ἀποθάνῃ ἀήττητος, ἀμφήριστον ἔτι, καὶ ἀδιάκριτον καταλιπὼν τὸν λόγον. Πο. οὐκοῦν ἄμεινόν τι ὑμεῖς ἐπινοεῖτε ἄλλο, εἰ τὰ μὰ οὕτως ὑμῖν ἀποτεθύννισται. Ἀπόλ. εἰ καὶ τοῖς νέοις, ἔτι καὶ ἀγενείοις ἡμῖν ἐφεῖτο ἐκ τοῦ νόμου δημηγορεῖν, ἴσως ἂν εἶπόν τι συμφέρον εἰς τὴν διάσκεψιν. Μῶ. ἡ μὲν σκέψις ὦ Ἄπολλον, οὕτω περὶ μεγάλων, ὥστε μὴ καθ' ἡλικίαν, ἀλλὰ κοινὸν ἅπασι προκεῖσθαι τὸν λόγον. χαρίεν γὰρ εἰ καὶ περὶ τῶν ἐσχάτων κινδυνεύοντες, περὶ τῆς ἐν τοῖς νόμοις ἐξουσίας μικρολογούμεθα. σὺ δὲ καὶ πάνυ ἤδη ἔννομος εἶ δημηγόρος, πρόπαλαι μὲν ἐξ ἐφήβων γεγονώς, ἐγγεγραμμένος δὲ ἐς τὸ τῶν δώδεκα ληξιαρχικόν. καὶ ὀλίγου δεῖν, τῆς ἐπὶ Κρόνου βουλῆς ὤν. ὥστε μὴ μειρακιεύου πρὸς ἡμᾶς, ἀλλὰ λέγε θαρρῶν ἤδη τὰ δοκοῦντα. μὴ αἰδεσθεὶς, εἰ ἀγένειος ὢν, δημηγορήσεις. καὶ ταῦτα,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ε*ὐ*πώγωνα, καὶ εὐγένειον οὕτως υἱὸν ἔχων τὸν Ἀσκληπιόν. ἄλλως τε, καὶ πρέπον ἂν εἴη σοι νῦν μάλιστα ἐκφαίνειν τὴν σοφίαν, εἰ μὴ μάτην ἐν τῷ Ἑλικῶνι κάθησαι, ταῖς μούσαις συμφιλοσοφῶν. ΑΠΟΛ. ἀλλ' οὐ σὲ ὦ Μῶμε, χρὴ τὰ τοιαῦτα ἐφιέναι, τὸν Δία δέ. ἢν οὗτος κελεύσῃ, τάχ' ἄν τι οὐκ ἄμουσον εἴποιμι, ἀλλὰ τῆς ἐν τῷ Ἑλικῶνι μελέτης ἄξιον. Ζ. λέγε ὦ τέκνον. ἐφίημι γάρ. ΑΠΟΛ. ὁ Τιμοκλῆς οὗτος, ἔοικε χρηστὸς ἀνὴρ, καὶ φιλόθεος, καὶ τοὺς λόγους πάνυ ἠκρίβωκε τοὺς Στωϊκούς. ὥστε καὶ σύνεστιν ἐπὶ φιλοσοφίᾳ πολλοῖς τῶν νέων, καὶ μισθοὺς οὐκ ὀλίγους ἐπὶ τούτῳ ἐκλέγει, σφόδρα πιθανὸς ὤν, ὁπόταν ἰδίᾳ τοῖς μαθηταῖς διαλέγηται. ἐν πλήθει δὲ εἰπεῖν, ἀτολμότατός ἐστι, καὶ τὴν φωνὴν ἰδιώτης, καὶ μιξοβάρβαρος, ὥστε γέλωτα ὀφλισκάνειν διὰ τοῦτο ἐν ταῖς συνουσίαις, οὐ συνείρων, ἀλλὰ βατταρίζων, καὶ ταραττόμενος. καὶ μάλιστα ὁπόταν οὕτως ἔχων, καὶ καλλιρρημοσύνην ἐπιδείκνυσθαι βούληται, συνεῖναι μὲν γὰρ, ἐς ὑπερβολὴν ὀξύς ἐστι, καὶ λεπτογνώμων, ὥς φασιν οἱ ἄμεινον τὰ τῶν Στωϊκῶν εἰδότες. λέγων δὲ, καὶ ἑρμηνεύων, ὑπ' ἀσθενείας διαφθείρει αὐτὰ, καὶ συγχεῖ, οὐκ ἀποσαφῶν ὅ, τι βούλεται,

τοῦ, ἀλλ᾽ αἰνίγμασιν ἐοικότα προτείνων. καὶ πάλιν αὖ πολὺ ἀσαφέστερα πρὸς τὰς ἐρωτήσεις ἀποκρινόμενος. οἱ δὲ, οὐ συνιέντες, καταγελῶσιν αὐτοῦ. ΔΙ. Δεῖ δὲ οἶμαι σαφῶς λέγειν, καὶ τοῦτο μάλιστα ποιεῖσθαι πολλὴν τὴν πρόνοιαν, ὡς συνήσουσιν οἱ ἀκούοντες. ΜΩ. Τοῦτο μὲν ὀρθῶς ἔλεξας ὦ Ἄπολλον, ἐπαινέσας τοὺς σαφῶς λέγοντας, εἰ καὶ μὴ πάνυ ποιεῖς σὺ τοῦτο ἐν τοῖς χρησμοῖς, λοξὸς ὢν, καὶ γριφώδης, καὶ ἐς τὸ μεταίχμιον ἀσφαλῶς ἀπορρίπτων τὰ πολλά, ὡς τοὺς ἀκούοντας, ἄλλου δεῖσθαι Πυθίου πρὸς τὴν ἐξήγησιν αὐτῶν. ἀτὰρ τί τὸ ἐπὶ τούτῳ συμβουλεύεις; τίνα ἴασιν ποιήσασθαι τῆς Τιμοκλέους ἀδυναμίας ἐν τοῖς λόγοις;

ΑΠΟΛ. Συνήγορον ὦ Μῶμε, εἴ πως δυνηθείημεν, αὐτῷ παρασχεῖν ἄλλον τῶν δεινῶν τοῦτον, ἐροῦντα κατ᾽ ἀξίαν, ἅπερ ἂν ἐκεῖνος ἐνθυμηθεὶς ὑποβάλῃ. ΜΩ. Ἀγένειον τοῦτο ὡς ἀληθῶς εἴρηκας, ἔτι παιδαγωγοῦ τινος δεόμενον, συνήγορον ἐν συνουσίᾳ φιλοσόφων παραστήσασθαι, ἑρμηνεύσοντα πρὸς τοὺς παρόντας, ἅπερ ἂν δοκῇ Τιμοκλεῖ. καὶ τὸν μὲν Δᾶμιν, αὐτοπρόσωπον, καὶ δι᾽ αὐτοῦ λέγειν. τὸν δὲ, ὑποκριτῇ προσχρώμενον, ἰδίᾳ πρὸς τὸ οὖς ἐκείνῳ ὑποβάλλειν τὰ δοκοῦντα. τὸν ὑποκριτὴν δὲ, ῥητορεύειν,

οὐδ' αὐτὸν ἴσως συνιέντα ὅ,τι ἀκούσειε. ταῦτα πῶς οὐ γέλως ἂν εἴη τῷ πλήθει; ἀλλὰ τοῦτο μὲν, ἄλλως ἐπινοήτομεν. σὺ δὲ ὦ θαυμάσιε, φὴς γὰρ καὶ μάντις εἶναι, καὶ μισθοὺς οὐκ ὀλίγους ἐπὶ τῷ τοιούτῳ ἐξέλεξας, ἄχρι τοῦ καὶ πλίνθους χρυσᾶς ποτε εἰληφέναι, τί οὐκ ἐπεδείξω ἡμῖν κατὰ καιρὸν τὴν τέχνην, προειπὼν ὁπότερος τῶν σοφιστῶν κρατήσει λέγων; οἶσθα γάρ που τὸ ἀποβησόμενον, μάντις ὤν. Ἀπόλ. πῶς ὦ Μῶμε, δυνατὸν ποιεῖν ταῦτα, μήτε τρίποδος ἡμῖν παρόντος, μήτε θυμιαμάτων, ἢ πηγῆς μαντικῆς, οἵα ἡ Κασταλία ἐστίν; Μῶ. ὁρᾷς; ἀποδιδράσκεις τὸν ἔλεγχον, ἐν τῷ στενῷ ἐχόμενος. Ζ. ὅμως ὦ τέκνον, εἰπὲ, καὶ μὴ παράσχῃς τῷ συκοφάντῃ τούτῳ ἀφορμὰς, διαβάλλειν, καὶ χλευάζειν τὰ σὰ, ὡς ἐπὶ τρίποδι, καὶ ὕδατι, καὶ λιβανωτῷ κείμενα. ὥστ' εἰ μὴ ἔχοις ταῦτα, στερησόμενόν σε τῆς τέχνης. Ἀπόλ. ἄμεινον μὲν ἦν ὦ πάτερ, ἐν Δελφοῖς, ἢ Κολοφῶνι, τὰ τοιαῦτα ποιεῖν, ἁπάντων μοι τῶν χρησίμων παρόντων ὡς ἔθος. ὅμως δὲ, καὶ οὕτω γυμνὸς ἐκείνων, καὶ ἄσκευος πειράσομαι προειπεῖν ὁποτέρου τὸ κράτος ἔσται. ἀνέξεσθε δὲ, εἰ μὴ ἔμμετρα λέγοιμι. Μῶ. λέγε, μόνον σαφῆ δὲ ὦ Ἄπολλον, καὶ μὴ συνηγόρου καὶ αὐτὰ,

καὶ ἐρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἑρμηνέως δεόμενα. καὶ γὰρ οὐκ ἄρνεια κρέα, ἢ χελώνην νῦν ἐν Λυδίᾳ ἕψεται. ἀλλὰ οἶδα περὶ ὅτου ἡ σκέψις. Ζ. τί ποτε ἐρεῖς ὦ τέκνον; ὡς τά γε πρὸ τοῦ χρησμοῦ, ταῦτα ἤδη φοβερά. ἡ χρόα, τετραμμένη. οἱ ὀφθαλμοί, περιφερεῖς. κόμη, ἀνασεσοβημένη. κίνημα, κορυβαντῶδες. καὶ ὅλως, κατόχιμα πάντα, καὶ φρικώδη, καὶ μυστικά. ΑΠΟΛ. Κέκλυτε μαντιπόλου τόδε θέσφατον Ἀπόλλωνος. Ἀμφ' ἔριδος κρυερῆς, τὴν ἀνέρες ἐστήσαντο ὀξυβόαι, μύθοισι κορυσσόμενοι πυκινοῖσι. Πολλὰ γὰρ ἔνθα καὶ ἔνθα μόθου ἑτεραλκέι κλωγμῷ, ταρφέα ἄκρα κόρυμβα καταπλήσσουσιν ἐχέτλης. Ἀλλ' ὅταν αἰγυπιὸς γαμψώνυχος ἀκρίδα μάρψῃ, δὴ τότε λοίσθιον ὀμβροφόροι κλάγξουσι κορῶναι. Νίκη δ' ἡμιόνων, ὁ δ' ὄνος, θοὰ τέκνα κορύψει. Ζ. τί τοῦτο ἀνεκάγχασας ὦ Μῶμε. καὶ μὴν οὐ γελοῖα τὰ ἐν ποσί. παῦσαι κακόδαιμον. ἀποπνιγήσῃ ὑπὸ τοῦ γέλωτος. ΜΩ. καὶ πῶς δυνατὸν ὦ Ζεῦ, ἐφ' οὕτω σαφεῖ, καὶ προδήλῳ τῷ χρησμῷ; Ζ. οὐκοῦν ἤδη καὶ ἡμῖν ἑρμηνεύοις ἂν αὐτὸν ὅ, τι καὶ λέγει. ΜΩ. πάνυ πρόδηλα. ὥστε οὐδὲν ἡμῖν Θεμιστοκλέους δεήσει. φησὶ γὰρ τὸ λόγιον οὑτωσὶ διαρρήδην, γόητα μὲν εἶναι τοῦτον, ἡμᾶς δὲ ὄνους κανθηλίους νὴ Δία, καὶ ἡμιόνους, τοὺς πιστεύ-

ὄντας αὐτῶν, οὐδ' ὅσον αἱ ἀκρίδες τὸν νοῦν ἔχοντας. Ἡρα. ἐγὼ δὲ ὦ πάτερ, εἰ καὶ μέτοικός εἰμι, οὐκ ὀκνήσω ὅμως τὰ δοκοῦντά μοι εἰπεῖν. ὁπόταν γὰρ ἤδη συνελθόντες διαλέγωνται, τηνικαῦτα, ἢν μὲν ὁ Τιμοκλῆς ὑπέρσχῃ, ἐάσωμεν προχωρεῖν τὴν συνουσίαν ὑπὲρ ἡμῶν. ἢν δέ τι ἑτεροῖον ἀποβαίνῃ, τότε ἤδη τὴν στοὰν αὐτὴν ἔγωγε εἰ δοκεῖ, διασείσας, ἐμβαλῶ τῷ Δάμιδι, ὡς μὴ κατάρατος ὢν, ὑβρίζῃ ἐς ἡμᾶς. Μῶ. Ἡράκλεις. ἰὼ Ἡράκλεις. ἄγροικον τοῦτ' εἴρηκας, καὶ δεινῶς Βοιώτιον, ξυναπολέσαι ἑνὶ πονηρῷ τοσούτους. καὶ προσέτι τὴν στοὰν, αὐτῷ Μαραθῶνι, καὶ Μιλτιάδῃ, καὶ Κυναιγείρῳ. καὶ πῶς ἂν τούτων συμπεσόντων, οἱ ῥήτορες ἔτι ῥητορεύοιεν, τὴν μεγίστην εἰς τοὺς λόγους ὑπόθεσιν ἀφῃρημένοι; ἄλλως τε, ζῶντι μέν σοι, δυνατὸν ἦν τι πρᾶξαι τοιοῦτο. ἀφ' οὗ δὲ θεὸς γεγένησαι, μεμάθηκας οἶμαι ὡς αἱ μοῖραι μόναι τὰ τοιαῦτα δύνανται. ἡμεῖς δὲ, αὐτῶν ἄμοιροι ἐσμέν. Ἡρα. οὐκοῦν ὁπότε τὸν λέοντα, ἢ τὴν ὕδραν ἐφόνευον, αἱ μοῖραι δι' ἐμοῦ ἐκεῖνα ἔπραττον; Ζ. καὶ μάλα. Ἡρα. καὶ νῦν ἤν τις ὑβρίζῃ εἰς ἐμὲ, ἢ περισυλῶν μου τὸν νεὼν, ἢ ἀναστρέπων τὸ ἄγαλμα, εἰ μὴ ταῖς μοίραις πάλαι δεδογμένον ᾖ, οὐκ ἐπιτρίψω αὐτόν; Ζ.

οὐδα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δουδαιμῶσ. Ηρ. οὐκοῦν ἄκουσον ὦ ζεῦ μετὰ παῤ-
ῥησίας. ἐγὼ γὰρ ὡς ὁ κωμικὸς ἔφη, ἄγροικόσ εἰ-
μι, τὴν σκάφην σκάφην λέγων. εἰ τοιαῦτα ἔσται
τὰ ὑμέτερα, μακρὰν χαίρειν φράσας ταῖς
ἐνταῦθα τιμαῖσ, καὶ κνίσῃ, καὶ ἱερείων αἵματι,
κάτειμι εἰσ τὸν ᾅδην, ὅπου με γυμνὸν ἔχοντα
τὸ τόξον, κἂν τὰ εἴδωλα φοβηθήσεται τῶν ὑπ'
ἐμοῦ πεφονευμένων θηρίων. Ζ. εὖγε. οἴ-
κοθεν ὁ μάρτυς φασίν. ἀπέσωσας γοῦν τὸν Δά-
μιδι ταῦτα εἰπεῖν ὑποβάλλων. ἀλλὰ τίσ ὁ
σπουδῇ προσιὼν οὗτός ἐστιν, ὁ χαλκοῦς, ὁ εὔ-
γραμμος, ὁ εὐπερίγραφος, ὁ ἀρχαῖος τὴν ἀνάδε-
σιν τῆς κόμης; μᾶλλον δὲ ὁ σὸς ὦ Ερμῆ, ἀδελφόσ
ἐστιν. ὁ ἀγοραῖος, ὁ παρὰ τὴν Ποικίλην. πίττης γοῦν
ἀναπέπλησται, ὁσημέραι ἀναπλαττόμενος
ὑπὸ τῶν ἀνδριαντοποιῶν. τί ὦ παῖ, δρομαῖοσ
ἡμῖν ἀφῖξαι; ἤ πού τι ἐκ γῆς νεώτερον ἀπαγγέλ-
λεισ; Ερμαγό. ὑπέρμεγα ὦ Ζεῦ, καὶ μυρίας
τῆς σπουδῆς δεόμενον. Ζ. λέγε ἤδη, εἴ τι καὶ
ἄλλο ἡμᾶς ἐπανιστάμενον λέληθεν. Ερμαγό.
ἐτύγχανον μὲν ἄρτι χαλκουργῶν, ὑποπιττού-
μενος στέρνον τε, καὶ μετάφρενον. θώραξ δέ μοι
γελοῖος ἀμφὶ σώματι πλασθείσ, παρῃώρητο
μιμηλῇ τῇ τέχνῃ, σφραγῖδα χαλκοῦ πᾶσαν
τυπούμενος. ὁρῶ δ' ὄχλον στείχοντα, καί τι

νας δύο ὠχροὺς κεκράκτας, πυγμάχους σοφισμάτων, Δάμιν τε, καὶ, Ζ. παῦε ὦ Ἑρμαγόρα βέλτιστε, τραγῳδῶν οἶδα γὰρ οὕς τινας λέγεις. ἀλλ' ἐκεῖνό μοι φράσον, εἰ πάλαι συγκροτεῖται αὐτοῖς ἡ ἔρις. Ερμα. οὐδέπω, ἀλλ' ἐν ἀκροβολισμοῖς ἔτι ἦσαν, ἀποσφενδονῶντες ἀλλήλοις, πόρρωθέν ποθεν λοιδορούμενοι. Ζ. τί οὖν ἔτι χρὴ ποιεῖν λοιπὸν ὦ θεοί, ἢ ἀκροᾶσθαι ἐπικύψαντας αὐτῶν; ὥστε ἀφαιρείτωσαν αἱ ὧραι τὸν μοχλὸν ἤδη. καὶ ἀπαγαγοῦσαι τὰ νέφη, ἀναπεταννύτωσαν τὰς πύλας τοῦ οὐρανοῦ. Ηράκλεις, ὅσον τὸ πλῆθος ἐπὶ τὴν ἀκρόασιν ἀπηντήκασιν. ὁ δὲ Τιμοκλῆς οὗτος, οὐ πάνυ μοι ἀρέσκει ὑποτρέμων, καὶ ταραττόμενος. ἀπολεῖ πάντα οὗτος τήμερον. δῆλος γοῦν ἐστιν οὐδὲ ἀνταίρεσθαι τῷ Δάμιδι δυνησόμενος. ἀλλ' ὅπερ ἡμῖν δυνατώτατον, εὐχώμεθα ὑπὲρ αὐτοῦ σιγῇ, ἐφ' ἡμείων ἵνα μὴ Δάμις γε πύθηται. Τιμο. τί φῂς ὦ ἱερόσυλε Δάμι, θεοὺς μὴ εἶναι, μηδὲ προνοεῖν τῶν ἀνθρώπων; Δά. οὔκ. ἀλλὰ σὺ πρότερον ἀπόκριναί μοι, ὧτινι λόγῳ ἐπείσθης εἶναι αὐτούς. Τιμο. οὐ μὲν οὖν, ἀλλὰ σὺ ὦ μιαρὲ ἀπόκριναι. Δά. οὐ μὲν οὖν ἀλλὰ σύ. Ζ. ταυτὶ μὲν παρὰ πολὺ ὁ ἡμέτερος ἄμεινον, καὶ εὐφωνότερον τραχύ-

βραχύνεται. εὖ γε ὦ Τιμόκλεις, ἐπίσχει τῶν βλα-
σφημιῶν. ἐν γὰρ τούτῳ σοι, τὸ κράτος ὥς τά
γε ἄλλα, ἰχθὺν σε ἀποφανεῖ, ἐπιστομίζων.
Τιμο. ἀλλὰ μὰ τὴν Ἀθηνᾶν, οὐκ ἂν ἀποκρι-
νοίμην σοι πρότερον. Δαμ. οὐκοῦν ὦ Τιμό-
κλεις, ἐρώτα. ἐκράτησας γὰρ τοῦτό γε, ὀμωμο-
κώς. ἀλλ' ἄνευ τῶν βλασφημιῶν, εἰ δοκεῖ. Τι-
μο. εὖ λέγεις. εἰπὲ οὖν μοι, οὐ δοκοῦσί σοι ὦ
κατάρατε, προνοεῖν οἱ θεοί; Δαμ. οὐδαμῶς.
Τιμο. τί φῄς; ἀπρονόητα οὖν ταῦτα πάντα;
Δά. ναί. Τιμο. οὐδ' ὑπό τινι οὖν θεῷ τάτ-
τεται ἡ τῶν ὅλων ἐπιμέλεια; Δά. οὔ. Τι-
μο. πάντα δὲ εἰκῇ φέρεται ἀλόγῳ τῇ φορᾷ;
Δά. ναί. Τιμο. εἶτ' ἄνθρωποι ταῦτα ἀκού-
οντες, ἀνέχεσθε, καὶ οὐ καταλεύσετε τὸν ἀλι-
τήριον; Δά. τί τοὺς ἀνθρώπους ἐπ' ἐμὲ παρο-
ξύνεις ὦ Τιμόκλεις; ἢ τίς ὢν, ἀγανακτεῖς ὑ-
πὲρ τῶν θεῶν, καὶ ταῦτα, ἐκείνων αὐτῶν οὐκ
ἀγανακτούντων; οἵ γε οὐδὲν δεινὸν διατεθείκα-
σί με πάλαι ἀκούοντες, εἴ γε ἀκούουσι. Τιμ.
ἀκούουσι γὰρ ὦ Δᾶμι, ἀκούουσι. καί σε μετίασι
ποτὲ χρόνῳ ὕστερον. Δά. καὶ πότε ἂν ἐκεῖνοι
σχολὴν ἀγάγοιεν ἐπ' ἐμέ, τοσαῦτα ὡς φὴς πρά-
γματα ἔχοντες, καὶ τὰ ἐν τῷ κόσμῳ ἄπει-
ρα τὸ πλῆθος ὄντα, οἰκονομούμενοι; ὥστε οὐ

δὲ σέ πω ἠμύναντο ὧν ἐπιορκεῖς ἀεί. καὶ τῶν ἄλλων, ἵνα μὴ βλασφημεῖν καὶ αὐτὸς ἀναγκάζωμαι παρὰ τὰ συγκείμενα. καί τοι οὐχ ὁρῶ ἥν τινα ἂν ἄλλην ἐπίδειξιν τῆς ἑαυτῶν προνοίας μείζω ἐξενεγκεῖν ἐδύναντο, ἢ σὲ κακὸν, κακῶς ἐπιτρίψαντες. ἀλλὰ δῆλοί εἰσιν ἀποδημοῦντες ὑπὲρ τὸν Ὠκεανὸν ἴσως μετ᾽ ἀμύμονας Αἰθιοπῆας. ἔθος γοῦν αὐτοῖς συνεχῶς ἰέναι παρ᾽ αὐτοὺς ἐπὶ δαῖτα, καὶ αὐτεπαγγέλτοις ἐνίοτε. Τιμο. τί πρὸς τοσαύτην ἀναισχυντίαν εἴποιμι ὦ Δάμι; Δα. ἐκεῖνο ὦ Τιμόκλεις, ὃ πάλαι ἐγὼ ἐπόθουν ἀκοῦσαί σου, ὅπως ἐπείσθης οἴεσθαι προνοεῖν τοὺς θεούς. Τιμο. ἡ τάξις με πρώτη τῶν γιγνομένων ἔπεισεν, ὁ ἥλιος ἀεὶ τὴν αὐτὴν ὁδὸν ἰὼν, καὶ σελήνη κατὰ ταυτὰ, καὶ ὧραι τρεπόμεναι, καὶ φυτὰ φυόμενα, καὶ ζῶα γεννώμενα, καὶ αὐτὰ ταῦτα οὕτως εὐμηχάνως κατεσκευασμένα, ὡς τρέφεσθαι, καὶ κινεῖσθαι, καὶ ἐννοεῖν, καὶ βαδίζειν, καὶ τεκταίνεσθαι, καὶ σκυτοτομεῖν. καὶ τἆλλα ταῦτα προνοίας ἔργα εἶναί μοι δοκεῖ. Δα. αὐτό που τὸ ζητούμενον ὦ Τιμόκλεις, συναρπάζεις. οὐδέ πω γὰρ δῆλον, εἰ προνοίᾳ τούτων ἕκαστον ἀποτελεῖται. ἀλλ᾽ ὅτι μὲν τοιαῦτά ἐστι τὰ γιγνόμενα, φαίην ἂν καὶ αὐτός. οὐ μὴν αὐτίκα πεπεῖσθαι ἀνάγκη, καὶ ὑπό τινος προ-

μηθείας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μαθίας αὐτὰ γίνεσθαι. ἔνι γὰρ καὶ ἄλλως ἀρξάμενα, νῦν ὁμοίως, καὶ κατὰ ταυτὰ συνίστασθαι. σὺ δὲ, τάξιν αὐτῶν ὀνομάζεις τὴν ἀνάγκην. εἶτα δηλαδὴ ἀγανακτήσεις, εἴ τίς σοι μὴ ἀκολουθοίη, τὰ γινόμενα μὲν, ὁποῖά ἐστι, καταριθμουμένῳ, καὶ ἐπαινοῦντι, οἰομένῳ δὲ ἀπόδειξιν ταῦτα εἶναι, τοῦ καὶ προνοίᾳ διατάττεσθαι αὐτῶν ἕκαστον. ὥστε κατὰ τὸν κωμικὸν, τουτὶ μὲν, ὑπομόχθηρον. ἄλλο δέ μοι λέγε. Τι. ἐγὼ μὲν οὐκ οἶμαι καὶ ἄλλης ἐπὶ τούτοις δεῖν ἀποδείξεως. ὅμως δ' οὖν ἐρῶ. ἀπόκριναι γάρ μοι. Ομηρός σοι δοκεῖ ἄριστος ποιητὴς γενέσθαι; Δα. καὶ μάλα. Τιμο. οὐκοῦν ἐκείνῳ ἐπείθην, τὴν πρόνοιαν τῶν θεῶν ἐμφανίζοντι. Δα. ἀλλ' ὦ θαυμάσιε, ποιητὴν μὲν ἀγαθὸν Ομηρον γενέσθαι, πάντες σοι συνομολογήσουσι. μάρτυρα δὲ ἀληθῆ περὶ τῶν τοιούτων, οὔτ' ἐκεῖνον, οὔτε ἄλλον ποιητὴν οὐδένα. οὔτε γὰρ ἀληθείας μέλει αὐτοῖς οἶμαι, ἀλλὰ τοῦ κηλεῖν τοὺς ἀκούοντας. καὶ διὰ τοῦτο, μέτροις τε κατᾴδουσι, καὶ μύθοις κατηχοῦσι. καὶ ὅλως, ἅπαντα ὑπὲρ τοῦ τερπνοῦ μηχανῶνται. ἀτὰρ ἡδέως ἂν ἀκούσαιμι, οἷς τισι μάλιστ' ἐπείσθης τῶν Ομήρου. ἆρα οἷς περὶ τοῦ Διὸς λέγει, ὡς ἐπεβούλευον συνδῆσαι αὐτὸν ἡ θυγάτηρ, καὶ ὁ ἀδελφὸς, καὶ

ἀγωνῇ; καὶ εἰ μὴ τὸν Βριάρεων ἡ Θέτις ἐκάλεσεν, ἐλεήσασα τὸ γιγνόμενον, ἐπεπέδητο ἂν ἡμῖν ὁ βέλτιστος Ζεὺς, συναρπασθείς. ἀνθ' ὧν ἀπομνημονεύων τῇ Θέτιδι τὴν εὐεργεσίαν, ἐξαπατᾷ τὸν Ἀγαμέμνονα, ὄνειρόν τινα ψευδῆ ἐπιπέμψας, ὡς πολλοὶ τῶν Ἀχαιῶν ἀποθάνοιεν. ὁρᾷς; ἀδύνατον γὰρ ἦν αὐτῷ κεραυνὸν ἐμβαλόντι, καταφλέξαι τὸν Ἀγαμέμνονα αὐτὸν, ἄνευ τοῦ ἀπατεῶνα εἶναι δοκεῖν. ἢ ἐκεῖνά σε μάλιστα εἰς τὴν πίστιν ἐπεσπάσατο ἀκούοντα, ὡς Διομήδης μὲν, ἔτρωσε τὴν Ἀφροδίτην, εἶτα τὸν Ἄρη αὐτὸν, Ἀθηνᾶς παρακελεύσει. μετὰ μικρὸν δὲ, αὐτοὶ συμπεσόντες οἱ θεοὶ, ἐμονομάχουν ἀναμὶξ ἄρρενές τε, καὶ θήλειαι, καὶ Ἀθηνᾶ μὲν, Ἄρη καταγωνίζεται, ἅτε καὶ προπεπονηκότα οἶμαι ἐκ τοῦ τραύματος, ὃ παρὰ τοῦ Διομήδους εἰλήφει. Λητοῖ δ' αὖτε σῶκος ἐριούνιος Ἑρμῆς. ἢ τὰ περὶ τῆς Ἀρτέμιδός σοι πιθανὰ ἔδοξεν, ὡς ἐκείνη μεμψίμοιρος οὖσα, ἠγανάκτησεν, οὐ κληθεῖσα ἐφ' ἑστίασιν ὑπὸ τοῦ Οἰνέως. καὶ διὰ τοῦτο, σῦν τινα ὑπερφυᾶ, καὶ ἀνυπόστατον τὴν ἀλκὴν, ἐπαφῆκεν ἐπὶ τὴν χώραν αὐτοῦ. ἆρα οὖν τὰ τοιαῦτα λέγων σε Ὅμηρος πέπεικε; Ζ. βαβαί. ἡλίκον ὦ θεοὶ ἀνεβόησε τὸ πλῆθος, ἐπαινοῦντες τὸν Δᾶμιν. ὁ δ' ἡμέτερος, ἀπορουμέ-

νῳ ἐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νῷ ἔοικε. δέδιε γοῦν, καὶ ὑποτρέμει, καὶ δῆλός ἐστιν ἀποῤῥίπτων τὴν ἀσπίδα. καὶ ἤδη περιβλέπει οἷ παρεκδὺς ἀποδράσεται. Τιμο. οὐδ' Εὐριπίδης ἄρα σοι δοκεῖ λέγειν τι ὑγιὲς, ὁπόταν αὐτοὺς ἀναβιβασάμενος τοὺς θεοὺς ἐπὶ τὴν σκηνὴν, δεικνύῃ σώζοντας μὲν τοὺς χρηστοὺς τῶν ἡρώων, τοὺς πονηροὺς δὲ, καὶ τὴν ἀσέβειαν κατὰ σὲ, ἐπιτρίβοντας; Δά. ἀλλ' ὦ γενναιότατε φιλοσόφων Τιμόκλεις, εἰ ταῦτα ποιοῦντες οἱ τραγῳδοὶ πεπείκασί σε, ἀνάγκη δυοῖν θάτερον, ἤτοι Πῶλον, καὶ Ἀριστόδημον, καὶ Σάτυρον, ἡγεῖσθαί σε θεοὺς εἶναι τότε, ἢ τὰ πρόσωπα τῶν θεῶν αὐτὰ, καὶ τοὺς ἐμβάτας, καὶ τοὺς ποδήρεις χιτῶνας, καὶ χλαμύδας, καὶ χειρίδας, καὶ προγαστρίδια, καὶ σωμάτια, καὶ τἄλλα, οἷς ἐκεῖνοι σεμνύνουσι τὴν τραγῳδίαν, ὅπερ καὶ γελοιότατον οἶμαι. ἐπεὶ καθ' ἑαυτὸν ὁπόταν ὁ Εὐριπίδης, μηδὲν ἐπειγούσης τῆς χρείας, τῶν δραμάτων τὰ δοκοῦντά οἱ λέγῃ, ἀκούσῃ αὐτοῦ τότε παῤῥησιαζομένου.

Ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα,
Καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις,
Τοῦτον νόμιζε Ζῆνα. τόνδ' ἡγοῦ θεόν. καὶ πάλιν.
Ζεὺς, ὅστις ἐστὶν ὁ Ζεύς. οὐ γὰρ οἶδα, πλὴν λόγῳ
κλύων. καὶ τὰ τοιαῦτα. Τι. οὐκοῦν ἅπαντες ἄνθρωποι, καὶ τὰ ἔθνη, ἐξηπάτηνται, θεοὺς νομίζον

τες, καὶ πανηγυρίζοντες. ΔΑ. εὖ γε ὦ Τιμόκλεις, ὅτι με ὑπέμνησας τῶν κατὰ τὰ ἔθνη νομιζομένων. ἀφ' ὧν μάλιστα κατίδοι τις ἄν, ὡς τι οὐδὲν βέβαιον ὁ περὶ θεῶν λόγος πῶς ἔχει. πολλὴ γὰρ ἡ ταραχή, καὶ ἄλλοι, ἄλλα νομίζουσι, Σκύθαι μὲν, ἀκινάκῃ θύοντες, καὶ Θρᾷκες, Ζαμόλξιδι, δραπέτῃ ἀνθρώπῳ ἐκ Σάμου ὡς αὐτοὺς ἥκοντι. Φρύγες δὲ, μήνῃ. καὶ Αἰθίοπες, ἡμέρᾳ. καὶ Κυλλήνιοι, Φάλητι. καὶ Ἀσσύριοι, περιστερᾷ. καὶ Πέρσαι, πυρί. καὶ Αἰγύπτιοι, ὕδατι, καί τοι μὲν ἅπασι κοινὸν τοῖς Αἰγυπτίοις τὸ ὕδωρ. ἰδίᾳ δὲ, Μεμφίταις μὲν, ὁ βοῦς θεός. Πηλουσιώταις δὲ, κρόμυον. καὶ ἄλλοις, ἶβις, ἢ κροκόδειλος. καὶ ἄλλοις, κυνοκέφαλος, ἢ αἴλουρος, ἢ πίθηκος. καὶ ἔτι κατὰ κώμας, τοῖς μὲν, ὁ δεξιὸς ὦμος θεός. τοῖς δὲ κατ' ἀντιπέρας οἰκοῦσιν, ἅτερος. καὶ ἄλλοις, κεφαλῆς ἡμίτομον. καὶ ἄλλοις, ποτήριον κεραμεοῦν, ἢ τρύβλιον. ταῦτα πῶς οὐ γέλως ἐστὶν ὦ καλὲ Τιμόκλεις; ΜΩ. οὐκ ἔλεγον ὦ θεοὶ, ταῦτα πάντα ἥξειν εἰς τοὐμφανὲς, καὶ ἀκριβῶς ἐξετασθήσεσθαι; ΖΕ. ἔλεγες ὦ Μῶμε, καὶ ἐπετίμας ὀρθῶς. καὶ ἔγωγε πειράσομαι ἐπανορθώσασθαι αὐτὰ, ἢν τὸν ἐν ποσὶ κίνδυνον διαφύγωμεν. ΤΙΜ. ἀλλ' ὦ θεοῖς ἐχθρὲ σὺ, τοὺς χρησμοὺς, καὶ προαγορεύσεις τῶν

ἐσομέ

ἐσομένων, τίνος ἕνεκ' ἂν εἴποις, ἢ θεῶν, καὶ τῆς
προνοίας τῆς ἐκείνων; Δα. σιώπησον ὦ
ἄριστε, περὶ τῶν χρησμῶν, ἐπεὶ ἐρήσομαί σε, τί
νος αὐτῶν μάλιστα μεμνῆσθαι ἀξιοῖς. ἆρ' ἐκεί-
νου, ὃν τῷ Λυδῷ ὁ Πύθιος ἔχρησεν; ὃς ἀκρι-
βῶς ἀμφήκης ἦν, καὶ διπρόσωπος, οἷοί εἰσι τῶν Ἑρ-
μῶν ἔνιοι, διττοὶ, καὶ ἀμφοτέρωθεν ὅμοιοι, καὶ
πρὸς ὁπότερον ἂν αὐτοῦ μέρος ἐπιστραφῇς. ἢ τί
μᾶλλον, ὁ Κροῖσος διαβὰς τὸν Ἅλυν, τὴν αὑτοῦ
ἀρχὴν, ἢ τὴν Κύρου καταλύσει. καίτοι οὐκ ὀλί-
γων ταλάντων ὁ Σαρδιανὸς ἐκεῖνος ὄλεθρος, τὸ
ἀμφιδέξιον τοῦτο ἔπος ἐπρίατο. Μω. αὐτά τοι
ὦ θεοὶ ἀνὴρ διεξέρχεται λέγων, ἃ ἐγὼ ἐδεδίειν
μάλιστα. ποῦ νῦν ὁ καλὸς ἡμῖν κιθαρῳδός;
ἀπολόγησαι αὐτῷ κατελθὼν πρὸς ταῦτα.
Ζ. σὺ ἡμᾶς ἐπισφάττεις ὦ Μῶμε, οὐκ ἐν και-
ρῷ νῦν ἐπιτιμῶν. Τιμο. ὅρα οἷα ποιεῖς ὦ ἀλι-
τήριε Δᾶμι, μονονουχὶ τὰ ἕδη αὐτὰ τῶν θεῶν
ἀνατρέπεις τῷ λόγῳ, καὶ βωμοὺς αὐτῶν. Δα.
οὐ πάντας ἔγωγε τοὺς βωμοὺς ὦ Τιμόκλεις. τί
γὰρ καὶ δεινὸν ἀπ' αὐτῶν γίνεται, εἰ θυμιαμά-
των, καὶ εὐωδίας μεστοί εἰσι; τοὺς δὲ ἐν Ταύροις
τῆς Ἀρτέμιδος, ἡδέως ἂν ἐπεῖδον, ἐκ βάθρων
ἐπὶ κεφαλὴν ἀνατετραμμένους, ἐφ' ὧν τοιαῦτα
ἡ παρθένος εὐωχουμένη ἔχαιρε. Ζ. του-

τί πόθεν ἡμῖν τὸ ἄμαχον κακὸν ἐπῆχει, ὡς δαιμόνων οὐδενὸς ἀνὴρ φείδεται, ἀλλ' ἐξ ἀμάξης παρρησιάζεται, καὶ μάρπτει ἑξείης, ὅς τ' αἴτιος, ὅστε καὶ οὐκί. Μω. καὶ μὴν ὀλίγους ἂν ὦ Ζεῦ, τοὺς ἀναιτίους εὕροις ἐν ἡμῖν. καί που τάχα προϊὼν ὁ ἄνθρωπος, ἅψεται καὶ τῶν κορυφαίων τινός. Τιμο. οὐδὲ βροντῶντος αὐτοῦ τοῦ Διὸς ἀκούεις ὦ θεομάχε Δᾶμι;

Δα. καὶ πῶς οὐ μέλλω βροντῆς ἀκούειν ὦ Τιμόκλεις; εἰ δὲ ὁ Ζεὺς ὁ βροντῶν ἐστι, σὺ ἂν ἄμεινον εἰδείης, ἐκεῖθέν ποθεν παρὰ τῶν θεῶν ἀφιγμένος. ἐπεὶ οἵ γε ἐκ Κρήτης ἥκοντες, ἄλλα ἡμῖν διηγοῦνται, τάφον τινὰ κεῖθι δείκνυσθαι, καὶ στήλην ἐφεστάναι, δηλοῦσαν ὡς οὐκέτι βροντήσειεν ἂν ὁ Ζεύς, τεθνεὼς πάλαι. Μω. τοῦτ' ἐγὼ πρὸ πολλοῦ ἠπιστάμην ἐροῦντα τὸν ἄνθρωπον. τί δ' οὖν ὦ Ζεῦ, ὠχρίακας ἡμῖν, καὶ συγκροτεῖς τοὺς ὀδόντας ὑπὸ τοῦ τρόμου; θαρρεῖν χρή, καὶ τῶν τοιούτων ἀνθρωπίσκων καταφρονεῖν. Ζ. τί λέγεις ὦ Μῶμε, καταφρονεῖν; οὐχ ὁρᾷς ὅσοι ἀκούουσι, καὶ ὡς συμπεπεισμένοι εἰσὶν ἤδη καθ' ἡμῶν, καὶ ἀπάγει αὐτοὺς ἀναδησάμενος τῶν ὤτων ὁ Δᾶμις; Μω. ἀλλὰ σὺ ὁπόταν ὦ Ζεῦ, θελήσῃς, σειρὴν χρυσείην καθεὶς, ἅπαντας αὐτοὺς αὐτῇ κεν γαίῃ ἐρύσαις

ύσαις, αὐτῇ τε θαλάσσῃ. Τιμο. εἰπέ μοι ὦ κατάρατε, πέπλευκας ἤδη ποτέ; Δά. καὶ πολλάκις ὦ Τιμόκλεις. Τιμο. οὐκοῦν ἔφερεν ὑμᾶς τότε ὁ ἄνεμος ἐμπίπτων τῇ ὀθόνῃ, καὶ ἐμπιπλὰς τὰ ἀκάτια, ἢ οἱ ἐρέττοντες; ἐκυβέρνα δὲ εἷς τις ἐφεστὼς, καὶ ἔσωζε τὴν ναῦν; Δά. καὶ μάλα. Τιμο. εἶτα ἡ ναῦς μὲν, οὐκ ἂν ἔπλει, μὴ κυβερνωμένη, τὸ δὲ ὅλον τοῦτο ἀκυβέρνητον οἴει, καὶ ἀνηγεμόνευτον φέρεσθαι; Δά. εὖ γε συνετῶς ταῦτα ὁ Τιμοκλῆς, καὶ ἰσχυρῷ τῷ παραδείγματι. ἀλλ' ὦ θεοφιλέστατε Τιμόκλεις, τὸν μὲν κυβερνήτην ἐκεῖνον εἶδες ἂν, ἀεὶ τὰ συμφέροντα ἐπινοοῦντα, καὶ πρὸ τοῦ καιροῦ παρασκευαζόμενον, καὶ προστάττοντα τοῖς ναύταις. ἀλυσιτελὲς δὲ, οὐδὲ ἄλογον οὐδὲν εἶχεν ἡ ναῦς, ὃ μὴ χρειῶδες ἦν αὐτοῖς. ὁ δὲ σὸς οὗτος κυβερνήτης, ὃν τῇ μεγάλῃ ταύτῃ νηῒ ἐφεστάναι ἀξιοῖς, καὶ οἱ συνναῦται αὐτοῦ, οὐδὲν εὐλόγως, οὐδὲ κατὰ τὴν ἀξίαν διατάττουσιν. ἀλλ' ὁ μὲν πρότονος, εἰ τύχοι, εἰς τὴν πρύμνην ἀποτέτακται. οἱ πόδες δὲ, ἐς τὴν πρῷραν ἀμφότεροι. καὶ χρυσαῖ μὲν αἱ ἄγκυραι ἐνίοτε. ὁ χηνίσκος δὲ, μολιβδοῦς. καὶ τὰ μὲν ὕφαλα, κατάγραφα. τὰ δὲ ἔξαλα τῆς νεὼς, ἄμορφα. καὶ αὐτῶν δὲ τῶν ναυτῶν ἴδοις ἂν τὸν μὲν, ἀργὸν, καὶ ἄτεχνον, καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄτολμον πρὸς τὰ ἔργα, διμοιρίτην, ἢ τριμοιρίτην. τὸν δέ, κατακολυμβῆσαί τε, ἄοκνον, καὶ ἐπὶ τὴν κεραίαν ἀναπηδῆσαι, ῥᾴδιον, καὶ εἰδότα τῶν χρησίμων ἕκαστα, μόνον τοῦτον ἀντλεῖν προστεταγμένον. τὰ δὲ αὐτά, καὶ ἐν τοῖς ἐπιβάταις μαστιγίαν μέν τινα, ἐν προεδρίᾳ, παρὰ τὸν κυβερνήτην καθήμενον, καὶ θεραπευόμενον. καὶ ἄλλον κίναιδον, ἢ πατραλοίαν, ἢ ἱερόσυλον, ὑπερτιμώμενον, καὶ τὰ ἄκρα τῆς νεὼς κατειληφότα. χαρίεντας δὲ πολλοὺς ἐν μυχῷ τοῦ σκάφους στενοχωρουμένους, καὶ ὑπὸ τῶν πρὸς ἀλήθειαν χειρόνων πατουμένους. ἐννόησον γοῦν ὅπως Σωκράτης μέν, καὶ Ἀριστείδης ἔπλευσε, καὶ Φωκίων, οὐδὲ τὰ ἄλφιτα διαρκῆ ἔχοντες, οὐδὲ ἀποτεῖναι τοὺς πόδας δυνάμενοι ἐπὶ γυμνῶν τῶν σανίδων παρὰ τὸν ἄντλον. ἐν ὅσοις δὲ ἀγαθοῖς Καλλίας, καὶ Μειδίας, καὶ Σαρδανάπαλος ἐντρυφῶντες, καὶ τῶν ὑπὲρ αὐτοὺς καταπτύοντες, τοιαῦτα ἐν τῇ νηΐ σου γίγνεται ὦ σοφώτατε Τιμόκλεις. διὰ τοῦτο, αἱ ναυαγίαι μυρίαι. εἰ δέ τις κυβερνήτης ἐφεστώς, ἑώρα, καὶ διέταττεν ἕκαστα, πρῶτον μὲν οὐκ ἂν ἠγνόησεν οἱ τινες οἱ χρηστοί, καὶ οἱ τινες οἱ φαῦλοι τῶν ἐμπλεόντων. ἔπειτα, ἑκάστῳ κατὰ τὴν ἀξίαν τὰ προσήκοντα ἀπένειμεν ἄν, χώραν τε τὴν ἀμείνω τοῖς ἀμεί-

σιν

ἐπ' αὐτὸν ἄνω. τὴν κάτω δὲ, τοῖς χείροσι. καὶ
ναύτας ἔστιν οὓς ἀμείνους, καὶ συμβούλους ἐ-
κέκτησεν ἄν. τῶν ναυτῶν ὁ μὲν πρόθυμος, ἢ
πρώρας ἐπιμελητὴς ἀπελέλειπτ' ἄν, ἢ τοίχαρ
χων, ἢ πάντως πρὸ τῶν ἄλλων. ὁ δὲ ὀκνηρὸς,
ῥάθυμος, ἐπαίετ' ἂν τῷ καλωδίῳ πεντάκις
ἡμέρας τὴν κεφαλήν. ὥστε σοι ὦ θαυμάσιε,
ἡ νεὼς εἰκὼν παράδειγμα, κινδυνεύει παρεῖναι
κείσθαι, κακοῦ τοῦ κυβερνήτου τετυχηκός.
Μῶ. τουτὶ μὲν ἤδη κατὰ ῥοῦν προχωρεῖ τῷ
Δάμιδι, καὶ πλησίστιος ἐπὶ τὴν νίκην φέρεται. Ζ.
εἰκότως ὦ Μῶμε, εἰκάζεις. ὁ δ' οὐδὲν ἰσχυρὸν ὁ Τι
μοκλῆς ἐπινοεῖ, ἀλλὰ τὰ κοινὰ ταῦτα, καὶ
καθ' ἡμέραν ἄλλα ἐπ' ἄλλοις ἀνατρεπόμενα
ἄντα ἐπαντλεῖ. Τιμο. οὐκοῦν ἐπεὶ
ἡ νεὼς σοι παράδειγμα οὐ πάνυ σοι ἰσχυρὸν
ἔδοξεν εἶναι, ἄκουσον δὴ ἣν ἱερὰν φασὶν ἄγκυραν,
ἣν οὐδεμιᾷ μηχανῇ ἀπορρήξεις. Ζ. τί ποτε
ἄρα καὶ ἐρεῖ; Τιμο. ἴδοις γὰρ εἰ ἀκολού
θως ταῦτα συλλογίζομαι, καὶ εἴ πῃ αὐτὰ δυνα
τόν σοι περιτρέψαι. εἰ γὰρ εἰσὶ βωμοὶ, εἰσὶ καὶ θε
οί. ἀλλὰ μὴν εἰσὶ βωμοὶ, εἰσὶν ἄρα καὶ θεοί. τί
πρὸς ταῦτα φής; Δά. ἢν πρότερον γελά
σω εἰς κόρον, ἀποκρινοῦμαί σοι. Τιμο. ἀλλ'
ἔοικας οὐδὲ παύσεσθαι γελῶν. εἰπὲ δὲ ὅ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μος ὅ,τι ἤ σοι γελάσιμον ἔδοξε τῶν εἰρημένων. ΔΑΜ. ὅτι οὐκ αἰσθάνῃ ἀπὸ λεπτῆς κρόκης ἐξαψάμενός σου τὴν ἄγκυραν, καὶ ταῦτα, ἱερὰν οὖσαν. τὸ γὰρ εἶναι θεούς, ἐκ τοῦ βωμοὺς εἶναι συλλογισάμενος, ἰσχυρὸν οἴει ποιήσασθαι ἀπ' αὐτῶν τὸν ὅρμον. ὥστε ἐπεὶ μηδὲν ἄλλο τούτου φὴς ἔχειν εἰπεῖν ἱερώτερον, ἀπίωμεν ἤδη. ΤΙΜΟ. ὁμολογεῖς τοίνυν ἡττῆσθαι προαπιών; ΔΑ. ναὶ ὦ Τιμόκλεις. σὺ γὰρ ὥσπερ οἱ ὑπό τινων βιαζόμενοι, ἐπὶ τοὺς βωμοὺς ἡμῖν καταπέφευγας. ὥστε νὴ τὴν ἄγκυραν τὴν ἱεράν, ἐθέλω σπείσασθαι ἤδη πρὸς σέ, ἐπ' αὐτῶν τε τῶν βωμῶν, ὡς μηκέτι περὶ τούτων ἐρίζοιμι. ΤΙΜΟ. εἰρωνεύῃ ταῦτα πρὸς ἐμὲ τυμβορύχε, καὶ μιαρὲ καὶ κατάπτυστε, καὶ μαστιγία, καὶ κάθαρμα. οὐ γὰρ ἴσμεν οὗ τινος μὲν πατρὸς εἶ, πῶς δὲ ἡ μήτηρ σου ἐπορνεύετο, ὡς καὶ τὸν ἀδελφὸν ἀπέκτεινας, καὶ μοιχεύεις, καὶ τὰ μειράκια διαφθείρεις λιχνότατε, καὶ ἀναισχυντότατε. μὴ φεῦγε δ' οὖν, ἕως καὶ παρ' ἐμοῦ πληγὰς λαβὼν ἀπέλθῃς. ἤδη γάρ σε τούτῳ τῷ ὀστράκῳ ἀποθραύσω, παμμίαρον ὄντα. Ζ. ὁ μέν, γελῶν ὦ θεοί, ἄπεισιν. ὁ δ' ἀκολουθεῖ λοιδορούμενος, οὐ φέρων κατατρυφῶντα τὸν Δᾶμιν. καὶ ἔοικε πατάξειν αὐτὸν τῷ κεράμῳ ἐς τὴν κεφαλήν. ἡμεῖς δέ, τί

ποι

ἰοῦ μὲν τῦ γύγις; Ερ. ὀρθῶς ἐκεῖνό μοι ὁ κωμ
ς εἴρηκεν εἶναι δοκεῖ, οὐδὲν πέπονθας δεινὸν, ἂν
ἱ προσποιῇ. τί γὰρ καὶ ὑπέρμεγα κακὸν, εἰ ὀλίγοι
θρωποι πεπεισμένοι ταῦτα, ἀπίασι; πολ-
οὶ γάρ εἰσιν οἱ τἀναντία γινώσκοντες,
λείους Ἑλλήνων. ὁ πολὺς λεὼς, καὶ ὁ σύρφαξ,
ίρβαροί τε πάντες. Ζ. ἀλλ' ὦ Ἑρμῆ, τὸ
η Δαρείου πάνυ καλῶς ἔχον ἐστίν, ὃ εἶπεν ἐπὶ
Ζωπύρου. ὥστε καὶ αὐτὸς ἐβουλόμην ἂν ἕνα
οὗτον ἔχειν δίον τὸν Δάμιν, σύμμαχον, ἢ μυ
κας μοι Βαβυλῶνας ὑπάρχειν.

## ΟΝΕΙΡΟΣ, Η ΑΛΕΚΤΡΥΩΝ.

### ΜΙΚΥΛΛΟΣ.

Ἀλλά σε ὦ κάκιστε ἀλεκτρυὼν, ὁ Ζεὺς αὐ
τὸς ἐπιτρίψειε, φθονερὸν οὕτω, καὶ ὀξύ-
φωνον ὄντα, ὅς με πλουτοῦντα, καὶ ἡδί-
ῳ ὀνείρῳ ξυνόντα, καὶ θαυμαστὴν εὐδαιμονίαν
δαιμονοῦντα, διάτορόν τι, καὶ γεγωνὸς ἀνα-
ήσας, ἐπήγειρας, ὡς μηδὲ νύκτωρ γοῦν τὴν
ολὺ σοῦ μιαρωτέραν πενίαν διαφύγοιμι.
ὰ μὴν εἰ γε χρὴ τεκμαίρεσθαι τῇ τε ἡσυχίᾳ,
ολλῇ ἔτι οὔσῃ, καὶ τῷ κρύει, μηδέπω με τὸ
θινὸν ὥσπερ εἴωθεν ἀποκναίοντι. γνώμων
ὗτος ἀψευδέστατός μοι, προσελαύνουσης
έρας, οὐδέπω μέσαι νύκτες εἰσίν. ὁ δὲ, ἄϋ

πνος οὗτος, ὥσπερ τὸ χρυσοῦν ἐκεῖνο κώδιον φυλάττων ἀφ' ἑσπέρας εὐθὺς ἤδη κέκραγεν, ἀλλ' οὔτι χαίρων γε. ἀμυνοῦμαι γὰρ εὐθύς σε, ἢν μόνον ἡμέρα γένηται, συντρίβων τῇ βακτηρίᾳ. νῦν γάρ μοι πράγματα παρέξεις, ἀναπηδῶν ἐν τῷ σκότῳ. Αλε. Μίκυλλε δέσποτα, ᾤμην τι χαριεῖσθαί σοι, φθάνων τῆς νυκτὸς, ὁπόσον δυναίμην, ὡς ἔχοις ὀρθρευόμενος διανύειν τὰ πολλὰ τῶν ἔργων. ἢν γοῦν πρὶν ἀνατεῖλαι ἥλιον μίαν κρηπῖδα ἐργάσαιο, προὔδου ἔσῃ τοῦτο ἐς τὰ ἄλφιτα πεπονηκώς. εἰ δέ σοι καθεύδειν ἥδιον, ἐγὼ μὲν ἡσυχάσομαί σοι, καὶ πολὺ ἀφωνότερος ἔσομαι τῶν ἰχθύων. σὺ δὲ ὅρα ὅπως μὴ ὄναρ πλουτῶν, λιμώττῃς ἀνεγρόμενος. Μί. ὦ Ζεῦ τεράστιε, καὶ Ἡράκλεις ἀλεξίκακε, τί τὸ κακὸν τουτό ἐστιν; ἀνθρωπίνως ἐλάλησεν ὁ ἀλεκτρυών. Αλε. εἶτά σοι τέρας εἶναι δοκεῖ τοῦτο, εἰ ὁμόφωνος ὑμῖν εἰμι; Μί. πῶς γὰρ οὐ τέρας; ἀλλ' ἀποτρέπετε ὦ θεοὶ τὸ δεινὸν ἀφ' ἡμῶν.

Αλε. σύ μοι δοκεῖς ὦ Μίκυλλε, κομιδῇ ἀπαίδευτος εἶναι, μηδὲ ἀνεγνωκέναι τὰ Ὁμήρου ποιήματα, ἐν οἷς ὁ τοῦ Ἀχιλλέως ἵππος ὁ Ξάνθος, μακρὰ χαίρειν φάσκων τῷ χρεμετίζειν, ἕστηκεν ἐν μέσῳ τῷ πολέμῳ διαλεγόμενος, ἔπη

ὅλα

ῥαψῳδῶν. οὐχ ὥσπερ ἐγὼ νῦν, ἄνευ τῶν μέτρων, ἀλλὰ καὶ ἐμαντεύετο ἐκεῖνος, καὶ τὰ μέλλοντα προεθέσπιζε, καὶ οὐδέν τι παράδοξον ἐδόκει ποιεῖν, οὐδὲ ὁ ἀκούων ἐπεκαλεῖτο, ὥσπερ σὺ τὸν ἀλεξίκακον, ἀποτρόπαιον ἡγούμενος τὸ ἄκουσμα. καίτοι τί ἂν ἐποίησας, εἴ σοι ἡ τῆς Ἀργοῦς τρόπις ἐλάλησεν, ὥσπερ ποτὲ ἡ φηγὸς ἐν Δωδώνῃ αὐτόφωνος ἐμαντεύσατο; ἢ εἰ βύρσας εἶδες ἑρπούσας, καὶ βοῶν κρέα μυκώμενα, ἡμίοπτα, καὶ ἑφθά, περιπεπαρμένα τοῖς ὀβελοῖς; ἐγὼ δέ, Ἑρμοῦ πάρεδρος ὤν, λαλιστάτου καὶ λογιωτάτου θεῶν ἁπάντων, καὶ τὰ ἄλλα ὁμοδίαιτος ὑμῖν, καὶ σύντροφος, οὐ χαλεπῶς ἔμελλον ἐκμαθήσεσθαι τὴν ἀνθρωπίνην φωνήν. εἰ δὲ ἐχεμυθήσειν ὑπόσχοιό μοι, οὐκ ἂν ὀκνήσαιμί σοι τὴν ἀληθεστέραν αἰτίαν εἰπεῖν τῆς πρὸς ὑμᾶς ὁμοφωνίας, καὶ ὅθεν ὑπάρχει μοι οὕτω λαλεῖν. Μι. ἀλλὰ μὴ ὄνειρος καὶ ταῦτά ἐστιν ἀλεκτρυών, οὕτω πρὸς ἐμὲ διαλεγόμενος; εἰπὲ δ᾽ οὖν πρὸς τοῦ Ἑρμοῦ ὦ βέλτιστε, ὅ, τι καὶ ἄλλο σοι τῆς φωνῆς αἴτιον. ὡς δὲ σιωπήσομαι, καὶ πρὸς οὐδένα ἐρῶ, τί σε χρὴ δεδιέναι; τίς γὰρ ἂν πιστεύσειέ μοι τι διηγουμένῳ ὡς ἀλεκτρυόνος αὐτὰ εἰπόντος ἀκηκοώς; Αλε. ἄκουε τοίνυν. παραδοξότα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν σοὶ λόγον εὖ οἶδ' ὅτι λέγω, ὦ Μίκυλλε. οὗτοσὶ γὰρ ὁ νῦν σοι ἀλεκτρυὼν φαινόμενος, οὐ πρὸ πολλοῦ ἄνθρωπος ἦν. Μί. ἤκουσά τι καὶ πάλαι τοιοῦτον ἀμέλει περὶ ὑμῶν, ὡς ἀλεκτρυών τις νεανίσκος, φίλος γένοιτο τῷ Ἄρει, καὶ συμπίνοι τῷ θεῷ, καὶ συγκωμάζοι, καὶ κοινωνοίη τῶν ἐρωτικῶν. ὁπότε γοῦν ἀπίοι παρὰ τὴν ἀφροδίτην μοιχεύσων ὁ Ἄρης, ἐπάγεσθαι καὶ τὸν ἀλεκτρυόνα. καὶ ἐπειδήπερ μάλιστα τὸν ἥλιον ὑφεωρᾶτο, μὴ κατιδὼν, ἐξείπῃ πρὸς τὸν Ἥφαιστον, ἔξω πρὸς ταῖς θύραις ἀπολείπειν ἀεὶ τὸν νεανίσκον, μηνύσοντα ὁπότε φαίνοι ὁ ἥλιος. εἶτα ποτὲ κατακοιμηθῆναι μὲν τὸν ἀλεκτρυόνα, καὶ προδοῦναι τὴν φρουρὰν ἄκοντα. τὸν δὲ ἥλιον λαθόντα, ἐπιστῆναι τῇ ἀφροδίτῃ, καὶ τῷ Ἄρει ἀφροντιστὶ ἀναπαυομένῳ, διὰ τὸ πιστεύειν τὸν ἀλεκτρυόνα μηνύσειν ἄν, εἴ τις ἐπίοι. καὶ οὕτω τὸν Ἥφαιστον παρὰ τοῦ ἡλίου μαθόντα, συλλαβεῖν αὐτοὺς, περιβαλόντα, καὶ σαγηνεύσαντα τοῖς δεσμοῖς, ἃ πάλαι μεμηχάνητο ἐπ' αὐτούς. ἀφεθέντα δὲ, ὡς ἀφείθη, τὸν Ἄρην ἀγανακτῆσαι κατὰ τοῦ ἀλεκτρυόνος, καὶ μεταβαλεῖν αὐτὸν εἰς τουτὶ τὸ ὄρνεον αὐτοῖς ὅπλοις, ὡς ἔτι τοῦ κράνους, τὸν λόφον ἔχειν ἐπὶ τῇ κεφαλῇ. διὰ τοῦτο ὑμᾶς ἀπολογουμένους τῷ Ἄρει ὅτ' οὐδὲν ὄφε-

λος,

λος, ἐπειδὰν αἴσθωνται ἀνατέλλοντα τὸν ἥλιον, πρὸ πολλοῦ βοᾶν, ἐπισημαινομένους τὴν ἀναβολὴν αὐτοῦ. Αλε. φασὶ μὲν καὶ ταῦτα ὦ Μίκυλλε. τὸ δ᾽ ἐμὸν, ἑτεροῖόν τι ἐγένετο, καὶ πάνυ ἔναγχος εἰς ἀλεκτρυόνα σοι μεταβέβηκα. Μί. πῶς; ἐθέλω γὰρ τοῦτο μάλιστα εἰδέναι. Αλε. οἶσθα ἄρα τὸν Πυθαγόραν; Μί. τὸν σοφιστὴν λέγεις; τὸν ἀλαζόνα; ὃς ἐνομοθέτει μήτε κρεῶν γεύεσθαι, μήτε κυάμους ἐσθίειν, ἥδιστον ἐμοὶ γοῦν ὄψον, ἐκτράπεζον, ἄπονον ἀποφαίνων. ἔτι δὲ καὶ πείθων τοὺς ἀνθρώπους ἐς πέντε ἔτη μὴ διαλέγεσθαι. Αλε. ἴσθι δῆτα κἀκεῖνο, ὡς πρὸ τοῦ Πυθαγόρου, Εὔφορβος γένοιτο. Μί. γόητά φασι, καὶ τερατουργὸν τὸν ἄνθρωπον ὦ ἀλεκτρυών. Αλε. ἐκεῖνος αὐτὸς ἐγώ σοι εἰμὶ ὁ Πυθαγόρας. ὥστε παῦσαι ὦ ἀγαθὲ, λοιδορούμενός μοι. καὶ ταῦτα, οὐκ εἰδὼς οἷός τις ἦν τὸν τρόπον. Μί. τοῦτ᾽ αὖ μακρῷ ἐκείνου τερατωδέστερον. ἀλεκτρυὼν φιλόσοφος; εἰπὲ δὲ ὅμως ὦ Μνησάρχου παῖ, ὅπως ἡμῖν, ἀντὶ μὲν ἀνθρώπου, ὄρνις, ἀντὶ δὲ Σαμίου, Ταναγραῖος ἀναπέφηνας. οὐ πιθανὰ γὰρ ταῦτα, οὐδὲ πάνυ πιστεῦσαι ῥᾴδια. ἐπεὶ καὶ δύο ἤδη μοι τετηρηκέναι δοκῶ πάνυ ἀλλότρια ἐν σοὶ τοῦ Πυθαγόρου. Αλε. τὰ ποῖα; Μί. ἓν μὲν, ὅτι λάλος εἶ, καὶ

κρακτικός. ὁ δὲ, σιωπᾶν μὲν ἐς πέντε ὅλα ἔτη κοίμαι παρῄνει. ἕτερον δὲ, καὶ παντελῶς παράνομον, οὐ γὰρ ἔχων ὅ,τι σοι παραβάλοιμι, κυάμους χθὲς ὡς οἶσθα ἔχων, ἧκον. καὶ σὺ οὐδὲν μελλήσας, ἀνέλεξας αὐτούς. ὥστε ἢ ἐψεῦσθαί σοι ἀνάγκη καὶ ἄλλο εἶναι, ἢ Πυθαγόρᾳ ὄντι, παρανενομηκέναι, καὶ τὸ ἴσον ἠσεβηκέναι, κυάμους φαγόντα, ὡς ἂν, εἰ τὴν κεφαλὴν τοῦ πατρὸς ἐδηδόκεις. Αλε. οὐ γὰρ οἶσθα ὦ Μίκυλλε, ἥ τις αἰτία τούτων, οὐδὲ τὰ πρόσφορα ἑκάστῳ βίῳ. ἐγὼ δὲ, τότε μὲν οὐκ ἤσθιον τῶν κυάμων. ἐφιλοσόφουν γάρ. νῦν δὲ, φάγοιμι ἄν. ὀρνιθικὴ γὰρ, καὶ οὐκ ἀπόρρητος ἡμῖν ἡ τροφή. ἀλλ' εἴ σοι φίλον, ἄκουε, πῶς ἐκ Πυθαγόρου τοῦτο νῦν εἰμι, καὶ ἐν ὅσοις πρότερον ἐβιότευσα βίοις, καὶ ἅτινα τῆς μεταβολῆς ἀπολέλαυκα ἑκάστης. Μί. λέγοις ἄν, ὡς ἔμοιγε ὑπερήδιστον ἂν τὸ ἄκουσμα γένοιτο. ὥστε εἴ τις αἵρεσιν προθείη, πότερον μᾶλλον ἐθέλω σοῦ ἀκούειν τὰ τοιαῦτα διεξιόντος, ἢ τὸν πανευδαίμονα ὄνειρον ἐκεῖνον αὖθις ὁρᾶν, τὸν μικρὸν ἔμπροσθεν, οὐκ οἶδα ὁπότερον ἂν ἑλοίμην. οὕτως ἀδελφὰ ἡγοῦμαι τὰ σὰ τοῖς ἡδίστοις φανεῖσι. καὶ ἐν ἴσῃ τιμῇ ὑμᾶς ἄγω, σέ τε, καὶ τὸ πολυτίμητον ἐνύπνιον. Αλε. ἔτι γὰρ σὺ ἀναπεμπάζῃ τὸν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

[ὄ]νειρον, ὅστις ποτὲ ὁ φανείς σοι ἦν, καί τινα [ὁρ]άματα μάταια διαφυλάττεις, κενὴν, καὶ [ὥ]ς ὁ ποιητικὸς λόγος, ἀμενηνήν τινα εὐδαι[μ]ονίαν τῇ μνήμῃ μεταδιώκων; Μί. ἀλλ' οὐ [δ]' ἐπιλήσομαί ποτε ὦ ἀλεκτρυών, εὖ ἴσθι τῆς [ὄ]ψεως ἐκείνης. οὕτω μοι πολὺ τὸ μέλι ἐν τοῖς [ὀ]φθαλμοῖς ὁ ὄνειρος καταλιπὼν, ᾤχετο, ὡς [μ]όγις ἀνοίγειν τὰ βλέφαρα ὑπ' αὐτοῦ, εἰς ὕ[π]νον αὖθις κατασπώμενα. οἷον τὸν ἐν τοῖς ὠσὶ [..] τὰ πτερὰ ἐργάζεται στρεφόμενα, τοιοῦτον γάρ[γ]αλον παρείχετό μοι τὰ ὁρώμενα. Αλε. [Ἡ]ράκλεις, δεινόν τινα φὴς τὸν ἔρωτα τοῦ ἐνυ[π]νίου, εἴγε πτηνὸς ὤν, ὥς φασι, καὶ ὅρον ἔχων [τῆ]ς πτήσεως τὸν ὕπνον, ὑπὲρ τὰ ἐσκαμμένα [ἤ]δη πηδᾷ, καὶ ἐνδιατρίβει ἀνεῳγόσι τοῖς ὀφ[θ]αλμοῖς, μελιχρὸς οὕτω, καὶ ἐναργὴς φαινό[μ]ενος. ἐθέλω γοῦν ἀκοῦσαι οἷός τίς ἐστιν, [ο]ὕτω σοι τριπόθητος ὤν. Μί. ἕτοιμος [λ]έγειν. ἡδὺ γοῦν τὸ μεμνῆσθαι, καὶ διεξιέ[ν]αι τι περὶ αὐτοῦ. σὺ δὲ πηνίκα ὦ Πυθαγό[ρ]α, διηγήσῃ τὰ περὶ τῶν μεταβολῶν;

Αλε. ἐπειδὰν σὺ ὦ Μίκυλλε, παύσῃ ὀνει[ρ]ώττων, καὶ ἀποψήσῃ ἀπὸ τῶν βλεφάρων τὸ [μ]έλι. τὸ νῦν δὲ, πρότερος εἰπὲ, ὡς μάθω, εἴτε διὰ τῶν ἐλεφαντίνων πυλῶν, εἴτε διὰ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν κερατίνων σοι ὁ ὄνειρος ἧκε πετόμενος.
Μί. οὐδὲ δι᾽ ἑτέρας τούτων ὦ Πυθαγόρα.
Ἀλε. καὶ μὴν Ὅμηρος δύο ταύτας μόνας λέγει.
Μί. ἔα χαίρειν τὸν λῆρον ἐκεῖνον ποιητὴν, οὐδὲν εἰδότα ὀνείρων πέρι. οἱ πένητες ἴσως ὄνειροι, διὰ τῶν τοιούτων ἐκφοιτῶσιν, οἵους ἐκεῖνος ἑώρα. οὐδὲ πάνυ σαφῶς, τυφλὸς αὐτὸς ὤν. ἐμοὶ δὲ διὰ χρυσῶν τινων πυλῶν ὁ ἥδιστος ἀφίκετο, χρυσοῦς καὶ αὐτὸς, καὶ χρυσᾶ πάντα περιβεβλημένος, καὶ πολὺ ἐπαγόμενος χρυσίον.
Ἀλε. παῦε ὦ Μίδα βέλτιστε, χρυσολογῶν. ἀτεχνῶς γὰρ ἐκ τῆς ἐκείνου σοι εὐχῆς τὸ ἐνύπνιον. καὶ μέταλλα ὅλα χρυσίου κεκομίσθαι μοι δοκεῖς.
Μί. πολὺ ὦ Πυθαγόρα, χρυσίον εἶδον, πολύ. πῶς οἴει, καλὸν, οἵαν τὴν αὐγὴν ἀπαστράπτον. τί ποτε ὁ Πίνδαρός φησι περὶ αὐτοῦ ἐπαινῶν, ἀνάμνησον γάρ με, εἴπερ οἶσθα, ὁπότε ὕδωρ ἄριστον εἰπὼν, εἶτα τὸ χρυσίον θαυμάζει, εὖ ποιῶν ἐν ἀρχῇ εὐθὺς τοῦ καλλίστου τῶν ᾀσμάτων ἁπάντων.
Ἀλε. μῶν ἐκεῖνο ζητεῖς, ἄριστον μὲν ὕδωρ, ὁ δὲ χρυσὸς, αἰθόμενον πῦρ ἅτε διαπρέπει νυκτὶ, μεγάνορος ἔξοχα πλούτου;
Μί. νὴ Δία αὐτὸ τοῦτο. ὥσπερ γὰρ τοὐμὸν ἐνύπνιον ἰδὼν ὁ Πίνδαρος, οὕτως ἐπαινεῖ τὸ χρυσίον. ὡς δὲ ἤδη μάθῃς οἷόν τι ἦν,

ἄκου-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κουστον ὦ σοφώτατε ἀλεκτρυών. ὅτι μὲν οὐκ οἰόσιτος ἦν χθὲς, οἶσθα. Εὐκράτης γάρ με ὁ πλούσιος ἐντυχὼν ἐν ἀγορᾷ, λουσάμενον ἥκειν ἐκέλευε τὴν ὥραν ἐπὶ τὸ δεῖπνον. ΑΛΕ. οἶδα πάνυ τοῦτο, πεινάσας παρ' ὅλην τὴν ἡμέραν, ἄχρι μοι βαθείας ἤδη ἑσπέρας ἧκες ὑποβεβρεγμένος, τοὺς πέντε ἐκείνους κυάμους κομίζων, οὐ πάνυ δαψιλὲς τὸ δεῖπνον ἀλεκτρυόνι ἀθλητῇ ποτε γενομένῳ, καὶ ὀλύμπια οὐκ ἀφανῶς ἠγωνισμένῳ. ΜΙ. ἐπεὶ δὲ δειπνήσας ἐπανῆλθον, ἐκάθευδον εὐθὺς, τοὺς κυάμους σοι παραβαλών. εἶτά μοι κατὰ τὸν Ὅμηρον, ἀμβροσίην διὰ νύκτα θεῖός τις ὡς ἀληθῶς ὄνειρος ἐπιστάς. ΑΛΕ. τὰ παρὰ τῷ Εὐκράτει πρότερον ὦ Μίκυλλε, διήγησαι, καὶ τὸ δεῖπνον, οἷον ἐγένετο, καὶ τὰ ἐν τῷ συμποσίῳ πάντα. κωλύει γὰρ οὐδὲν αὖθίς σε δειπνεῖν, ὥσπερ ὄνειρόν τινα τοῦ δείπνου ἐκείνου προσάγοντα, καὶ ἀναμηρυκώμενον τῇ μνήμῃ τὰ βεβρωμένα. ΜΙ. ὤμην ἐνοχλήσειν, καὶ ταῦτα διηγούμενος. ἐπεὶ δὲ σὺ προθυμῇ, καὶ δὴ λέγω. οὐ πρότερον ὦ Πυθαγόρα, παρὰ πλουσίῳ τινὶ δειπνήσας ἐν ἅπαντι τῷ βίῳ, τύχῃ τινὶ ἀγαθῇ ἐντυγχάνω χθὲς τῷ Εὐκράτει. καὶ ἐγὼ μὲν προσειπὼν αὐτὸν ὥσπερ εἰώθειν δεσπότην, ἀπηλλαττόμην,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὡς μὴ καταισχύναιμι αὐτὴν, ἐν πινιχρῷ τῷ
τρίβωνι συμπεριομαρτῶν. ὁ δὲ, Μικύλλε φησὶ,
θυγατρὸς τήμερον ἑστιῶ γενέθλια, καὶ παρεκά
λεσα τῶν φίλων μάλα πολλούς. ἐπεὶ δέ τι-
νά φασὶν αὐτῶν μαλακῶς ἔχοντα, οὐχ οἷόν τε
εἶναι ξυνδειπνεῖν μεθ' ἡμῶν, σὺ ἀντ' ἐκείνου ἧκε
λουσάμενος, ἢν μὴ ὅ γε κληθεὶς αὐτὸς, εἴπῃ ἀ
φίξεσθαι. ὡς νῦν γε ἀμφίβολός ἐστι. τοῦτ' ἀκού
σας ἐγὼ, προσκυνήσας, ἀπῄειν εὐχόμενος ἅ-
πασι θεοῖς ἠπίαλόν τινα, ἢ πλευρῖτιν, ἢ πο-
δάγραν ἐπιπέμψαι τῷ μαλακιζομένῳ ἐκεί-
νῳ, οὗ ἔφεδρος ἐγὼ, καὶ ἀντίδειπνος, καὶ διά-
δοχος ἐκεκλήμην. καὶ τὸ ἄχρι λουτροῦ, αἰῶνα μή
κιστον ἐτιθέμην, συνεχὲς ἐπισκοπῶν, ὁπόσά-
πουν τὸ στοιχεῖον εἴη, καὶ πηνίκα ἤδη λελοῦσθαι
δέοι. κἀπειδή ποτε ὁ καιρὸς ἀφίκετο, πρὸς τά
χος ἐμαυτὸν ἀπορρύψας, ἀπέρχομαι, κοσμί-
ως μάλα ἐσχηματισμένος, ἀναστρέψας τὸ
τριβώνιον, ὡς ἐπὶ τὸ καθαρωτέρου γένοιτο
ἡ ἀναβολή. καταλαμβάνω τε πρὸς ταῖς θύ-
ραις ἄλλους τε πολλοὺς, καὶ δὴ κἀκεῖνον, φο-
ράδην ὑπὸ τεττάρων κεκομισμένον, ὅ με ὑ-
πολειπεῖν ἔδει, τὸν νοσεῖν λεγόμενον. καὶ ἐδή
λου δὲ πονήρως ἔχων. ὑπέστενε γοῦν, καὶ ὑπέ
βηττε, καὶ ἐνεχρέμπτετο μύχιόν τι, καὶ δυσπρόσο
δον,

δην, ὠχρὸς ὢν ὅλος, καὶ διαδηκὼς, ἀμφὶ τὰ ἑξήκοντα ἔτη σχεδόν. ἐλέγετο δὲ φιλόσοφός τις εἶναι τῶν πρὸς τὰ μειράκια φλυαρούντων. ὁ γοῦν πώγων μάλα τραγικὸς ἦν, ἐς ὑπερβολὴν κουρεῶν. ὦ ἀπιομένου δὲ Ἀρχιβίου τοῦ ἰατροῦ, διότι οὕτως ἔχων ἀφίκετο, τὰ καθήκοντά ἔφη οὐ χρὴ προδιδόναι. ὦ ταῦτα, φιλόσοφον ἄνδρα, κἂν μυρίαι νόσοι ἐμποδὼν ἵστωνται. ἡγήσεται γὰρ Εὐκράτης ὑπερεωρᾶσθαι πρὸς ἡμῶν. οὐμενοῦν εἶπον ἐγὼ, ἀλλ' ἐπαινέσεταί σε, ἢν οἴκοι παρὰ σεαυτῷ μᾶλλον ἀποθανεῖν ἐθέλοις, ἢ παρὰ ἐν τῷ συμποσίῳ συναναχρεμψάμενος τὴν ψυχὴν μετὰ τοῦ φλέγματος. ἐκεῖνος μὲν οὖν ὑπὸ μεγαλοφροσύνης, οὐ προσεποιεῖτο ἀκηκοέναι τοῦ σκώμματος. ἐφίσταται δὲ μετὰ μικρὸν ὁ Εὐκράτης λελουμένος. καὶ ἰδὼν τὸν Θεσμόπολιν, οὕτω γὰρ ὁ φιλόσοφος ἐκαλεῖτο, διδάσκαλέ φησιν, εὖ μὲν ἐποίησας αὐτὸς ἥκων πρὸς ἡμᾶς. οὐ μεῖον δ' ἄν τι σοι ἐγένετο. καὶ ἀπόντι γὰρ, ἅπαντα ἑξῆς ἐπέσταλτο ἄν. ἢ ἅμα λέγων, εἰσῄει χεῖρας ὀρέγων αὐτῷ, ἐπερειδόμενος τοῖς οἰκέταις. ἐγὼ μὲν οὖν ἀπιέναι παρεσκευαζόμην. ὁ δὲ, ἐπιστραφεὶς, ὦ ἐπὶ πολὺ ἐνδιάσεσ, ἐπεί με πάνυ σκυθρωπὸν εἶδε, πάρειθι ἔφη καὶ σὺ ὦ Μίκυλλε, ὦ συνδείπνει μεθ'

ἡμῶν. τὸν υἱὸν γὰρ ἐγὼ κελεύσω ἐν τῇ γυναικωνίτιδι μετὰ τῆς μητρὸς ἑστιαθῆναι, ὡς σὺ χώραν ἔχῃς. εἰσῄειν τὸν μάτην λύκος χανὼν παρὰ μικρόν, αἰσχυνόμενος, ὅτι ἐδόκουν ἐξεληλακέναι τοῦ συμποσίου τὸ παιδίον τοῦ Εὐκράτους. κἀπειδὴ κατακλίνεσθαι καιρὸς ἦν, πρῶτον μὲν ἀράμενοι, ἀνέθεσαν τὸν Θεσμόπολιν, οὐκ ἀπραγμόνως νὴ Δία. πέντε οἶμαι νεανίσκοι εὐμεγέθεις, ὑπαυχένια ὑποβύσαντες αὐτοῦ πανταχόθεν, ὡς διαμένοι ἐν τῷ σχήματι, καὶ ἐπὶ πολὺ καρτερεῖν δύναιτο. εἶτα μηδενὸς ἀνεχομένου πλησίον κατακεῖσθαι αὐτῷ, ἐμὲ κατακλίνουσι φέροντες, ὡς ὁμοτράπεζοι εἴημεν. τοὐντεῦθεν ἐδειπνοῦμεν ὦ Πυθαγόρα, πολυόψον τι, καὶ ποικίλον δεῖπνον, ἐπὶ χρυσοῦ πολλοῦ, καὶ ἀργύρου. καὶ ἐκπώματα ἦν χρυσᾶ, καὶ διάκονοι ὡραῖοι, καὶ μουσουργοί, καὶ γελωτοποιοί. καὶ ὅλως, ἡδίστη τις ἦν ἡ διατριβή. πλὴν ἀλλὰ ἕν με ἐλύπει, οὐ μετρίως ὁ Θεσμόπολις ἐνοχλῶν, καὶ ἀρετήν τινα πρός με διεξιών, καὶ διδάσκων, ὡς αἱ δύο ἀποφάσεις, μίαν κατάφασιν ἀποτελοῦσι. καὶ ὡς εἰ ἡμέρα ἐστί, νὺξ οὐκ ἔστιν. ἐνίοτε δέ, καὶ κέρατα ἔφασκεν εἶναί μοι. καὶ τοιαῦτα πολλά, οὐδὲν δεομένῳ προσφιλοσοφῶν συνείρει, καὶ ὑπετέμνετο τὴν εὐφροσύνην, οὐκ ἐῶν ἀκούειν τῶν κιθαριζόντων,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν, ἢ ᾀδόντων. ἀτὰρ μὲν σοι ὦ ἀλεκτρυὼν, τὸ
δεῖπνον. Αλε. οὐχ ἥδιστον ὦ Μίκυλλε. καὶ μά
λιστα ἐπεὶ συνεκληρώθης τῷ λήρῳ ἐκείνῳ γέ
ροντι. Μι. ἄκουε δὴ καὶ τὸ ἐνύπνιον. ᾤμην γὰρ
τὸν Εὐκράτην αὐτὸν ἄπαιδα ὄντα, οὐκ οἶδ᾽ ὅ-
πως ἀποθνήσκειν, εἶτα προσκαλέσαντά με,
καὶ διαθήκας θέμενον, ἐν αἷς κληρονόμος ἦν ἁπάν
των ἐγὼ, μικρὸν ἐπισχόντα, ἀποθανεῖν. ἐμαυ
τὸν δὲ παρελθόντα ἐς τὴν οὐσίαν, τὸ μὲν χρυ
σίον, καὶ τὸ ἀργύειον, ἐξαντλεῖν, σκάφαις τισὶ
μεγάλαις, ἀέναόν τε καὶ πολὺ ἐπιρρέον. τὰ
δ᾽ ἄλλα, τὴν ἐσθῆτα, καὶ τραπέζας, καὶ ἐκπώ-
ματα, καὶ διακόνους, πάντα ἐμὰ ὡς τὸ εἰκὸς
εἶναι. εἶτα ἐξήλαυνον ἐπὶ λευκοῦ ζεύγους, ἐξυ-
πτιάζων, περίβλεπτος ἅπασι τοῖς ὁρῶσι καὶ
ἐπίφθονος. καὶ προέθεον πολλοὶ, καὶ παρίπ-
πευον, καὶ εἵποντο πλείους. ἐγὼ δὲ, τὴν ἐσθῆ-
τα τὴν ἐκείνου ἔχων, καὶ δακτυλίους βαρεῖς, ὅ-
σον ἑκκαίδεκα ἐξημμένους τῶν δακτύλων, ἐκέ
λευον ἑστίασίν τινα λαμπρὰν εὐτρεπισθῆναι
ἐς ὑποδοχὴν τῶν φίλων. οἱ δὲ, ὡς ἐν ὀνείρῳ εἰ-
κὸς, ἤδη παρῆσαν. καὶ τὸ δεῖπνον ἄρτι συνεκο
μίζετο, καὶ ὁ πότος συνεκροτεῖτο. ἐν τούτῳ
ὄντα με, καὶ φιλοτησίας προπίνοντα ἐν χρυ
σαῖς φιάλαις ἑκάστῳ τῶν παρόντων, ἤδη τοῦ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πλακοῦντας ἐκκομιζομένου, ἀναβοήσας ἀκαίρως, συνετάραξας μὲν ἡμῖν τὸ συμπόσιον, ἀνέτρεψας δὲ τὰς τραπέζας. τὸν δὲ πλοῦτον ἐκεῖνον διασκεδάσας, ὑπηνέμιον φέρεσθαι παρεσκεύασας. ἆρά σοι ἀλόγως ἀγανακτῆσαι κατὰ σοῦ δοκῶ, ὡς τελέσπερον ἂν ἡδέως ἐπιδὼν τὸν ὄνειρόν μοι γενόμενον; ΑΛΕ. οὕτω φιλόχρυσος, καὶ φιλόπλουτος ὦ Μίκυλλε, καὶ μόνον τοῦτο ἐξ ἁπάντων θαυμάζεις, καὶ ἡγῇ εὐδαιμονεῖν τὸ πολὺ κεκτῆσθαι χρυσίον; ΜΙ. οὐκ ἐγὼ μόνος ὦ Πυθαγόρα τοῦτο, ἀλλὰ καὶ σὺ αὐτὸς, ὁπότε Εὔφορβος ἦσθα, χρυσὸν καὶ ἄργυρον διημμένος τῶν βοστρύχων, διῄεις πολεμήσων τοῖς Ἀχαιοῖς. καὶ ἐν τῷ πολέμῳ ἔνθα σιδηροφορεῖν μᾶλλον ἢ χρυσοφορεῖν ἄμεινον ἦν. σὺ δὲ καὶ τότε ἠξίους χρυσῷ διαδεδεμένους τοὺς πλοκάμους ἔχων, διακινδυνεύειν. καί μοι δοκεῖ Ὅμηρος διὰ τοῦτο χαρίτεσιν ὁμοίας εἰπεῖν σου τὰς κόμας, ὅτι χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο. μακρῷ γὰρ ἀμείνους δηλαδὴ, καὶ ἐρασμιώτεραι ἐφαίνοντο, συναναπεπλεγμέναι τῷ χρυσίῳ, καὶ συναπολάμπουσαι μετ᾽ αὐτοῦ. καίτοι τὰ μὲν σὰ ὦ χρυσοκόμη μέτρια, εἰ Πάνθου υἱὸς ὢν, ἐτίμας τὸ χρυσίον. ὁ δὲ πάντων θεῶν πατὴρ καὶ ἀνδρῶν, ὁ Κρόνου καὶ Ῥέας, ὅς ποτε ἠράσθη τῆς Ἀργολικῆς ἐκείνης

ἐκείνης

ἐκείνης μείρακος, οὐκ ἔχων εἰς ὅ, τι ἐρασμιώτερον αὐτὸν μεταβάλοι, οὐδὲ ὅπως ἂν διαφθείρειε τοῦ Ἀκρισίου τὴν φρουράν, ἀκούεις ἤδη που ὡς χρυσίον ἐγένετο, καὶ ῥυεὶς διὰ τοῦ τέγους, συνῆν τῇ ἀγαπωμένῃ. ὥστε τί ἄν σοι τὸ ἐπὶ τούτῳ ἔτι λέγοιμι; ὅσας μὲν χρείας παρέχεται ὁ χρυσός. ὡς οἷς ἂν παρῇ, καλούς τε αὐτοὺς, καὶ σοφοὺς, καὶ ἰσχυροὺς ἀπεργάζεται, τιμὴν καὶ δόξαν συνάπτων. καὶ ἐξ ἀφανῶν, καὶ ἀδόξων, ἐνίοτε περιβλέπτους, καὶ ἀοιδίμους ἐν βραχεῖ τίθησι. τὸν γείτονα γοῦν μοι τὸν ὁμότεχνον οἶσθα τὸν Σίμωνα, οὐ πρὸ πολλοῦ δειπνήσαντα παρ' ἐμοὶ, ὅτε τὸ ἔτνος ἥψουν τοῖς Κρονίοις, δύο τόμους τοῦ ἀλλᾶντος ἐμβαλών. ΑΛΕ. οἶδα, τὸν σιμὸν, τὸν βραχὺν, ὃς τὸ κεραμεοῦν τρύβλιον ὑφελόμενος, ᾤχετο ὑπὸ μάλης ἔχων μετὰ τὸ δεῖπνον, ὃ μόνον ἡμῖν ὑπῆρχεν. εἶδον γὰρ αὐτὸς ὦ Μίκυλλε. ΜΙ. οὐκοῦν ἐκεῖνος αὐτὸ κλέψας, εἶτα ἐπωμόσατο θεοὺς τοσούτους. ἀλλὰ τί οὐκ ἐμήνυες, καὶ ἐβόας τότε ὦ ἀλεκτρυὼν, λῃζομένους ἡμᾶς ὁρῶν; ΑΛΕ. ἐκόκκυζον, ὃ μόνον μοι τότε δυνατὸν ἦν. τί δ' οὖν ὁ Σίμων; ἐῴκεις γάρ τι περὶ αὐτοῦ ἐρεῖν. ΜΙ. ἀνεψιὸς ἦν αὐτῷ πλούσιος ἐς ὑπερβολὴν, Δριμύλος τοὔνομα. οὗτος ζῶν μὲν, οὐδὲ ὀβολὸν ἔδωκε τῷ

Σίμωνι. πῶς γὰρ, ὃς οὐδὲ αὐτὸς ἥπτετο τῶν χρη
μάτων; ἐπεὶ δὲ ἀπέθανε πρώην, ἅπαντα ἐ
κεῖνα κατὰ τοὺς νόμους, Σίμων ὁ τὰ ῥάκια τὰ
πιναρὰ, ὁ τὸ τρύβλιον περιλείχων, ἄσμενος
διελαύνει, ἁλουργῆ, καὶ ὑσγινοβαφῆ ἀμπεχό
μενος, οἰκέτας, καὶ ζεύγη, καὶ χρυσᾶ ἐκπώμα
τα, καὶ ἐλεφαντόποδας τραπέζας ἔχων, ὑφ'
ἁπάντων προσκυνούμενος, οὐδὲ προσβλέπων
ἔτι ἡμᾶς. ἔναγχος γοῦν ἐγὼ μὲν ἰδὼν προσιόν
τα, χαῖρε ἔφην ὦ Σίμων. ὁ δὲ, ἀγανακτή
σας, εἴπατε ἔφη τῷ πτωχῷ, μὴ κατασμικρύ
νειν μου τοὔνομα, οὐ γὰρ Σίμων, ἀλλὰ Σιμωνίδης
ὀνομάζομαι. τὸ δὲ μέγιστον, ὅτι καὶ ἐρῶσιν αὐ
τοῦ καὶ αἱ γυναῖκες. ὁ δὲ, θρύπτεται καὶ πρὸς
ταύτας, καὶ ὑπερορᾷ. καὶ τὰς μὲν, προσίεται,
καὶ ἵλεώς ἐστιν. αἱ δὲ, ἀπειλοῦσιν ἀνελεῖν αὐ
τὰς, ἀμελούμεναι. ὁρᾷς ὅσων ἀγαθῶν ὁ χρυ
σὸς αἴτιος, εἴγε καὶ μεταποιεῖ τοὺς ἀμορφοτέ
ρους, καὶ ἐρασμίους ἀπεργάζεται, ὥσπερ ὁ ποιη
τικὸς ἐκεῖνος κεστός. ἀκούεις δὲ καὶ τῶν ποιη
τῶν λεγόντων, ὦ χρυσὲ δεξίωμα κάλλιστον
κτέρας. καὶ, χρυσὸς γάρ ἐστιν, ὃς βροτῶν ἔχει κρά
τη. ἀλλὰ τί μεταξὺ ἐγέλασας ὦ ἀλεκτρυών;
ΑΛΕ. ὅτι ὑπ' ἀγνοίας ὦ Μίκυλλε, καὶ σὺ τὰ
ὅμοια τοῖς πολλοῖς ἐξηπάτησαι περὶ τῶν πλου

σίων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρίων. οἱ δ' εὖ ἴσθι πολὺ ἀθλιώτερον ὑμῶν
τὸν βίον βιοῦσι. λέγω δέ σοι, καὶ πένης, καὶ πλού
σιος πολλάκις γενόμενος, καὶ ἅπαντος βίου πε
πειραμένος, μετὰ μικρὸν δὲ καὶ αὐτὸς εἴσῃ ἕκασ
τα. Μί. νὴ Δία, καιρὸς γοῦν ἤδη καὶ σὲ εἰ
πεῖν ὅπως ἤλλαξας, καὶ ἃ σύνοισθα τῷ βίῳ ἑκά
στῳ. Αλε. ἄκουε. τοσοῦτόν γε προειδὼς, μη
δένα με σοῦ εὐδαιμονέστερον βιοῦντα ἑωρακέ
ναι. Μί. ἐμοῦ ὦ ἀλεκτρυών, οὕτω σοι γένοιτο.
προάγεις γάρ με λοιδορεῖσθαί σοι. ἀλλὰ εἰπὲ
ἀπὸ τοῦ Εὐφόρβου ἀρξάμενος, ὅπως ἐς Πυθαγόραν
μετεβλήθης. εἶτα ἑξῆς ἄχρι τοῦ ἀλεκτρυόνος.
εἰκὸς γάρ σε ποικίλα καὶ ἰδεῖν, καὶ παθεῖν, ἐν
πολυειδέσι τοῖς βίοις. Αλε. ὡς μὲν δὴ
ἐξ Ἀπόλλωνος τὸ πρῶτον ἡ ψυχή μοι καταπτα
μένη εἰς τὴν γῆν ἐνέδυ ἐς ἀνθρώπου σῶμα, ἥν
τινα τὴν καταδίκην ἐκτελοῦσα, μακρὸν ἂν εἴη
λέγειν. ἄλλως τε, οὔτε ὅσιον οὔτε ἐμοὶ εἰπεῖν,
οὔτε σοὶ ἀκούειν τὰ τοιαῦτα. ἐπεὶ δὲ Εὔφορ
βος ἐγενόμην. Μί. ἐγὼ δὲ πρό γε τούτου
ὦ θαυμάσιε, τίς ἦν; τοῦτό μοι πρότερον εἰπὲ, εἰ
κἀγὼ ἐπήλλαττον ὥσπερ σύ. Αλ. καὶ μάλα.
Μί. τίς οὖν ἦν, εἴ τι ἔχεις εἰπεῖν; ἐθέλω γὰρ
τοῦτο εἰδέναι. Αλε. σὺ μύρμηξ ἰνδικὸς, τῶν
τὸ χρυσίον ἀνορυττόντων. Μί. εἶτα ὤκνουν

ὁ κακοδαίμων ὀλίγου τῶν ψηφισμάτων ἥκειν ἐς τὸν βίον, ἐξ ἐκείνου ἐπισιτισάμενος; ἀλλὰ καὶ τί μετὰ τοῦτο ἔσομαι εἰπέ. εἰκὸς γὰρ εἰδέναι σε. εἰ γάρ τι ἀγαθὸν εἴη, ἀπάγξομαι ἤδη αἰαστὰς ἀπὸ τοῦ παττάλου, ἐφ᾽ οὗ σὺ ἕστηκας. Ἀλε. οὐκ ἂν μάθοις τοῦτο οὐδεμιᾷ μηχανῇ. πλὴν ἀλλὰ ἐπεί τοι Εὔφορβος ἐγενόμην, ἐπάνειμι γὰρ ἐπ᾽ ἐκεῖνα, ἐμαχόμην ἐν Ἰλίῳ. καὶ ἀποθανὼν ὑπὸ Μενελάῳ, χρόνῳ ὕστερον ἐς Πυθαγόραν ἧκον. τέως δὲ περιέμενον ἄοικος ἑστὼς, ἄχρι δὴ ὁ Μνήσαρχος ἐξεργάσηταί μοι τὸν οἶκον. Μί. ἄσιτος ὢν ὦ τᾶν, καὶ ἄποτος; Ἀλε. καὶ μάλα. οὐδὲ γὰρ ἔδει τούτων, ἢ μόνῳ τῷ σώματι. Μί. οὐκοῦν τὰ ἐν Ἰλίῳ πρότερόν μοι εἰπέ. τοιαῦτα ἦν οἷά φησιν Ὅμηρος γενέσθαι αὐτά; Ἀλε. πόθεν ἐκεῖνος ἠπίστατο ὦ Μίκυλλε; ὃς γιγνομένων ἐκείνων, κάμηλος ἐν Βάκτροις ἦν. ἐγὼ δὲ τοσοῦτόν σοι φημὶ ὑπέρφυες, μὴ δὲ γενέσθαι τότε μήτε τὸν Αἴαντα οὕτω μέγαν, μήτε τὴν Ἑλένην αὐτὴν οὕτω καλὴν, ὡς οἴονται. εἶδον γὰρ λευκὴν μέν τινα, καὶ ἐπιμήκη τὸν τράχηλον, ὡς εἰκάζειν κύκνου θυγατέρα εἶναι. τἆλλα δὲ, πάνυ πρεσβῦτιν, ἡλικιῶτιν σχεδὸν τῆς Ἑκάβης. ἥν γε Θησεὺς πρῶτον ἁρπάσας, ἐν Ἀφίδναις εἶχε, κατὰ τὸν Ἡρα-

κλέα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μελέα γενόμενος. ὁ δὲ Ἡρακλῆς, πρότερον εἷλε
Τροίαν κατὰ τοὺς πατέρας ἡμῶν, τοὺς τότε μά
λιστα. διηγεῖτο γάρ μοι ὁ Πάνθους ταῦτα, κομι
δῆ μειράκιον ὢν, ἑωρακέναι λέγων τὸν Ἡρα-
κλέα. ΜΙ. τί δὲ, ὁ Ἀχιλλεὺς τοιοῦτος ἦν
ἄριστος τὰ πάντα, ἢ μῦθος ἄλλως καὶ ταῦτα;
ΑΛΕ. ἐκείνῳ μὲν οὐδὲ συνηνέχθην ὦ Μίκυλ
λε. οὐδ᾽ ἂν ἔχοιμί σοι οὕτως ἀκριβῶς τὰ πα
ρὰ τοῖς Ἀχαιοῖς λέγειν. πόθεν γὰρ, πολέμιος ὤν;
τὸν μέντοι ἑταῖρον αὐτοῦ τὸν Πάτροκλον, οὐ χα
λεπῶς ἀπέκτεινα, διελάσας τῷ δόρατι.
ΜΙ. εἶτά σε ὁ Μενέλαος μακρῷ εὐχερέστερον.
ἀλλὰ ταῦτα μὲν, ἱκανῶς. τὰ Πυθαγόρου δὲ,
ἤδη λέγε. ΑΛΕ. τὸ μὲν ὅλον ὦ Μίκυλλε,
σοφιστὴς ἄνθρωπος ἦν. χρὴ γὰρ οἶμαι τἀληθῆ
λέγειν. ἄλλως δὲ, οὐκ ἀπαίδευτος, οὐδ᾽ ἀμε
λέτητος τῶν καλλίστων μαθημάτων. ἀπεδήμη
σα δὲ εἰς Αἴγυπτον, ὡς συγγενοίμην τοῖς προ
φήταις ἐπὶ σοφίᾳ. καὶ ἐς τὰ ἄδυτα κατελ-
θὼν, ἐξέμαθον τὰς βίβλους τὰς Ὥρου, καὶ Ἴσι
δος. καὶ αὖθις εἰς Ἰταλίαν ἐκπλεύσας, οὕτω
διέθηκα τοὺς κατ᾽ ἐκεῖνα Ἕλληνας, ὥστε θεόν
ἡγεῖσθαί με. ΜΙ. ἤκουσα ταῦτα, καὶ ὡς δόξειας
ἀναβεβιωκέναι ἀποθανὼν, καὶ ὡς χρυσοῦν τὸν
μηρὸν ἐπιδείξαιό ποτε αὐτοῖς. ἐκεῖνο δέ μοι εἰ.

πέ, τί σοι ἐπῆλθε νόμον ποιήσασθαι μήτε κρε
ῶν, μήτε κυάμων ἐσθίειν; Αλε. μὴ ἀνάκρι
νε τὰ τοιαῦτα ὦ Μίκυλλε. Μί. διὰ τί ὦ
ἀλεκτρυών; Αλε. ὅτι αἰσχύνομαι λέγειν
πρὸς σὲ τὴν ἀλήθειαν ὑπὲρ αὐτῶν. Μί. καὶ
μὴν οὐδὲν ὀκνεῖν ἐχρῆν λέγειν πρὸς ἄνδρα σύνοι
κον, καὶ φίλον. δεσπότην γὰρ οὐκ ἂν εἴποιμι ἔ
τι. Αλε. οὐδὲν ὑγιὲς, οὐδὲ σοφὸν ἦν. ἀλλ᾽ ἑώ
ρων ὅτι εἰ μὲν τὰ συνήθη, καὶ ταὐτὰ τοῖς πλ
λοῖς νομίζοιμι, ἥκιστα ἐπισπάσομαι τοὺς ἀνθρώ
πους ἐς τὸ θαῦμα. ὅσῳ δὲ ἂν ξενίζοιμι, τοσού
τῳ καινότερος ᾤμην αὐτοῖς ἔσεσθαι. διὰ τοῦτο
καινοποιεῖν εἱλόμην, ἀπόρρητον ποιησάμενος
τὴν αἰτίαν. ὡς εἰκάζοντες ἄλλοι ἄλλως, ἅ
παντες ἐκπλήττωνται, καθάπερ ἐν τοῖς ἀσαφέ
σι τῶν χρησμῶν. Μί. ὁρᾷς; καταγελᾷς μου
καὶ σὺ ἐν τῷ μέρει τοσοῦτον, ὅσον Κροτωνιατῶν,
καὶ Μεταποντίων, καὶ Ταραντίνων, καὶ τῶν ἄλ
λων ἀφώνων σοι ἑπομένων, καὶ προσκυνούντων
τὰ ἴχνη, ἃ σὺ πατῶν ἀπολιμπάνοις. ἀποδυ
σάμενος δὲ τὸν Πυθαγόραν, τίνα μετημφιάσω
μετ᾽ αὐτόν; Αλε. Ασπασίαν τὴν ἐκ Μι
λήτου ἑταίραν. Μί. φεῦ τοῦ λόγου. καὶ γυνὴ γὰρ
ἐγένετο ἐν τοῖς ἄλλοις, ὁ Πυθαγόρας; καὶ ἦν πο
τε χρόνος, ὅτε καὶ σὺ ᾠοτόκεις ὦ ἀλεκτρυόνων

γεννα

γενναιότατε, καὶ συνῆσθα Περικλεῖ, Ἀσπασία οὖσα; καὶ ἐκύεις ἀπ' αὐτοῦ, καὶ ἔρια ἔξαινες, καὶ κρόκην κατῆγες, καὶ ἐγυναικίζου ἐς τὸ ἑταιρικόν; ΑΛΕ. πάντα ταῦτα ἐποίουν. οὐ μόνος, ἀλλὰ καὶ Τειρεσίας πρὸ ἐμοῦ, καὶ ὁ Ἐλάτου παῖς ὁ Καινεύς. ὥστε ὁπόσα ἂν ἀποσκώψῃς εἰς ἐμέ, καὶ εἰς ἐκείνους ἀποσκώψας ἔσῃ. ΜΙ. τί οὖν, πότερος ὁ βίος ἡδίων σοι ἦν, ὅτε ἀνὴρ ἦς, ἢ ὅτε σε ὁ Περικλῆς ὤπυεν; ΑΛΕ. οἶδας οἷον τοῦτο ἠρώτησας, οὐδὲ τῷ Τειρεσίᾳ συνενεγκοῦσαν τὴν ἀπόκρισιν; ΜΙ. ἀλλὰ κἂν σὺ μὴ εἴπῃς, ἱκανῶς ὁ Εὐριπίδης διέκρινε τὸ τοιοῦτον, εἰπὼν, ὡς τρὶς ἂν θέλοι παρ' ἀσπίδα στῆναι, ἢ ἅπαξ τεκεῖν. ΑΛΕ. καὶ μὴν ἀναμνήσω σε ὦ Μίκυλλε, οὐκ εἰς μακρὰν ὠδίνουσαν. ἔσῃ γάρ ποτε γυνὴ καὶ σὺ ἐν πολλῇ τῇ περιόδῳ πολλάκις. ΜΙ. οὐκ ἀπάγξῃ ὦ ἀλεκτρυών, ἅπαντας οἰόμενος Μιλησίους, ἢ Σαμίους εἶναι; σὲ γοῦν φασι, καὶ Πυθαγόραν ὄντα τὴν ὥραν λαμπρὸν πολλάκις, Ἀσπασίαν γενέσθαι τῷ τυράννῳ. τίς δὴ μετὰ τὴν Ἀσπασίαν ἀνὴρ, ἢ γυνὴ αὖθις ἀνεφάνης; ΑΛΕ. ὁ κυνικὸς Κράτης. ΜΙ. ὦ Διοσκόρω τῆς ἀνομοιότητος, ἐξ ἑταίρας, φιλόσοφος; ΑΛΕ. εἶτα βασιλεύς, εἶτα πένης, καὶ μετ' ὀλίγον, σατράπης, εἶτα ἵππος, καὶ κολοιός, καὶ βάτρα-

χος, καὶ ἄλλα μυρία. μακρὸν δ' ἂν γένοιτο καταριθμήσασθαι ἕκαστα. τὰ τελευταῖα δὲ, ἀλεκτρυὼν πολλάκις. ἥσθην γὰρ τῷ βίῳ, καὶ παρὰ πολλοῖς ἄλλοις δουλεύσας βασιλεῦσι, καὶ πένησι, καὶ πλουσίοις. τὰ τελευταῖα, καὶ σοὶ νῦν σύνειμι, καταγελῶν ὁσημέραι σου ποτνιωμένου, καὶ οἰμώζοντος ἐπὶ τῇ πενίᾳ, καὶ τοὺς πλουσίους θαυμάζοντος ὑπ' ἀγνοίας τῶν ἐκείνοις προσόντων κακῶν. εἰ γοῦν ἤδεις τὰς φροντίδας αὐτῶν, ἃς ἔχουσιν, ἐγέλασας ἂν ἐπὶ σαυτῷ πρῶτον οἰηθέντι ὑπερευδαιμονεῖν ἀεὶ τὸν πλούσιον.

Μι. οὐκοῦν ὦ Πυθαγόρα, ἢ ὅ,τι μάλιστα χαίρεις καλούμενος, ὡς μὴ ἐπιταράττοιμι τὸν λόγον, ἄλλοτε ἄλλον καλῶν. Αλε. διοίσει μὲν οὐδέν, ἤν τε Εὔφορβον, ἤν τε Πυθαγόραν, ἤν τε Ἀσπασίαν καλῇς, ἢ Κράτητα. πάντα γὰρ ἐγὼ ταῦτά εἰμι. πλὴν τὸ νῦν ὁρώμενον τοῦτο, ἀλεκτρυόνα ὀνομάζων, ἄμεινον ἂν ποιοῖς, ὡς μὴ ἀτιμάζοις εὐτελὲς εἶναι δοκοῦν τὸ ὄρνεον, καὶ ταῦτα, τοσαύτας ἐν αὐτῷ ψυχὰς ἔχον. Μι. οὐκοῦν ὦ ἀλεκτρυών, ἐπειδὴ ἁπάντων σχεδὸν ἤδη τῶν βίων ἐπειράθης, καὶ πάντα οἶσθα, λέγοις ἂν ἤδη σαφῶς, ἰδίᾳ μὲν, τὰ τῶν πλουσίων, ὅπως βιοῦσιν. ἰδίᾳ δὲ, τὰ πτωχικά, ὡς μάθω εἰ ἀληθῆ ταῦτα φής, εὐδαιμονέστερον ἀποφαίνων με τῶν πλουσίων.

Αλε

λλε. ἰδοὺ δὲ οὕτως ἐπίσκεψαι ὦ Μίκυλλε. σοὶ μὲν οὔτε πολέμου πολὺς λόγος, ἢν λέγηται ὡς οἱ πολέμιοι ἐπελαύνουσιν, οὐδὲ φροντίζεις μὴ τὸν ἀγρὸν τέμωσιν ἐμβαλόντες, ἢ τὸν παράδεισον ξυμπατήσωσιν, ἢ τὰς ἀμπέλους δῃώσωσιν, ἀλλὰ τῆς σάλπιγγος ἀκούων μόνον, εἴπερ ἄρα, περιβλέπεις τὸ κατὰ σαυτὸν οἷ τραπόμενον χρὴ σωθῆναι, καὶ τὸν κίνδυνον διαφυγεῖν. οἱ δ᾽ εὐλαβοῦνται μὲν καὶ ἀμφ᾽ αὑτοῖς, ἀνιῶνται δὲ, ὁρῶντες ἀπὸ τῶν τειχῶν ἀγόμενα καὶ φερόμενα ὅσα εἶχον ἐν τοῖς ἀγροῖς. καὶ ἤν τε εἰσφέρειν δέῃ, μόνοι καλοῦνται. ἤν τε ἐπεξιέναι, προκινδυνεύουσι στρατηγοῦντες, ἢ ἱππαρχοῦντες. σὺ δὲ οἰσυΐνην ἀσπίδα ἔχων, εὐσταλὴς, καὶ κοῦφος, εἰς σωτηρίαν ἕτοιμος ἑστιᾶσθαι τὰ ἐπινίκια, ἐπειδὰν θύῃ ὁ στρατηγὸς νενικηκώς. ἐν εἰρήνῃ τε αὖ, σὺ μὲν τοῦ δήμου ὤν, ἀναβὰς εἰς ἐκκλησίαν, τυραννεῖς τῶν πλουσίων. οἱ δὲ, φρίττουσι, καὶ ὑποπτήσσουσι, καὶ διανομαῖς ἱλάσκονταί σε. λουτρὰ μὲν γὰρ ὡς ἔχοις καὶ ἀγῶνας καὶ θεάματα καὶ τἆλλα διαρκῆ, ἅπαντα ἐκεῖνοι πονοῦσι. σὺ δὲ ἐξεταστὴς καὶ δοκιμαστὴς πικρὸς ὥσπερ δεσπότης. οὐδὲ λόγου μεταδιδοὺς ἐνίοτε. κἂν σοι δοκῇ, καταχαλάζησας αὐτῶν ἀφθόνους τοὺς λίθους, ἢ τὰς οὐσίας αὐτῶν ἐδήμευσας. οὔτε δὲ συκο-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φαύλην λέξας αὐτὸς, οὔτε λῃστὴν, μὴ ὑφέληταί σου χρυσίον, ὑπορβὰς τὸ θριγκίον, ἢ ὀρύξας τὸν τοῖχον. οὔτε πράγματα ἔχεις λογιζόμενος, ἢ ἀπαιτῶν, ἢ τοῖς καταράτοις οἰκονόμοις διαπυκτεύων, καὶ πρὸς τὰς φροντίδας λογιζόμενος. ἀλλὰ κρηπῖδα συντελέσας, ἑπτὰ ὀβολοὺς τὸν μισθὸν ἔχων, ἐπαναστὰς περὶ δείλην ὀψίαν λουσάμενος ἢν δοκῇ, σαπέρδην τινὰ, ἢ μαινίδας, ἢ κρομμύων κεφαλίδας ὀλίγας πριάμενος, εὐφραίνεις σαυτὸν, ᾄδων τὰ πολλὰ, καὶ τῇ βελτίστῃ πενίᾳ προσφιλοσοφῶν. ὥστε διὰ ταῦτα, ὑγιαίνεις τε, καὶ ἔῤῥωσαι τὸ σῶμα, καὶ διακαρτερεῖς πρὸς τὸ κρύος. οἱ πόνοι γάρ σε παραθήγοντες, οὐκ εὐκαταφρόνητον ἀνταγωνιστὴν ἀποφαίνουσι πρὸς τὰ δοκοῦντα τοῖς ἄλλοις ἄμαχα εἶναι. ὥστε οὐδέν σοι τῶν χαλεπῶν τούτων νοσημάτων ἐπιβουλεύει. ἀλλ' ἤν ποτε κοῦφος πυρετὸς ἐπιλάβηται, πρὸς ὀλίγον ὑπηρετήσας αὐτῷ, ἀνεπήδησας εὐθὺς, ἀποσεισάμενος τὴν ἀσιτίαν. ὁ δὲ, φεύγει αὐτίκα φοβηθείς σε, ψυχροῦ τε ὁρῶν ἐμφορούμενον, ἢ μακρὰν οἰμώζειν λέγοντα ταῖς ἰατρικαῖς περιόδοις. οἱ δὲ, ὑπ' ἀκρασίας ἄθλιοι, τί τῶν κακῶν οὐκ ἔχουσι, ποδάγρας, καὶ φθόας, καὶ περιπνευμονίας, καὶ ὑδέρους; ταῦτα γὰρ τῶν πολ

πτερῶν ἐκείνων διὰ πάντων ἀπόγονα. τοιγαροῦν οἱ
πολλοὶ αὐτῶν, ὥσπερ ὁ Ἴκαρος, ἐπὶ πολὺ ἄραντες
αὑτοὺς, καὶ πλησιάσαντες τῷ ἡλίῳ, οὐκ εἰδό-
τες ὅτι κηρῷ ἥρμοστο αὐτοῖς ἡ πτέρωσις, μέγαν
ἐνίοτε τὸν πάταγον ἐποίησαν, ἐς κεφαλὴν ἐς τὸ πέ-
λαγος ἐμπεσόντες. ὅσοι δὲ κατὰ τὸν Δαίδαλον
μὴ πάνυ μετέωρα, μηδὲ ὑψηλὰ ἐφρόνησαν,
ἀλλὰ πρόσγεια, ὡς νοτίζεσθαι ἐνίοτε τῇ ἅλμῃ
τὸν κηρὸν, ὡς τὸ πολὺ οὗτοι ἀσφαλῶς διέπτη-
σαν. Μι. ἐπιεικεῖς τινας, καὶ συνετοὺς λέ-
γεις. Αλε. τῶν μέν γε ἄλλων ὦ Μίκυλ-
λε τὰς ναυαγίας πάνυ αἰσχρὰς ἴδοις ἂν, ὅταν
ὁ Κροῖσος περιτετιλμένος τὰ πτερὰ γέλωτα
παρέχῃ Πέρσαις, ἀναβαίνων ἐπὶ τὴν πυράν.
ἢ Διονύσιος καταλυθεὶς τῆς τυραννίδος, ἐν Κο-
ρίνθῳ γράμματα διδάσκῃ, μετὰ τηλικαύ-
την ἀρχὴν, παιδία συλλαβίζειν ἀναγκάζων.
Μι. εἰπέ μοι ὦ ἀλεκτρυὼν, σὺ δὲ ὁπότε ἐβασί-
λευες ἤδη σθα, φὴς γὰρ καὶ βασιλεῦσαι, ποίου τινὸς
ἐπειράθης ἐκείνου τοῦ βίου. ἦ που πανευδαίμων ἦ-
σθα, τὸ κεφάλαιον ὅ, τι πέρ ἐστι τῶν ἀγαθῶν ἁπάν-
των ἔχων. Αλε. μὴ δὲ ἀναμνήσῃς με ὦ Μί-
κυλλε, οὕτω τρισάθλιος ἦν τότε. τοῖς μὲν ἔξω
πᾶσιν, ὅπερ ἔφησθα, πανευδαίμων εἶναι δο-
κῶν. ἔνδον δὲ, μυρίαις ἀνίαις συνών. Μι.

τισὶ ταύταις. παράδοξα γὰρ, καὶ οὐ πάνυ πιστὰ
φῄς. ΑΛΕ. ἦρχον μὲν οὐκ ὀλίγης χώρας
ὦ Μίκυλλε, παμφόρου τινὸς, καὶ πλήθει ἀν-
θρώπων, καὶ κάλλει τῶν πόλεων ἐν ταῖς μάλι-
στα θαυμάζεσθαι ἀξίας, ποταμοῖς τε ναυσιπό-
ροις καταῤῥεομένης, καὶ θαλάττῃ εὐόρμῳ χρω-
μένης. καὶ στρατιὰ ἦν πολλὴ, καὶ ἵππος συγκε-
κροτημένη, καὶ δορυφορικὸν οὐκ ὀλίγον, καὶ τρι-
ήρεις, καὶ χρημάτων πλῆθος ἀνάριθμον, καὶ
χρυσὸς ὁ κοῖλος πάμπολυς, καὶ ἡ ἄλλη τῆς ἀρ-
χῆς τραγῳδία πᾶσα, ἐς ὑπερβολὴν ἐξωγκω-
μένη. ὥστε ὁπότε προΐοιμι, οἱ μὲν πολλοὶ, προ-
σεκύνουν, καὶ θεόν τινα ὁρᾶν ᾤοντο. καὶ ἄλλοι
ἐπ' ἄλλοις ξυνέθεον ὀψόμενοί με. οἱ δὲ, καὶ ἐπὶ
τὰ τέγη ἀνιόντες, ἐν μεγάλῳ ἐτίθεντο ἀκρι-
βῶς ἑωρακέναι τὸ ζεῦγος. τὴν ἐφεστρίδα. τὸ
διάδημα. τοὺς προπέμποντας. τοὺς ἑπομένους.
ἐγὼ δὲ εἰδὼς ὁπόσα με ἠνία καὶ ἔστρεφεν, ἐκεί-
νοις μὲν τῆς ἀγνοίας συνεγίνωσκον, ἐμαυτὸν δὲ
ἠλέουν, ὅμοιον ὄντα τοῖς μεγάλοις ἐκείνοις κο-
λοσσοῖς, οἵους ἢ Φειδίας, ἢ Μύρων, ἢ Πραξιτέ-
λης ἐποίησεν. ἐκείνων γὰρ ἕκαστος τὰ ἐκτὸς ὁ
μὲν, Ποσειδῶν, ἢ Ζεύς ἐστι πάγκαλος, χρυσοῦ,
καὶ ἐλέφαντος ξυνειργασμένος, κεραυνὸν, ἢ ἀστρα-
πὴν, ἢ τρίαιναν ἔχων τῇ δεξιᾷ. ἢν δὲ ὑποκύ-

ψας

ας ἴδῃς τὰ ἔνδοθεν, ὄψει μοχλούς τινας καὶ
γόμφους, καὶ ἥλους διαμπὰξ πεπερονημένους,
καὶ κορμοὺς καὶ σφῆνας, καὶ πίτταν ὑπόπηλον,
καὶ τοιαύτην τινὰ πολλὴν ἀμορφίαν ὑποικου-
ροῦσαν. ἐῶ λέγειν μυῶν πλῆθος, ἢ μυγαλῶν
ἐμπολιτευόμενον αὐτοῖς ἐνίοτε. τοιοῦτόν τι καὶ
βασιλεία ἐστίν. Μι. οὐδέπω ἔφησθα τὸν πη-
λόν, καὶ τοὺς γόμφους, καὶ μοχλούς, οἵτινες εἶεν
τῆς ἀρχῆς, οὐδὲ τὴν ἀμορφίαν ἐκείνην τὴν πολ-
λήν, ἥτις ἐστίν. ὡς τό γε ἐξελαύνειν ἀποβλε-
πόμενον, καὶ τοσούτων ἄρχοντα, καὶ προσκυνού-
μενον δαιμονίως, ἔοικεν οὕτως κολοσσιαίῳ πα-
ραδείγματι. θεσπέσιον γάρ τι καὶ τοῦτο. σὺ δὲ καὶ
τὰ ἔνδον ἤδη τοῦ κολοσσοῦ λέγε. Αλε.
τί πρῶτόν εἴπω σοι ὦ Μίκυλλε, τοὺς φόβους, καὶ
τὰ δείματα, καὶ ὑποψίας, ἢ μῖσος τὸ παρὰ
τῶν συνόντων, καὶ ἐπιβουλάς. καὶ διὰ ταῦτα, ὕ-
πνον τε ὀλίγον, ἐπιπόλαιον κἀκεῖνον, καὶ τα-
ραχῆς μεστὰ ὀνείρατα, καὶ ἐννοίας πολυπλό-
κους, καὶ ἐλπίδας ἀεὶ πονηράς, ἢ τὴν ἀσχολί-
αν, καὶ χρηματισμούς, καὶ δίκας, καὶ ἐκστρατεί-
ας, καὶ προστάγματα, καὶ συνθήματα, καὶ λο-
γισμούς. ὑφ' ὧν οὐδὲ ὄναρ ἀπολαῦσαί τινος
ἡδέος ἐγγίνεται, ἀλλὰ ἀνάγκη ὑπὲρ ἁπάν-
των, μόνον διασκοπεῖν, καὶ μυρία ἔχειν πρά-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ῥήματα. οὐ δὲ γὰρ ἀτρείδην Ἀγαμέμνονα ὕπνος „ἔχε γλυκερὸς, πολλὰ φρεσὶν ὁρμαίνοντα. καὶ ταῦτα, ἡγεμόν τῶν Ἀχαιῶν ἁπάντων. λυπεῖ δὲ τὸν μὲν Λυδὸν, υἱὸς κωφὸς ὤν. τὸν Πέρσην δὲ, Κλέαρχος, Κύρῳ ξενολογῶν. ἄλλον δὲ, Δίων, πρὸς οὕς τινας τῶν Συρακουσίων κοινολογούμενος, καὶ ἄλλον Παρμενίων ἐπαινούμενος, καὶ Περδίκκαν Πτολεμαῖος, καὶ Πτολεμαῖον Σέλευκος. ἀλλὰ κἀκεῖνα λυπεῖ ὁ ἐρώμενος, πρὸς ἀνάγκην ξυνὼν, καὶ παλλακὶς ἄλλῳ χαίρουσα. καὶ ἀποστήσεσθαί τινες λεγόμενοι, καὶ δύ', ἢ τέτταρες τῶν δορυφόρων πρὸς ἀλλήλους διαψιθυρίζοντες. τὸ δὲ μέγιστον, ὑφορᾶσθαι δεῖ τοὺς φιλτάτους μάλιστα, κἀξ ἐκείνων ἀεί τι δεινὸν ἥξειν ἐλπίζειν. ὁ μὲν γοῦν ὑπὸ τοῦ παιδὸς ἀπέθανεν ἐκ φαρμάκων. ὁ δὲ, καὶ αὐτὸς ὑπὸ τοῦ ἐρωμένου. τὸν δὲ ἄλλον, ἴσως ὁμοιότροπος θάνατος κατέλαβεν. Μι. ἄπαγε. δεινὰ ταῦτα φὴς ὦ Ἀλεκτρυών. ἐμοὶ γοῦν πολὺ ἀσφαλέστερον σκυτοτομεῖν ἐπικεκυφότα, ἢ πίνειν ἀπὸ χρυσῆς φιάλης, κωνείῳ, ἢ ἀκονίτῳ συνανακραθεῖσαν φιλοτησίαν. ὁ δὲ κίνδυνος, ἐμοὶ μὲν, εἰ παρολισθοῖ τὸ σμιλίον, καὶ ἁμάρτοι τῆς τομῆς τῆς ἐπ' εὐθὺ, ὀλίγον τι αἱμάξαι τοὺς δακτύλους ἐντεμόντα. οἱ δὲ, ὡς φὴς, θανάσιμα εὐωχοῦνται

ταί, καὶ ταῦτα, μυρίοις κακοῖς συνόντων. εἶτ' ἐπειδὰν πέσωσιν, ὅμοιοι μάλιστα φαίνονται τοῖς τραγικοῖς ὑποκριταῖς. ὧν πολλοὺς ἰδεῖν ἐστι, τέως μὲν, κέκροπας δῆθεν ὄντας, ἢ Σισύφους, ἢ Τηλέφους, διαδήματ' ἔχοντας, καὶ ξίφη ἐλεφαντόκωπα, καὶ ἐπίσειστον κόμην, καὶ χλαμύδα χρυσόπαστον. ἢν δὲ, οἷα πολλὰ γίνεται, προσκρούσας τις αὐτῶν, ἐν μέσῃ τῇ σκηνῇ καταπέσῃ, γέλωτα δηλαδὴ παρέχει τοῖς θεαταῖς, τοῦ προσωπείου μὲν συντριβέντος αὐτῷ διαδήματι, ᾑμαγμένης δὲ τῆς ἀληθοῦς κεφαλῆς τοῦ ὑποκριτοῦ, καὶ τῶν σκελῶν ἐπὶ πολὺ γυμνουμένων, ὡς τῆς ἐσθῆτος τὰ ἔνδοθεν φαίνεσθαι ῥάκια, δύστηνα ὄντα, καὶ τῶν ἐμβάδων τὴν ὑπόδεσιν ἀμορφοτάτην, καὶ οὐχὶ κατὰ λόγον τοῦ ποδός. ὁρᾷς ὅπως με καὶ εἰκάζειν ἐδίδαξας ἤδη ὦ βέλτιστε ἀλεκτρυών; ἀλλὰ τυραννὶς μὲν, τοιοῦτόν τι ὤφθη οὖσα. ἵππος δὲ, ἢ κύων, ἢ ἰχθὺς, ἢ βάτραχος ὁπότε γένοιο, πῶς ἔφερες ἐκείνην τὴν διατριβήν; ΑΛΕ. μακρὸν τοῦτον ἀνακινεῖς τὸν λόγον, καὶ οὐ τοῦ παρόντος καιροῦ. πλὴν τό γε κεφάλαιον, οὐδεὶς ὅστις οὐκ ἀπραγμονέστερος τῶν βίων ἔδοξέ μοι τοῦ ἀνθρωπίνου, μόναις ταῖς φυσικαῖς ἐπιθυμίαις, καὶ χρείαις ἐμμεμετρημένος. τελώνην δὲ ἵππον, ἢ συκοφάντην βάτραχον, ἢ σοφι-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στὴν κολοιὸν, ἢ ὀψοποιὸν κώνωπα, ἢ κίναιδον ἀλεκτρυόνα, καὶ τἄλλα, ὅσα ὑμεῖς ἐπιτηδεύετε, οὐκ ἂν ἴδοις ἐν ἐκείνοις. Μι. ἀληθῆ ταῦτα ἴσως ὦ ἀλεκτρυών. ἐγὼ δ᾽ ὅ γε πέπονθα, οὐκ αἰσχύνομαι πρὸς σὲ λέγειν. οὐδέπω δύναμαι ἀπομαθεῖν τὴν ἐπιθυμίαν, ἣν ἐκ παίδων εἶχον πλούσιος γενέσθαι. ἀλλά μοι καὶ ἐνύπνιον ἔτι πρὸ τῶν ὀφθαλμῶν ἕστηκεν, ἐπιδεικνύμενον τὸ χρυσίον. καὶ μάλιστα ἐπὶ τῷ καταράτῳ Σίμωνι ἀποπνίγομαι, τρυφῶντι ἐν ἀγαθοῖς τοσούτοις. Αλε. ἐγώ σε ἰάσομαι ὦ Μίκυλλε. καὶ ἐπείπερ ἔτι νὺξ ἐστὶν, ἐξαναστὰς, ἕπου μοι. ἀπάξω γάρ σε πρὸς αὐτὸν ἐκεῖνον τὸν Σίμωνα, καὶ εἰς τὰς τῶν ἄλλων πλουσίων οἰκίας, ὡς ἴδοις οἷα τὰ παρ᾽ αὐτοῖς ἐστι. Μι. πῶς τοῦτο; κεκλεισμένων τῶν θυρῶν, εἰ μὴν τοιχωρυχεῖν με συναναγκάσεις; Αλε. οὐδαμῶς. ἀλλ᾽ ὁ Ἑρμῆς, οὗπερ ἱερός εἰμι, ἐξαίρετον ἔδωκέ μοι τοῦτο, ἤν τις τὸ οὐραῖον πτερὸν τὸ μήκιστον, ὃ δι᾽ ἁπαλότητα ἐπικαμπές ἐστι. Μι. δύο δ᾽ ἔστι σοι τοιαῦτα. Αλε. τὸ δεξιὸν τοίνυν, ὅτῳ ἂν ἐγὼ ἀποσπάσας παράσχω ἔχειν, ἐς ὅσον ἂν βούλωμαι, ἀνοίγειν τε ὁ τοιοῦτος πᾶσαν θύραν δύναται, καὶ ὁρᾶν τὰ πάντα, οὐχ ὁρώμενος αὐτός. Μι. ἐλελήθεις με ὦ ἀλεκτρυὼν, καὶ σὺ γόης ὤν. ἐμοὶ

ἵν' οὖν ἢν τοῦτο ἅπαξ πράξῃς, ὄψει τὰ Σίμωνος
πάντα ἐν βραχεῖ δεῦρο μετενηνεγμένα. μεθί-
σταται γὰρ αὐτὰ περιελθών. ὁ δέ, αὖθις πειφώξε-
ται, ἀποπίνων τὰ κατάγματα. Αλε.
οὐ θέμις γενέσθαι τοῦτο. παρήγγειλε γάρ ὁ Ερμῆς ἢν
τοιοῦτόν τι ἐργάσηται ὁ ἔχων τὸ πτερὸν ἀναβοή-
σαντά με, καταφωρᾶσαι αὐτόν. Μί. ἀπί-
θανον λέγεις. κλέπτην τὸν Ερμῆν αὐτὸν ὄντα,
τοῖς ἄλλοις φθονεῖν τοῦ τοιούτου. ἀπίωμεν δ' ὅ-
μως, ἀφέξομαι γὰρ τοῦ χρυσίου, ἢν δύνωμαι.
Αλε. ἀπότιλον ὦ Μίκυλλε πρότερον τὸ πτί-
λον. τί τοῦτο ἄμφω ἀπέτιλας; Μί. ἀσφαλέ-
στερον οὕτως ὦ ἀλεκτρυών, καὶ σοὶ ἧττον ἄμορφον
τὸ πρᾶγμα ἂν εἴη, ὡς μὴ χωλεύοις διὰ θάτερον
τῆς οὐρᾶς μέρος. Αλε. εἶεν. ἐπὶ τὸν Σίμω-
να πρῶτον ἄπιμεν, ἢ παρ' ἄλλον τινὰ τῶν πλου-
σίων. Μί. οὐ μὲν οὖν, ἀλλὰ παρὰ τὸν Σίμω-
να, ὃς αὐτὶ δισυλλάβου, τετρασύλλαβος ἤδη
πλουτήσας εἶναι ἀξιοῖ. καὶ δὴ πάρεσμεν ἐπὶ τὰς
θύρας. τί οὖν ποιῶ τὸ μετὰ τοῦτο; Αλε. ἐπί-
θες τὸ πτερὸν ἐπὶ τὸ κλεῖθρον. Μί. ἰδοὺ δή.
ὦ Ηράκλεις, ἀναπεπέτασται ὥσπερ ὑπὸ κλειδὶ ἡ θύ-
ρα. Αλε. ἡγοῦ ἐς τὸ πρόσθεν. ὁρᾷς αὐτὸν
ἀγρυπνοῦντα, καὶ λογιζόμενον. Μί. ὁρῶ νὴ
Δία, πρὸς ἀμαυράν γε καὶ διψῶσαν τὴν θρυαλ-

λίδα. καὶ ὠχρὸς δέ ἐστιν. οὐκ οἶδ' ὁπόθεν ὦ ἀλε-
κτρυών. καὶ κατέσκληκεν ὅλος ἐκτετηκὼς ὑπὸ
φροντίδων δηλαδή. οὐ γὰρ νοσεῖν ἄλλως ἔλεγε
γὰρ. ΑΛΕ. ἄκουσον ἅ φησιν. εἴσῃ γὰρ ὅθεν οὕτως ἔχει.
ΣΙΜΩΝ. οὐκοῦν τάλαντα μὲν ἑβδομήκοντα ἐ-
κεῖνα, πάνυ ἀσφαλῶς ὑπὸ τῇ κλίνῃ κατορώ-
ρυκται, καὶ οὐδεὶς ὅλως εἶδε. τὰ δὲ ἑκκαίδε-
κα, εἶδε Σωσύλος ὁ ἱπποκόμος ὑπὸ τῇ φάτ-
νῃ κατακρύπτοντά με. ὅλως γοῦν περὶ τὸν ἱπ-
πῶνά ἐστιν οὐ πάνυ ἐπιμελής. ἄλλως τ' οὐδὲ
φιλόπονος ὤν. εἰκὸς δὲ διηρπάσθαι πολλῷ πλείω
τούτων. ἢ πόθεν γὰρ ὁ Τίβιος τάριχον αὐτὸς οὕ-
τω μέγαν ὠψώνηκεν χθές. ἐλέγετο δὲ τῇ γυ-
ναικὶ ἐλλόβιον ἐωνῆσθαι πέντε δραχμῶν. ὅλως
τἀμὰ οὗτοι σπαθῶσι τοῦ κακοδαίμονος. ἀλλ' οὐ-
δὲ τὰ ἐκπώματα ἐν ἀσφαλεῖ μοι ἀπόκειται,
τοσαῦτα ὄντα. δέδια γοῦν μή τις ὑπορύξας τὸν
τοῖχον, ὑφέληται ταῦτα. πολλοὶ φθονοῦσι,
καὶ ἐπιβουλεύουσί μοι. καὶ μάλιστα ὁ γείτων
Μίκυλλος. ΜΙ. νὴ Δία, σοὶ γὰρ ὅμοιος
ἐγώ, καὶ τὰ τρύβλια ὑπὸ μάλης ἔχω. ΑΛΕ.
σιώπησον ὦ Μίκυλλε, μὴ καταφωράσῃ παρόν-
τας ἡμᾶς. ΣΙ. ἄριστον γοῦν ἄγρυπνον αὐτὸν
φυλάττειν. ἅπασαν περίειμι διαναστὰς ἐν κύ-
κλῳ τὴν οἰκίαν. τίς οὗτος; ὁρῶ σέ γε ὦ τοιχω-

ρύχε,

ἴγε, μὰ Δία. ἐπὶ κίων γε ὢν τυγχάνεις. ἔο ἐ-
ει. ἀριθμήσω αὖθις ἀνορύξας τὸ χρυσίον, μή
τί με πρῴην διέλαθεν. ἰδοὺ πάλιν ἐψόφηκέ
τις ἐπ' ἐμέ. δηλαδὴ πολιορκοῦμαι, καὶ ἐπιβου
λεύομαι πρὸς ἁπάντων. ποῦ μοι τὸ ξιφίδιον,
ἢν λάβω τινά. θάπτωμεν αὖθις τὸ χρυσίον.
Ἀλε. τοιαῦτα μέν σοι ὦ Μίκυλλε τὰ Σίμω-
νος. ἀπίωμεν δὲ καὶ παρ' ἄλλον τινά, ἕως ἔτι
ὀλίγον τῆς νυκτὸς λοιπόν ἐστιν. Μί. ὁ κακο-
δαίμων, οἷον βιοῖ τὸν βίον. ἐχθροῖς οὕτω πλου-
τεῖν γένοιτο. κατὰ κόρρης γοῦν πατάξας αὐ-
τὸν, ἀπελθεῖν βούλομαι. Σί. τίς ἐπάταξε
ἐμε; λῃστεύομαι ὁ δυστυχής. Μί. οἴμωζε,
καὶ ἀγρύπνει, καὶ ὅμοιος γίνου τὸ χρῶμα τῷ χρυ
σῷ, προστετηκὼς αὐτῷ. ἡμεῖς δέ, εἰ δοκεῖ, γνί
φωνα τὸν δανειστὴν ἴδωμεν. οὐ μακρὰν δὲ καὶ οὗ
τος οἰκεῖ. ἀνέῳκται αὕτη ἡμῖν ἡ θύρα. Ἀλε.
ὁρᾷς ἐπαγρυπνοῦντα καὶ αὐτὸν ὑπὸ φροντίδων, ἀ
ναλογιζόμενον τοὺς τόκους, καὶ τοὺς δακτύλους
κατεσκληκότα, ὃν δεήσει μετ' ὀλίγον πάν
τα ταῦτα λιπόντα, σίλφην, ἢ ἐμπίδα, ἢ
κυνόμυιαν γενέσθαι; Μί. ὁρῶ κακοδαίμονα, καὶ
ἀνόητον ἄνθρωπον, οὐδὲ νῦν πολὺ τῆς σίλφης,
ἢ ἐμπίδος ἄμεινον βιοῦντα. ὡς δὲ καὶ οὗτος ἐ-
κτέτηκεν ὅλος ὑπὸ τῶν λογισμῶν. ἐπ' ἄλλον

λίδα. καὶ ὠχρὸς δ' ἐστιν. οὐκ οἶδ' ὁπόθεν ὦ ἀλε-
κτρυών. καὶ κατέσκληκεν ὅλος ἐκτετηκὼς ὑπὸ
φροντίδων δηλαδή. οὐ γὰρ νοσεῖν ἄλλως ἐλέγε-
το. Αλε. ἄκουσον ἅ φησιν. εἴσῃ γὰρ ὅθεν οὕτως ἔχει.
Σίμων. οὐκοῦν τάλαντα μὲν ἑβδομήκοντα ἐ-
κεῖνα, πάνυ ἀσφαλῶς ὑπὸ τῇ κλίνῃ κατορώ-
ρυκται, καὶ οὐδεὶς ὅλως εἶδε. τὰ δὲ ἑκκαίδε-
κα, εἶδε Σωσύλος ὁ ἱπποκόμος ὑπὸ τῇ φάτ-
νῃ κατακρύπτοντά με. ὅλως γοῦν περὶ τὸν ἱπ-
πῶνά ἐστιν οὐ πάνυ ἐπιμελής. ἄλλως τ' οὐδὲ
φιλόπονος ὤν. εἰκὸς δὲ ἡρπάσθαι πολλῷ πλείω
τούτων. ἢ πόθεν γὰρ ὁ Τίβιος τάριχον αὐτῷ οὕ-
τω μέγαν ὠψώνηκεν ἐχθές. ἐλέγετο δὲ τῇ γυ-
ναικὶ ἐλλόβιον ἐωνῆσθαι πέντε δραχμῶν. ὅλως
τἀμὰ οὗτοι σπαθῶσι τοῦ κακοδαίμονος. ἀλλ' οὐ-
δὲ τὰ ἐκπώματα ἐν ἀσφαλεῖ μοι ἀπόκειται,
τοσαῦτα ὄντα. δέδια γοῦν μή τις ὑπορύξας τὸν
τοῖχον, ὑφέληται ταῦτα. πολλοὶ φθονοῦσι,
καὶ ἐπιβουλεύουσί μοι. καὶ μάλιστα ὁ γείτων
Μίκυλλος. Μί. νὴ Δία, σοὶ γὰρ ὅμοιος
ἐγώ, καὶ τὰ τρύβλια ὑπὸ μάλης ἔχω. Αλε.
σιώπησον ὦ Μίκυλλε, μὴ καταφωράσῃ παρόν-
τας ἡμᾶς. Σί. ἄριστον γοῦν ἄγρυπνον αὐτὸν
φυλάττειν. ἅπαντα περίειμι διαναστὰς ἐν κύ-
κλῳ τὴν οἰκίαν. τίς οὗτος; ὁρῶ σέ γε ὦ τοιχω-

ρύχε,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ξε, μὰ Δία. ἐπεὶ κίων γε ὢν τυγχάνεις. ἐο ἐ-
. ἀριθμήσω αὖθις ἀνορύξας τὸ χρυσίον, μή
με πρῴην διέλαθεν. ἰδοὺ πάλιν ἐψόφηκέ
ἐπ' ἐμέ. δηλαδὴ πολιορκοῦμαι, καὶ ἐπιβου-
λεύομαι πρὸς ἁπάντων. ποῦ μοι τὸ ξιφίδιον,
λάβω τινά. θάπτωμεν αὖθις τὸ χρυσίον.
λε. τοιαῦτα μέν σοι ὦ Μίκυλλε τὰ Σίμω-
ν. ἀπίωμεν δὲ καὶ παρ' ἄλλον τινά, ἕως ἔτι
ίγον τῆς νυκτὸς λοιπόν ἐστιν. Μί. ὁ κακο-
ίμων, οἷον βιοῖ τὸν βίον. ἐχθροῖς οὕτω πλου-
εῖν γένοιτο. κατὰ κόρρης γοῦν πατάξας αὐ
ν, ἀπελθεῖν βούλομαι. Σί. τίς ἐπάταξε
με; λῃστεύομαι ὁ δυστυχής. Μί. οἴμωζε,
ὶ ἀγρύπνει, καὶ ὅμοιος γίνου τὸ χρῶμα τῷ χρυ
ῷ, προστετηκὼς αὐτῷ. ἡμεῖς δέ, εἰ δοκεῖ, Γνί
ωνα τὸν δανειστὴν ἴδωμεν. οὐ μακρὰν δὲ καὶ οὗ
ς οἰκεῖ. ἀνέῳκται αὕτη ἡμῖν ἡ θύρα. Ἀλε.
ρᾷς ἐπαγρυπνοῦντα καὶ αὐτὸν ὑπὸ φροντίδων, ἀ
ιλογιζόμενον τοὺς τόκους, καὶ τοὺς δακτύλους
ατεσκληκότα, ὃν δεήσει μετ' ὀλίγον πάν
α ταῦτα λιπόντα, σίλφην, ἢ ἐμπίδα, ἢ
υῖαν γενέσθαι; Μί. ὁρῶ κακοδαίμονα, καὶ
νόητον ἄνθρωπον, οὐδὲ νῦν πολὺ τῆς σίλφης,
ἐμπίδος ἄμεινον βιοῦντα. ὡς δὲ καὶ οὗτος ἐ-
τέτηκεν ὅλος ὑπὸ τῶν λογισμῶν. ἐπ' ἄλλον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπίωμεν. ΑΛΕ. παρὰ τὸν Εὐκράτην, εἰ δοκεῖ. καὶ ἰδοὺ γὰρ ἀνέῳκται καὶ αὕτη ἡ θύρα. ὥστε εἰσίωμεν. ΜΙ. ἅπαντα ταῦτα μικρὸν ἔμπροσθεν ἐμάνην. ΑΛΕ. ἔτι γοῦν σὺ ὀνειροπολεῖς τὸν πλοῦτον; ὁρᾷς γοῦν τὸν Εὐκράτην αὐτὸν μὲν ὑπὸ τοῦ οἰκέτου πρεσβύτην ἄνθρωπον. ΜΙ. ὁρῶ νὴ Δία καταπυγοσύνην τινὰ, καὶ παχηπασμὸν, καὶ ἀσέλγειαν οὐκ ἀνθρωπίνην. τὴν γυναῖκα δὲ ἑτέρωθι ὑπὸ τοῦ μαγείρου μοιχευομένην καὶ αὐτήν. ΑΛΕ. τί οὖν ἐθέλοις ἂν καὶ τούτων κληρονομεῖν ὦ Μίκυλλε, καὶ πάντα ἔχειν τὰ Εὐκράτους; ΜΙ. μηδαμῶς ὦ ἀλεκτρυών. λιμῷ πρότερον ἀπολοίμην, ἢ τοιοῦτόν τι πείσομαι. χαιρέτω τὸ χρυσίον, καὶ τὰ δεῖπνα. δύο ὀβολοὶ ἔμοιγε πλοῦτός ἐστι μᾶλλον, ἢ τοιχωρυχεῖσθαι πρὸς τῶν οἰκετῶν. ΑΛΕ. ἀλλὰ νῦν, ἡμέρα γὰρ ἤδη ἀμφὶ τὸ λυκαυγὲς αὐτὸ, ἀπίωμεν οἴκαδε παρ᾽ ἡμᾶς. τὰ λοιπὰ δὲ, εἰσαῦθις ὄψει ὦ Μίκυλλε.

## ΙΚΑΡΟΜΕΝΙΠΠΟΣ, Η ΥΠΕΡΝΕΦΕΛΟΣ. ΜΕΝΙΠΠΟΣ.

Οὐκοῦν τρισχίλιοι μὲν ἦσαν ἀπὸ γῆς στάδιοι μέχρι πρὸς τὴν σελήνην, ὁ πρῶτος ἡμῖν σταθμός. τοὐντεῦθεν δὲ, ἐπὶ τὸν ἥλιον ἄνω παρασάγγαι που πεντακόσιοι. τὸ δὲ ἀπὸ

τούτου

τῦ, ἐς αὐτὸν ἤδη τὸν οὐρανὸν, καὶ τὴν ἀκρόπο-
ιν τὴν τοῦ Διὸς ἄνοδον, καὶ ταῦτα γένοιτο ἂν
ζώνῳ ἀετῷ μιᾶς ἡμέρας. Ἑταῖ. τί ταῦτα
ρὸς Χαρίτων ὦ Μένιππε ἀστρονομεῖς, καὶ ἡσυ-
ῇ πως ἀναμετρεῖς. πάλαι γὰρ ἐπακροῶμαί σου
ρακολουθῶν, ἡλίους καὶ σελήνας, ἔτι δὲ τὰ
ορτικὰ ταῦτα σταθμούς τινας, καὶ παρασάγ-
ς ὑποξενίζοντος. Μέ. μὴ θαυμάσῃς ὦ ἑ-
ταῖρε, εἰ μετέωρα, καὶ διαέρια δοκῶ σοι λέγειν.
κεφάλαιον γὰρ δὴ πρὸς ἐμαυτὸν λογίζομαι
. ἔναγχος ἀποδημίας. Ἑταῖ. εἶτα ὦ γα-
, καθάπερ οἱ Φοίνικες, ἄστροις ἐτεκμαίρου τὴν
όν; Μέ. οὐ μὰ Δία, ἀλλ' ἐν αὐτοῖς ἄστροις
ριούμην τὴν ἀποδημίαν. Ἑταῖ. Ἡράκλεις,
ακρόν γε τὸν ὄνειρον λέγεις, εἴ γε σαυτὸν ἔλα-
ς κατακοιμηθεὶς παρασάγγας ὅλους. Μέ.
ειρον γὰρ ὦ τὰν δοκῶ σοι λέγειν, ὃς ἀρτίως ἀ-
ῖγμαι παρὰ τοῦ Διός; Ἑταῖ. πῶς ἔφησθα;
ένιππος ἡμῖν διοπετὴς πάρεστιν ἐξ οὐρανοῦ;
έ. καὶ μὴν ἐγώ σοι παρ' αὐτοῦ ἐκείνου τοῦ πά-
Διὸς ἥκω τήμερον, θαυμάσια, καὶ ἀκούσας,
ἰδών. εἰ δὲ ἀπιστεῖς, καὶ αὐτὸ τοῦτο ὑπερευ-
αίνομαι, τὸ πέρα πίστεως εὐτυχεῖν. Ἑταῖ.
πῶς ἐγὼ ὦ θεσπέσιε, καὶ Ὀλύμπιε Μένιππε
γεννητὸς αὐτὸς, καὶ ἐπίγειος ὤν, ἀπιστεῖν δυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ναίμην ὑπονεφέλῳ ἀνδρί. καὶ ἵνα καθ' Ὅμηρον εἴπω, τῶν οὐρανιώνων ἑνί. ἀλλ' ἐκεῖνά μοι φράσον, εἰ δοκεῖ, τίνα τρόπον ἤρθης ἄνω, καὶ ὁπόθεν ἐπορίσω κλίμακα τηλικαύτην τὸ μέγεθος. τὰ μὲν γὰρ ἀμφὶ τὴν ὄψιν, οὐ πάνυ ἔοικας ἐκείνῳ τῷ Φρυγί, ὥστε καὶ ἡμᾶς εἰκάζειν καὶ σὲ οἰνοχοήσοντά που, ἀνάρπαστον γεγονέναι πρὸς τοῦ ἀετοῦ. Μέ. σὺ μὲν πάλαι σκώπτων δῆλος εἶ. καὶ θαυμαστὸν οὐδὲν, εἴ σοι τὸ παράδοξον τοῦ λόγου, μύθῳ δοκεῖ προσφερές. ἀτὰρ οὐδὲν ἐδεήσέ μοι πρὸς τὴν ἄνοδον, οὔτε τῆς κλίμακος, οὔτε παιδικὰ γενέσθαι τοῦ ἀετοῦ. οἰκεῖα γὰρ ἦν μοι τὰ πτερά. Εται. τοῦτο μὲν ἤδη καὶ ὑπὲρ αὐτὸν Δαίδαλον ἔφησθα, εἴγε πρὸς τοῖς ἄλλοις, ἐλελήθεις ἡμᾶς ἱέραξ τις, ἢ κολοιὸς ἐξ ἀνθρώπου γενόμενος. Μέ. ὀρθῶς ὦ ἑταῖρε, καὶ οὐκ ἀπὸ σκοποῦ εἴκασας. τὸ Δαιδάλειον γὰρ ἐκεῖνο σόφισμα τῶν πτερῶν καὶ αὐτὸς ἐμηχανησάμην. Εται. εἶτα ὦ τολμηρότατε πάντων, οὐκ ἐδεδοίκεις μὴ καὶ σύ που τῆς θαλάσσης καταπεσὼν, Μενίππειόν τι πέλαγος ἡμῖν ὥσπερ τὸ Ἰκάρειον ἀποδείξῃς ἐπὶ τῷ σεαυτοῦ ὀνόματι; Μέ. οὐδαμῶς. ὁ μὲν γὰρ Ἴκαρος, ἅτε κηρῷ τὴν πτέρωσιν ἡρμοσμένος, ἐπειδὴ τάχιστα πρὸς τὸν ἥλιον ἐκεῖνος ἐτάκη, πτερορρυήσας εἰκότως κατέ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πτέσιν. ἡμῖν δὲ, ἀκέραια ἦν τὰ ὠκύπτερα.
ΕΤΑΙ. πῶς λέγεις. ἤδη γάρ τοι οὐκ οἶδ' ὅπως ἠρέμα με προσάγεις πρὸς τὴν ἀλήθειαν τῆς διηγήσεως.
ΜΕ. ὧδέ πως. ἀετὸν εὐμεγέθη συλλαβὼν, ἔτι δὲ γῦπα τῶν καρτερῶν, ἀποτεμὼν αὐταῖς ὠλέναις τὰ πτερὰ, μᾶλλον δὲ καὶ πᾶσαν ἐξ ἀρχῆς τὴν ἐπίνοιαν, εἴ σοι σχολὴ, δίειμι. ΕΤΑΙ. πάνυ μὲν οὖν, ὡς ἐγώ σοι μετέωρός εἰμι ὑπὸ τῶν λόγων, καὶ πρὸς τὸ τέλος ἤδη κέχηνα τῆς ἀκροάσεως. μὴ δὲ πρὸς φιλίου με περιΐδῃς, ἄνω που τῆς διηγήσεως ἐκ τῶν ὤτων ἀπηρτημένον.
ΜΕ. ἄκουε τοίνυν. οὐ γὰρ ἀστεῖόν γε τὸ θέαμα, κεχηνότα φίλον, ἐγκαταλιπεῖν. καὶ ταῦτα, ὡς σὺ φὴς ἐκ τῶν ὤτων ἀπηρτημένον. ἐγὼ γὰρ ἐπειδὴ τάχιστα ἐξετάζων τὰ κατὰ τὸν βίον, γελοῖα, ἢ ταπεινὰ, καὶ ἀβέβαια τὰ ἀνθρώπινα πάντα εὕρισκον, πλούτους λέγω, καὶ ἀρχὰς, καὶ δυναστείας, καταφρονήσας αὐτῶν, καὶ τὴν περὶ ταῦτα σπουδὴν, ἀσχολίαν τῶν ἀληθῶς σπουδαίων ὑπολαβὼν, ἀνακύπτειν τε, καὶ πρὸς τὸ πᾶν ἀναβλέπειν ἐπειρώμην. καί μοι ἐνταῦθα, πολλήν τινα παρεῖχε τὴν ἀπορίαν, πρῶτον μὲν αὐτὸς οὗτος ὁ ὑπὸ τῶν σοφῶν καλούμενος κόσμος. οὐ γὰρ εἶχον εὑρεῖν οὔθ' ὅπως ἐγένετο, οὔτε τὸν δημιουργὸν, οὔτε ἀρχὴν, οὔ-

θεοῦ, τὸ δὲ τέλος ἐστὶν αὐτοῦ. ἔπειτα δὲ κατὰ μέρος ἐπισκοπῶν, πολὺ μᾶλλον ἀπορεῖν ἠναγκαζόμην. τούς τε γὰρ ἀστέρας ἑώρων ὡς ἔτυχε τοῦ οὐρανοῦ διερριμμένους, καὶ τὸν ἥλιον αὐτὸν τί ποτε ἦν ἄρα ἐπόθουν εἰδέναι. μάλιστα δὲ τὰ κατὰ τὴν σελήνην ἄτοπά μοι, καὶ παντελῶς παράδοξα κατεφαίνετο. καὶ τὸ πολυειδὲς αὐτῆς τῶν σχημάτων ἀπόρρητόν τινα τὴν αἰτίαν ἔχειν ἐδοκίμαζον. οὐ μὴν ἀλλὰ καὶ ἀστραπὴ διαΐξασα, καὶ βροντὴ καταρραγεῖσα, καὶ ὑετὸς, ἢ χιὼν, ἢ χάλαζα κατενεχθεῖσα, καὶ ταῦτα δυσείκαστα πάντα καὶ ἀτέκμαρτα ἦν. οὐκοῦν ἐπειδήπερ οὕτω διεκείμην, ἄριστον εἶναι ὑπελάμβανον παρὰ τῶν φιλοσόφων τούτων ταῦτα ἕκαστα ἐκμαθεῖν. ᾤμην γὰρ ἐκείνους πᾶσάν γε ἔχειν ἂν εἰπεῖν τὴν ἀλήθειαν. οὕτω δὴ τοὺς ἀρίστους ἐπιλεξάμενος αὐτῶν, ὡς ἐνῆν τεκμήρασθαι προσώπου τε σκυθρωπότητι, καὶ χρόας ὠχρότητι, καὶ γενείου βαθύτητι, μάλα γὰρ ὑψαγόραι τινὲς, καὶ οὐρανογνώμονες οἱ ἄνδρες αὐτίκα μοι κατεφάνησαν, τούτοις ἐγχειρίσας ἐμαυτὸν, καὶ συχνὸν ἀργύριον, τὸ μὲν, αὐτόθεν ἤδη καταβαλὼν, τὸ δὲ, εἰσαῦθις ἀποδώσειν ἐπὶ κεφαλαίῳ τῆς σοφίας διομολογησάμενος, ἠξίουν μετεωρολέσχης τε διδάσκε

σθαι,

σθαι, καὶ τὴν τῶν ὅλων διακόσμησιν καταμα
θεῖν. οἱ δὲ, τοσοῦτον ἄρα ἐδέησάν με τῆς πα
λαιᾶς ἐκείνης ἀγνοίας ἀπαλλάξαι, ὥστε καὶ
εἰς μείζους ἀπορίας φέροντες ἐνέβαλον ἀρχάς
τινας, καὶ τέλη, καὶ ἀτόμους, καὶ κενὰ, καὶ ὕλας,
καὶ ἰδέας, καὶ τὰ τοιαῦτα ὁσημέραι μου κατα-
χέοντες. ὃ δὲ πάντων ἔμοι γ' οὖν ἐδόκει χαλε
πώτατον, ὅτι μηδὲν ἅτερος θατέρῳ λέγον
τες ἀκόλουθον, ἀλλὰ μαχόμενα πάντα, καὶ ὑπε
ναντία, ὅμως πείθεσθαί τε με ἠξίουν, καὶ πρὸς τὸν
αὐτοῦ λόγον ἕκαστος ὑπάγειν ἐπειρῶντο. Εται.
ἄτοπον λέγεις, εἰ σοφοὶ ὄντες οἱ ἄνδρες, ἐστασία
ζον πρὸς αὐτοὺς περὶ τῶν ὄντων, καὶ οὐ τὰ αὐτὰ
περὶ τῶν αὐτῶν ἐδόξαζον. Με. καὶ μὴν ὦ ἑταῖ
ρε, γελάσῃ ἀκούσας τήν τε ἀλαζονείαν αὐτῶν,
καὶ τὴν ἐν τοῖς λόγοις τερατουργίαν. οἵ γε πρῶτα
μὲν ἐπὶ γῆς βεβηκότες, καὶ μηδὲν τῶν χαμαὶ ἐρχο
μένων ἡμῶν ὑπερέχοντες, ἀλλ' οὐδὲ ὀξύτερον
τοῦ πλησίον δεδορκότες, ἔνιοι δὲ ὑπὸ γήρως, ἢ
ἀργίας ἀμβλυώττοντες, ὅμως οὐρανοῦ τε πέ
ρατα διορᾶν ἔφασκον, καὶ τὸν ἥλιον περιεμέ
τρουν, καὶ τοῖς ὑπὲρ τὴν σελήνην ἐπεβάτευον. καὶ
ὥσπερ ἐκ τῶν ἀστέρων καταπεσόντες, με
γέθη τε αὐτῶν, καὶ σχήματα διεξῄεσαν. καὶ πολλά
κις εἰ τύχοι, μηδὲ ὁπόσοι στάδιοι Μεγαρόθεν

ἀθήναζε εἰσὶν ἀκριβῶς ἐπιστάμενοι, τὸ μεταξὺ τῆς σελήνης, καὶ τοῦ ἡλίου χωρίον ὁπόσων εἴη πηχῶν τὸ μέγεθος, ἐτόλμων λέγειν. ἀέρος τε ὕψη, καὶ θαλάττης βάθη, καὶ γῆς περιόδους ἀναμετροῦντες. ἔτι δὲ κύκλους καταγράφοντες, καὶ τρίγωνα τοῖς τετραγώνοις διασχηματίζοντες. καὶ σφαίρας τινὰς ποικίλας, τὸν οὐρανὸν δῆθεν αὐτὸν ἐπιμετροῦντες. ἔπειτα δὲ κἀκεῖνο πῶς οὐκ ἄγνωμον αὐτῶν, καὶ παντελῶς τετυφωμένον, τὸ περὶ τῶν οὕτως ἀδήλων λέγοντας, μηδὲν ὡς εἰκάζοντας ἀποφαίνεσθαι, ἀλλ᾽ ὑπερδιατείνεσθαί τε, καὶ μηδεμίαν τοῖς ἄλλοις ὑπερβολὴν ἀπολιμπάνειν, μονονουχὶ διομνυμένους, μύδρον μὲν εἶναι τὸν ἥλιον, κατοικεῖσθαι δὲ τὴν σελήνην, ὑδροποτεῖν δὲ τοὺς ἀστέρας, καὶ τοῦ ἡλίου καθάπερ ἱμονιᾷ τινι τὴν ἰκμάδα ἐκ τῆς θαλάσσης ἀνασπῶντος, καὶ ἅπασιν αὐτοῖς τὸ ποτὸν ἑξῆς διανέμοντος. τὴν μὲν γὰρ ἐναντιότητα, ὁπόση τῶν λόγων, ῥᾴδιον καταμαθεῖν. καὶ σκόπει πρὸς Διὸς εἰ γειτόνων ἐστὶ τὰ δόγματα, καὶ μὴ πάνυ πολὺ διεστηκότα. πρῶτα μὲν γὰρ αὐτοῖς ἡ περὶ τοῦ κόσμου γνώμη διάφορος, εἴγε τοῖς μὲν, ἀγέννητός τε, καὶ ἀνώλεθρος εἶναι δοκεῖ. οἱ δὲ, καὶ τὸν δημιουργὸν αὐτοῦ, καὶ τῆς κατασκευῆς τὸν τρόπον, εἰπεῖν ἐτόλμησαν.

οἱ

οἷς καὶ μάλιστα ἐθαύμαζον, θεὸν μέν τινα τεχνί-
την τῶν ὅλων ἐπιστήσαντες, οὐ προστιθέντες
δὲ οὔτε ὅθεν ἥκων, οὔτε ὅπου ἑστὼς, ἕκαστα ἐ-
τεκταίνετο. καίτοι πρό γε τοῦ παντὸς γενέσε-
ως, ἀδύνατον καὶ χρόνον, καὶ τόπον ἐπινοεῖν.
ΕΤΑΙ. Μάλα τινὰς ὦ Μένιππε, τολμητὰς,
καὶ θαυματοποιοὺς ἄνδρας λέγεις. ΜΕ. τί δ᾽
εἰ ἀκούσειας ὦ θαυμάσιε, περί τε ἰδεῶν, καὶ ἀ-
σωμάτων, ἃ διεξέρχονται, ἢ τοὺς περὶ τοῦ πέρα-
τός τε, καὶ ἀπείρου λόγους; καὶ γὰρ αὖ καὶ αὕτη νεα-
νικὴ αὐτοῖς ἡ μάχη. τοῖς μὲν, τέλει τὸ πᾶν περι-
γράφουσι. τοῖς δὲ, ἀτελὲς τοῦτο εἶναι ὑπολαμβά-
νουσιν. οὐ μὴν ἀλλὰ καὶ παμπόλλους τινὰς εἶναι
τοὺς κόσμους ἀπεφαίνοντο, καὶ τῶν ὡς περὶ ἑνὸς
αὐτῶν διαλεγομένων κατεγίνωσκον. ἕτερος
δέ τις οὐκ εἰρηνικὸς ἀνὴρ, πόλεμον τῶν ὅλων
πατέρα εἶναι ἐδόξαζε. περὶ μὲν γὰρ τῶν θεῶν, τί χρὴ
καὶ λέγειν; ὅπου τοῖς μὲν, ἀριθμός τις ὁ θεὸς ἦν.
οἱ δὲ, κατὰ κυνῶν, καὶ χηνῶν, καὶ πλατάνων ἐ-
πώμνυντο. καὶ οἱ μὲν, τοὺς ἄλλους ἅπαντας θεοὺς
ἀπελάσαντες, ἑνὶ μόνῳ τὴν τῶν ὅλων ἀρχὴν
ἀπένεμον. ὥστε ἠρέμα καὶ ἄχθεσθαί με, τοσαύ-
την ἀπορίαν θεῶν ἀκούοντα. οἱ δ᾽ ἔμπαλιν ἐ-
πιδαψιλευόμενοι, πολλούς τε αὐτοὺς ἀπέφαι-
νον, καὶ διελόμενοι, τὸν μέν τινα, πρῶτον θεὸν

ἐπικαλοῦν. τοῖς δὲ, τὰ δεύτερα, ἢ τρίτα ἔνεμον τῆς θεότητος. ἔτι δὲ, οἱ μὲν, ἀσώματόν τι, καὶ ἄμορφον ἡγοῦντο εἶναι τὸ θεῖον. οἱ δὲ, ὡς περὶ σώματος αὐτοῦ διενοοῦντο. εἶτα καὶ προνοεῖν τῶν καθ' ἡμᾶς πραγμάτων οὐ πᾶσιν ἐδόκουν οἱ θεοὶ, ἀλλ' ἦσάν τινες, οἳ τῆς συμπάσης ἐπιμελείας αὐτοὺς ἀφιέντες, ὥσπερ ἡμεῖς εἰώθαμεν ἀπολύειν τῶν λειτουργιῶν τοὺς πρεσβυκότας. οὐδὲν γὰρ ὅτι μὴ τοῖς κωμικοῖς δορυφορήμασιν ἐοικότας αὐτοὺς εἰσάγουσιν. ἔνιοι δὲ, ταῦτα πάντα ὑπερβάντες, οὐδὲ τὴν ἀρχὴν θεούς τινας ἐπίστευον, ἀλλ' ἀδέσποτον, καὶ ἀνηγεμόνευτον φέρεσθαι τὸν κόσμον ἀπέλιμπανον. τοιγάρτοι ταῦτα ἀκούων, ἀπιστεῖν μὲν οὐκ ἐτόλμων ὑψιβρεμέταις τε, καὶ ἠϋγενείοις ἀνδράσιν. οὐ μὴν εἶχόν γε ὅποι τῶν λόγων τραπόμενος, ἀνεπίληπτόν τι αὐτῶν εὕροιμι, καὶ ὑπὸ θατέρου μηδαμῆ περιτρεπόμενον. ὥστε δὴ τὸ ὁμηρικὸν ἐκεῖνο ἀτεχνῶς ἔπασχον. πολλάκις μὲν γὰρ ἂν ὥρμησα πιστεύειν τινὶ αὐτῶν. ἕτερος δέ με θυμὸς ἔρυκεν. ἐφ' οἷς ἅπασιν ἀμηχανῶν, ἐπὶ γῆς μὲν, ἀκούσεσθαί τι περὶ τούτων ἀληθὲς, ἀπεγίγνωσκον. μίαν δὲ τῆς συμπάσης ἀπορίας ἀπαλλαγὴν ᾤμην ἔσεσθαι, εἰ αὐτὸς πτερωθείς πως, ἀνέλθοιμι εἰς τὸν οὐρανόν. τούτου

δέ

κέ μοι παρεῖχε τὴν ἐλπίδα, μάλιστα μὲν καὶ ἡ
ἐπιθυμία, καὶ ὁ λογοποιὸς Αἴσωπος, ἀετοῖς,
καὶ κανθάροις ἐνίοτε, καὶ καμήλοις βάσιμον ἀ-
ποφαίνων τὸν οὐρανόν. αὐτὸν μὲν οὖν πτεροφυῆσαί
ποτε οὐδεμιᾷ μηχανῇ δυνατὸν εἶναί μοι κατε-
φαίνετο. εἰ δὲ γυπὸς, ἢ ἀετοῦ περιθείμην πτερά,
ταῦτα γὰρ μόνα διαρκέσαι πρὸς μέγεθος ἀν-
θρωπίνου σώματος, τάχα ἄν μοι τὴν πεῖραν
προχωρῆσαι. καὶ δὴ συλλαβὼν τὰ ὄρνεα, θατέ-
ρου μὲν τὴν δεξιὰν πτέρυγα. τοῦ γυπὸς δὲ, τὴν
ἑτέραν ἀπέτεμον εὖ μάλα. εἶτα διαδήσας,
καὶ κατὰ τοὺς ὤμους τελαμῶσι καρτεροῖς ἁρμο-
σάμενος, καὶ πρὸς ἄκροις τοῖς ὠκυπτέροις λα-
βάς τινας ταῖς χερσὶ παρασκευάσας, ἐπειρώ-
μην ἐμαυτοῦ τὸ πρῶτον, ἀναπηδῶν, καὶ ταῖς
χερσὶν ὑπηρετῶν, καὶ ὥσπερ οἱ χῆνες ἔτι χα-
μαιπετῶς ἐπαιρόμενος, καὶ ἀκροβατῶν ἅμα
μετὰ τῆς πτήσεως. ἐπεὶ δὲ ὑπήκουέ μοι τὸ πρᾶ-
γμα, τολμηρότερον ἤδη τῆς πείρας ἡπτόμην.
καὶ ἀνελθὼν ἐπὶ τὴν ἀκρόπολιν, ἀφῆκα ἐμαυ-
τὸν κατὰ τοῦ κρημνοῦ, φέρων ἐς αὐτὸ τὸ θέα-
τρον. ὡς δὲ ἀκινδύνως κατεπτόμην, ὑψηλὰ
ἤδη, καὶ μετέωρα ἐφρόνουν, καὶ ἄρας ἀπὸ Πάρνη-
θος, ἢ ἀπὸ Ὑμηττοῦ, μέχρι Γερανείας ἐπετό-
μην. εἶτ' ἐκεῖθεν ἐπὶ τὸν Ἀκροκόρινθον ἄνω.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἶτα ὑπὲρ Φολόης, καὶ Ἐρυμάνθου, μέχρι πρὸς τὸν Ταΰγετον. ἤδη δ' οὖν μοι τοῦ πράγματος μεμελετημένου, τέλειός τε, καὶ ὑψιπέτης γενόμενος, οὐκ ἔτι τὰ νεοττῶν ἐφρόνουν, ἀλλ' ἐπὶ τὸν ὄλυμπον ἀναβάς, καὶ ὡς ἐνῆν μάλιστα κούφως ἐπισιτισάμενος, τὸ λοιπὸν ἔτεινον εὐθὺ τοῦ οὐρανοῦ. τὸ μὲν πρῶτον, ἰλιγγιῶν ὑπὸ τοῦ βάθους. μετὰ δὲ, ἔφερον καὶ τοῦτο εὐμαρῶς. ἐπεὶ δὲ κατ' αὐτὴν ἤδη τὴν σελήνην ἐγεγόνειν, πάμπολυ τῶν νεφῶν ἀποσπάσας, ᾐσθόμην κάμνοντος ἐμαυτοῦ. καὶ μάλιστα κατὰ τὴν ἀριστερὰν πτέρυγα τὴν γυπίνην. προσελάσας οὖν, καὶ καθεζόμενος ἐπ' αὐτῆς, διανεπαυόμην, ἐς τὴν γῆν ἄνωθεν ἀποβλέπων. καὶ ὥσπερ ὁ τοῦ Ὁμήρου Ζεὺς ἐκεῖνος, ἄρτι μὲν, τὴν τῶν ἱπποπόλων Θρηκῶν καθορώμενος, ἄρτι δὲ, τὴν Μυσῶν. μετ' ὀλίγον δὲ, εἰ δόξειέ μοι, τὴν Ἑλλάδα, τὴν Περσίδα, καὶ τὴν Ἰνδικήν. ἐξ ὧν ἁπάντων ποικίλης τινὸς ἡδονῆς ἀνεπιμπλάμην. ΕΤΑΙ. οὐκοῦν καὶ ταῦτα λέγοις ἂν ὦ Μένιππε, ἵνα μηδὲ καθ' ἓν ἀπολειπώμεθα τῆς ἀποδημίας. ἀλλ' εἴ τι σοι καὶ ὁδοῦ πάρεργον ἱστόρηται, καὶ τοῦτο εἰδῶμεν. ὡς ἔγωγε οὐκ ὀλίγα προσδοκῶ ἀκούσεσθαι, σχήματός πέρι γῆς τε, καὶ τῶν ἐπ' αὐτῆς ἁπάντων, οἷά σοι ἄνωθεν ἐπισκοποῦντι κατεφαίνετο. ΜΕ. καὶ

ὀρθῶς

ὀρθῶς γὰρ ὦ ἑταῖρε εἰκάζεις. διόπερ ὡς οἷόν τε ἀναβὰς ἐπὶ τὴν σελήνην, τῷ λόγῳ συνανάπτει μέ τε, καὶ συνεπισκόπει τὴν ὅλην τῶν ἐπὶ γῆς διάθεσιν. καὶ πρῶτόν γέ μοι πάνυ μικρὰν δόκει τινὰ τὴν γῆν ὁρᾶν, πολὺ λέγω τῆς σελήνης βραχυτέραν. ὥστε ἐγὼ ἄφνω κατακύψας, ἐπὶ πολὺ ἠπόρουν, ποῦ εἴη τὰ τηλικαῦτα ὄρη, καὶ ἡ τοσαύτη θάλασσα. καὶ εἴ γε μὴ τὸν Ῥοδίων κολοσσὸν ἐθεασάμην, καὶ τὸν ἐπὶ τῇ Φάρῳ πύργον, εὖ ἴσθι παντελῶς ἄν με ἡ γῆ διέλαθε. νῦν δὲ, ταῦτα ὑψηλὰ ὄντα, καὶ ὑπερανεστηκότα, καὶ ὁ Ὠκεανὸς ἠρέμα πρὸς τὸν ἥλιον ὑποστίλβων, διεσήμαινέ μοι γῆν εἶναι τὸ ὁρώμενον. ἐπεὶ δὲ ἅπαξ τὴν ὄψιν ἐς τὸ ἀτενὲς ἀπηρεισάμην, ἅπας ὁ τῶν ἀνθρώπων βίος, ἤδη μοι κατεφαίνετο. οὐ κατὰ ἔθνη μόνον καὶ πόλεις, ἀλλὰ καὶ αὐτοὶ σαφῶς οἱ πλέοντες. οἱ πολεμοῦντες. οἱ γεωργοῦντες. οἱ δικαζόμενοι. τὰ γύναια. τὰ θηρία. καὶ πάνθ' ἁπλῶς, ὁπόσα τρέφει ζείδωρος ἄρουρα. ΕΤΑΙ. παντελῶς ἀπίθανα φὴς ταῦτα, καὶ αὑτοῖς ὑπεναντία. ὃς γὰρ ἀρτίως ὦ Μένιππε τὴν γῆν ἐζήτεις ὑπὸ τοῦ μεταξὺ διαστήματος ἐς βραχὺ συνεσταλμένην, καὶ εἴ γε μὴ ὁ κολοσσὸς ἐμήνυσέ σοι, τάχα ἂν ἄλλο τι ᾠήθης ὁρᾶν, πῶς νῦν κα

θαι πρὸς Λογκεὺς ἐξαίφνης γενόμενος, ἅπαντα διεγίνωσκες τὰ ἐπὶ γῆς. τοὺς ἀνθρώπους. τὰ θηρία. μικροῦ δεῖν, τὰς τῶν ἐμπίδων νεοττιάς. ΜΕΝ. εὖ με ὑπέμνησας. ὃ γὰρ μάλιστα ἐχρῆν εἰπεῖν, τοῦτο οὐκ οἶδ' ὅπως παρέλιπον. ἐπεὶ γὰρ αὐτὴν μὲν ἐγνώρισα τὴν γῆν ἰδὼν, τὰ δ' ἄλλα οὐχ οἷός τε ἦν καθορᾶν ὑπὸ τοῦ βάθους, ἅτε τῆς ὄψεως μηκέτι ἐφικνουμένης, πάνυ μ' ἠνία τὸ χρῆμα, καὶ πολλὴν παρεῖχε τὴν ἀπορίαν. κατηφεῖ δὲ ὄντι μοι, καὶ ὀλίγου δεῖν δεδακρυμένῳ, ἐφίσταται κατόπιν ὁ σοφὸς Ἐμπεδοκλῆς, ἀνθρακίας τις ἰδεῖν, καὶ σποδοῦ πλέως, καὶ κατωπτημένος. κἀγὼ μὲν ὡς εἶδον, εἰρήσεται γὰρ, ὑπεταράχθην, καί τινα σεληναῖον δαίμονα ᾠήθην ὁρᾶν. ὁ δὲ, θάρρει „ φησὶν ὦ Μένιππε, οὔ τίς τοι θεός εἰμι. τί μ' ἀ„ θανάτοισιν ἐΐσκεις. ὁ φυσικὸς οὗτός εἰμι Ἐμπεδοκλῆς. ἐπεὶ γὰρ εἰς τοὺς κρατῆρας ἐμαυτὸν φέρων ἐνέβαλον, ὁ καπνός με ἀπὸ τῆς Αἴτνης ἀναρπάσας, δεῦρο ἀνήγαγε. καὶ νῦν ἐν τῇ σελήνῃ κατοικῶ ἀεροβατῶν τὰ πολλὰ, καὶ σιτοῦμαι δρόσον. ἥκω οὖν σε ἀπολύσων τῆς παρούσης ἀπορίας. ἀνιᾷ γάρ σε οἶμαι, καὶ στρέφει, τὸ μὴ σαφῶς τὰ ἐπὶ γῆς ὁρᾶν. εὖγε ἐποίησας ἦν δ' ἐγὼ βέλτιστε Ἐμπεδόκλεις. κἀπειδὰν ταχι-

στα κα

α καταπλῶμαι πάλιν ἐς τὴν Ἑλλάδα, μέμνη
μαι σπένδειν τέ σοι ὡς ἐπὶ τῆς καπνοδόχης.
ἂν ταῖς νουμηνίαις πρὸς τὴν σελήνην ξίσ ἐγ
χανὼν προσεύχεσθαι. ἀλλὰ μὰ τὸν Ἐνδυμίωνα
δ' ὅς, οὐχὶ τοῦ μισθοῦ χάριν ἀφῖγμαι. πέπον
α δέ τι τὴν ψυχὴν, ἰδών σε λελυπημένον.
γὰρ οἶσθα ὅ,τι δράσας, ὀξυδερκὴς γένῃ;
ὰ Δί' ἦν δ' ἐγώ, ἢν μὴ σύ μοι τὴν ἀχλὺν πως
φέλῃς ἀπὸ τῶν ὀμμάτων. νῦν γὰρ δὴ λημᾶν οὐ
ετρίως δοκῶ. καὶ μὴν οὐδέν τι ἦ δ' ὅς, ἐμοῦ δεή
σῃ. σὺ γὰρ ὀξυδερκὲς, αὐτὸς ἤδη γῆθεν ἥκεις ἔχων.
τί δὲ τοῦτό ἐστιν; οὐ γὰρ οἶδ' ἔφην. οὐκ οἶσθα ἦ δ'
ς ἀετοῦ τὴν πτέρυγα τὴν δεξιὰν περικείμενος;
πάνυ μάλα ἦν δ' ἐγώ. τί δὲ πτέρυγι καὶ ὀφθαλμῷ
κοινόν ἐστιν; ὅτι ἦ δ' ὅς, παρὰ πολὺ τῶν ἄλλων
ζώων ἀετός ἐστιν ὀξυωπέστατος. ὥστε μόνος
ἀντίον δέδορκε τῷ ἡλίῳ. καὶ τοῦτό ἐστιν ὁ βα
σιλεὺς, καὶ γνήσιος ἀετὸς, ἢν ἀσκαρδαμυκτὶ
πρὸς τὰς ἀκτῖνας βλέπῃ. φασὶ ταῦτα ἦν δ'
ἐγώ. καί μοι ἤδη μεταμέλει, ὅτι δεῦρο ἀνιὼν,
οὐχὶ τὼ ὀφθαλμὼ τοῦ ἀετοῦ ἐνεθέμην τοὺς ἐ
μοὺς ἐξελὼν, ὡς νῦν γε ἡμιτελὴς ἀφῖγμαι, καὶ οὐ
πάντα βασιλικῶς ἐσκευασμένος. ἀλλ' ἔοι
κα τοῖς νόθοις ἐκείνοις, καὶ ἀποκηρύκτοις. καὶ
μὴν παρὰ σοὶ ἦ δ' ὅς αὐτίκα μάλα τὸν ἕτερον ὀφ

θαλμὸν ἔχειν βασιλικόν. ἢν γὰρ ἐθελήσῃς, μικρὸν ἀναστὰς, ἐπισχὼν τοῦ γυπὸς τὴν πτέρυγα, θατέρᾳ μόνῃ πτερύξασθαι, κατὰ λόγον τῆς πτέρυγος, τὸν δεξιὸν ὀφθαλμὸν ὀξυδερκὴς ἔσῃ. τὸν γὰρ ἕτερον, οὐδεμία μηχανὴ μὴ οὐκ ἀμβλύτερον δεδορκέναι, τῆς μερίδος ὄντα τῆς χείρονος. ἅλις ἦν δ' ἐγὼ, εἰ καὶ ὁ δεξιὸς μόνος ἀετώδης βλέποι. οὐδὲν γὰρ ἂν ἔλαττον γένοιτο. ἐπεὶ καὶ τοὺς τέκτονας πολλάκις ἑωρακέναι μοι δοκῶ, θατέρῳ τῶν ὀφθαλμῶν, ἄμεινον πρὸς τοὺς κανόνας ἀπευθύνοντας τὰ ξύλα. Ταῦτα εἰπὼν, ἐποίουν ἅμα τὰ ὑπὸ τοῦ Ἐμπεδοκλέους παρηγγελμένα. ὁ δὲ, κατ' ὀλίγον ὑπαπιὼν, ἐς καπνὸν ἠρέμα διελύετο. κἀπειδὴ τάχιστα ἐπτερυξάμην, αὐτίκα με φῶς πάμμεγα περιέλαμψε, καὶ τὰ τέως λανθάνοντα πάντα διεφαίνετο. κατακύψας γοῦν ἐς τὴν γῆν, ἑώρων σαφῶς τὰς πόλεις, τοὺς ἀνθρώπους, τὰ γιγνόμενα. καὶ οὐ τὰ ἐν ὑπαίθρῳ μόνον, ἀλλὰ καὶ ὁπόσα οἴκοι ἔπραττον, οἰόμενοι λανθάνειν. Πτολεμαῖον μὲν, συνόντα τῇ ἀδελφῇ. Λυσιμάχῳ δὲ, τὸν υἱὸν ἐπιβουλεύοντα. τὸν Σελεύκου δὲ Ἀντίοχον, Στρατονίκῃ διανεύοντα λάθρα τῇ μητρυιᾷ. τὸν δὲ Θετταλὸν Ἀλέξανδρον, ὑπὸ τῆς γυναικὸς ἀναιρούμενον. καὶ Ἀντίγονον, μοιχεύοντα τοῦ υἱοῦ

τὴν

τὴν γυναῖκα. ἐν Ἀττάλῳ τὸν υἱὸν ἐγχέοντα τὸ
φάρμακον. ἑτέρωθι δ' αὖ, Ἀρσάκην φονεύον-
τα τὸ γύναιον, καὶ τὸν εὐνοῦχον Ἀρβάκην, ἕλκον-
τα τὸ ξίφος ἐπὶ τὸν Ἀρσάκην. Σπατῖνος δὲ
ὁ Μῆδος, ἐκ τοῦ συμποσίου πρὸς τῶν δορυφορούν-
των εἱλκυσμένος ἔξω τοῦ ποδός, σκύφῳ χρυσῷ τὴν
ὀφρὺν κατηλοημένος. ὅμοια δὲ τούτοις ἐν τῇ Λι-
βύῃ, καὶ παρὰ Σκύθαις, καὶ Θρᾳξὶ γινόμενα ἐν
τοῖς βασιλείοις ἦν ὁρᾶν, μοιχεύοντας, φονεύον-
τας, ἐπιβουλεύοντας, ἁρπάζοντας, ἐπιορκοῦν-
τας, δεδιότας, ὑπὸ τῶν οἰκειοτάτων προδιδο-
μένους. καὶ τὰ μὲν τῶν βασιλέων, τοιαύτην
παρέσχε μοι τὴν διατριβήν. τὰ δὲ τῶν ἰδιω-
τῶν, πολὺ γελοιότερα. καὶ γὰρ αὖ κἀκείνους ἑώ-
ρων, Ἑρμόδωρον μὲν τὸν ἐπικούρειον, χιλίων ἕνε-
κα δραχμῶν, ἐπιορκοῦντα. τὸν στωϊκὸν δὲ Ἀγα-
θοκλέα, περὶ μισθῶν τῷ μαθητῇ δικαζόμε-
νον. Κλεινίαν δὲ τὸν ῥήτορα, ἐκ τοῦ Ἀσκληπιείου,
φιάλην ὑφαιρούμενον. τὸν δὲ κυνικὸν Ἡρόφι-
λον, ἐν τῷ χαμαιτυπείῳ καθεύδοντα. τί γὰρ
τοὺς ἄλλους λέγοιμι, τοὺς τοιχωρυχοῦντας,
τοὺς δικαζομένους, τοὺς δανείζοντας, τοὺς ἀπαιτοῦν-
τας; ὅλως γάρ, ποικίλη, καὶ παντοδαπή
τις ἦν ἡ θέα. ΕΤΑΙ. καὶ μὴν καὶ ταῦ-
τα ὦ Μένιππε, καλῶς εἶχε λέγειν. ἔοικε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γὰρ οὐ τὴν τυχοῦσαν τερπωλήν σοι παρέχεσθαι. Με. πάντα μὲν ἑξῆς διελθεῖν, ὦ φιλότης, ἀδύνατον, ὅπου γε καὶ ὁρᾶν αὐτὰ ἔργον δυσχερὲς ἦν. τὰ μέντοι κεφάλαια τῶν πραγμάτων, τοιαῦτα ἐφαίνετο, οἷά φησιν Ὅμηρος τὰ ἐπὶ τῆς ἀσπίδος. οὗ μὲν, γὰρ ἦσαν εἰλαπίναι, καὶ γάμοι. ἑτέρωθι δὲ, δικαστήρια, καὶ ἐκκλησίαι. καθ' ἕτερον δὲ μέρος, ἔθυέ τις. ἐν γειτόνων δὲ, πενθῶν ἄλλος ἐφαίνετο. καὶ ὅτε μὲν ἐς τὴν Γετικὴν ἀποβλέψαιμι, πολεμοῦντας ἂν ἑώρων τοὺς Γέτας. ὅτε δὲ μεταβαίην ἐπὶ τοὺς Σκύθας, πλανωμένους ἐπὶ τῶν ἁμαξῶν ἦν ἰδεῖν. μικρὸν δὲ ἐπικλίνας τὸν ὀφθαλμὸν ἐπὶ θάτερα, τοὺς Αἰγυπτίους γεωργοῦντας ἐπέβλεπον. καὶ ὁ Φοῖνιξ δὲ, ἐνεπορεύετο. καὶ ὁ Κίλιξ, ἐλῄστευε. καὶ ὁ Λάκων ἐμαστιγοῦτο. καὶ ὁ Ἀθηναῖος, ἐδικάζετο. ἁπάντων τούτων ὑπὸ τὸν αὐτὸν γινομένων χρόνον, ὥρα σοι ἤδη ἐπινοεῖν ὁποῖός τις ὁ κυκεὼν οὗτος ἐφαίνετο. ὥσπερ ἂν εἴ τις παραστησάμενος πολλοὺς χορευτάς, μᾶλλον δὲ πολλοὺς χορούς, ἔπειτα προστάξειε τῶν ᾀδόντων ἑκάστῳ τὴν συνῳδίαν ἀφέντα, ἴδιον ᾄδειν μέλος. φιλοτιμουμένου δ' ἑκάστου, καὶ τὸ ἴδιον περαίνοντος, καὶ τὸν πλησίον ὑπερβαλέσθαι τῇ μεγαλοφωνίᾳ προθυμουμέ-

νου,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἆρα ἐνθυμῇ πρὸς Διὸς οἷα γένοιτ' ἂν ἡ ᾠδὴ ἠ-
ιεται. παντάπασιν ὦ Μένιππε, παγγέ-
λοιος, καὶ τεταραγμένη. Μέ. καὶ μὴν ὦ ἑταῖ-
ρε τοιοῦτοι πάντες εἰσὶν οἱ ἐπὶ γῆς χορευταί.
καὶ τοιαύτης ἀναρμοστίας, ὁ τῶν ἀνθρώπων
βίος συντέτακται, οὐ μόνον ἀπῳδὰ φθεγγο-
μένων, ἀλλὰ καὶ ἀνομοίων τὰ σχήματα, καὶ τὰ-
ναντία κινουμένων, καὶ ταὐτὸ οὐδὲν ἐπινοούν-
των, ἄχρις ἂν αὐτῶν ἕκαστον ὁ χορηγὸς ἀπελά-
σῃ τῆς σκηνῆς, οὐκ ἔτι δεῖσθαι λέγων. τοὐντεῦ-
θεν δὲ, ὅμοιοι πάντες ἤδη σιωπῶντες, οὐκ ἔ-
τι τὴν συμμιγῆ ἐκείνην, καὶ ἄτακτον ᾠδὴν ἀ-
πᾴδοντες, ἀλλ' ἐν αὐτῷ γε ποικίλῳ, καὶ πο-
λυειδεῖ τῷ θεάτρῳ, πάντα μὲν γελοῖα δή που
ἦν τὰ γιγνόμενα. μάλιστα δὲ ἐπ' ἐκείνοις
ἐπῄει μοι γελᾶν, τοῖς περὶ γῆς ὅρων ἐρίζουσι,
καὶ τοῖς μέγα φρονοῦσιν ἐπὶ τῷ τὸ Σικυώνιον πε-
δίον γεωργεῖν, ἢ Μαραθῶνος ἔχειν τὰ περὶ τὴν
Οἰνόην, ἢ Ἀχαρνῆσι πλέθρα κεκτῆσθαι χίλια.
τῆς γοῦν Ἑλλάδος ὅλης, ὡς τότε μοι ἄνωθεν ἐ-
φαίνετο, δακτύλων οὔσης τὸ μέγεθος τεττά-
ρων, κατὰ λόγον οἶμαι ἡ Ἀττικὴ πολλοστημό-
ριον ἦν. ὥστε ἐνενόουν ἐφ' ὁπόσῳ τοῖς πλουσί-
οις τούτοις μέγα φρονεῖν κατελείπετο. σχεδὸν γὰρ
ὁ πολυπλεθρότατος αὐτῶν, μίαν τῶν ἐπικουρεί-

ἀτόμων ἐδόκει μοι γεωργεῖν. ἀποβλέψας δὲ δὴ καὶ ἐς τὴν Πελοπόννησον, εἶτα τὴν Κυνουρίαν γῆν ἰδὼν, ἀνεμνήσθην περὶ ὅσου χωρίου κατ' οὐδὲν Φακοῦ αἰγυπτίου πλατυτέρου, τοσοῦτοι ἔπεσον Ἀργείων καὶ Λακεδαιμονίων μιᾶς ἡμέρας. καὶ μὴν εἴ τινα ἴδοιμι ἐπὶ χρυσῷ μέγα φρονοῦντα, ὅτι δακτυλίους τε εἶχεν ὀκτὼ, καὶ φιάλας τέτταρας, πάνυ καὶ ἐπὶ τούτῳ ἂν ἐγέλων. τὸ γὰρ Πάγγαιον ὅλον, αὐτοῖς μετάλλοις κεγχριαῖον ἦν τὸ μέγεθος. Εται. ὦ μακάριε Μένιππε, τῆς παραδόξου θέας. αἱ δὲ δὴ πόλεις πρὸς Διὸς, καὶ οἱ ἄνδρες αὐτοὶ, πηλίκοι διεφαίνοντο ἄνω; Με. οἶμαί σε πολλάκις ἤδη μυρμήκων ἀγορὰν ἑωρακέναι. τοὺς μὲν, εἰλουμένους. ἐνίους δ' ἐξιόντας. ἑτέρους δὲ, ἐπανιόντας αὖθις εἰς τὴν πόλιν. καὶ ὁ μέν τις, τὴν κόπρον ἐκφέρει. ὁ δὲ, ἁρπάσας ποθὲν ἢ κυάμου λέπος, ἢ πυροῦ ἡμίτομον, θεῖ φέρων. εἰκὸς δὲ εἶναι παρ' αὐτοῖς κατὰ λόγον τοῦ μυρμήκων βίου, καὶ οἰκοδόμους τινὰς, καὶ δημαγωγοὺς, καὶ πρυτάνεις, καὶ μουσικοὺς, καὶ φιλοσόφους. πλὴν αἵ γε πόλεις αὐτοῖς ἀνδράσι ταῖς μυρμηκιαῖς μάλιστα ἐῴκεσαν. εἰ δέ σοι δοκεῖ μικρὸν τὸ παράδειγμα τὸ ἀνθρώπους εἰκάσαι τῇ μυρμήκων πολιτείᾳ, τοὺς παλαιοὺς μύθους ἐπίσκεψαι τῶν Θετταλῶν. εὑρήσεις γὰρ

τοὺς

καὶ Μυρμιδόνας, τὸ μαχιμώτατον φῦλον, ἐκ μυρμήκων ἄνδρας γεγονότας. ἐπειδὴ δ' οὖν πάντα ἱκανῶς ἑωρᾶτο, καὶ κατεγεγέλαστό μοι, διασείσας ἐμαυτὸν, ἀνεπτόμην δώματ' ἐς αἰγιόχοιο Διὸς μετὰ δαίμονας ἄλλους, οὔπω στάδιον ἀνεληλύθειν. καὶ ἡ σελήνη, γυναικείαν φωνὴν προϊεμένη, Μένιππε φησὶν, οὕτως ὄναιο. διακόνησαί μοι τι πρὸς τὸν Δία. λέγοις ἂν ἦν δ' ἐγώ. βαρὺ γὰρ οὐδὲν, ἢν μή τι φέρειν δέῃ. πρεσβείαν ἔφη τινὰ οὐ χαλεπὴν, καὶ δέησιν ἀπένεγκαι παρ' ἐμοῦ τῷ Διΐ. ἀπείρηκα γὰρ ὦ Μένιππε, πολλὰ, καὶ δεινὰ παρὰ τῶν φιλοσόφων ἀκούουσα. οἷς οὐδὲν ἕτερόν ἐστιν ἔργον, ἢ τὰ ἐμὰ πολυπραγμονεῖν, τίς εἰμι, καὶ πηλίκη. καὶ δι' ἥντινα αἰτίαν διχότομος, ἢ ἀμφίκυρτος γίνομαι. καὶ οἱ μὲν, κατοικεῖσθαι τέ με φασίν. οἱ δὲ, κατόπτρου δίκην ἐπικρέμασθαι τῇ θαλάσσῃ. οἱ δὲ, ὅ, τι ἂν ἕκαστος ἐπινοήσῃ, τοῦτό μοι προσάπτουσι. τὰ τελευταῖα δὲ, καὶ τὸ φῶς αὐτὸ, κλοπιμαῖόν τε, καὶ νόθον εἶναί φασί μοι, ἄνωθεν ἧκον παρὰ τοῦ ἡλίου. καὶ οὐ παύονται. καὶ πρὸς τοῦτόν με ἀδελφὸν ὄντα μου, συγκροῦσαι, καὶ στασιάσαι προαιρούμενοι. οὐ γὰρ ἱκανὰ ἦν αὐτοῖς, ἃ περὶ αὐτοῦ εἰρήκασι τοῦ ἡλίου, λίθον αὐτὸν εἶναι, καὶ μύδρον διάπυρον. καίτοι πόσα ἐγὼ συνεπί-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σταμαι αὐτοῖς, ἃ πράττουσι τῶν νυκτῶν, αἰσχρὰ καὶ κατάπτυστα, οἱ μεθ' ἡμέραν σκυθρωποὶ, καὶ ἀνδρώδεις τὸ βλέμμα, καὶ τὸ σχῆμα σεμνοὶ, καὶ ὑπὸ τῶν ἰδιωτῶν ἀποβλεπόμενοι. κἀγὼ μὲν ταῦτα ὁρῶσα, ὅμως σιωπῶ. οὐ γὰρ ἡγοῦμαι πρέπειν ἀποκαλύψαι, καὶ διαφωτίσαι τὰς νυκτερινὰς ἐκείνας διατριβὰς, καὶ τὸν ἐπὶ σκηνῆς ἑκάστου βίον. ἀλλὰ κἄν τινα ἴδω αὐτῶν μοιχεύοντα, ἢ κλέπτοντα, ἢ ἄλλο τι τολμῶντα νυκτερινώτατον, εὐθὺς ἐπισπασαμένη τὸ νέφος, ἐνεκαλυψάμην, ἵνα μὴ δείξω τοῖς πολλοῖς γέροντας ἄνδρας, βαθεῖ πώγωνι, καὶ ἀρετῇ ἐνασχημονοῦντας. οἱ δὲ, οὐδὲν ἀνιᾶσι, διασπαράττοντές με τῷ λόγῳ, καὶ πάντα τρόπον ὑβρίζοντες. ὥστε νὴ τὴν νύκτα, πολλάκις ἐβουλευσάμην μετοικῆσαι ὅτι πορρωτάτω, ἵν' αὐτῶν τὴν περίεργον ἂν γλῶτταν διέφυγον. μέμνησο οὖν ταῦτά τε ἀπαγγεῖλαι τῷ Διΐ, καὶ προσθεῖναι δ' ὅτι μὴ δυνατόν ἐστί μοι κατὰ χώραν μένειν, ἢν μὴ τοὺς φυσικοὺς ἐκεῖνος ἐπιτρίψῃ, καὶ τοὺς διαλεκτικοὺς ἐπιστομίσῃ, καὶ τὴν Στοὰν κατασκάψῃ, καὶ τὴν ἀκαδημίαν καταφλέξῃ, καὶ παύσῃ τὰς ἐν τοῖς περιπάτοις διατριβάς. οὕτω γὰρ ἂν εἰρήνην ἄγοιμι, ὁσημέραι πρὸς αὐτῶν γεωμετρουμένη. ἔσται ταῦτα ἦν δ' ἐγώ. καὶ ἅμα πρὸς

τὸ ἄναν-

ἀνακύψαντες ἐτείνομεν τὴν ἐπὶ τοῦ οὐρανοῦ, ἔνθεν δ' οὔτε βοῶν, οὔτ' ἀνθρώπων φαίνεται ἔργα. μετ' ὀλίγον γὰρ καὶ ἡ σελήνη βραχεῖά μοι καθεωρᾶτο, καὶ τὴν γῆν ἤδη ἀπέκρυπτε. λαβὼν δὲ τὸν ἥλιον ἐν δεξιᾷ, διὰ τῶν ἀστέρων πετόμενος, τριταῖος ἐπλησίασα τῷ οὐρανῷ. καὶ τὸ μὲν πρῶτον, ἐδόκει μοι ὡς εἶχον εὐθὺς, εἴσω παριέναι. ῥᾳδίως γὰρ ᾤμην διαλαθεῖν, ἅτε ἐξ ἡμισείας ὢν ἀετός. τὸν δὲ ἀετὸν ἠπιστάμην ἐκ παλαιοῦ συνήθη τῷ Διΐ. ὕστερον δὲ ἐλογισάμην ὡς τάχιστα καταφωράσουσί με, γυπὸς τὴν ἑτέραν πτέρυγα περικείμενον. ἄριστον γοῦν κρίνας τὸ μὴ παρακινδυνεύειν, ἔκοπτον προσελθὼν τὴν θύραν. ὑπακούσας δὲ ὁ Ἑρμῆς, καὶ τοὔνομα ἐκπυθόμενος, ἀπῄει κατὰ σπουδὴν φράσων τῷ Διΐ. καὶ μετ' ὀλίγον εἰσεκλήθην, πάνυ δεδιὼς, καὶ τρέμων. καταλαμβάνω τε πάντας ἅμα συγκαθημένους, οὐδὲ αὐτοὺς ἀφρόντιδας. ὑπετάραττε γὰρ ἡσυχῇ τὸ παράδοξόν μου τῆς ἐπιδημίας. καὶ ὅσον οὐδέπω πάντας ἀνθρώπους ἀφίξεσθαι προσεδόκων, τὸν αὐτὸν τρόπον ἐπτερωμένους. ὁ δὲ Ζεὺς, μάλα φοβερῶς δριμύ τε καὶ Τιτανῶδες εἰς ἐμὲ ἀπιδὼν, φησί, Τίς, πόθεν εἰς ἀνδρῶν, πόθι τοι “
πόλις, ἠδὲ τοκῆες; ἐγὼ δὲ, ὡς τοῦτ' ἤκου. “



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σα, μικροῦ μὲν ἀπέθανον ὑπὸ τοῦ δέους. εἰστήκειν δὲ ὅμως ἀχανής, καὶ ὑπὸ τῆς μεγαλοφωνίας ἐμβεβροντημένος. χρόνῳ δ' ἐμαυτὸν ἀναλαβών, ἅπαντα διηγούμην σαφῶς, ἄνωθεν ἀρξάμενος, ὡς ἐπιθυμήσαιμι τὰ μετέωρα ἐκμαθεῖν, ὡς ἔλθοιμι παρὰ τοὺς φιλοσόφους, ὡς τἀναντία λεγόντων ἀκούσαιμι, ὡς ἀπαγορεύσαιμι διασπώμενος ὑπὸ τῶν λόγων. εἶτα ἑξῆς τὴν ἐπίνοιαν, καὶ τὰ πτερά, καὶ τἄλλα πάντα, μέχρι πρὸς τὸν οὐρανόν. ἐπὶ πᾶσι δὲ προσέθηκα, τὰ ὑπὸ τῆς σελήνης ἐπεσταλμένα. μειδιάσας δ' οὖν ὁ Ζεύς, καὶ μικρὸν ἐπανεὶς τῶν ὀφρύων, τί ἂν λέγοις φησὶν Ὤτου πέρι, καὶ Ἐφιάλτου, ὅπου καὶ Μένιππος ἐτόλμησεν ἐς τὸν οὐρανὸν ἀνελθεῖν; ἀλλὰ νῦν μὲν ἐπὶ ξενίαν σε καλοῦμεν. αὔριον δὲ ἔφη, περὶ ὧν ἥκεις χρηματίσαντες, ἀποπέμψομεν, καὶ ἅμα ἐξαναστάς, ἐβάδιζεν ἐς τὸ ἐπηκοώτατον τοῦ οὐρανοῦ. καιρὸς γὰρ ἦν ἐπὶ τῶν εὐχῶν καθέζεσθαι. μεταξύ τε προϊών, ἀνέκρινέ με περὶ τῶν ἐν τῇ γῇ πραγμάτων. τὰ πρῶτα μὲν ἐκεῖνα, πόσου νῦν ὁ πυρὸς ὤνιος ἐπὶ τῆς Ἑλλάδος, καὶ εἰ σφόδρα ὑμῶν ὁ πέρυσι χειμὼν καθίκετο, καὶ εἰ τὰ λάχανα δεῖται πλείονος ἐπομβρίας. μετὰ δέ, ἠρώτα, εἴ τις ἔτι λείπεται τῶν ἀπὸ Φειδίου, καὶ

ἣν αἰτίαν ἐκλίποιεν Ἀθηναῖοι τὰ διάσια το
ύτων ἐτῶν, καὶ εἰ τὸ ὀλύμπιον αὐτῷ ἐπιτε
λέσαι διανοοῦνται, καὶ εἰ συνελήφθησαν οἱ τὸν
ἐν Δωδώνῃ νεὼν σεσυληκότες. ἐπεὶ δὲ περὶ τού
των ἀπεκρινάμην, εἰπέ μοι Μένιππε ἔφη, πε
ρὶ δὲ ἐμοῦ οἱ ἄνθρωποι τίνα γνώμην ἔχουσι;
τίνα ἔφην δέσποτα, ἢ τὴν εὐσεβεστάτην, βασι
λέα σε εἶναι πάντων θεῶν. παίζεις ἔχων ἔφη.
τὸ δὲ φιλόνεικον αὐτῶν, ἀκριβῶς οἶδα, κἂν μὴ
λέγῃς. ἦν γάρ ποτε χρόνος, ὅτε καὶ μάντις ἐ
δόκουν αὐτοῖς, καὶ ἰατρὸς, καὶ πάντα ὅλως ἦν ἐ
γώ. μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαὶ, πᾶσαι
δ᾽ ἀνθρώπων ἀγοραί. καὶ ἡ Δωδώνη τε, καὶ ἡ Πῖ
σα, λαμπραὶ, καὶ περίβλεπτοι πᾶσιν ἦσαν. ὑπὸ
δὲ τοῦ καπνοῦ τῶν θυσιῶν, οὐδὲ ἀναβλέπειν
μοι δυνατόν. ἐξ οὗ δὲ ἐν Δελφοῖς μὲν Ἀπόλ
λων τὸ μαντεῖον κατεστήσατο, ἐν Περγάμῳ
δὲ τὸ ἰατρεῖον ὁ Ἀσκληπιὸς, καὶ τὸ Βενδίδειον ἐγέ
νετο ἐν Θρᾴκῃ, καὶ τὸ Ἀνουβίδειον ἐν Αἰγύπτῳ, καὶ
τὸ Ἀρτεμίσιον ἐν Ἐφέσῳ, ἐπὶ ταῦτα μὲν ἅπαν
τες θέουσι, καὶ πανηγύρεις ἀνάγουσι, καὶ ἑκα
τόμβας παριστᾶσιν. ἐμὲ δὲ ὥσπερ παρηβη
κότα ἱκανῶς τετιμηκέναι νομίζουσιν, ἂν διὰ
πέντε ὅλων ἐτῶν θύσωσιν ἐν Ὀλυμπίᾳ. τοι
γαροῦν ψυχροτέρους ἄν μου τοὺς βωμοὺς ἴδοις



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν Πλάτωνος νόμων. ἢ τῶν Χρυσίππου συλλογισμῶν. τοιαῦτ' ἄττα διεξιόντες, ἀφικνούμεθα εἰς τὸ χωρίον, ἔνθα ἔδει αὐτὸν καθεζόμενον, διακοῦσαι τῶν εὐχῶν. θυρίδες δὲ ἦσαν ἑξῆς τοῖς στομίοις τῶν φρεάτων ἐοικυῖαι, πώματα ἔχουσαι. καὶ παρ' ἑκάστῃ θρόνος ἔκειτο χρυσοῦς. καθίσας οὖν ἑαυτὸν ἐπὶ τῆς πρώτης ὁ Ζεὺς, καὶ ἀφελὼν τὸ πῶμα, παρεῖχε τοῖς εὐχομένοις ἑαυτόν. ηὔχοντο δὲ πανταχόθεν τῆς γῆς διάφορα, καὶ ποικίλα. συμπαρακύψας οὖν καὶ αὐτὸς, ἐπήκουον ἅμα τῶν εὐχῶν. ἦσαν δὲ τοιαίδε. ὦ Ζεῦ, βασιλεῦσαί μοι γένοιτο. ὦ Ζεῦ, τὰ κρόμμυά μοι φῦναι, καὶ τὰ σκόροδα. ὦ Ζεῦ, τὸν πατέρα μοι ταχέως ἀποθανεῖν. ὁ δέ τις ἂν φαίη, εἴθε κληρονομήσαιμι τῆς γυναικός. εἴθε λάθοιμι ἐπιβουλεύσας τῷ ἀδελφῷ. γένοιτό μοι νικῆσαι τὴν δίκην. στεφθῆναι τὰ ὀλύμπια. τῶν πλεόντων δὲ, ὁ μὲν, βορέαν ηὔχετο ἐπιπνεῦσαι. ὁ δὲ, νότον. ὁ δὲ γεωργὸς, ᾔτει ὑετόν. ὁ δὲ κναφεὺς, ἥλιον. ἐπακούων δὲ ὁ Ζεὺς, καὶ τὴν εὐχὴν ἑκάστην ἀκριβῶς ἐξετάζων, οὐ πάντα ὑπισχνεῖτο. ἀλλ' ἕτερον μὲν ἔδωκε πατὴρ, ἕτερον δ' ἀνένευσε. τὰς μὲν γὰρ δικαίας τῶν εὐχῶν, προσίετο ἄνω διὰ τοῦ στομίου, καὶ

ι, καὶ ἐπὶ τὰ δεξιὰ κατετίθει φέρων. τὰς δὲ
νοσίους, ἀπράκτους αὖθις ἀπέπεμπεν ἀποφυ
σῶν κάτω, ἵνα μηδὲ πλησίον γένοιντο τοῦ οὐ
ρανοῦ. ἐπὶ μιᾶς δέ τινος εὐχῆς, καὶ ἀπροῦν
τα αὐτὸν ἐθεασάμην. δύο γὰρ ἀνδρῶν τἀναντία
εὐχομένων, καὶ τὰς ἴσας θυσίας ὑπισχνουμέ
νων, οὐκ εἶχεν ὁποτέρῳ μᾶλλον ἐπινεύσειεν αὐ
τῶν. ὥστε δὴ τὸ ἀκαδημαϊκὸν ἐκεῖνο ἐπεπόν-
θει, καὶ οὐδέν τι ἀποφήνασθαι δυνατὸς ἦν. ἀλλ'
ὥσπερ ὁ Πύῤῥων, ἐπεῖχεν ἔτι καὶ διεσκέπτετο.
ἐπεὶ δὲ ἱκανῶς ἐχρημάτισε ταῖς εὐχαῖς, ἐπὶ τὸ
ν ἑξῆς μεταβὰς θρόνον, καὶ τὴν δευτέραν θυρί
δα, κατακύψας τοῖς ὅρκοις ἐσχόλαζε καὶ τοῖς ὀμνύ
ουσι. χρηματίσας δὲ καὶ τούτοις, καὶ τὸν ἐπικού
ρειον Ερμόδωρον ἐπιτρίψας, μετεκαθέζετο ἐπὶ
τὸν ἑξῆς θρόνον, κληδόσι, καὶ φήμαις, καὶ οἰ
ωνοῖς προσέξων. εἶτ' ἐκεῖθεν ἐπὶ τὴν τῶν θυσι
ῶν θυρίδα μετῄει, δι' ἧς ὁ καπνὸς ἀνιὼν, ἀπήγ
γελλε τῷ Διῒ τοῦ θύοντος ἑκάστου τοὔνομα. ἀ
ποστὰς δὲ τούτων, προσέταττε τοῖς ἀνέμοις,
καὶ ταῖς ὥραις, ἃ δεῖ ποιεῖν. τήμερον παρὰ
Σκύθαις, ὑέτω. παρὰ Λίβυσιν, ἀστραπτέτω.
παρ' Ἕλλησι, νιφέτω. σὺ δὲ ὁ βορέας, πνεῦσον
ἐν Λυδίᾳ. σὺ δὲ ὁ νότος, ἡσυχίαν ἄγε. ὁ δὲ ζέ
φυρος, τὸν Ἀδρίαν διακυμαινέτω, καὶ τῆς χα



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λάζης ὅσον μέδιμνοι χίλιοι διεσκεδάσθησαν ὑπὲρ Καππαδοκίας. ἁπάντων δὲ ἤδη καλῶς αὐτῷ διῳκημένων, ἀπήειμεν ἐς τὸ συμπόσιον. δείπνου γὰρ ἤδη καιρὸς ἦν, καί με ὁ Ἑρμῆς παραλαβὼν, κατέκλινε παρὰ τὸν Πᾶνα, καὶ τοὺς Κορύβαντας, καὶ τὸν Ἄττιν, καὶ τὸν Σαβάζιον, τοὺς μετοίκους τούτους, καὶ ἀμφιβόλους θεούς. καὶ ἄρτον δὲ ἡ Δημήτηρ παρεῖχε, καὶ ὁ Διόνυσος οἶνον, καὶ ὁ Ἡρακλῆς κρέα, καὶ μύρτα ἡ Ἀφροδίτη, καὶ ὁ Ποσειδῶν μαινίδας. ἅμα δὲ καὶ τῆς ἀμβροσίας ἠρέμα, καὶ τοῦ νέκταρος παρεγευόμην. ὁ γὰρ βέλτιστος Γανυμήδης, ὑπὸ φιλανθρωπίας, εἰ θεάσαιτο ἀποβλέποντά ποι τὸν Δία, κοτύλην ἂν, ἢ, καὶ δύο τοῦ νέκταρος ἐνέχει μοι φέρων. οἱ δὲ θεοί, ὡς Ὅμηρός που λέγει, καὶ αὐτὸς οἶμαι καθάπερ ἐγὼ τἀκεῖ τεθεαμένος, οὔτε σῖτον ἔδουσιν, οὔτε πίνουσιν αἴθοπα οἶνον, ἀλλὰ τὴν ἀμβροσίαν παρατίθενται, καὶ τοῦ νέκταρος μεθύσκονται. μάλιστα δὲ ἥδονται, σιτούμενοι τὸν ἐκ τῶν θυσιῶν καπνὸν αὐτῇ κνίσῃ ἀνενηνεγμένον. καὶ τὸ αἷμα δὲ τῶν ἱερείων, ὃ τοῖς βωμοῖς οἱ θύοντες περιχέουσιν. ἐν δὲ τῷ δείπνῳ, ὅ, τε Ἀπόλλων ἐκιθάρισε, καὶ ὁ Σειληνὸς, κόρδακα ὠρχήσατο, καὶ αἱ μοῦσαι ἀναστᾶσαι, τῆς τε Ἡσιόδου θεογονίας ἦσαν ἡμῖν, καὶ τὴν πρώτην ᾠδὴν τῶν ὕμνων τοῦ Πινδάρου. κἀ-

πειδὴ

πειδὴ κόρος ἦν, ἀνεπαυόμεθα ὡς εἶχεν ἕκαστος,
ἱκανῶς ἀποβεβρεγμένοι. ἄλλοι μέν ῥα θεοί τε
καὶ ἀνέρες ἱπποκορυσταὶ, εὗδον παννύχιοι. ἐμὲ
δ' οὐκ εἶχε νήδυμος ὕπνος. ἀνελογιζόμην γὰρ
πολλὰ μὲν καὶ ἄλλα, μᾶλλον δὲ ἐκεῖνα, πῶς ἐν
τοσούτῳ χρόνῳ ὁ Ἀπόλλων οὐ φύει πώγωνα, ἢ
πῶς γίνεται νὺξ ἐν οὐρανῷ, τοῦ ἡλίου παρόντος
ἀεὶ, καὶ συνευωχουμένου. τότε μὲν οὖν μικρόν
τι κατέδαρθον. ἕωθεν δὲ διαναστὰς ὁ Ζεὺς, προσέ-
ταττε κηρύττειν ἐκκλησίαν. κἀπειδὴ παρῆ-
σαν ἅπαντες, ἄρχεται λέγειν. τὴν μὲν αἰτίαν
τοῦ ξυναγαγεῖν ὑμᾶς, ὁ χθιζὸς οὗτος ξένος πα-
ρέσχηται. πάλαι δὲ βουλόμενος ὑμῖν κοινώσα-
σθαι περὶ τῶν φιλοσόφων, μάλιστά γε ὑπὸ τῆς
Σελήνης, καὶ ὧν ἐκείνη μέμφεται προτραπείς, ἔ-
γνων μηκέτ' ἐπὶ πλεῖον παρατεῖναι τὴν διά-
σκεψιν. γένος γάρ τι ἀνθρώπων ἐστὶν, οὐ πρὸ πολ-
λοῦ τῷ βίῳ ἐπιπολάζον, ἀργὸν, φιλόνεικον,
κενόδοξον, ὀξύχολον, ὑπόλιχνον, ὑπόμωρον,
τετυφωμένον, ὕβρεως ἀνάπλεων. καὶ ἵνα κα-
θ' Ὅμηρον εἴπω, ἐτώσιον ἄχθος ἀρούρης. οὗ-
τοι τοίνυν εἰς συστήματα διαιρεθέντες, καὶ δια-
φόρους λόγων λαβυρίνθους ἐπινοήσαντες, οἱ μὲν,
στωϊκοὺς ὠνομάκασιν. οἱ δὲ ἀκαδημαϊκούς. οἱ
δὲ, ἐπικουρείους. οἱ δὲ, περιπατητικούς. καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄλλα πολλῷ γε λοιδορότερα τούτων. ἔπειτα δὲ,
ὄνομα σεμνὸν τὴν ἀρετὴν περιθέμενοι, καὶ τὰς
ὀφρῦς ἐπάραντες, καὶ πώγωνας ἐπισπασάμενοι,
περιέρχονται ἐπιπλάστῳ σχήματι, κατάπτυ-
στα ἤθη περιστέλλοντες, ἐοικότες μάλιστα τοῖς
τραγικοῖς ἐκείνοις ὑποκριταῖς. ὧν ἢν ἀφέλῃς
τὰ προσωπεῖα, καὶ τὴν χρυσόπαστον ἐκείνην στο-
λὴν, τὸ καταλειπόμενόν ἐστι γελοῖον, ἀνθρώπιον ἑ-
πτὰ δραχμῶν ἐς τὸν ἀγῶνα μεμισθωμένον. τοιοῦ-
τοι δὲ ὄντες, ἀνθρώπων μὲν ἁπάντων καταφρο-
νοῦσι. περὶ θεῶν δὲ, ἀλλόκοτα διεξέρχονται. καὶ
συνάγοντες εὐεξαπάτητα μειράκια, τήν τε
πολυθρύλητον ἀρετὴν τραγῳδοῦσι, καὶ τὰς
τῶν λόγων ἀπορίας ἐκδιδάσκουσι. καὶ πρὸς μὲν
τοὺς μαθητὰς, καρτερίαν ἀεὶ, καὶ σωφροσύνην
ἐπαινοῦσι, καὶ πλούτου, καὶ ἡδονῆς καταπτύουσι.
μόνοι δὲ καὶ καθ' ἑαυτοὺς γενόμενοι, τί ἂν λέ-
γοι τις, ὅσα μὲν, ἐσθίουσιν, ὅσα δὲ, ἀφροδισιά-
ζουσιν, ὅπως δὲ περιλείχουσι τῶν ὀβολῶν τὸν
ῥύπον. τὸ δὲ πάντων δεινότατον, ὅτι μη-
δὲν αὐτοὶ μήτε κοινὸν, μήτε ἴδιον ἐπιτε-
λοῦντες, ἀλλ' ἀχρεῖοι, καὶ περιττοὶ καθεστῶ-
τες, οὔτε ποτ' ἐν πολέμῳ ἐναρίθμιοι, οὔτ' ἐ-
νὶ βουλῇ, ὅμως τῶν ἄλλων κατηγοροῦσι. καὶ λό-
γους τινὰς πικροὺς συμφορήσαντες, καὶ λοιδορεί-
ας τι

τινὰς ἐκμεμελετηκότες, ἐπιτιμῶσι, καὶ
λοιδοροῦσι τοῖς πλησίον. καὶ οὕτως αὐτῶν τὰ
πρωτεῖα φέρεσθαι δοκεῖ, ὃς ἂν μεγαλοφωνότα-
τός τε ᾖ, καὶ ἰταμώτατος, καὶ πρὸς τὰς βλα-
σφημίας θρασύτατος. καίτοι τὸν διατεινόμενον
αὐτῶν, καὶ βοῶντα, καὶ κατηγοροῦντα τῶν ἄλλων,
ἔροιο. σὺ δὲ δὴ τί πράττων τυγχάνεις; ἢ τί φῶ-
μεν πρὸς θεῶν σε πρὸς τὸν βίον συντελεῖν; φαίη
ἄν, εἰ τὰ δίκαια, καὶ ἀληθῆ θέλοι λέγειν, ὅτι
πλεῖν μὲν, ἢ γεωργεῖν, ἢ στρατεύεσθαι, ἤ τινα τέ-
χνην μετιέναι, περιττόν εἶναί μοι δοκεῖ. κέκρα-
γα δὲ, καὶ αὐχμῶ, καὶ ψυχρολουτῶ, καὶ ἀνυπόδη-
τος τοῦ χειμῶνος περιέρχομαι. καὶ ὥσπερ ὁ Μῶ-
μος, τὰ ὑπὸ τῶν ἄλλων γινόμενα συκοφαντῶ.
εἰ μέν τις ὠψώνηκε τῶν πλουσίων πολυτε-
λῶς, ἢ ἑταίραν ἔχει, τοῦτο πολυπραγμονῶ, καὶ ἀ-
γανακτῶ. εἰ δὲ τῶν φίλων τίς, ἢ ἑταίρων κα-
τάκειται νοσῶν ἐπικουρίας τε, καὶ θεραπείας
δεόμενος, ἀγνοῶ. τοιαῦτα μέν ἐστιν ἡμῖν ὦ θεοὶ
ταῦτα τὰ θρέμματα. οἱ δὲ δὴ ἐπικούρειοι αὐτῶν
λεγόμενοι, μάλα δὴ καὶ ὑβρισταί εἰσι, καὶ οὐ με-
τρίως ἡμῶν καθάπτονται, μήτε ἐπιμελεῖσθαι τῶν
ἀνθρωπίνων λέγοντες τοὺς θεοὺς, μήτε ὅλως τὰ
γινόμενα ἐπισκοπεῖν. ὥστε ὥρα ὑμῖν λογίζε-
σθαι, διότι ἢν ἅπαξ οὗτοι πείσαι τὸν βίον δυνη

θῶσιν, οὐ μετρίως πεινῆστε. τίς γὰρ ἂν ἔτι θύσειεν ὑμῖν, πλέον οὐδὲν ἕξειν προσδοκῶν; ἃ μὲν γὰρ ἡ σελήνη αἰτιᾶται, πάντες ἠκούσατε τοῦ ξένου χθὲς διηγουμένου. πρὸς ταῦτα, βουλεύεσθε, ἃ καὶ τοῖς ἀνθρώποις γένοιτ' ἂν ὠφελιμώτατα, καὶ ὑμῖν ἀσφαλέστατα. εἰπόντος ταῦτα τοῦ Διός, ἡ ἐκκλησία διετεθρύλλητο. καὶ εὐθὺς ἐβόων ἅπαντες κεραύνωσον, κατάφλεξον, ἐπίτριψον, ἐς τὸ βάραθρον, ἐς τὸν τάρταρον, ὡς τοὺς γίγαντας. ἡσυχίαν δὲ ὁ Ζεὺς αὖθις παραγγείλας, ἔσται ταῦτα ὡς βούλεσθε ἔφη. καὶ πάντες ἐπιτρίψονται αὐτῇ διαλεκτικῇ. πλὴν τό γε νῦν εἶν, οὐ θέμις κολασθῆναί τινα. ἱερομηνία γάρ ἐστιν ὡς ἴστε, μηνῶν τούτων τεττάρων. καὶ ἤδη τὴν ἐκεχειρίαν ἐπηγγειλάμην. ἐς νέωτα οὖν ἀρχομένου ἦρος, κακοὶ κακῶς ἀπολοῦνται τῷ σμερδαλέῳ κεραυνῷ. ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων. περὶ δὲ Μενίππου, ταῦτα ἔφη μοι δοκεῖ. περιαιρεθέντα αὐτὸν τὰ πτερά, ἵνα μὴ καὶ αὖθις ἔλθῃ ποτὲ ὑπὸ τοῦ Ἑρμοῦ ἐς τὴν γῆν κατενεχθῆναι τήμερον. καὶ ὁ μὲν, ταῦτα εἰπών, διέλυσε τὸν σύλλογον. ἐμὲ δὲ ὁ Κυλλήνιος τοῦ δεξιοῦ ὠτὸς ἀποκρεμάσας, περὶ ἑσπέραν χθὲς κατέθηκε φέρων ἐς τὸν Κεραμεικόν. Ἅπαντα ἀκήκοας, ἅπαντα ὦ ἑταῖ

ρε,

ρε, τὰ ἐξ οὐρανοῦ. ἄπειμι γοῦν καὶ τοῖς ἐν τῇ Ποικίλῃ περιπατοῦσι τῶν φιλοσόφων, αὐτὰ ταῦτα εὐαγγελιούμενος.

## ΔΙΣ ΚΑΤΗΓΟΡΟΥΜΕΝΟΣ, Η ΔΙΚΑΣΤΗΡΙΑ.

Ἀλλ' ἐπιτριβεῖεν ὁπόσοι τῶν φιλοσόφων παρὰ μόνοις τὴν εὐδαιμονίαν φασὶν εἶναι τοῖς θεοῖς. εἰ γοῦν ᾔδεσαν ὁπόσα τῶν ἀνθρώπων ἕνεκα πάσχομεν, οὐκ ἂν ἡμᾶς τοῦ νέκταρος, ἢ τῆς ἀμβροσίας ἐμακάριζον, Ὁμήρῳ πιστεύσαντες ἀνδρὶ τυφλῷ, καὶ γόητι, μάκαρας καλοῦντι ἡμᾶς, καὶ τὰ ἐν οὐρανῷ διηγουμένῳ, ὃς οὐδὲ τὰ ἐν τῇ γῇ καθορᾶν ἐδύνατο. αὐτίκα γέ τοι ὁ μὲν ἥλιος οὑτοσὶ ζευξάμενος τὸ ἅρμα, πανημέριος τὸν οὐρανὸν περιπολεῖ, πῦρ ἐνδεδυκώς, καὶ τῶν ἀκτίνων ἀποστίλβων, οὐδὲ ὅσον κνήσασθαι τὸ οὖς φασι, σχολὴν ἄγων. ἢν γάρ τι κἂν ὀλίγον ἐπιρραθυμήσας λάθῃ, ἀφηνιάσαντες οἱ ἵπποι, καὶ τῆς ὁδοῦ παρεκτραπόμενοι, κατέφλεξαν τὰ πάντα. ἡ σελήνη δέ, ἄγρυπνος καὶ αὐτὴ περιέρχεται, φαίνουσα τοῖς κωμάζουσι, καὶ τοῖς ἀωρία ἀπὸ τῶν δείπνων ἐπανιοῦσιν. ὁ Ἀπόλλων τε αὖ, πολυπράγμονα τὴν τέχνην ἐπανελόμενος, ὀλίγου δεῖν τὰ ὦτα ἐκκεκώφηται πρὸς τῶν ἐνοχλούντων κατὰ χρείαν τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μαντικῆς. καὶ ἄρτι μὲν, αὐτὸν ἐν Δελφοῖς ἀναγκαῖον εἶναι. μετ' ὀλίγον δὲ, εἰς Κολοφῶνα θεῖ. κἀκεῖθεν, εἰς Ξάνθον μεταβαίνει. καὶ δρομαῖος αὖθις εἰς τὴν Κλάρον. εἶτα εἰς Δῆλον, ἢ εἰς Βραγχίδας. καὶ ὅλως, ἔνθα ἂν ἡ πρόμαντις πιοῦσα τοῦ ἱεροῦ νάματος, καὶ μασησαμένη τῆς δάφνης, καὶ τὸν τρίποδα διασεισαμένη, κελεύῃ παρεῖναι, ἄοκνον χρὴ αὐτίκα μάλα παρεστάναι συνείροντα τοὺς χρησμοὺς, ἢ οἴχεσθαί οἱ τὴν δόξαν τῆς τέχνης. ἐῶ γὰρ λέγειν ὁπόσα ὑπὲρ πείρας τῆς μαντικῆς ἐπιτεχνῶνται αὐτῷ ἄρνεια κρέα, καὶ χελώνας ἐς τὸ αὐτὸ ἕψοντες. ὥστε εἰ μὴ τὴν ῥῖνα ὀξὺς ἦν, κἂν ἀπῆλθεν αὐτοῦ ὁ Λυδὸς καταγελῶν. ὁ μὲν γὰρ Ἀσκληπιὸς, ὑπὸ τῶν νοσούντων ἐνοχλούμενος, ὁρῇ τε δεινὰ, θιγγάνει τε ἀηδέων, ἐπ' ἀλλοτρίῃσί τε συμφοραῖς, ἰδίας καρποῦται λύπας. τί γὰρ ἂν, εἰ τοὺς ἀνέμους φυτουργοῦντας λέγοιμι, καὶ παραπέμποντας τὰ πλοῖα, καὶ τοῖς λικμῶσιν ἐπιπνέοντας, ἢ τὸν ὕπνον ἐπὶ πάντας πετόμενον, ἢ τὸν ὄνειρον μετὰ τοῦ ὕπνου διανυκτερεύοντα, καὶ ὑποφητεύοντα αὐτῷ. πάντα γὰρ ταῦτα ὑπὸ φιλανθρωπίας οἱ θεοὶ πονοῦσι, καὶ πρὸς τὸν ἐπὶ τῆς γῆς βίον ἑκάστοις συντελοῦσι. καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοι τὰ μὲν τῶν ἄλλων, μέτρια· ἐγὼ δὲ ὁ ἄθλ-
ιος ὁ πάντων βασιλεὺς, καὶ πατὴρ, ὅσας μὲν
ἀηδίας ἀνέχομαι, ὅσα δὲ πράγματα ἔχω
πρὸς τοσαύτας φροντίδας διηρημένος. ᾧ πρῶ-
τα μὲν τὰ τῶν ἄλλων θεῶν ἔργα ἐπισκοπεῖν ἀ-
ναγκαῖον, ὁπόσοι τι ἡμῖν συνδιαπράττουσι τῆς
ἀρχῆς, ὡς μὴ βλακεύωσιν ἐπ' αὐτοῖς. ἔπει-
τα δὲ καὶ αὐτῷ μυρία ἄττα πράττειν, καὶ σχε-
δὸν ἀνέφικτα ὑπὸ λεπτότητος. οὐ γὰρ μόνον
τὰ κεφάλαια ταῦτα τῆς διοικήσεως, ὑετοὺς, καὶ
χαλάζας, καὶ πνεύματα, καὶ ἀστραπὰς αὐτὸς
οἰκονομησάμενος, καὶ διατάξας, πέπαυμαι τῶν
ἐν μέρει φροντίδων ἀπηλλαγμένος, ἀλλά με
δεῖ καὶ ταῦτα μὲν ποιεῖν, ἀποβλέπειν δὲ κατὰ τὸν
αὐτὸν χρόνον ἁπανταχόσε, καὶ πάντα ἐπισκο-
πεῖν, ὥσπερ τὸν ἐν τῇ Νεμέᾳ βουκόλον, τοὺς κλέπ-
τοντας, τοὺς ἐπιορκοῦντας, τοὺς θύοντας. εἴ τις ἔ-
σπεισε. πόθεν ἡ κνῖσα, καὶ ὁ καπνὸς ἀνέρχεται. τίς
νοσῶν, ἢ πλέων ἐκάλεσε. καὶ τὸ πάντων ἐπιπο-
νώτατον, ὑφ' ἕνα καιρὸν ἔν τε Ὀλυμπίᾳ τῇ ἑκα-
τόμβῃ παρεῖναι, καὶ ἐν Βαβυλῶνι τοὺς πολε-
μοῦντας ἐπισκοπεῖν, καὶ ἐν Γέταις χαλαζᾶν,
καὶ ἐν Αἰθίοψιν εὐωχεῖσθαι. τὸ δὲ μεμψίμοι-
ρον, οὐδὲ οὕτω διαφυγεῖν ῥᾴδιον, ἀλλὰ πολλά-
κις, οἱ μὲν ἄλλοι θεοί τε, καὶ ἀνέρες ἱπποκο-

„ ρυσταί, εὕδουσι, παννύχιοι. τὸν Δία δὲ ἐμὲ, οὐκ „ ἔχει νήδυμος ὕπνος. εἰ γάρ που καὶ μικρὸν ἐπινυστάξαιμι, ἀληθὴς ἂν εὐθὺς ὁ Ἐπίκουρος, ἀπρονοήτους ἡμᾶς ἀποφαίνων τῶν ἐπὶ γῆς πραγμάτων, καὶ ὁ κίνδυνος οὐκ εὐκαταφρόνητος, εἰ ταῦτα οἱ ἄνθρωποι πιστεύσουσιν αὐτῷ. ἀλλ' ἀστεφάνωτοι μὲν ἡμῖν οἱ ναοὶ ἔσονται, ἀκνίσωτοι αἱ ἀγυιαί, ἄσπονδοι δὲ οἱ κρατῆρες, ψυχροὶ δὲ οἱ βωμοί. καὶ ὅλως, ἄθυτα, καὶ ἀκαλλιέρητα, καὶ ὁ λιμὸς πολύς. τοιγαροῦν, ὥσπερ οἱ κυβερνῆται, ὑψηλὸς μόνος ἐπὶ τῆς πρύμνης ἕστηκα, τὸ πηδάλιον ἔχων ἐν ταῖν χεροῖν. καὶ οἱ μὲν ἄλλοι ἐπιβάται, μεθύοντες. καὶ εἰ τύχοι, ἐγκαθεύδουσιν. ἐγὼ δὲ, ἄγρυπνος, καὶ ἄσιτος ὑπὲρ ἁπάντων μερμηρίζω κατὰ φρένα, καὶ κατὰ θυμὸν, μόνῳ τῷ δεσπότης εἶναι δοκεῖν τετιμημένος. ὥστε ἡδέως ἂν ἐροίμην τοὺς φιλοσόφους, οἳ μόνους τοὺς θεοὺς εὐδαιμονίζουσι, πότε καὶ σχολάζειν ἡμᾶς τῷ νέκταρι, καὶ τῇ ἀμβροσίᾳ νομίζουσι, μυρία ὅσα ἔχοντας πράγματα. ἰδοὺ γοῦν ὑπ' ἀσχολίας, τοσαύτας ἑώλους δίκας φυλάττομεν ἀποκειμένας, ὑπ' εὐρῶτος ἤδη, καὶ ἀραχνίων διεφθαρμένας. καὶ μάλιστα ὁπόσαι ταῖς ἐπιστήμαις, καὶ τέχναις πρὸς ἀνθρώπους τινὰς συνεστᾶσι, πάνυ παλαιὰς ἐνίας

αὐτῶν

-στώτων. οἱ δὲ, κεκράγασιν ἁπανταχόθεν, καὶ ἀ-
γανακτοῦσι, καὶ τὴν δίκην ἐπιβοῶνται, κἀμὲ
βραδυτῆτος αἰτιῶνται, ἀγνοοῦντες ὡς οὐκ ὀλι-
γωρίᾳ τὰς κρίσεις ὑπερημέρους συνέβη γενέ-
σθαι, ἀλλὰ ὑπὸ τῆς εὐδαιμονίας, ἣ συνεῖναι ἡμᾶς
ὑπολαμβάνουσι. τοῦτο γὰρ τὴν ἀσχολίαν καλοῦ-
σι. Ερ. κἀγὼ τοι ὦ Ζεῦ, πολλὰ τοιαῦτα
ἀκούων δυσχεραινόντων, λέγειν πρὸς σὲ οὐκ ἐ-
τόλμων. ἐπεὶ δὲ σὺ περὶ τούτων τοὺς λόγους ἐ-
νέβαλες, καὶ δὴ λέγω. πάνυ ἀγανακτοῦσιν ὦ πά-
τερ, καὶ σχετλιάζουσι, καὶ ἐς τὸ φανερὸν μὲν οὐ τολ-
μῶσι λέγειν, ὑποτονθορύζουσι δὲ συγκεκυφό-
τες, αἰτιώμενοι τὸν χρόνον. οὓς ἔδει πάλαι τὰ
καθ' αὑτοὺς εἰδότας, στέργειν ἕκαστον τοῖς δεδι-
κασμένοις. Ζ. τί οὖν ὦ Ερμῆ δοκεῖ; προτίθε-
μεν αὐτοῖς ἀγορὰν δικῶν, ἢ θέλεις εἰς νέωτα
παραγγελοῦμεν; Ερ. οὐ μὲν οὖν. ἀλλὰ ἤδη
προθῶμεν. Ζ. οὕτω ποίει. σὺ μὲν κήρυττε κα-
ταπτάμενος, ὅτι ἀγορὰ δικῶν ἔσται κατὰ τάδε.
πάντας ὁπόσοι τὰς γραφὰς ἀπενηνόχασιν, ἥκειν
τήμερον εἰς Αρειον πάγον. ἐκεῖ δὲ τὴν μὲν δίκην
ἀποκληροῦν σφίσι τὰ δικαστήρια κατὰ τὸν λό-
γον τῶν τιμημάτων ἐξ ἁπάντων Αθηναίων. εἰ δέ
τις ἄδικον οἴοιτο γεγενῆσθαι τὴν κρίσιν, ἐξεῖναι
ἐφέντι ἐπ' ἐμὲ, δικάζεσθαι ἐξ ὑπαρχῆς, ὡς εἰ

μηδὲ παρὰ πᾶν ἐδεδίκαστο. σὺ δὲ ὦ θύγατερ, καθεζομένη παρὰ τὰς σεμνὰς θεὰς, ἀποκλήρου τὰς δίκας, καὶ ἐπισκόπει τοὺς δικάζοντας. Δι. αὖθις ἐς τὴν γῆν, ἵν' ἐξελαυνομένη πρὸς αὐτῶν δραπετεύω πάλιν ἐκ τοῦ βίου, τὴν ἀδικίαν ἐπιγελῶσαν οὐ φέρουσα. Ζ. χρηστὰ ἐλπίζειν γε δεῖ. πάντως γὰρ ἤδη πεπείκασιν αὐτοὺς οἱ φιλόσοφοι σὲ τῆς ἀδικίας προτιμᾶν, καὶ μάλιστα ὁ τοῦ Σωφρονίσκου τὸ δίκαιον ὑπερεπαινέσας, καὶ ἀγαθῶν τὸ μέγιστον ἀποφήνας. Δι. πάνυ γοῦν ὀρθῶς αὐτὸν ἐκεῖνον ὤνησαν οἱ περὶ ἐμοῦ λόγοι. ὃς παραδοθεὶς τοῖς ἕνδεκα, καὶ εἰς τὸ δεσμωτήριον ἐμπεσὼν, ἔπιεν ἄθλιος τοῦ κωνείου, μηδὲ τὸν ἀλεκτρυόνα τῷ Ἀσκληπιῷ ἀποδεδωκώς. παρὰ τοσοῦτον ὑπερέσχον οἱ κατήγοροι τἀναντία περὶ τῆς ἀδικίας φιλοσοφοῦντες. Ζ. ξένα ἔτι τοῖς πολλοῖς τὰ τῆς φιλοσοφίας ἦν τότε, καὶ ὀλίγοι ἦσαν οἱ φιλοσοφοῦντες. ὥστε εἰκότως ἐς τὸν Ἄνυτον καὶ Μέλητον ἔρρεπε τὰ δικαστήρια. τὸ δὲ νῦν εἶναι οὐχ ὁρᾷς ὅσοι τρίβωνες, καὶ βακτηρίαι, καὶ πῆραι, καὶ ἁπανταχοῦ πώγων βαθὺς, καὶ βιβλίον ἐν τῇ ἀριστερᾷ, καὶ πάντες ὑπὲρ σοῦ φιλοσοφοῦσι; μεστοὶ δὲ οἱ περίπατοι κατὰ ἴλας, καὶ φάλαγγας, ἀλλήλοις ἀπαντώντων. καὶ οὐδεὶς ὅστις οὐ τρόφιμος τῆς ἀρετῆς

εἶναι

δοκεῖν βούλεται. ἄλλοι γοῦν τὰς τέχνας
ἀφέντες, ἃς εἶχον τέως, καὶ τὴν πήραν ἀΐξαν-
τες, καὶ τριβώνιον, καὶ τὸ σῶμα πρὸς ἥλιον εἰς
τὸ Αἰθιόπειον ἐπιχράναντες, αὐτοσχέδιοι φιλό
σοφοι ἐκ σκυτοτόμων, ἢ τεκτόνων περιέρχον
ται, σὲ, καὶ τὴν σὴν ἀρετὴν ἐπαινοῦντες. ὥστε κα
τὰ τὴν παροιμίαν, θᾶττον ἄν τις ἐν πλοίῳ πε-
σὼν διαμάρτοι ξύλου, ἢ ἔνθα ἂν ἀπίδῃ ὁ ὀφ-
θαλμὸς, ἀπορήσει φιλοσόφου. Δί. καὶ μὴν οὗτοί
γε ὦ Ζεῦ διαλύτονται, πρὸς ἀλλήλους ἐρίζον
τες, καὶ ἀγνωμονοῦντες ἐν αὐτοῖς, οἷς περὶ ἐμοῦ
διεξέρχονται. φασὶ δὲ καὶ τοὺς πλείστους αὐτῶν, ἐν
μὲν τοῖς λόγοις, προσποιεῖσθαί με. τῶν δὲ πρα
γμάτων, μὴ δὲ τὸ παράπαν ἐς τὴν οἰκίαν πα-
ραδέχεσθαι, ἀλλὰ δήλους εἶναι ἀποκλείσον-
τας, ἢν ἀφίκωμαί ποτε αὐτοῖς ἐπὶ τὰς θύρας.
πάλαι γὰρ τὴν ἀδικίαν προεξενῶσθαι αὐτοῖς.
Ἑρ. οὐ πάντες ὦ θύγατερ μοχθηροί εἰσιν. ἱκα
νὸν δὲ κἂν ἐνίοις τισὶ χρηστοῖς ἐντύχῃς. ἀλλ'
ἀπίωμεν ἤδη, ὡς κἂν ὀλίγα τήμερον ἐκδικασθῶ-
σι. Ερ. ἀπίωμεν ὦ Δίκη εὐθὺ τοῦ Σουνίου, μικρὸν
πρὸ τὸν Ὑμηττὸν ἐπὶ τὰ λαιὰ τῆς Πάρνηθος,
ἔνθα αἱ δύο ἐκεῖναι ἄκραι. σὺ γὰρ ἔοικας ἐκλε-
λῆσθαι πάλαι τὴν ὁδόν. ἀλλὰ τί δακρύεις, καὶ
ἀγανακτεῖς; μὴ δέδιθι. οὐκ ἔθ' ὅμοια τὰ ἐν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῷ βίῳ. τεθνᾶσιν ἐκεῖνοι πάντες οἱ σκείρωνες, καὶ πιτυοκάμπται, καὶ βουσίριδες, καὶ φαλάριδες, οὓς ἐδεδίεις τότε. νυνὶ δὲ, σοφία, καὶ ἀκαδημία, καὶ στοὰ, κατέχουσι πάντα, καὶ πανταχοῦ σε ζητοῦσι, καὶ περὶ σοῦ διαλέγονται, κεχηνότες εἴ ποθεν ἐς αὐτοὺς καταπταίης πάλιν. Δί. σὺ γοῦν μοι τἀληθὲς ὦ Ἑρμῆ ἂν εἴποις μόνος, ἅτε συνὼν αὐτοῖς τὰ πολλὰ, καὶ συνδιατρίβων, ἔν τε γυμνασίοις, καὶ ἐν τῇ ἀγορᾷ. καὶ ἀγοραῖος γὰρ εἶ, καὶ ἐν ταῖς ἐκκλησίαις κηρύττεις, ὁποῖοί γε γίνονται. καὶ εἰ δυνατή μοι παρ' αὐτοῖς ἡ μονή. Ερ. νὴ Δία ἀδικοίην γ' ἂν, πρὸς ἀδελφήν σε οὖσαν μὴ λέγων. οὐκ ὀλίγα γὰρ πρὸς τῆς φιλοσοφίας ὠφέληνται οἱ πολλοὶ αὐτῶν. καὶ γὰρ εἰ μηδὲν ἄλλο, αἰδοῖ γοῦν τοῦ σχήματος, μετριώτερα διαμαρτάνουσι. πλὴν ἀλλὰ καὶ μοχθηροῖς τισὶν ἐντεύξῃ αὐτῶν, χρὴ γὰρ οἶμαι τἀληθῆ λέγειν, ἐνίοις δὲ ἡμισόφοις, καὶ ἡμιφαύλοις. ἐπεὶ γὰρ αὐτοὺς μετέβαπτεν ἡ φιλοσοφία παραλαβοῦσα, ὁπόσοι μὲν ἐς κόρον ἔπιον τῆς βαφῆς, χρηστοὶ ἀκριβῶς ἀπετελέσθησαν, ἀμιγεῖς ἑτέρων χρωμάτων. καὶ πρός γε τὴν σὴν ὑποδοχὴν, οὗτοι ἑτοιμότατοι. ὅσοι δὲ ὑπὸ τοῦ πάλαι ῥύπου μὴ ἐς βάθος παρεδέξαντο ὁπόσον δευσοποιὸν τοῦ φαρμάκου, τῶν ἄλλων ἀμείνους. ἀτελεῖς

λὲ

δὲ ὅμως, καὶ μιξόλευκοι, καὶ κατεστιγμένοι, καὶ
ποικίλοι τὴν χρόαν. εἰσὶ δ' οἳ καὶ μόνον
ψαύσαντες ἔξωθεν τοῦ λέβητος ἄκρῳ τῷ
δακτύλῳ, καὶ ἐπιχρισάμενοι τῆς ἀσβόλου, ἱ-
κανῶς οἴονται καὶ οὗτοι μεταβεβάφθαι. σοὶ
μέντοι δῆλον ὅτι μετὰ τῶν ἀρίστων ἡ διατρι-
βὴ ἔσται. ἀλλὰ μεταξὺ λόγων, ἤδη πλησιάζο-
μεν τῇ Ἀττικῇ. ὥστε τὸ μὲν Σούνιον, ἐν δεξιᾷ
καταλείπωμεν, ἐς δὲ τὴν ἀκρόπολιν ἀπονεύ-
ωμεν ἤδη. καὶ ἐπείπερ καταβεβήκαμεν, αὐτὴ
μὲν ἐνταυθοῖ που ἐπὶ τοῦ πάγου καθῆσθαι τὴν
πνύκα ὁρῶσα, καὶ περιμένουσα ἔστ' ἂν κηρύξω
τὰ παρὰ τοῦ Διός. ἐγὼ δ' ἐς τὴν ἀκρόπολιν
ἀναβάς, ῥᾷον οὕτως ἅπαντας ἐκ τοῦ ἐπηκόου
προσκαλέσομαι. Δί. μὴ πρότερον ἀπέλθῃς
ὦ Ἑρμῆ, πρὶν εἰπεῖν ὅστις οὗτος ὁ προσιών ἐστιν.
ὁ κερασφόρος. ὁ τὴν σύριγγα. ὁ λάσιος ἐκ τοῖν
σκελοῖν. Ερ. τί φῄς, ἀγνοεῖς τὸν Πᾶνα, τῶν
Διονύσου θεραπόντων τὸν βακχικώτατον; οὗ-
τος ᾤκει μὲν τὸ πρόσθεν ἀνὰ τὸ Παρθένιον. ὑπὸ
δὲ τὸν Δάτιδος ἐπίπλουν, καὶ τὴν Μαραθῶνα
δὲ τῶν βαρβάρων ἀπόβασιν, ἧκεν ἄκλητος
τοῖς Ἀθηναίοις σύμμαχος. καὶ τὸ ἀπ' ἐκείνου, τὴν
ὑπὸ τῇ ἀκροπόλει σπήλυγγα ταύτην ἀπολα-
βόμενος, οἰκεῖ μικρὸν ὑπὸ τοῦ πελασγικοῦ, ἐς

τὸ μερικὸν ἐπιτελῶν. καὶ νῦν ὡς τὸ εἰκὸς, ἰδὼν
ἐκ γειτόνων, πρόσεισι δεξιωσόμενος. Πάν.
χαίρετε ὦ Ἑρμῆ καὶ Δίκη. Ερ. καὶ. Δί. καὶ
σύ γε ὦ Πὰν μουσικώτατε, καὶ πηδητικώτατε σα-
τύρων ἁπάντων. Ἀθήνησι δὲ, καὶ πολεμικώ-
τατε. Π. τίς δὲ ὑμᾶς ὦ Ἑρμῆ, δεῦρο χρεία
ἤγαγεν; Ερ. αὕτη σοὶ διηγήσεται τὰ πάν-
τα. ἐγὼ δὲ, εἶμι τὴν ἀκρόπολιν, καὶ τὸ κήρυγμα.
Δί. ὁ Ζεὺς ὦ Πὰν, κατέπεμψέ με, ἀποκλη-
ρώσουσαν τὰς δίκας. σοὶ δὲ πῶς τὰ ἐν Ἀθή-
ναις ἔχει; Π. τὸ μὲν ὅλον, οὐ κατ᾽ ἀξίαν
πράττω παρ᾽ αὐτοῖς, ἀλλὰ πολὺ καταδεέστε-
ρον τῆς ἐλπίδος. καὶ ταῦτα, τηλικοῦτον ἀπω-
σάμενος κυδοιμὸν, τὸν ἐκ τῶν βαρβάρων. ὅμως
δὲ, δὶς, ἢ τρὶς τοῦ ἔτους ἀνιόντες, ἐπιλεξάμε-
νοι τράγον ἔνορχιν, θύουσί μοι, πολλῆς τῆς κινά-
βρας ἀπόζοντα. εἶτ᾽ εὐωχοῦνται τὰ κρέα, ποι-
ησάμενοί με τῆς εὐφοσύνης μάρτυρα, καὶ ψιλῷ
τιμήσαντες τῷ κρότῳ. πλὴν ἀλλὰ ἔχει τι-
νά μοι ψυχαγωγίαν ὁ γέλως αὐτῶν, καὶ ἡ παι-
διά. Δί. τὰ ἄλλα δὲ ὦ Πὰν, ἀμείνους πρὸς
ἀρετὴν ἐγένοντο ὑπὸ τῶν φιλοσόφων. Π. τί-
νας λέγεις τοὺς φιλοσόφους; ἆρ᾽ ἐκείνους τοὺς
κατηφεῖς, τοὺς σκυθρωποὺς ξυνάμα πολλοὺς, τοὺς
τὸ γένειον οὐχ ὁμοίους ἐμοὶ, τοὺς λάλους; Δί.

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μάλα. Π. οὐκ οἶδα ὅ, τι καὶ λέγουσιν, οὐδὲ
συνίημι τὴν σοφίαν αὐτῶν. ὄρειος γὰρ ἔγωγε, καὶ
τὰ κομψὰ ταῦτα ῥημάτια, καὶ ἀστικὰ, οὐ μεμά-
θηκα ὦ Δίκη. πόθεν γὰρ ἐν Ἀρκαδίᾳ σοφιστὴς, ἢ
φιλόσοφος; μέχρι τοῦ πλαγίου καλάμου, καὶ
τῆς σύριγγος, ἐγὼ σοφός. τὰ δ' ἄλλα, αἰπό-
λος, καὶ χορευτὴς, καὶ πολεμικὸς, ἢν δέῃ. πλὴν
ἀλλ' ἀκούω γε αὐτῶν ἀεὶ κεκραγότων, καὶ ἀρε-
τήν τινα, καὶ ἰδέας, καὶ φύσιν, καὶ ἀσώματα διεξι-
όντων, ἄγνωστα ἐμοὶ, καὶ ξένα ὀνόματα. καὶ τὰ
πρῶτα μὲν, εἰρηνικῶς ἐνάρχονται τῶν πρὸς ἀλ-
λήλους λόγων. προϊούσης δὲ τῆς συνουσίας, ἐπι-
τείνουσι τὸ φθέγμα μέχρι πρὸς τὸ ὄρθιον. ὥστε ὑ-
περδιατεινομένων, καὶ μεγάλα λέγειν ἐθελόν-
των, τό, τε πρόσωπον ἐρυθριᾷ, καὶ ὁ τράχηλος
οἰδεῖ, καὶ αἱ φλέβες ἐξανίστανται, ὥσπερ τῶν αὐ-
λητῶν, ὁπόταν εἰς στενὸν τὸν αὐλὸν ἐμπνεῖν
βιάζωνται. διαταράξαντές γε τοὺς λόγους,
καὶ τὸ ἐξ ἀρχῆς ἐπισκοπούμενοι συγχέαντες,
ἀπίασι λοιδορησάμενοι ἀλλήλοις οἱ πολλοὶ,
τὸν ἱδρῶτα ἐκ τοῦ μετώπου ἀγκύλῳ τῷ δακ-
τύλῳ ἀποξεσάμενοι. καὶ οὗτος κρατεῖν ἔδοξεν,
ὃς ἂν μεγαλοφωνότερος αὐτῶν, ἢ θρασύτερος.
πλὴν ἀλλ' ὅ γε λεὼς ὁ πολὺς, τεθήπασιν αὐ-
τούς. καὶ μάλιστα ὁπόσους μηδὲν τῶν ἀναγκαίων

τέρων περιάγαγῃ λέγει. καὶ περιεστᾶσι, πρὸς τὸ θράσος
καὶ τὴν βοὴν κεκηλημένοι. ἐμοὶ μὲν οὖν ἀλαζόνες
εἶναι ἐδόκουν ἀπὸ γε τούτων, καὶ ἠνιώμην ἐπὶ τῇ
τοῦ πώγωνος ὁμοιότητι. εἰ δέ γε δημοφελές τι
ἐνῆν τῇ βοῇ αὐτῶν, καί τι ἀγαθὸν ἐκ τῶν ῥημάτων
ἐκείνων ἀνεφύετο αὐτοῖς, οὐκ ἂν εἰπεῖν ἔχοιμι.
πλὴν ἀλλ᾽ εἰπεῖν δεῖ μηδὲν ὑποστειλάμενον, τἀ
ληθὲς διηγήσασθαι, οἰκῶ γὰρ τῆς σκοπῆς, ὡς ὁρᾷς,
πολλοὺς αὐτῶν πολλάκις ἤδη ἐθεασάμην περὶ
δείλην ὀψίαν. ΔΙ. ἐπίσχες ὦ Πάν. οὐχ ὁ Ερ
μῆς σοι κηρύττειν ἔδοξε; Π. πάνυ μὲν οὖν. ΕΡ.
ἀκούετε λεώς. ἀγορὰν δικῶν ἀγαθῇ τύχῃ κα
ταστησόμεθα τήμερον, ἐλαφηβολιῶνος ἑβδόμῃ
ἱσταμένου. ὁπόσοι γραφὰς ἀπήνεγκαν, ἥκειν εἰς
Ἄρειον πάγον, ἔνθα ἡ δίκη ἀποκληρώσει τὰ δι-
καστήρια, καὶ αὐτὴ παρέσται τοῖς δικάζουσιν. οἱ δι
κασταὶ, ἐξ ἁπάντων Ἀθηναίων. ὁ μισθὸς, τριώ
βολον ἑκάστης δίκης. ἀριθμὸς τῶν δικαστῶν, κα
τὰ λόγον τοῦ ἐγκλήματος. ὁπόσοι δὲ ἀποθέμε
νοι γραφὴν, πρὶν εἰσελθεῖν ἀπέθανον, καὶ τούτους
ὁ Αἰακὸς ἀναπεμψάτω. ἢν δέ τις ἄδικα δεδι
κάσθαι οἴηται, ἐφέσιμον ἀγωνιεῖται τὴν δίκην. ἡ
δὲ ἔφεσις, ἐπὶ τὸν Δία. Π. βαβαὶ τοῦ θορύβου.
ἡλίκον ὦ Δίκη ἀνεβόησαν, ὡς δὲ καὶ σπουδῇ συν
θέουσιν ἕλκοντες ἀλλήλους πρὸς τὸ ἄναντες εὐ

θὺ τοῦ

τῷ Ἀρείῳ πάγῳ. καὶ ὁ Ἑρμῆς δὲ ἤδη πάρεστιν.
πε ὑμεῖς μὲν ἀμφὶ τὰς δίκας ἔχετε, καὶ ἀπο
κληροῦτε, καὶ διακρίνετε, ὥσπερ ὑμῖν νόμος.
ὼ δὲ, ἐς τὸ σπήλαιον ἀπελθὼν, συρίξομαί τι μέ
λος τῶν ἐρωτικῶν, ᾧ τὴν Ἠχὼ εἴωθα ἐπικερτο
μεῖν. ἀκροάσεων δὲ, καὶ λόγων τῶν δικανικῶν,
ἅλις ἔχοιμι, ὁσημέραι τῶν ἐν Ἀρείῳ πάγῳ δικα
ζομένων ἀκούοντι. Ερ. ἄγε ὦ Δίκη, προσκαλῶ
μεν. Δί. εὖ λέγεις. ἀθρόοι γοῦν ὡς ὁρᾷς προσί-
ασι θορυβοῦντες, ὥσπερ οἱ σφῆκες περιβομβοῦν
τες τὴν ἄκραν. Ἀθηναῖος. εἴληφά σε ὦ κατά
ρατε. Ἄλλος. συκοφαντεῖς. Αλ. δώσεις
γε ἤδη τὴν δίκην. Αλ. ἐξελέγξω σε, δεινὰ
εἰργασμένον. Αλ. ἐμοὶ πρῶτον ἀποκλήρω-
ν. Αλ. ἕπου μοι δὲ πρὸς τὸ δικαστήριον. Αλ.
ἀπάγχε με. Δί. οἶσθα ὃ δράσομεν ὦ Ἑρμῆ;
τὰς μὲν ἄλλας δίκας, ἐς τὴν αὔριον ὑπερβαλ
ώμεθα. σήμερον δὲ, κληρῶμεν τὰς τοιαύτας,
ὁπόσαι τέχναις, ἢ βίοις, ἢ ἐπιστήμαις, πρὸς ἄν
δρας εἰσὶν ἐπηγγελμέναι. καί μοι ταύτας ἀ-
νάδος τῶν γραφῶν. Ερ. μέθη κατὰ τῆς ἀκαδη
μίας ὑπὲρ Πολέμωνος ἀνδραποδισμοῦ. Δί.
ἑπτὰ κλήρωσον. Ερ. ἡ στοὰ κατὰ τῆς ἡδονῆς, ἀδι
κίας, ὅτι τὸν ἐραστὴν αὐτῆς Διονύσιον ἀπεβουκό
λησε. Δί. πέντε ἱκανοί. Ερ. τρυφὴ Ἀρίστιπ

ἀπὸ τρυφῆς πρὸς ἀρετήν. Δί. πέντε καὶ κύριοι δικασάτωσαν. Ερ. ἀργυραμοιβική, δρασμοῦ Διογένει. Δί. τρεῖς ἀποκλήρου μόνους. Ερ. ἡ γραφικὴ κατὰ Πύῤῥωνος λειποταξίου. Δί. ἐννέα κρινέτωσαν. Ερ. βούλει ταύτας ἀποκληροῦμεν ὦ δίκη, τὰς δύο, τὰς πρώην, τὰς ἀπενηνεγμένας κατὰ τοῦ ῥήτορος; Δί. τὰς παλαιὰς πρότερον διαλύσωμεν. αὗται δέ, εἰς ὕστερον δεδικάσονται. Ερ. καὶ μὴν ὅμοιαί γε καὶ αὗται. καὶ τὸ ἔγκλημα, εἰ καὶ νεαρόν, ἀλλὰ παραπλήσιον τοῖς προαποκεκληρωμένοις. ὥστε ἐν τούτοις δικασθῆναι ἄξιον. Δί. ἔοικας ὦ Ερμῆ, χαριζομένῳ τὴν δέησιν. ἀποκληρῶμεν δ' ὅμως εἰ δοκεῖ. πλὴν ἀλλὰ ταύτας μόνας, ἱκαναὶ γὰρ αἱ ἀποκεκληρωμέναι, δὸς τὰς γραφάς. Ερ. ῥητορική, κακώσεως τῷ Σύρῳ. διάλογος, τῷ αὐτῷ ὕβρεως. Δί. τίς δὲ οὗτός ἐστιν; οὐ γὰρ ἐγγέγραπται τοὔνομα.

Ερ. οὕτως ἀποκλήρου τῷ ῥήτορι τῷ Σύρῳ, κωλύσει γὰρ οὐδὲν καὶ ἄνευ τοῦ ὀνόματος. Δί. ἰδοὺ καὶ τὰς ὑπερορίας ἤδη Ἀθήνησιν ἐν Ἀρείῳ πάγῳ ἀποκληρώσομεν, ἃς ὑπὲρ τὸν Εὐφράτην καλῶς εἶχε δεδικάσθαι. πλὴν ἀποκλήρου ἕνδεκα τοὺς αὐτοὺς ἑκατέρᾳ τῶν δικῶν. Ερ. εὖγε ὦ δίκη. φείδῃ, μὴ πολὺ ἀναλί

λίσκεσθαι τὸ δικαστικόν. Δι. οἱ πρῶτοι θήθωσαν τῇ ἀκαδημίᾳ, ἡ τῇ μέθῃ. σὺ δὲ, ὕδωρ ἔγχει. προτέρα δὲ σὺ λέγε ἡ μέθη. τί ᾷς, καὶ διανεύεις; μάθε ὦ Ερμῆ προσελθών. οὐ δύναμαί φησι τὸν ἀγῶνα εἰπεῖν ὑπὸ τοῦ ράτου τὴν γλῶτταν πεπεδημένη, μὴ καὶ γέ ωτα ὄφλω ἐν τῷ δικαστηρίῳ. μόγις δὲ καὶ κεν ὡς ὁρᾷς. Δι. οὐκοῦν συνήγορον ἀναβι σάτω τῶν δεινῶν τούτων τινά. πολλοὶ γὰρ, ἐπὶ τριωβόλῳ διαρραγῆναι ἕτοιμοι. Ερ. λ' οὐδεὶς ἐθελήσει γε τῷ φανερῷ συναγο σαι μέθῃ. πλὴν εὐγνώμονά γε ταῦτα ἔοικεν οῦν. Δι. τὰ ποῖα; Ερ. ἡ ἀκαδημία ἀεὶ ὸς ἀμφοτέρους παρεσκεύασται τοὺς λόγους, ι τοῦτ' ἀσκεῖ, τἀναντία καλῶς δύνασθαι λέ ιν. αὕτη τοίνυν φησὶν ὑπὲρ ἐμοῦ προτέρα εἰ άτω. εἶτα ὕστερον ὑπὲρ ἑαυτῆς ἐρεῖ. Δι. ινὰ μὲν ταῦτα. εἰπὲ δὲ ὅμως ὦ ἀκαδημία λόγους ἑκατέρους, ἐπεί σοι ῥᾴδιον. Ακα. ούετε ὦ ἄνδρες δικασταὶ πρότερον τὰ ὑπὲρ μέθης. ἐκείνης γὰρ τό τε νῦν ῥέον. ἠδίκηται ἡ ἀθλία τὰ μέγιστα ὑπὸ τῆς ἀκαδημίας ἐ οῦ. ἀνδράποδον ὃ μόνον εἶχεν εὔνουν, καὶ πιστὸν τῇ, μηδὲν αἰσχρὸν ὧν προστάξειεν οἰόμενον, φαιρεθεῖσα, τὸν Πολέμωνα ἐκεῖνον. ὃς μεθ'

ἡμέραν ἐκώμαζε δὲ διὰ ἀγορᾶς μέσης, ψάλτριαν ἔχων, καὶ καταδόμενος, ἕωθεν εἰς ἑσπέραν μεθύων ἀεί, καὶ κραιπαλῶν, καὶ τὴν κεφαλὴν τοῖς στεφάνοις διηνθισμένος. καὶ ταῦτα ὅτι ἀληθῆ, μάρτυρες Ἀθηναῖοι ἅπαντες, οἳ μηδὲ πώποτε νήφοντα Πολέμωνα εἶδον. ἐπεὶ δὲ ὁ κακοδαίμων ἧκε τὰς τῆς ἀκαδημίας θύρας ἐκώμασεν, ὥσπερ ἧκε πάντας εἰώθει, ἀνδραποδισαμένη αὐτὸν, καὶ ἀπὸ τῶν χειρῶν τῆς μέθης ἁρπάσασα μετὰ βίας, καὶ πρὸς αὐτὴν ἀγαγοῦσα, ὑδροποτεῖν τε κατηνάγκασε, καὶ νήφειν μετεδίδαξε, καὶ τοὺς στεφάνους περιέσπασε. καὶ δέον πίνειν κατακείμενον, ῥημάτια σκολιά, καὶ δύστηνα, καὶ πολλῆς φροντίδος ἀνάμεστα ἐπαίδευσεν· ὥστε αὐτί τοι τέως ἐπανθοῦντος αὐτῷ ἐρυθήματος, ὠχρὸς, ἄθλιος, καὶ ῥικνὸς τὸ σῶμα γεγένηται. καὶ τὰς ᾠδὰς ἁπάσας ἀπομαθών, ἄσιτος ἐνίοτε καὶ διψαλέος εἰς μέσην ἑσπέραν κάθηται ληρῶν, ὁποῖα πολλὰ ἡ ἀκαδημία ἐγὼ ληρεῖν διδάσκω. τὸ δὲ μέγιστον, ὅτι καὶ λοιδορεῖται τῇ μέθῃ πρὸς ἐμοῦ ἐπαρθείς, καὶ μυρία κακὰ διέξεισι περὶ αὐτῆς. εἴρηται σχεδὸν τὰ ὑπὲρ τῆς μέθης. ἤδη καὶ ὑπὲρ ἐμαυτῆς ἐρῶ. καὶ τὸ ἀπὸ τούτου, ἐμοὶ ῥευσάτω. ΔΙΚΗ. τί ἄρα πρὸς ταῦτα ἐρεῖ; πλὴν ἀλλ' ἔγχει τὸ ἴσον ἐν τῷ μέρει. ΑΚΑ.

οὐκ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πᾶσι μὲν ἀκοῦσαι πάνυ εὔλογα τῶν ἀνδρῶν δο-
σαι, ὁ ξυνήγορος εἴρηκεν ὑπὲρ τῆς μέθης. εἰ δὲ
μου μετ' εὐνοίας ἀκούσετε, εἴσεσθε ὡς οὐδὲν
τὴν ἠδίκηκα. τὸν γὰρ Πολέμωνα τοῦτον, ὅν φησιν
υτῆς οἰκέτην εἶναι, πεφυκότα οὐ φαύλως, οὐδὲ
.τὰ τὴν μέθην, ἀλλ' οἰκεῖον ἐμοὶ, καὶ τὴν φύσιν
.οιον, προαρπάσασα νέον ἔτι καὶ ἁπαλὸν ὄντα,
υναγρ... ζομένης τῆς ἡδονῆς, ἣ παρ' αὐτῇ τὰ πολλὰ
υνυπουργεῖ, διέφθειρεν ἄθλιον, τοῖς κώμοις, καὶ
τοῖς ἑταίροις παραδοῦσα ἔκδοτον, ὡς μηδὲ μι-
ὸν αὐτῷ τῆς αἰδοῦς ὑπολείπεσθαι. καὶ ἃ ὑπὲρ
περὶ λέγεσθαι μικρὸν ἔμπροσθεν ᾤετο, ὑπὲρ
οῦ εἰρῆσθαι νομίσατε. περιῄει γὰρ ἕωθεν ὁ ἄθ-
ιος ἐστεφανωμένος, κραιπαλῶν, διὰ τῆς ἀγο-
ᾶς μέσης καταυλούμενος, οὐδέποτε νήφων,
ωμάζων ἐπὶ πάντας. ὕβρις τῶν προγόνων,
ὶ τῆς πόλεως ὅλης, καὶ γέλως τοῖς ξένοις.
πεὶ μέντοι παρ' ἐμὲ ἧκεν, ἐγὼ μὲν ἔτυχον
ισπερ εἴωθα ποιεῖν, ἀναπεπταμένων τῶν θυ-
ῶν, πρὸς τοὺς παρόντας τῶν ἑταίρων λόγους πε-
ὶ ἀρετῆς, καὶ σωφροσύνης διεξιοῦσα. ὁ
ὲ, μετὰ τοῦ αὐλοῦ, καὶ τῶν στεφάνων ἐπι-
άς, τὰ μὲν πρῶτα ἐβόα, καὶ συγχεῖν ἡμῶν ἐ-
πειρᾶτο, τὴν συνουσίαν ἐπιταράξας τῇ βοῇ.
πεὶ δὲ οὐδὲν ἡμεῖς ἐπεφροντίκειμεν αὐτοῦ,

κατ' ὀλίγον, οὐδέπω τέλειον ἦν διάβροχος τῇ μέθῃ, ἀνένηφε πρὸς τοὺς λόγους, καὶ ἀφῄρει τε τοὺς στεφάνους, καὶ τὴν αὐλητρίδα κατεσιώπα, καὶ ἐπὶ τῇ πορφυρίδι ᾐσχύνετο. καὶ ὥσπερ ἐξ ὕπνου βαθέος ἀνεγειρόμενος, ἑαυτόν τε ἑώρα ὅπως διέκειτο, καὶ τοῦ πάλαι βίου κατεγίνωσκε. καὶ τὸ μὲν ἐρύθημα τὸ ἐκ τῆς μέθης, ἀπήνθει, καὶ ἠφανίζετο. ἠρυθρία δὲ κατ' αἰδῶ τῶν δρωμένων. καὶ τέλος, ἀποδρὰς ὥσπερ εἶχεν, ηὐτομόλησε παρ' ἐμέ, οὔτε ἐπικαλεσαμένης, οὔτε βιασαμένης, ὡς αὕτη φησὶν ἐμοῦ, ἀλλ' ἑκὼν αὐτὸς ἀμείνω ταῦτα εἶναι ὑπολαμβάνων. καὶ μοι ἤδη κάλει αὐτόν, ὅπως καταμάθητε ὃν τρόπον διάκειται πρὸς ἐμοῦ. τοῦτον ὦ ἄνδρες δικασταί, παραλαβοῦσα γελοίως ἔχοντα, καὶ μήτε φωνὴν ἀφιέναι, μήτε ἑστάναι ὑπὸ τοῦ ἀκράτου δυνάμενον, ὑπέστρεψα, καὶ ἀνένηψα, καὶ ἀντὶ ἀνδραπόδου, κόσμιον ἄνδρα, καὶ σώφρονα, καὶ πολλοῦ ἄξιον τοῖς Ἕλλησιν ἀπέδειξα. καί μοι αὐτός τε χάριν οἶδεν ἐπὶ τούτοις, καὶ οἱ προσήκοντες ὑπὲρ αὐτοῦ. εἴρηκα. ὑμεῖς δὲ ἤδη σκοπεῖτε ποτέρᾳ ἡμῶν ἄμεινον ἦν αὐτὸν συνεῖναι. Ερ. ἄγε δὴ μὴ μέλλετε. ψηφοφορήσατε. ἀνάστητε. καὶ ἄλλοις χρὴ δικάζειν.

Δί. πάσαις ἡ ἀκαδημία κρατεῖ, πλὴν μιᾶς.

Ερ.

παράδοξον οὐδὲν εἶναί τινα καὶ τῇ μέθῃ τ
..ισμον. καθῆσθε οἱ τῇ στοᾷ πρὸς τὴν ἡδονὴν
..χόντων, πολὺ τοῦ ἐραστοῦ δικάζειν. ἐγκέχυ
..ται τὸ ὕδωρ. ἡ καταγραφὴ καὶ τὰ ποικίλα, σοῦ
..ι λείπει. Στρα. οὐκ ἀγνοῶ μὲν ὦ ἄνδρες δι
..κασταί, ὡς πρὸς τὸ πρόσωπόν μοι τὴν αἰτίαν
..ὁ λόγος ἔσται, ἀλλὰ καὶ ὑμῶν τοὺς πολλοὺς ὁ..
..πρὸς μὲν ἐκείνην ἀποβλέποντας, καὶ με..
..όντας πρὸς αὐτήν, ἐμοῦ δὲ καταφρονοῦντας,
..τι ἐν χρῷ κέκαρμαι, καὶ ἀῤῥενωπὸν βλέπω, καὶ
..υθρωπὴ δοκῶ. ὅμως δὲ, ἢν ἐθελήσητε ἀκοῦ
..σαί μου λεγούσης, θαῤῥῶ πολὺ δικαιότερα ταύ
..ης ἐρεῖν. τοῦτο γάρ τοι καὶ τὸ παρὸν ἔγκλημά
..ιν, ὅτι οὕτως ἑταιρικῶς ἐσκευασμένη τῷ ἐ..
..χρυσῷ καὶ ὄψεως, ἐραστὴν ἐμὸν ἄνδρα τότε
..όφονα τὸν Διονύσιον φενακίσασα, πρὸς ἑαυτὴν
..ειέσπασε. καὶ ἦν ποι οἱ πρὸ ἡμῶν δίκην ἐδίκα..
..ν τῇ ἀκαδημίᾳ, καὶ τῇ μέθῃ, ἀδελφὴ τοῦ προσού
..ις δίκης ἐστίν. ἐξετάζετε γὰρ ἐν τῷ παρόντι,
..ότερα, χοίρων δίκην νενευκότας κάτω ἡδο..
..γόνοις δεῖ ζῆν, μηδὲν μεγαλόφρον ἐπινοοῦν..
..ας, ἢ ἐν δευτέρῳ τοῦ καλῶς ἔχοντος ἡγησ..
..ένους τὸ τερπνόν, ἐλευθέροις ἐλευθέρως φι..
..οσοφεῖν, μήτε τὸ ἀλγεινὸν ὡς ἄμαχον δεδιό..
..κας, μήτε τὸ ἡδὺ ἀνδραποδωδῶς προαιρουμέ..

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νοὺς, καὶ τὴν εὐδαιμονίαν ζητοῦντας ἐν τῷ μέλιτι, καὶ ταῖς ἰσχάσι. τοιαῦτα γὰρ αὕτη δελέατα τοῖς ἀνοήτοις προτείνουσα, καὶ μορμολυττομένη τῷ πόνῳ, προσάγεται αὐτῶν τοὺς πολλούς. ἐν οἷς καὶ τὸν δείλαιον ἐκεῖνον ἀφηνιάσαι ἡμῶν πεποίηκε, νοσοῦντα τηρήσασα. οὐ γὰρ ἂν ὑγιαίνων ποτὲ προσήκατο τοὺς περὶ ταύτης λόγους. καίτοι τί ἂν ἐγὼ ἀγανακτοίην κατ' αὐτῆς, ὅπου μηδὲ τῶν θεῶν φείδεται, ἀλλὰ τὴν ἐπιμέλειαν αὐτῶν διαβάλλει. ὥστε εἰ σωφρονεῖτε, καὶ ἀσεβείας ἂν δίκην λάβοιτε παρ' αὐτῆς. ἤκουον δὲ ἔγωγε ὡς οὐδὲ αὐτὴ παρεσκεύασται ποιήσασθαι τοὺς λόγους, ἀλλὰ τὸν Ἐπίκουρον ἀναβιβάσεται συναγορεύσοντα. οὕτως ἐντρυφᾷ τῷ δικαστηρίῳ. πλὴν ἀλλὰ ἐκεῖνά γε αὐτὴν ἐρωτᾶτε, οἵους ἂν οἴεται γενέσθαι τὸν Ἡρακλέα, καὶ τὸν ἡμέτερον Θησέα. εἰ προσθέντες τῇ ἡδονῇ, ἔφυγον τοὺς πόνους. οὐδὲν γὰρ ἂν ἐκώλυε μεστὴν ἀδικίας εἶναι τὴν γῆν, ἐκείνων μὴ πονησάντων. ταῦτα εἶπεν, οὐ πάνυ τοῖς μακροῖς τῶν λόγων χαίρουσα. εἰ δέ γε ἐθελήσειε κατὰ μικρὸν ἀποκρίνασθαί μοι συνερωτωμένη, τάχιστα ἂν γνωσθείη τὸ μηδὲν οὖσα. πλὴν ἀλλὰ ὑμεῖς γε τοῦ ὅρκου μνημονεύσαντες, ψηφίσασθε ἤδη τὰ εὔορκα, μὴ πιστεύσαντες Ἐπικούρῳ λέγοντι μηδὲν ἐπισκοπεῖν τῶν παρ' ἡμῖν γι

ομένων τῶν θεῶν. Ερ. μετάστηθι. ὁ Επίκου
ρος, ὑπὲρ τῆς ἡδονῆς λέγει. Επίκ. οὐ μα
κρὰ ὦ ἄνδρες δικασταὶ πρὸς ὑμᾶς ἐρῶ. δεῖ γὰρ οὐ
ὲ πολλῶν μοι τῶν λόγων. ἀλλ' εἰ μὲν ἐπῳδαῖς
ισιν, ἢ φαρμάκοις, ὅν φησιν ἐραστὴν ἑαυτῆς ἡ
ὰ τὸν Διονύσιον κατηνάγκασε, ταύτης μὲν
πέχεσθαι, πρὸς ἑαυτὴν δὲ βλέπειν ἡ ἡδονὴ,
μακὶς ἂν εἰκότως ἔδοξε, καὶ ἀδικεῖν ἐκέκριτο,
ὶ τοὺς ἀλλοτρίους ἐραστὰς μαγγανεύουσα. εἰ
έ τις ἐλεύθερος ἐν ἐλευθέρᾳ τῇ πόλει, μὴ
παγορευόντων τῶν νόμων, τὴν παρὰ ταύ-
ης ἀηδίαν μυσαχθεὶς, καὶ ἣν φησι κεφάλαιον
ῶν πόνων τὴν εὐδαιμονίαν παραγίνεσθαι λῆ-
ρον οἰηθεὶς, τοὺς μὲν ἀγκύλους ἐκείνους λόγους,
λαβυρίνθοις ὁμοίους, ἀπέφυγε. πρὸς δὲ
ὴν ἡδονὴν, ἄσμενος ἐδραπέτευσεν, ὥσπερ δὲ
μά τινα ἀποῤῥήξας τὰς τῶν λόγων πλεκτάνας,
νθρώπινα, καὶ οὐ βλακώδη φρονήσας. καὶ τὸν μὲν
όνον, ὅπερ ἐστὶ, πονηρὸν, ἡδεῖαν δὲ τὴν ἡδονὴν οἰη
είς, ἀποκλείειν ἐχρῆν αὐτὸν, ὥσπερ ἐκ ναυ
γίου λιμένι προσνέοντα, καὶ γαλήνης ἐπιθυ-
οῦντα, συνωθοῦντας ἐπὶ κεφαλὴν ἐς τὸν πό
ον, καὶ ἔκδοτον τὸν ἄθλιον παρέχειν ταῖς ἀπο-
ίαις. καὶ ταῦτα ὥσπερ ἱκέτην ἐπὶ τὸν τοῦ
λέου βωμὸν ἐπὶ τὴν ἡδονὴν καταφεύγοντα;



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἵνα τὴν πολυθρύλητον ἀρετὴν διὰ λαλῆ τοῦ
ὄρθιον ἱδρῶτι πολλῷ ἀνελθὼν ἴδῃ. κᾆτα δι'
ὅλου πονήσας τοῦ βίου, εὐδαιμονήσῃ μετὰ τὸν
βίον. καίτοι τίς ἂν κριτὴς δικαιότερος δό-
ξειεν αὐτοῦ ἐκείνου. ὃς καὶ τὰ παρὰ τῆς στοᾶς εἰ-
δώς, εἰ καί τις ἄλλος, καὶ μόνον τέως τὸ κα-
λὸν ἀγαθὸν οἰόμενος εἶναι, μεταμαθὼν ὡς κακὸν
ὁ πόνος ἦν, τὸ βέλτιον ἐξ ἀμφοῖν δοκιμάσας, εἵ-
λετο. ἑώρα γὰρ οἶμαι τοὺς περὶ τοῦ καρτερεῖν, καὶ
ἀνέχεσθαι πόνους, πολλὰ διεξιόντας. ἰδίᾳ
δὲ τὴν ἡδονὴν θεραπεύοντας, καὶ μέχρι τούτου
νεανιευομένους. οἴκοι δὲ κατὰ τοὺς τῆς ἡδονῆς
νόμους βιοῦντας, αἰσχυνομένους μὲν εἰ φανοῦν-
ται, χαλῶντες τοῦ τόνου, καὶ προδιδόντες
τὸ δόγμα. πεπονθότας δὲ ἀθλίως τὸ τοῦ
Ταντάλου. καὶ ἔνθα ἂν λήσειν, καὶ ἀσφαλῶς
παρανομήσειν ἐλπίσωσι, χανδὸν ἐμπιπλα-
μένους τῆς ἡδονῆς. εἰ γοῦν τις αὐτοῖς τὸν τοῦ
Γύγου δακτύλιον ἔδωκεν ὡς περιθεμένους μὴ
ὁρᾶσθαι, ἢ τὴν τοῦ ἄϊδος κυνέην, εὖ οἶδ᾽ ὅτι
μακρὰν χαίρειν τοῖς πόνοις φάσαντες, ἐπὶ
τὴν ἡδονὴν ὠθοῦντο ἄν, καὶ ἐμιμοῦντο ἅπαντες
τὸν Διονύσιον. ὃς μέχρι μὲν τῆς νόσου, ἤλπιζεν
ὠφελήσειν τι αὐτὸν τοὺς περὶ τῆς καρτερίας
λό

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λόγοις. ἐπειδὰν δὲ ἥλωκε, καὶ ἐνόσησε, καὶ ὁ πό-
νος ἀληθέστερον αὐτοῦ καθίκετο, ἰδὼν τὸ σῶμα
τὸ ἑαυτοῦ οὐ συμφιλοσοφοῦν τῇ στοᾷ, καὶ τἀναν-
τία δογματίζον, αὐτῷ μᾶλλον, ἢ τούτοις ἐπί-
στευσε, καὶ ἔγνω ἄνθρωπος ὤν, καὶ ἀνθρώπου
σῶμα ἔχων. καὶ διετέλεσεν οὐχ ὡς ἀνδριάντι
αὐτῷ χρώμενος, εἰδὼς ὅτι ὃς ἂν ἄλλως λέ-
γῃ, καὶ ἡδονῆς κατηγορῇ, λόγοις χαίρει, τὸν δὲ
νοῦν ἐκεῖσε ἔχει. εἴρηκα. ὑμεῖς δ' ἐπὶ τούτοις τὴν
ψηφοφορήσατε. Στοά. μηδαμῶς. ἀλ-
λ' ὀλίγα μοι συνερωτῆσαι ἐπιτρέψατε.

Ἐπίκου. ἐρώτησον. ἀποκρινοῦμαι γάρ.

Στρ. κακὸν ἡγῇ τὸν πόνον; Ἐπίκου.
ναί. Στρ. τὴν ἡδονὴν δὲ ἀγαθόν; Ἐπίκου.
πάνυ μὲν οὖν. Στρ. τί δέ, οἶσθα ὅ,τι διάφορον
καὶ ἀδιάφορον, καὶ προηγμένον, καὶ ἀποπροηγμέ-
νον; Ἐπί. μάλιστα. Ἑρ. οὔ φασιν ὦ στοὰ συ-
νιέναι οἱ δικασταὶ τὰ δισύλλαβα ταῦτα ἐρω-
τήματα. ὥστε ἡσυχίαν ἄγετε. ψηφοφοροῦσι
γάρ. Στρ. καὶ μὴν ἐκράτησα ἄν, εἰ συνηρώ-
τησα ἐν τῷ τρίτῳ τῶν ἀναποδείκτων σχήμα-
τι. Δίκη. τίς ὑπερέσχεν; Ἑρ. πάσαις ἡ
ἡδονή. Στρ. ἐφίημι τὸν Δία. Δί. τύχῃ
τῇ ἀγαθῇ. σὺ δέ, ἄλλους κάλει. Ἑρ. περὶ Ἀρι-
στίππου ἀρετὴ, καὶ τρυφή. ὁ Ἀρίστιππος δὲ αὐ

ὗς, παρίστω. Ἀρετή. προτέραν ἐμὲ χρὴ λέγειν τὴν ἀρετήν. ἐμὸς γάρ ἐστιν Ἀρίστιππος ὡς δηλοῦσιν οἱ λόγοι, καὶ τὰ ἔργα. Τρυφή. οὐ μὲν οὖν, ἀλλ' ἐμὲ τὴν τρυφήν. ἐμὸς γὰρ ὁ ἀνήρ, ὡς ἔστιν ὁρᾶν ἀπὸ τῶν στεφάνων, καὶ τῆς πορφυρίδος, καὶ τῶν μύρων. Δί. μὴ φιλονεικῆτε. ὑπερκείσεται γὰρ καὶ αὕτη ἡ δίκη, ἔστ' ἂν ὁ Ζεὺς δικάσῃ περὶ τοῦ Διονυσίου. παραπλήσιον γάρ τι καὶ αὕτη ἔοικεν εἶναι. ὥστε ἂν μὲν ἡ ἡδονὴ κρατήσῃ, καὶ τὸν Ἀρίστιππον ἕξει ἡ τρυφή. νικώσης δὲ αὖ τῆς στοᾶς, καὶ οὗτος ἔσται τῆς ἀρετῆς κεκριμένος. ὥστε ἄλλοι παρίστωσαν. τὸ δῖναμέντοι μὴ λαμβανέτωσαν οὗτοι, τὸ δικαστικόν. ἀδίκαστος γὰρ ἡ δίκη μεμένηκεν αὐτοῖς. Ερ. μάτην οὖν ἀνεληλυθότες ὦσι γέροντες ἄνδρες οὕτω μακρὰν τὴν ἀνάβασιν. Δί. ἱκανόν, εἰ τριτημόριον λάβοιεν. ἄπιτε, μὴ ἀγανακτεῖτε. αὖθις δικάσετε. Ερ. Διογένη Σινωπέα παρεῖναι καιρός. καὶ σὺ τοίνυν ἡ ἀργυραμοιβικὴ λέγε. Διογένης. καὶ μὴν ἄν γε μὴ παύσηται ἐνοχλοῦσα ὦ δίκη, οὐκ ἔτι δραχμοῦ δικάσεταί μοι, ἀλλὰ πολλῶν, καὶ βαθέων τραυμάτων. ἐγὼ γὰρ αὐτίκα μάλα πατάξω τῷ ξύλῳ. Δί. τί τοῦτο; ἀπέφυγεν ἡ ἀργυραμοιβική. ὁ δέ, διώκει, ἐπηρμένος τὸ

βά

ἤκιστον. οὐ μέτριόν τι κακὸν ἡ ἀθλία ἔοικε λή-
σεσθαι. τὸν Πύρρωνα κήρυττε. Ερ. ἀλλ' ἡ
μὲν γραφικὴ πάρεστιν ὦ δίκη. ὁ Πύρρων δὲ, οὐ
δὲ τὴν ἀρχὴν ἀνελήλυθε, ἢ ἐώκει τοῦτο πράξειν.
Δι. διὰ τί ὦ ἑρμῆ; Ερ. ὅτι οὐδὲν ἡγεῖται
κριτήριον ἀληθὲς εἶναι. Δι. τοιγαροῦν ἐρή-
μην αὐτοῦ καταδικασάτωσαν. τὸν λογογράφον
ἤδη κάλει τὸν Σύρον. καίτοι πρώην ἀπηνέχθησαν
κατ' αὐτοῦ αἱ γραφαὶ, καὶ οὐδὲν ἤπειγεν ἤδη κε-
κρίσθαι. πλὴν ἀλλ' ἐπεὶ ἔδοξε, προτέραν εἰσά-
γετε τὴν ῥητορικῆς τὴν δίκην. βαβαὶ, ὅσοι συνεληλύ-
θασιν ἐπὶ τὴν ἀκρόασιν. Ερ. εἰκότως ὦ δίκη.
τό, τε γὰρ μὴ ἕωλον εἶναι τὴν κρίσιν, ἀλλὰ και-
νὴν, καὶ ξένην, χθὲς ὥσπερ ἔφης ἐπηγγελμέ-
νην, καὶ ἐλπίζειν ἀκούσεσθαι, ῥητορικῆς μὲν,
καὶ διαλόγου, ἐν τῷ μέρει κατηγορούντων, ἀ-
πολογουμένου δὲ πρὸς ἀμφοτέρους τοῦ Σύρου,
τοῦτο πολλοὺς ἐπήγαγε τῷ δικαστηρίῳ. πλὴν
ἀλλὰ ἄρξαι ποτὲ ὦ ῥητορικὴ τοῦ λόγου. Ρη.
πρῶτον μὲν ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔ-
χομαι πᾶσι, καὶ πάσαις, ὅσην εὔνοιαν ἔχου-
σα διατελῶ τῇ τε πόλει, καὶ πᾶσιν ὑμῖν, το-
σαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν
ἀγῶνα. εἶθ' ὅπερ ἐστὶ μάλιστα δίκαιον, τοῦτο πα-
ραστῆσαι τοὺς θεοὺς ὑμῖν. τὸν μὲν αὐτίδικον, σιω-

πρῶτον κελεύειν. ἐμὲ δὲ, ὡς προείρημαι, καὶ βε-
βούλημαι, τὴν κατηγορίαν ἐᾶσαι ποιήσασθαι,
οὐχὶ ταυτὰ δέ μοι πάρεστι γιγνώσκειν, ὅ-
ταν τε εἰς ἃ πέπονθα ἀποβλέψω, καὶ ὅταν εἰς
τοὺς λόγους, οὓς ἀκούω. τοὺς μὲν γὰρ λόγους, ὡς ὁ-
μοιοτάτους τοῖς ἐμοῖς, οὗτος ἐρεῖ πρὸς ὑ-
μᾶς. τὰ δὲ πράγματα, εἰς τοῦτο προήκοντα ὄ-
ψεσθε, ὥστε ὅπως μὴ χεῖρόν τι πείσομαι πρὸς
αὐτοῦ, σκέψασθαι δέον. ἀλλὰ γὰρ, ἵνα μὴ μακρὰ
προοιμιάζωμαι, τοῦ ὕδατος πάλαι εἰκῆ ῥέον-
τος, ἄρξομαι τῆς κατηγορίας. ἐγὼ γὰρ ὦ ἄν-
δρες δικασταὶ, τοῦτον κομιδῇ μειράκιον ὄντα,
βάρβαρον ἔτι τὴν φωνὴν, καὶ μονονουχὶ κάν-
δυν ἐνδεδυκότα ἐς τὸν ἀσσύριον τρόπον, περὶ
τὴν Ἰωνίαν εὑροῦσα πλαζόμενον ἔτι, καὶ ὅ,τι
χρήσαιτο ἑαυτῷ οὐκ εἰδότα, παραλαβοῦσα,
ἐπαίδευσα. καὶ ἐπειδὴ ἐδόκει μοι εὐμαθὴς
εἶναι, καὶ ἀτενὲς ὁρᾶν εἰς ἐμὲ, ὑπέπτησσέ τε γὰρ
ἔτι τότε, καὶ ἐθεράπευε, καὶ μόνην ἐθαύμαζεν, ἀ-
πολιποῦσα τοὺς ἄλλους, ὁπόσοι ἐμνήστευόν με
πλούσιοι, καὶ καλοὶ, καὶ λαμπροὶ τὰ προγονικὰ,
τῷ ἀχαρίστῳ τούτῳ ἐμαυτὴν ἐνεγγύησα πέ-
νητι, καὶ ἀφανεῖ, καὶ νέῳ, προῖκα οὐ μικρὰν ἐ-
πενεγκαμένη πολλοὺς καὶ θαυμασίους λό-
γους. εἶτα ἀγαγοῦσα αὐτὸν εἰς τοὺς φυλέτας
τοὺς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐμοὺς, παρενέγραψα, καὶ ἀστὸν ἀπέφηνα. ὥστε τοὺς διαμαρτόντας τῆς ἐγγύης, ἀποπνίγεσθαι. δόξαν δὲ αὐτῷ περινοστεῖν ἐπιδειξομένῳ τοῦ γάμου τὴν εὐπορίαν, οὐδὲ τότε ἀπολελείφθην. ἀλλὰ πανταχοῦ ἑπομένη, ἄνω καὶ κάτω περιηγόμην, καὶ κλεινὸν αὐτὸν, καὶ ἀοίδιμον ἐποίουν, κατακοσμοῦσα, καὶ περιστέλλουσα. καὶ τὰ μὲν κατὰ τῆς Ἑλλάδος, καὶ τῆς Ἰωνίας, μέτρια. ἐς δὲ τὴν Ἰταλίαν ἀποδημῆσαι ἐθελήσαντι αὐτῷ, τὸν Ἰόνιον συνδιέπλευσα. καὶ τὰ τελευταῖα, μέχρι τῆς Κελτικῆς συναπάρασα, εὐπορεῖσθαι ἐποίησα. καὶ μέχρι μὲν πολλοῦ, πάντα μοι ἐπείθετο, καὶ συνῆν μοι, μηδὲ μίαν νύκτα ἀπόκοιτος γιγνόμενος παρ' ἡμῶν. ἐπεὶ δὲ ἱκανῶς ἐπεσιτίσατο, καὶ τὰ πρὸς τὴν εὐδοξίαν εὖ ἔχειν αὐτῷ ὑπέλαβε, τὰς ὀφρῦς ἐπάρας, καὶ μεγαλοφρονήσας, ἐμοῦ μὲν ἠμέλησε, μᾶλλον δὲ τέλεον εἴασεν. αὐτὸς δὲ τὸν γενειήτην ἐκεῖνον, τὸν ἀπὸ τοῦ σχήματος τὸν διάλογον, φιλοσοφίας υἱὸν εἶναι λεγόμενον, ὑπεραγαπήσας μάλα ἐρωτικῶς πρεσβύτερον αὐτοῦ ὄντα, τούτῳ σύνεστι. καὶ οὐκ αἰσχύνεται τὴν μὲν ἐλευθερίαν, ἢ τὸ ἄνετον τῶν ἐν ἐμοὶ λόγων συντεμὼν, εἰς μικρὰ δὲ καὶ κομματικὰ ἐρωτήματα κατακλείσας ἑαυτόν. καὶ ἀντὶ τοῦ λέγειν

ὅ, τι βούλεται μεγάλῃ τῇ φωνῇ, βραχέσι τι-
νας λόγους ἀναπλέκων, καὶ συλλαβίζων, ἀφ'
ὧν ἀθρόος μὲν ἔπαινος, ἢ κρότος πολὺς, οὐκ ἂν
ἀπαντήσειεν αὐτῷ. μειδίαμα δὲ παρὰ τῶν ἀκου-
όντων, καὶ τὸ ἐπισεῖσαι τὴν χεῖρα ἑνὸς τῶν ὁ-
ρων, καὶ μακρὰ ἐπινεῦσαι τῇ κεφαλῇ, καὶ ἐπι-
στενάξαι τοῖς λεγομένοις. τοιούτων ἠράσθη ὁ γεν-
ναῖος, ἐμοῦ καταφρονήσας. φασὶ δὲ αὐτὸν μὴ
δὲ πρὸς τὸν ἐρώμενον τὴν εἰρήνην ἄγειν, ἀλλὰ
καὶ εἰς ἐκεῖνον οἶμαι ὑβρίζειν. πῶς τοίνυν οὐκ ἀχά-
ριστος οὗτος, καὶ ἔνοχος τοῖς πᾶσι κακώσεως νό-
μοις, ὃς τὴν μὲν νόμῳ γαμετὴν, παρ' ἧς ταῦτα
εἴληφε, καὶ δι' ἣν ἔνδοξός ἐστιν, οὕτως ἀτίμως ἀ-
πέλιπε, καὶ καινῶν ὠρέχθη πραγμάτων. διὰ ταῦ-
τα, νῦν ὁπότε μόνην ἐμὲ θαυμάζουσι, καὶ ἐπι-
γράφονται ἅπαντες προσάτην ἑαυτῶν. ἀλλ' ἐ-
γὼ μὲν ἀντέχω, τούτων μνηστευόντων. καὶ κό-
πτουσι αὖτις τὴν θύραν, καὶ τοὔνομα ἐπιβοωμέ-
νοις μεγάλῃ τῇ φωνῇ, οὔτε ἀνοίγειν, οὔτε ὑπα-
κούειν βούλομαι. ὁρῶ γὰρ αὐτοὺς οὐδὲν πλέον τοῦ
βοῆς κομίζοντας. οὗτος δὲ, οὐδὲ οὕτως ἐπιστρέ-
φεται πρὸς ἐμὲ, ἀλλὰ πρὸς τὸν ἐρώμενον βλέ-
πει, τί ὦ θεοὶ χρηστὸν παρ' αὐτοῦ λήψεσθαι προσ-
δοκῶν. ὃν τοῦ τρίβωνος οὐδὲν ὁρᾷ πλέον ἔχον-
τα. εἴρηκα ὦ ἄνδρες δικασταί. ὑμεῖς δὲ, ἣν εἰς

τὸν

ν ἐμὸν τρόπον τῶν λόγων ἀπολογεῖσθαι θέλει,
τ μὴ ἐπιτρέπετε. ἄγνωμον γὰρ ἐπ' ἐμὲ τὴν ἐ-
ὴν μάχαιραν ἀκονᾶν. κατὰ δὲ τὸν αὐτὸν ἐρώμε
ν τὸν διάλογον, οὕτως ἀπολογείσθω, ἣν δύνη-
αι. Ερ. τοῦτο μὲν ἀπίθανον. οὐ γὰρ οἷόν τε ὦ
ρεικὴ μόνην αὐτὴν ἀπολογεῖσθαι κατὰ σχῆ
α τοῦ διαλόγου, ἀλλὰ ῥῆσιν καὶ αὐτὸς εἰπάτω.
ύρος. ἐπεὶ καὶ τοῦτο ὦ ἄνδρες, ἡ αὐτίδικος ἠπα
κτηκεν, εἰ μακρῷ χρήσομαι τῷ λόγῳ, καὶ αὐ
δ' δύνασθαι λέγειν περὶ ἐκείνης λαβών, πλ
ά μὲν οὐκ ἐρῶ πρὸς ὑμᾶς. τὰ κεφάλαια δὲ
ἰτὰ ἐπιλυσάμενος τῶν κατηγορηθέντων, ὑμῖν
πλεῖστω σκοπεῖν περὶ ἁπάντων. πάντα γὰρ
πόσα διηγήσατο περὶ ἐμοῦ, ἀληθεύοντα διηγή
το. καὶ γὰρ ἐπαίδευσε, καὶ συνεπεδήμησε,
ὁ εἰς τοὺς Ἕλληνας ἐνέγραψε. καὶ κατά γε τοῦτο
άειν ἂν εἰδείην περὶ γάμου. δι' ἃς δὲ αἰτίας
πολιτῶν αὐτὴν ἐπὶ γυμνὶ τὸν διάλογον ἐ-
απείμην, ἀκούσατε ὦ ἄνδρες δικασταί, καί
ε μηδὲν τοῦ χρησίμου ἕνεκα ψεύδεσθαι ὑπο
άβοιτε. ἐγὼ γὰρ ὁρῶν ταύτην οὐκ ἐπισωφρο
νοῦσαν, οὐδὲ ἐμμένουσαν ἐπὶ τοῦ κοσμίου σχή-
ατος, οἷόν περ ἐσχηματισμένην αὐτὴν ὁ
παιανιεὺς ἐνθένδε ἤγαγετο, κοσμουμένην δέ,
τὰς τείχας ἀθετίζουσαν εἰς τὸ ἑταιρ-

κοῦ, καὶ φυκίον ἐντριβομένην, καὶ τὼ ὀφθαλμὼ ὑπογραφομένην, ὑπώπτευον εὐθὺς, καὶ παρεφύλαττον ὅποι τὸν ὀφθαλμὸν φέροι. καὶ τὰ μὲν ἄλλα, ἐῶ. καθ' ἑκάστην δὲ τὴν νύκτα, ὁ μὲν στενωπὸς ἡμῶν, ἐνεπίμπλατο μεθυόντων ἐραστῶν, κωμαζόντων ἐπ' αὐτὴν, καὶ κοπτόντων τὴν θύραν. ἐνίων δὲ, καὶ εἰσβιάζεσθαι σὺν οὐδενὶ κόσμῳ τολμώντων. αὕτη δὲ ἐγέλα, καὶ ἥδετο τοῖς δρωμένοις. καὶ τὰ πολλὰ ἢ παρέκυπτεν ἀπὸ τοῦ τέγους, ᾀδόντων ἀκούουσα τραχείᾳ τῇ φωνῇ ᾠδάς τινας ἐρωτικάς, ἢ καὶ παρανοίγουσα τὰς θυρίδας, ἐμὲ οἰομένη λανθάνειν, ἠσέλγαινε, καὶ ἐμοιχεύετο πρὸς αὐτῶν. ὅπερ ἐγὼ μὴ φέρων, γράψασθαι μὲν αὐτὴν μοιχείας οὐκ ἐδοκίμαζον. ἐν γειτόνων δὲ οἰκοῦντι τῷ διαλόγῳ προσελθὼν, ἠξίουν καταδεχθῆναι ὑπ' αὐτοῦ. ταῦτά ἐστιν, ἃ ἐγὼ τὴν ῥητορικὴν μεγάλα ἠδίκησα. καίτοι εἰ καὶ μηδὲν αὐτῇ τούτων ἐπέπρακτο, καλῶς εἶχέ μοι ἀνδρὶ ἤδη τετταράκοντα ἔτη σχεδὸν γεγονότι, θορύβων μὲν ἐκείνων, καὶ δικῶν, ἀπηλλάχθαι, καὶ τοὺς ἄνδρας τοὺς δικαστὰς ἀτρεμεῖν ἐᾶν, καὶ τυράννων κατηγορίας, καὶ ἀριστέων ἐπαίνους ἐκφυγόντι. ἐς δὲ τὴν ἀκαδημίαν, ἢ ἐς τὸ λύκειον ἐλθόντα, τῷ βελτίστῳ τούτῳ διαλόγῳ συμπερι-

πατεῖν,

πατεῖν, ἠρέμα συνδιαλεγόμενον. πολλὰ ἔχων
εἰπεῖν, ἤδη παύσομαι. ὑμεῖς δὲ, εὔορκον τὴν ψῆ-
φον ἐνέγκατε. Δί. τίς κρατεῖ; Ερ. πα
κισ ὁ Σύρος, πλὴν μιᾶς. Δί. ῥήτωρ τις ἔοι
κεν εἶ. ὁ τὴν ἐναντίαν θέμενος. ὁ διάλογος ἤδη
αὐτῶν, λέγει. ὑμεῖς δὲ, περιμείνατε, διπλασί
ονα ἀποισόμενοι τὸν μισθὸν ἐπ᾽ ἀμφοτέραις
ταῖς δίκαις. Διάλογος. ἐγὼ δὲ ὦ ἄνδρες
δικασταὶ μακροὺς μὲν ἀποτείνειν τοὺς λόγους οὐκ
ἂν ἐβουλόμην πρὸς ὑμᾶς, ἀλλὰ κατὰ μικρὸν
ὥσπερ εἴωθα. ὅμως δὲ ὡς νόμος ἐν τοῖς δικαστηρί-
οις, οὕτω ποιήσομαι τὴν κατηγορίαν, ἰδιώτης
παντάπασι καὶ ἄτεχνος τῶν τοιούτων ὤν.
καί μοι τοῦτο ἔστω πρὸς ὑμᾶς τὸ προοίμιον. ἃ δὲ
ἠδίκημαι, καὶ περιύβρισμαι πρὸς τούτου, ταῦτά
ἐστιν. ὅτι με σεμνὸν τέως ὄντα, καὶ θεῶν τε πέρι,
καὶ φύσεως, καὶ τῆς τῶν ὅλων περιόδου σκοπούμε
νον, ὑψηλὸν ἄνω που τῶν νεφῶν ἀεροβατοῦντα,
ἔνθα ὁ μέγας ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα ἐλαύ
νων φέρεται, κατασπάσας αὐτὸς ἤδη κατὰ τὴν
ἀψίδα πετόμενον, καὶ ἀναβαίνοντα ὑπεράνω τοῦ
οὐρανοῦ, καὶ τὰ πτερὰ συντρίψας, ἰσοδίαιτον
τοῖς πολλοῖς ἐποίησε. καὶ τὸ μὲν τραγικὸν ἐκεῖνο,
καὶ σωφρονικὸν προσωπεῖον, ἀφεῖλέ μου. κω-
μικὸν δὲ ἄλλο, καὶ σατυρικὸν, ἐπέθηκέ μοι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ μικροῦ δεῖν, πλοῖον. εἶτά μοι ἐς τὸ αὐτὸ φέ-
ρων, συγκαθεῖρξέ μοι τὸ σκῶμμα, καὶ τὸν ἴαμβον,
καὶ κυνισμὸν, καὶ τὸν Εὔπολιν, καὶ τὸν Ἀριστοφά-
νην, δεινοὺς ἄνδρας ἐπικερτομῆσαι τὰ σεμ-
νὰ, καὶ χλευάσαι τὰ καλῶς ἔχοντα. τελευ-
ταῖον δὲ, καὶ Μένιππόν τινα τῶν παλαιῶν κυ-
νῶν μάλα ὑλακτικὸν ὡς δοκεῖ, καὶ κάρχαρον
ἀνορύξας, καὶ τοῦτον ἐπεισήγαγέ μοι φοβερόν τι-
να ὡς ἀληθῶς κύνα. καὶ τὸ δῆγμα λαθραῖον, ὅ-
σῳ καὶ γελῶν ἅμα ἔδακνε. πῶς οὖν οὐ δεινὰ ὕ-
βρισμαι, μηκέτ' ἐπὶ τοῦ οἰκείου σχήματος δια-
κείμενος, ἀλλὰ κωμῳδῶν, καὶ γελωτοποιῶν,
καὶ ὑποθέσεις ἀλλοκότους ὑποκρινόμενος αὐ-
τῷ; τὸ γὰρ πάντων ἀτοπώτατον, κρασίν τινα
παράδοξον κέκραμαι. καὶ οὔτε πεζός εἰμι, οὔτε
ἐπὶ τῶν μετεώρων βέβηκα, ἀλλὰ ἱπποκενταύ-
ρου δίκην, σύνθετόν τι, καὶ ξένον φάσμα τοῖς
ἀκούουσι δοκῶ. Ερ. τί οὖν πρὸς ταῦτα ἐρεῖς
ὦ Σύρε; Σύ. ἀπροσδόκητον ὦ ἄνδρες δι-
κασταὶ τὸν ἀγῶνα τοῦτον ἀγωνίζομαι παρ' ὑμῖν.
πάντα γοῦν μᾶλλον ἂν ἤλπισα τὸν Διάλογον,
ἢ τοιαῦτα ἐρεῖν περὶ ἐμοῦ. ὃν παραλαβὼν ἐγὼ,
σκυθρωπὸν ἔτι τοῖς πολλοῖς δοκοῦντα, καὶ ὑ-
πὸ τῶν συνεχῶν ἐρωτήσεων κατεσκληκότα,
καὶ ταύτῃ αἰδέσιμον μὲν εἶναι δοκοῦντα, οὐ
πάν-

ταύτῃ δὲ ἤδη, οὐδὲ τοῖς πλήθεσι κεχαρισμένον, πρότερον μὲν αὐτὸν τῆς γῆς βαίνειν ἐς τὸν ἀνθρώπινον εἴθισα τοῦτον τρόπον. μετὰ δὲ τὸν αὐχμὸν τὸν πολὺν, ἀποπλύνας, καὶ μειδιᾶν καταναγκάσας, ἡδίω τοῖς ὁρῶσι παρεσκεύασα. ὑπὸ πᾶσι δὲ, τὴν κωμῳδίαν αὐτῷ παρέζευξα. καὶ κατὰ τοῦτο, πολλὴν οἱ μηχανώμενος τὴν εὔνοιαν παρὰ τῶν ἀκουόντων. οἳ τέως τὰς ἀκάνθας τὰς ἐν αὐτῷ δεδιότες, ὥσπερ τὸν ἐχῖνον, λαβεῖν αὐτὸν εἰς τὰς χεῖρας ἐφυλάττοντο. ἀλλ' ἐγὼ οἶδ' ὅπερ μάλιστα λυπεῖ αὐτὸν, ὅτι μὴ τὰ ἰχνὰ ἐκεῖνα, καὶ λεπτὰ καθήμενος πρὸς αὐτὸν σμικρολογοῦμαι, εἰ ἀθάνατος ἡ ψυχὴ, καὶ πόσας κοτύλας ὁ θεὸς, ὁπότε τὸν κόσμον εἰργάσατο, τῆς ἀμιγοῦς, καὶ κατὰ τὰ αὐτὰ ἐχούσης οὐσίας ἐνέχεεν εἰς τὸν κρατῆρα, ἐν ᾧ πάντα ἐκεράννυτο, καὶ εἰ ῥητορικὴ πολιτικῆς μορίου εἴδωλον, κολακείας δὲ τέταρτον. χαίρει γὰρ οὐκ οἶδ' ὅπως τὰ τοιαῦτα λεπτολογῶν, καθάπερ οἱ τὴν ψώραν ἡδέως κνώμενοι. καὶ τὸ φρόντισμα ἡδὺ αὐτῷ δοκεῖ, καὶ μέγα φρονεῖ, ἢν λέγηται ὡς οὐ παντὸς ἀνδρὸς ἐστὶ συνιδεῖν ἃ περὶ τῶν ἰδεῶν ὀξυδορκεῖ. ταῦτα δηλαδὴ καὶ παρ' ἐμοῦ ἀπαιτεῖ, καὶ τὰ πτερὰ ἐκεῖνα ζητεῖ, καὶ ἀποβλέπει, τὰ πρὸ τοῖν ποδοῖν οὐχ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁρῶν. ἐπεὶ τῶνγε ἄλλων ἕνεκα, οὐκ ἂν οἶμαι μέμψαιτό μοι, ὡς θοιμάτιον τοῦτο τὸ ἑλληνικὸν περισπάσας αὐτοῦ, βαρβαρικὸν μετενέδυσα. καὶ ταῦτα, βάρβαρος αὐτὸς εἶναι δοκῶν. ἠδίκουν γὰρ ἄν, τὰ τοιαῦτα εἰς αὐτὸν παρανομῶν, καὶ τὴν πάτριον ἐσθῆτα λωποδυτῶν. ἀπολελόγημαι ὡς δυνατὸν ἐμοί. ὑμεῖς δὲ, ὁμοίαν τῇ πάλαι τὴν ψῆφον ἐνέγκατε. Ερ. βαβαί, δέκα ὅλαις κρατεῖς. ὁ γὰρ αὐτὸς ἐκεῖνος ὁ πάλαι, οὐδὲ νῦν ὁμόψηφός ἐστιν. ἀμέλει τοῦτο ἔθος ἐστὶ, καὶ πᾶσι τὴν τετρυπημένην οὗτος φέρει, καὶ μὴ παύσεται φθονῶν τοῖς ἀρίστοις. ἀλλ' ὑμεῖς μὲν, ἄπιτε ἀγαθῇ τύχῃ. αὔριον δὲ, τὰς λοιπὰς δικάσομεν.

## ΠΕΡΙ ΠΑΡΑΣΙΤΟΥ, ΗΤΟΙ ΟΤΙ ΤΕΧΝΗ Η ΠΑΡΑΣΙΤΙΚΗ.

Τί ποτε ἄρα ὦ Σίμων, οἱ μὲν ἄλλοι ἄνθρωποι, καὶ ἐλεύθεροι, καὶ δοῦλοι, τέχνην ἕκαστός τινα ἐπίστανται, δι' ἧς ἑαυτοῖς τε εἰσὶ, καὶ ἄλλῳ χρήσιμοι. σὺ δὲ, ὡς ἔοικεν ἔργον οὐδὲν ἔχεις, δι' οὗ ἄν τι ἢ αὐτὸς ἀπόναιο, ἢ ἄλλῳ μεταδοίης; Παρά. πῶς τοῦτο ἐρωτᾷς ὦ Τυχιάδη, οὐδέπω οἶδα. πειρῶ δὴ σαφέστερον ἐρωτᾶν. Τυχ. ἔστιν ἥν τινα τυγχάνεις ἐπιστάμενος τέχνην, οἷον μουσικήν;

Πα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

α. μὰ Δία. Τυ. τί δέ, ἰατρικήν; Πα. δὲ ταύτην. Τυ. ἀλλὰ γεωμετρίαν; α. οὐδαμῶς. Τυ. τί δέ, ῥητορικήν; φι οσοφίας μὲν γὰρ τοσοῦτον ἀπέχεις, ὅσον καὶ ἡ κακία. Πα. ἐγὼ μὲν εἰ οἷόν τε ἦν, καὶ πλεῖ . ὥστε μὴ δόκει τοῦτο καθάπερ ἀγνοοῦντι ὀνειδί ειν. φημὶ γὰρ κακὸς εἶναι, καὶ χείρων, ἢ σὺ δοκεῖς. υ. ναί. ἀλλὰ ταύτας μὲν ἴσως τὰς τέχνας ὐκ ἐξέμαθες διὰ μέγεθος αὐτῶν, καὶ δυσκολί ν. τῶν δὲ δημοτικῶν τίνα, τεκτονικὴν, ἢ σκυ- ομικήν; καὶ γὰρ οὐδὲ τἆλλα οὕτως ἔχει σοι, ς μὴ καὶ τοιαύτης ἂν δεηθῆναι τέχνης. Πα. ρθῶς λέγεις ὦ Τυχιάδη. οὐδὲ γὰρ τούτων οὐ- εμιᾶς ἐπιστήμων εἰμί. Τυ. τίνος οὖν ἑτέ ας; Πα. τίνος; ὡς ἐγὼ οἶμαι, γενναίας. ν εἰ μάθοις, καὶ σὲ ἐπαινέσειν οἴομαι. ἔργῳ μὲν ὖν κατορθοῦν φημι ἤδη, εἰ καὶ σοὶ λόγῳ οὐκ ἔ ω εἰπεῖν. Τυ. τίνα ταύτην; Πα. οὔπω οι δοκῶ περὶ ταύτην ἐκμεμελετηκέναι όγους. ὥστε ὅτι τέχνην μέν τινα ἐπίσταμαι, άρχει ἤδη σοι γινώσκειν, καὶ μὴ διὰ τοῦτο χα επῶς μοι ἔχειν. ἣν τινα δέ, αὖθις ἀκούσῃ. Τυ. ἀλλ᾽ οὐκ ἀνέξομαι. Πα. τό γε τῆς τέ νης, παράδοξον ἴσως φανεῖταί σοι ἀκούσαν ι. Τυ. καὶ μὴν διὰ τοῦτο σπουδάζω μα

θεῖν. Πα. εἰ εὔηθης ὦ Τυχιάδη. Τυ. μηδαμῶς, ἀλλ' ἤδη λέγε, εἰ μὴ περ ἄρα αἰσχύνῃ. Πα. ἡ παρασιτική. Τυ. κᾆτα εἰ μὴ μαίνοιτό τις ὦ Σίμων, τέχνην ταύτην φαίη ἄν; Πα. ἔγωγε. εἰ δέ σοι μαίνεσθαι δοκῶ, τὸ μηδεμίαν ἄλλην ἐπίστασθαι τέχνην, αὐτὴν αἰτίαν εἶναί μοι τὴν μανίαν δόκει, καί με τῶν ἐγκλημάτων ἤδη ἀφίει. φασὶ γὰρ τὴν δαίμονα ταύτην, τὰ μὲν ἄλλα, χαλεπὴν εἶναι τοῖς ἔχουσι, παραιτεῖσθαι δὲ τῶν ἁμαρτημάτων αὐτοὺς, ὥσπερ διδάσκαλον, ἢ παιδαγωγὸν τούτων ἀναδεχομένην εἰς αὐτὴν τὰς αἰτίας. Τυ. οὐκοῦν ὦ Σίμων, ἡ παρασιτικὴ τέχνη ἐστί; Πα. τέχνη γάρ. κἀγὼ ταύτης δημιουργός. Τυ. καὶ σὺ ἄρα παράσιτος; Πα. πάνυ ὠνείδισας ὦ Τυχιάδη. Τυ. ἀλλ' οὐκ ἐρυθριᾷς, παράσιτον σαυτὸν καλῶν; Πα. οὐδαμῶς. αἰσχυνοίμην γὰρ ἄν, εἰ μὴ λέγοιμι. Τυ. καὶ νὴ Δία ὁπόταν σε βουλώμεθα γνωρίζειν τῶν οὐκ ἐπισταμένων τῳ, ὅτε χρῄζοι μαθεῖν, ὁ παράσιτος δηλονότι φήσομεν. Πα. πολὺ μᾶλλον τοῦτο λέγοντες ἐμέ, ἢ Φειδίαν ἀγαλματοποιόν. χαίρω γὰρ τῇ τέχνῃ οὐδὲν ἧττον, ἢ Φειδίας ἔχαιρε τῷ Διΐ. Τυ. καὶ μὴν ἐκεῖνό μοι σκοποῦντι προσίσταται γέλως πάμπλυς.

ολις. Πα. τὸ ποῖον; Τυ. εἰ ταῖς ἐπιστ
ταῖς ἄνωθεν ὥσπερ ἔθος, ἐπιγράφοιμεν Σί
ωνι παρασίτῳ. Πα. καὶ μὴν ἂν ἐμοὶ μᾶλ-
ον χαρίζοιο, ἢ Δίωνι ἐπιγράφων φιλοσόφῳ.
Τυ. ἀλλὰ σὺ μὲν ὅπως χαίρεις καλού-
μενος, οὐδὲ ἕν, ἢ μικρόν μοι μέλει. σκοπεῖν δὲ
εἰ καὶ τὴν ἄλλην ἀπορίαν. Πα. τίνα μήν;
Τυ. εἰ καὶ ταύτην ταῖς ἄλλαις τέχναις
καταλέξομεν. ὥστε ἐπειδὰν πυνθάνηταί
ις ὁποία τις αὕτη τέχνη ἐστί, λέγειν, οἷον γραμ
ατική, ἰατρική, παρασιτική. Πα.
γὼ μὲν ὦ Τυχιάδη, πολὺ μᾶλλον ταύτην, ἤ
ινα ἑτέραν τέχνην φαίην ἄν. εἰ δέ σοι φίλον ἀ
ούειν, καὶ ὅπως οἴομαι, λέγοιμι ἄν, καίπερ οὐ
παντάπασιν ὤν, ὡς ἔφθην εἰπών, ἐπὶ τούτῳ
παρεσκευασμένος οὐδέν. Τυ. εἰ καὶ σμι-
κρὰ δέ, τὰ ἀληθῆ διοίσει. Πα. ἴθι δή
πρῶτον περὶ τῆς τέχνης εἴ σοι δοκεῖ, ἥτις ποτε
οὖσα τυγχάνει τοῦ γένους σκοπῶμεν. οὑτωσὶ γὰρ
ἐπακολουθήσαιμεν ἂν καὶ ταῖς κατ' εἶδος τέχ
ναις, εἴπερ ἄρα ὀρθῶς μετέχοιμεν αὐτῆς.
Τυ. τί ποτ' οὖν ἐστι τέχνη, ὡς ἐπίστασαι;
Πα. πάνυ μὲν οὖν. Τυ. μὴ τοίνυν ὄκνει λέ
γειν αὐτήν, εἴπερ οἶσθα. Πα. τέχνη ἐστίν
ὡς ἐγὼ διαμνημονεύω σοφοῦ τινος ἀκούσας,

σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων,
πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. Τυ.
ὀρθῶς ἐκείνου γε εἰπόντος, οὕτως ἀπεμνημόνευ-
σας. Πα. εἰ δὲ μετέχοι τούτων ἁπάντων
ἡ παρασιτική, τί ἂν ἄλλο ἢ καὶ αὐτὴ τέχνη εἴη;
Τυ. τέχνη γάρ, εἴπερ οὕτως ἔχοι. Πα. φέ-
ρε δὴ καθ' ἕκαστον τοῖς τῆς τέχνης εἴδεσιν ἐφαρμό-
ζοντες τὴν παρασιτικήν, εἰ συνᾴδει σκοπῶμεν
καὶ ὁ περὶ αὐτῆς λόγος, ἀλλὰ μὴ καθάπερ αἱ
πονηραὶ χύτραι διακρουόμεναι, μὴ σαθρὸν ἀπο-
φθέγγηται. δεῖ τοίνυν αὐτὴν καὶ ταύτην ὥσπερ καὶ
πᾶσαν τέχνην, σύστημα ἐκ καταλήψεων. πρῶ-
τον μέν, τὸ δοκιμάζειν καὶ διακρίνειν ὅστις ἂν ἐ-
πιτήδειος γένοιτο τρέφειν αὐτόν. καὶ οὕτω παρασι-
τεῖν ἀρξάμενος, οὐκ ἂν μεταγνοίη. ἢ τὸν μὲν ἀρ-
γυρογνώμονα τέχνην τινὰ φήσομεν ἔχειν, εἴπερ
ἐπίσταιτο διαγινώσκειν τά τε κίβδηλα τῶν νο-
μισμάτων, καὶ τὰ μή. τοῦτον δὲ ἄνευ τέχνης δια-
κρίνειν τούς τε κιβδήλους τῶν ἀνθρώπων, καὶ τοὺς
ἀγαθούς. καὶ ταῦτα, ὥσπερ τῶν νομισμάτων, καὶ
τῶν ἀνθρώπων φανερῶν εὐθὺς ὄντων. αὐτὰ μέν-
τοι ταῦτα καὶ ὁ σοφὸς Εὐριπίδης καταμέμφε-
ται λέγων,

„ Ἀνδρῶν δ' ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
„ Οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι.

ὧλ

ἢ δὴ καὶ μείζων ἡ τοῦ παρασίτου τέχνη πέφυ-
κεν, εἴ γε καὶ τὰ οὕτως ἄδηλα, καὶ ἀφανῆ, μᾶλ-
λον τῆς μαντικῆς γνωρίζει τε, καὶ οἶδε. τὸ δὲ
ἐπίστασθαι λόγους λέγειν ἐπιτηδείους, καὶ
πράγματα πράττειν, δι᾽ ὧν οἰκειώσεται, καὶ συ-
στήσεται ἑαυτὸν τῷ τρέφοντι ἀποδείξει, ἆρ᾽ οὐ
συνέσεως, καὶ καταλήψεως ἐρρωμένης εἶναί σοι
δοκεῖ; Τυ. καὶ μάλα. Πα. τὸ δέ γε ἐν
ταῖς ἑστιάσεσιν αὐταῖς, ὅπως πάντων ἀπέλ-
θῃ πλέον ἔχων, καὶ παρευδοκιμῶν, τοὺς μὴ τὴν
αὐτὴν αὐτῷ κεκτημένους τέχνην, ἄνευ τινὸς
λόγου, καὶ σοφίας πλάττεσθαι οἴει; Τυ.
οὐδαμῶς. Πα. τί δέ, τὸ ἐπίστασθαι τὰς ἀ-
ρετάς, καὶ κακίας τῶν ὄψων, καὶ τῶν σιτίων, τὴν
πολυπραγμοσύνην ἀτέχνου τινὸς εἶναί σοι δο-
κεῖ; καὶ ταῦτα, τοῦ γενναιοτάτου Πλάτωνος
οὑτωσὶ λέγοντος, τοῦ μέλλοντος ἑστιάσεσθαι, ‹‹
μὴ μαγειρικοῦ ὄντος, σκευαζομένης θοίνης, ἀ ‹‹
κυροτέρα ἡ κρίσις. ὅτι γε μὴν οὐκ ἐκ καταλή ‹‹
ψεως μόνον, ἀλλὰ συγγεγυμνασμένης ἐστὶν ἡ
παρασιτική, μάθοις ἂν ἐνθένδε ῥᾳδίως. αἱ
μὲν γὰρ τῶν ἄλλων τεχνῶν καταλήψεις, καὶ
ἡμέρας, καὶ νύκτας, καὶ μῆνας, καὶ ἐνιαυτοὺς
πολλάκις ἀσυγγύμναστοι μένουσαι, καὶ ὅμως οὐκ
ἀπόλλυνται παρὰ τοῖς κεκτημένοις αἱ τέ-

χνῶ. εἰ δὲ τῷ παρασίτῳ καταλήψεις, εἰ μὴ καθ' ἡμέραν εἴη ἐν γυμνασίῳ, ἀπόλλυσθαι οὐ μόνον οἶμαι τὴν τέχνην, ἀλλὰ καὶ αὐτὸν τὸν τεχνίτην. τόγε μὴν πρός τι τέλος εὐχερέστερον τῶν βίων, μὴ καὶ μανίας εἴη ζητεῖν, ἐγὼ γὰρ τοι φαγεῖν καὶ τοι πιεῖν οὐδὲν εὐχερέστερον εὑρίσκω ἐν τῷ βίῳ ὄν, οὐδὲ ζῆν γε ἄνευ τούτου ἐστί; Τυ. πάνυ μὲν οὖν. Πα. καὶ μὴν οὐδὲ τοιοῦτόν τι ἐστὶν ἡ παρασιτική, οἷον τὸ κάλλος, καὶ ἡ ἰσχύς. ὥστε τέχνην μὲν μὴ δοκεῖν αὐτὴν, δύναμιν δέ τινα τοιαύτην. Τυ. ἀληθῆ λέγεις. Πα. ἀλλὰ μὴν τοι οὐδὲ ἀτεχνία ἐστίν. ἡ γὰρ ἀτεχνία, οὐδέποτε οὐδὲν κατορθοῖ τῷ κεκτημένῳ. φέρε γὰρ εἰ ἐπιτρέψας σὺ σεαυτῷ νηῦν ἐν θαλάττῃ καὶ χειμῶνι, μὴ ἐπιστάμενος κυβερνᾶν, σωθείης ἄν; Τυ. οὐχ οὕτω. Πα. τί δ' ἤ ποτε, εἰ τῷ μὴ ἔχειν τέχνην, δι' ἧς δυνήσεται σώζειν ἑαυτόν; Τυ. καὶ μάλα. Πα. οὐκοῦν καὶ παράσιτος ὑπὸ τῆς παρασιτικῆς, εἴπερ ἦν ἀτεχνία, οὐκ ἂν ἐσώζετο; Τυ. ναί. Πα. οὐκοῦν τέχνῃ σώζεται, ἀτεχνίᾳ δὲ οὔ. Τυ. πάνυ μὲν οὖν. Πα. τέχνη ἄρα ἐστὶν ἡ παρασιτική. Τυ. τέχνη ὡς ἔοικε. Πα. ἤ μὴν κυβερνήτας μὲν ἀγαθοὺς, καὶ ἡνιόχους τεχνίτας ἐκπεσόντας τῶν δίφρων οἶδα ἐγὼ πολλάκις,

καὶ

καὶ τοὺς μὲν, ξυντριβέντας. τοὺς δὲ, καὶ πάμπαν διαφθαρέντας. παρασίτου δὲ ναυάγιον, οὐδὲ εἷς ἔχοι τοιοῦτον εἰπεῖν. οὐκοῦν εἰ μήτε ἀτεχνία ἐστὶν ἡ παρασιτική, μήτε δύναμις, σύστημα δὲ τι, καὶ ἐκ καταλήψεων γε γυμνασμένων, τέχνη δηλονότι διωμολόγηται ἡμῖν σήμερον.

Τυ. ὅσον ἐκ τούτου, εἰκάζω. ἀλλ' ἐκεῖνο, ὅπως καὶ ὅρον ἡμῖν τινα γενναῖον ἀποδῶς περὶ παρασιτικῆς. Πα. ὀρθῶς σύγε λέγων. δοκεῖ γὰρ δή μοι οὕτως ἂν μάλιστα διορισθῆ, παρασιτική ἐστι τέχνη ποτέων, καὶ βρωτέων, καὶ τῶν διὰ ταῦτα λεκτέων. τέλος δὲ αὐτῆς, τὸ ἡδύ. Τυ. ὑπέρευγέ μοι δοκεῖς ὁρίσασθαι τὴν σαυτοῦ τέχνην. ἀλλ' ἐκεῖνο σκόπει, μὴ πρὸς ἐνίους τῶν φιλοσόφων μάχη σοι περὶ τοῦ τέλους ᾖ. Πα. καὶ μὴν ἀπόχρη γε, εἴπερ ἔσται τὸ αὐτὸ τέλος εὐδαιμονίας, καὶ παρασιτικῆς. φανεῖται δὲ οὕτως. ὁ γὰρ σοφὸς Ὅμηρος τὸν τοῦ παρασίτου βίον θαυμάζων, ὡς ἄρα μακάριος, καὶ ζηλωτὸς εἴη μόνος, οὐ γὰρ ἔγωγέ τι φησὶ τέλος χαριέστερον εἶμεναι, ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα, παρὰ δὲ πλήθωσι τράπεζαι σίτου, καὶ κρεῶν. μέθυ δὲ κρητῆρος ἀφύσσων οἰνοχόος φορέῃσι, καὶ ἐγχείῃ δεπάεσσι. καὶ ὡς οὐχ ἱκανῶς ταῦτα θαυμάζων, μᾶλλον τὴν αὐτοῦ γνώ-

„ μὴν ποιεῖ φανερωτέραν, εὖ λέγων. τοῦτο γάρ τί μοι
„ κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι. οὐχ ἕτερόν τι
ἐξ ὧν φησιν, ἢ τὸ παρασιτεῖν εὔδαιμον νομίζων. καὶ
μὴν οὐδὲ τῷ τυχόντι ἀνδρὶ περιτέθεικε τού-
τους τοὺς λόγους, ἀλλὰ τῷ σοφωτάτῳ τῶν ὅλων.
καί τοι γε εἴπερ ἐβούλετο Ὀδυσσεὺς τὸ κατὰ τοὺς
Στωϊκοὺς ἐπαινεῖν τέλος, ἐδύνατο ταυτὶ λέ-
γειν, ὅτε τὸν Φιλοκτήτην ἀνήγαγεν ἐκ τῆς λή-
μνου, ὅτε τὸ Ἴλιον ἐξεπόρθησεν, ὅτε τοὺς Ἕλληνας
φεύγοντας κατέσχεν, ὅτε εἰς Τροίαν εἰσῆλθεν,
ἑαυτὸν μαστιγώσας, καὶ κακά, καὶ στωϊκὰ ῥάκη
ἐνδύς. ἀλλὰ τότε οὐκ εἶπε τοῦτο τέλος χα-
ριέστερον. ἀλλὰ μὴν καὶ ἐν τῷ τῶν ἐπικουρείων
βίῳ γενόμενος αὖθις παρὰ τῇ Καλυψοῖ, ὅτε
αὐτῷ ὑπῆρχεν ἐν ἀργίᾳ τε βιοτεύειν, καὶ τρυ-
φᾶν, καὶ βινεῖν τὴν Ἄτλαντος θυγατέρα, καὶ κι-
νεῖν πάσας τὰς λείας κινήσεις, οὐδέποτε εἶ-
πε τοῦτο τὸ τέλος χαριέστερον, ἀλλὰ τὸν τῶν παρασί-
των βίον. ἐκαλοῦντο γὰρ δαιτυμόνες οἱ παράσιτοι
τότε. πῶς οὖν λέγει; πάλιν γὰρ ἄξιον ἀναμνησθῆ-
ναι τῶν ἐπῶν. οὐδὲ γὰρ οἷόν τε ἀκούειν αὐτῶν, μὴ
„ πολλάκις λεγομένων. δαιτυμόνες καθήμενοι
„ ἑξείης. καὶ παραπλήθωσι τράπεζαι σίτου, καὶ κρε-
ῶν. ὅ γε μὴν Ἐπίκουρος σφόδρα ἀναισχύντως
ὑφελόμενος τὸ τῆς παρασιτικῆς τέλος, τῆς

κατὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κατ' αὐτὴν εὐδαιμονίας, τέλος αὐτοῦ ποιεῖ. καὶ ὅτι κλοπὴ τὸ πρᾶγμά ἐστι, καὶ οὐδὲν Ἐπικούρῳ μέλει τοῦ ἡδέος, ἀλλὰ τῷ παρασίτῳ, οὕτω μάθοις ἄν. ἔγωγε ἡγοῦμαι τὸ ἡδὺ πρῶτον μὲν τὸ τῆς σαρκὸς, ἀόχλητον. ἔπειτα τὸ μὴ θορύβου, καὶ ταραχῆς τὴν ψυχὴν ἐμπεπλῆσθαι. τούτων τοίνυν ὁ μὲν παράσιτος, ἑκατέρου τυγχάνει. ὁ δὲ Ἐπικούρειος, οὐδὲ θατέρου. ὁ γὰρ ζητῶν περὶ σχήματος γῆς, καὶ κόσμων ἀπειρίας, καὶ μεγέθους ἡλίου, καὶ ἀποστημάτων, καὶ πρώτων στοιχείων, καὶ περὶ θεῶν, εἴ τε εἰσὶν, εἴ τε οὐκ εἰσὶ, καὶ περὶ αὐτοῦ τοῦ τέλους ἀεὶ πολεμῶν, καὶ διαφερόμενος πρός τινας, οὐ μόνον ἐν ἀνθρωπίναις, ἀλλὰ καὶ ἐν κοσμικαῖς ἐστιν ὀχλήσεσιν. ὁ δὲ παράσιτος, πάντα καλῶς ἔχειν οἰόμενος καὶ πεπιστευκὼς μὴ ἄλλως ταῦτα ἔχειν ἄμεινον, ἢ ἔχει, μετὰ πολλῆς ἀδείας, καὶ γαλήνης, οὐδενὸς αὐτῷ τοιούτου παρενοχλοῦντος ἐσθίει, καὶ κοιμᾶται ὕπτιος, ἀφεικὼς τοὺς πόδας, καὶ τὰς χεῖρας, ὥσπερ Ὀδυσσεὺς τῆς Σχερίας ἀποπλέων οἴκαδε. καὶ μὴν οὐχὶ κατὰ ταῦτα μόνον οὐδὲν προσήκει τὸ ἡδὺ τῷ Ἐπικούρῳ, ἀλλὰ καὶ καθ' ἐκεῖνα. ὁ γὰρ Ἐπίκουρος οὗτος, ὅστις ποτέ ἐστιν ὁ σοφὸς, ἤτοι φαγεῖν ἔχει, ἢ οὔ. εἰ μὲν οὐκ ἔχει, οὐχ ὅπως ἡδέως οὐ ζήσεται, ἀλλ' οὐδὲ ζήσε-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ται. εἰ δὲ ἔχει, εἴτε παρ' ἑαυτοῦ, εἴτε παρὰ ἄλ-
λου. εἰ μὲν οὖν παρ' ἄλλου τὸ φαγεῖν ἔχοι, παρά-
σιτός ἐστι, καὶ οὐχ ὡς λέγει. εἰ δὲ παρ' ἑαυτοῦ, οὐχ
ἡδέως ζήσεται. Τυ. πῶς οὐχ ἡδέως;
Πα. εἰ γὰρ ἔχοι τὸ φαγεῖν παρ' ἑαυτοῦ, πολλὰ
τοιοῦ Τυχιάδη τῷ τοιούτῳ βίῳ παρακολου-
θεῖν ἀνάγκη. καὶ ἄθρει πόσα. δεῖ τὸν μέλλοντα
βιώσεσθαι καθ' ἡδονήν, τὰς ἐγγινομένας ὀρέ-
ξεις ἁπάσας ἀναπληροῦν. ἢ τί φῄς; Τυ.
κἀμοὶ δοκεῖ. Πα. οὐκοῦν τῷ μὲν συχνὰ κε-
κτημένῳ, ἴσως αὐτὸ παρέχει. τῷ δὲ ὀλίγα,
καὶ μηδὲν, οὐκέτι. ὥστε πένης οὐκ ἂν σοφὸς
γένοιτο, οὐδὲ ἐφίκοιτο τοῦ τέλους. λέγω δὲ
τοῦ ἡδέος. ἀλλ' οὐδὲ μὴν ὁ πλούσιος, ὁ παρὰ
τῆς οὐσίας ἀφθόνως ταῖς ἐπιθυμίαις χορη-
γῶν, δυνήσεται τοῦδε ἐφικέσθαι. τί δή ποτε,
ὅτι πᾶσα ἀνάγκη τὸν ἀναλίσκοντα τὰ ἑαυτοῦ,
πολλαῖς περιπίπτειν ἀηδίαις. αὐτὸν μὲν, τῷ
μαγείρῳ κακῶς σκευάσαντι τὸ ὄψον μαχόμε-
νον, ἢ μὴ μάχοιτο, φαῦλα παρὰ τοῦτο ἐσθίοντα
τὰ ὄψα, καὶ τοῦ ἡδέος ὑστερεῖν. αὖτε δὲ, τῷ
οἰκονομοῦντι τὰ κατὰ τὴν οἰκίαν, εἰ μὴ καλῶς
οἰκονομοίη μαχόμενον. ἢ οὐχ οὕτω; Τυ. νὴ
Δία κἀμοὶ δοκεῖ. Πα. τῷ μὲν Ἐπικούρῳ,
πάντα ξυμβαίνειν εἰκός. ὥστε οὐδέ ποτε τεύ-

ξεται

ἔσται τὸ τέλος. ὁ δὲ παράσιτος, οὔτε μάγειρός ἐστιν, ὡς χαλεπήνῃ, οὔτε ἀγρὸς, οὔτε οἰκονόμος, οὔτε ἀργύρια. ὑπὲρ ὧν ἀπολλυμένων ἀχθεσθείη, καὶ πάντα ἔχει, ὥστε καὶ φάγοι, καὶ πίοι μόνος οὗτος ὑπὸ μηδενὸς, ὧν ἐκείνος ἀνάγκη ἐνοχλούμενος. ἀλλ' ὅτι μὲν τέχνη ἐστὶν ἡ παρασιτικὴ, κἀκ τούτων, καὶ τῶν ἄλλων ἱκανῶς δέδεικται. λοιπὸν ὅτι καὶ ἀρίστη, δεικτέον. καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλὰ πρῶτον μὲν, ὅτι κοινῇ πασῶν διαφέρει τῶν τεχνῶν. εἶτα ὅτι ἰδία ἑκάστης. κοινῇ μὲν οὖν ἁπασῶν οὕτω διαφέρει. πάσης γὰρ τέχνης ἀνάγκη προσάγειν μάθησιν, πόνον, φόβον, πληγὰς, ἅπερ οὐκ ἔστιν ὅστις οὐκ ἂν ἀπεύξαιτο. ταύτην δὲ τὴν τέχνην ὡς ἔοικε, μόνην ἔξεστι μαθεῖν ἄνευ πόνου. τίς γὰρ ἀπὸ δείπνου ποτὲ ἀπῆλθε κλαίων, ὥσπερ τινὰς ἐκ τῶν διδασκάλων ὁρῶμεν; τίς δ' ἐπὶ δεῖπνον ἀπιὼν, ὤφθη σκυθρωπὸς, ὥσπερ οἱ εἰς διδασκαλεῖα φοιτῶντες; καὶ μὴν ὁ μὲν παράσιτος, ἑκὼν αὐτὸς ἐπὶ δεῖπνον ἔρχεται, μάλιστα ἐπιθυμῶν τῆς τέχνης. οἱ δὲ τὰς ἄλλας τέχνας μανθάνοντες, μισοῦσιν αὐτὰς, ὥστε ἔνιοι δι' αὐτὰς ἀποδιδράσκουσι. τί δὲ οὐ κἀκεῖνο ἐννοῆσαί σε δεῖ, ὅτι καὶ τοὺς ἐν ἐκείναις ταῖς τέχναις προκόπτοντας,

οἱ πατέρες καὶ μητέρες γύρις τιμῶσι μάλιστα, οἷς καθ' ἡμέραν καὶ τὸν παράσιτον. καλῶς νὴ Δία ἔγραψεν ὁ παῖς λέγοντες· δότε αὐτῷ φαγεῖν. οὐκ ἔγραψεν ὀρθῶς, μὴ δότε. οὕτω τὸ πρᾶγμα καὶ ἔντιμον, καὶ ἐν τιμωρίᾳ μέγα φαίνεται. καὶ μὴν αἱ ἄλλαι τέχναι, τὸ ὕστερον τοῦτ' ἔχουσι, μετὰ τὸ μαθεῖν, καὶ τοὺς καρποὺς ἡδέως ἀπολαμβάνουσι. πολλὴ γὰρ καὶ ὀρθία οἶμος ἐς αὐτό. ἡ δὲ παρασιτικὴ μόνη τῶν ἄλλων, εὐθὺς ἀπολαύει τῆς τέχνης ἐν αὐτῷ τῷ μανθάνειν. καὶ ἅμα τε ἄρχεται, καὶ ἐν τῷ τέλει ἐστίν. αἱ μέν γε τῶν ἄλλων τεχνῶν, οὐ τινές, ἀλλὰ πᾶσαι, ἐπὶ μόνην τὴν τροφὴν γεγόνασιν. ὁ δὲ παράσιτος, εὐθὺς ἔχει τὴν τροφὴν ἅμα τῷ ἄρξασθαι τῆς τέχνης. ἢ οὐκ ἐννοεῖς ὅτι ὁ μὲν γεωργός, γεωργεῖ, οὐ τοῦ γεωργεῖν ἕνεκα. καὶ ὁ τέκτων, τεκταίνεται, οὐ τοῦ τεκταίνεσθαι ἕνεκα. ὁ δὲ παράσιτος, οὐχ ἕτερον μέν τι διώκει, ἀλλὰ τὸ αὐτὸ καὶ ἔργον ἐστὶν αὐτοῦ, καὶ οὗ ἕνεκα γίνεται. καὶ μὴν ἐκεῖνά γε οὐδείς ἐστιν ὅστις οὐκ ἐπίσταται. ὅτι οἱ μὲν τὰς λοιπὰς τέχνας ἐργαζόμενοι, τὸν μὲν ἄλλον χρόνον ταλαιπωροῦσι, μίαν δὲ ἢ δύο μόνας τοῦ μηνὸς ἡμέρας ἱερὰς ἄγουσι. καὶ αἱ πόλεις δέ, τὰς μὲν, δι' ἔτους. τὰς δέ, ἐμμηνίους ἑορτὰς ἐπιτελοῦσι, καὶ εὐφραίνεσθαι λέγον-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τότε. ὁ δὲ παράσιτος, τοῦ μηνὸς τὰς τριά-
κοντα ἡμέρας ἱερὰς ἄγει. πᾶσαι γὰρ δοκοῦσιν αὐ-
τῷ εἶναι τῶν θεῶν. ἔτι οἱ μὲν βουλόμενοι τὰς ἄλ-
λας τέχνας κατορθοῦν, ὀλιγοσιτίαις, καὶ ὀλι-
γοποσίαις χρῶνται, καθάπερ οἱ νοσοῦντες. πο-
λυποσίαις δὲ, καὶ πολυσιτίαις, οὐκ ἔστιν εὐφραι-
νόμενον μανθάνειν. καὶ αἱ μὲν ἄλλαι τέχναι,
χωρὶς ὀργάνων οὐδαμῶς τῷ κεκτημένῳ ὑπη-
ρετεῖν δύνανται. οὔτε γὰρ αὐλεῖν ἔνι χωρὶς αὐ-
λῶν, οὔτε ψάλλειν ἄνευ λύρας, οὔτε ἱππεύειν
χωρὶς ἵππου. αὕτη δὲ οὕτως ἐστὶν ἀγαθὴ, καὶ οὐ
βαρεῖα τῷ τεχνίτῃ, ὥστε καὶ ὑπάρχει μηδὲν
ἔχοντι ὅπλον χρῆσθαι αὐτῇ. καὶ ὡς ἔοικε, τὰς
ἄλλας τέχνας μανθάνομεν, μισθὸν διδόν-
τες. ταύτην δὲ, λαμβάνοντες. ἔτι τῶν μὲν
ἄλλων τεχνῶν, εἰσὶ διδάσκαλοί τινες. τῆς
δὲ παρασιτικῆς, οὐδείς. ἀλλ' ὥσπερ ἡ ποιητι-
κὴ κατὰ Σωκράτην, καὶ αὕτη τινὶ μοίρᾳ παρα-
γίνεται. κἀκεῖνο δὲ σκόπει, ὅτι τὰς μὲν ἄλ-
λας τέχνας ὁδεύοντες, ἢ πλέοντες, οὐ δυνά-
μεθα διαπράττεσθαι. ταύτῃ δὲ ἔστι χρῆσθαι καὶ ἐν
ὁδῷ, καὶ πλέοντι. Τυ. πάνυ μὲν οὖν. Πα.
καὶ μέντοι ὦ Τυχιάδη, αἱ μὲν ἄλλαι τέχναι,
δοκοῦσί μοι ταύτης ἐπιθυμεῖν. αὕτη δὲ, οὐ-
δεμιᾶς ἑτέρας. Τυ. τί δὲ οὐχ οἱ τὰ ἀλλό-

τρια λαμβάνοντες, ἀδικεῖν σοι δοκοῦσι; Πα. πῶς γὰρ οὔ. Τυ. πῶς οὖν ὁ παράσιτος τὰ ἀλλότρια λαμβάνων, οὐκ ἀδικεῖ μόνος; Πα. οὐκ ἔχω λέγειν. καὶ μὴν τῶν ἄλλων τεχνῶν αἱ ἀρχαὶ φαῦλαί τινες, καὶ εὐτελεῖς εἰσι. τὸ δὲ παρασιτικῆς ἡ ἀρχὴ πάνυ γενναῖά τις. τὸ γὰρ θρυλλούμενον τοῦτο τῆς φιλίας ὄνομα, οὐκ ἄλλο τι εὕροις, ἢ ἀρχὴν παρασιτικῆς. Τυ. πῶς λέγεις; Πα. ὅτι οὐδεὶς ἐχθρὸν, ἢ ἀγνῶτα ἄνθρωπον, ἀλλ' οὐδὲ συνήθη μετρίως, ἐπὶ δεῖπνον καλεῖ. ἀλλὰ δεῖ πρότερον οἶμαι τοῦτον γενέσθαι φίλον, ἵνα κοινωνήσῃ σπονδῶν, καὶ τραπέζης, καὶ τῶν τῆς τέχνης ταύτης μυστηρίων. ἐγὼ γοῦν πολλάκις ἤκουσα τινῶν λεγόντων, ποταπὸς δὲ οὗτος ὁ φίλος, ὅστις οὐ βέβρωκεν, οὐδὲ πέπωκε μεθ' ἡμῶν, ὡς δηλονότι τὸν συμπίνοντα, καὶ συνεσθίοντα, μόνον πιστὸν ἡγουμένων φίλον. ὅτι γε μὴν ἡ βασιλικωτάτη τῶν τεχνῶν ἐστιν αὕτη, μάθοις ἂν καὶ ἐκ τοῦδε οὐχ ἥκιστα. τὰς μὲν γὰρ λοιπὰς τέχνας οὐ μόνον κακοπαθοῦντες, καὶ ἱδροῦντες, ἀλλὰ νὴ Δία καθήμενοι, καὶ ἑστῶτες ἐργάζονται, ὥσπερ ἀμέλει δοῦλοι τῶν τεχνῶν. ὁ δὲ παράσιτος, μεταχειρίζεται τὴν αὑτοῦ τέχνην, ὡς βασιλεὺς κατακείμενος. ἐκεῖνα μὲν γὰρ τί δεῖ λέγειν

έγειν περὶ τῆς εὐδαιμονίας αὐτοῦ, ὅτι δὴ μόνος κατὰ τὸν σοφὸν Ὅμηρον οὔτε φυτεύει χερσὶ φυτὸν, οὔτε ἀροῖ, ἀλλὰ τὰ ἄσπαρτα, καὶ τὰ ἀνήροτα πάντα νέμεται. καὶ μὴν ῥήτορά τε, καὶ γεωμέτρην, καὶ χαλκέα, οὐδὲν κωλύει τὴν ἑαυτοῦ τέχνην ἐργάζεσθαι, ἐάν τε πονηρὸς, ἐάν τε καὶ μωρὸς ᾖ. πλαστεύειν δὲ, οὐδεὶς δύναται ἢ μωρὸς ὢν, ἢ πονηρός. Τυ. παπαί. οἷον χρῆμα ἀποφαίνῃ τὴν πλαστικήν. ὥστε καὶ αὐτὸς ἤδη βούλεσθαι δοκῶ μοι πλάστης εἶναι ἀντὶ τούτου, ὅς εἰμι. Πα. ὡς μὲν τοίνυν κοινῇ πάντων διαφέρει, δεδεῖχθαί μοι δοκῶ. φέρε δὴ ὡς καὶ κατ' ἰδίαν ἑκάστης διαφέρει, σκοπῶμεν. τὸ μὲν δὴ ταῖς βαναύσοις τέχναις παραβάλλειν αὐτὴν, ἀνόητόν ἐστι. καὶ μᾶλλόν πως καθαιροῦντος τὸ ἀξίωμα τῆς τέχνης. ὅτι γε μὴν τῶν μεγίστων καὶ καλλίστων τεχνῶν διαφέρει, λεκτέον. ὡμολόγηται γὰρ δὴ πρὸς πάντων, τήν τε ῥητορικὴν, καὶ τὴν φιλοσοφίαν. ἃς διὰ γενναιότητα, καὶ ἐπισήμας ἀποφαίνονταί τινες. ἐπειδὰν γοῦν καὶ τούτων ἀποδείξαιμι τὴν πλαστικὴν πολὺ κρατοῦσαν, σχολῇ δηλονότι τῶν ἄλλων τεχνῶν δόξει προφορεστάτη, καθάπερ ἡ Ναυσικάα τῶν θεραπαινίδων. κοινῇ μὲν τοίνυν ἀμφοῖν διαφέρει, καὶ τῆς ῥητορικῆς,

καὶ τῆς φιλοσοφίας, πρῶτον κατὰ τὴν ὑπόστα-
σιν. ἡ μὲν, γὰρ ὑφέστηκεν. αἱ δὲ, οὔ. οὔτε γὰρ καὶ τὴν
ῥητορικὴν ἕν τι, καὶ τὸ αὐτὸ νομίζομεν. ἀλλ' οἱ
μὲν, τέχνην. οἱ δὲ, τοὐναντίον, ἀτεχνίαν. ἄλ-
λοι δὲ, κακοτεχνίαν. ἄλλοι δὲ, ἄλλο τι. ὁμοί-
ως δὲ καὶ τὴν φιλοσοφίαν κατὰ ταὐτά, καὶ
ὡσαύτως ἔχουσαν. ἑτέρως μὲν γὰρ Ἐπικούρῳ
δοκεῖ τὰ πράγματα ἔχειν. ἑτέρως δὲ, τοῖς ἀπὸ
τῆς στοᾶς. ἑτέρως δὲ, τοῖς ἀπὸ τῆς ἀκαδημίας. ἑτέ-
ρως δὲ, τοῖς ἀπὸ τοῦ περιπάτου. καὶ ἁπλῶς,
ἄλλος ἄλλην ἀξιοῖ τὴν φιλοσοφίαν εἶναι. καὶ
μέχρι γε νῦν, οὔτε οἱ αὐτοὶ γνώμης κρατοῦ-
σιν, οὔτε αὐτῶν ἡ τέχνη μία φαίνεται. ἐξ ὧν
δηλονότι τεκμαίρεσθαι καταλείπεται. ἀρχὴν
γάρ φημι μήτε εἶναι τέχνην, ἧς οὐκ ἔστιν ὑπό-
στασις. ἐπὶ τί δή; ὅτι ἀριθμητικὴ μὲν, μία ἐστὶ
καὶ ἡ αὐτὴ, καὶ δὶς δύο τέτταρα ἡμῖν, καὶ παρὰ
Πέρσαις, τέσσαρά ἐστι, καὶ συμφωνεῖ ταῦτα καὶ
παρὰ Ἕλλησι, καὶ βαρβάροις. φιλοσοφίας δὲ,
πολλὰς καὶ διαφόρους ὁρῶμεν. καὶ οὔτε τὰς ἀρ-
χὰς, οὔτε τὰ τέλη σύμφωνα πασῶν. Τυ.
ἀληθῆ λέγεις. μίαν μὲν γὰρ τὴν φιλοσοφίαν εἶ-
ναι λέγομεν. αὐτοὶ δὲ, αὐτὰς ποιοῦσι πολλάς.
Πα. καὶ μὴν τὰς μὲν ἄλλας τέχνας, εἰ καί
τι κατὰ ταύτας ἀσύμφωνον εἴη, καὶ παρέλθοι



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ς συγγνώμης ἀξιώσας, ἐπεὶ μέσαι τε δοκοῦσι,
αἱ καταλήψεις αὐτῶν οὐκ εἰσὶν ἀμετάπτω-
, προσδεκτέος ἂν εἴη. φιλοσοφίαν δέ τις
: ἀναγκαίαν, ἀνάσχοιτο μὴ μίαν εἶναι, καὶ μὴ
: σύμφωνον αὐτὴν ἑαυτῇ μᾶλλον τῶν ὀργά-
ν. μία μὲν οὐκ ἔστι φιλοσοφία, ἐπειδὴ ὁρῶ
ἄπειρον οὖσαν. πολλαὶ δὲ οὐ δύνανται
ι, ἐπειδήπερ ἡ φιλοσοφία μία. ὁμοίως δὲ
περὶ τῆς ὑποσχέσεως τῆς ῥητορικῆς ταῦτα
κίη τις ἄν. τὸ γὰρ περὶ ἑνὸς προκειμένου ταὐ
ὰ μὴ λέγειν ἅπαντας, ἀλλὰ μάχην εἶναι φε-
σ αὐτοῖς δοξῶν, ἀπόδειξις μεγίστη τοῦ μηδὲ τὴν
χὴν εἶναι τοῦτο, οὗ μία κατάληψις οὐκ ἔστι. τὸ
ὰ ζητεῖν τό, τί μᾶλλον αὐτό ἐστι, καὶ τὸ μη-
έποτε ὁμολογεῖν μίαν εἶναι, τοῦτο αὐτὴν ἀναι-
ῖ τοῦ ζητουμένου τὴν οὐσίαν. ἡ μέντοι πα-
σιτικὴ οὐχ οὕτως ἔχει, ἀλλὰ καὶ ἐν Ἕλλησι,
ἐν βαρβάροις μία ἐστὶ, καὶ κατὰ ταὐτά, ἢ ὡ-
ύτως. καὶ οὐκ ἂν εἴποι τις ἄλλως μὲν τούσδε,
τέρως δὲ τούσδε, παρασιτεῖν. οὐδὲ εἰσὶν ὡς ἔοι-
εν ἐν παρασίτοις τινὲς, οἷον στωϊκοί, ἢ ἐπικού-
ειοι, δόγματα ἔχοντες διάφορα, ἀλλὰ πᾶ-
ι πρὸς ἅπαντας ὁμολογία τίς ἐστι, καὶ συμφω-
ία τῶν ἔργων, καὶ τοῦ τέλους. ὥστε ἔμοιγε δοκεῖ
παρασιτικὴ κινδυνεύειν κατά γε τοῦτο, καὶ σο-

φία ἐστὶν. Τυ. πάνυ μοι δοκεῖς ἱκανῶς ταῦ
τα εἰρηκέναι. ὡς δὲ καὶ τὰ ἄλλα χείρων ἐστὶν
ἡ φιλοσοφία τῆς σῆς τέχνης, πῶς ἀποδεικνύ
εις; Πα. οὐκοῦν ἀνάγκη πρῶτον εἰπεῖν, ὅτι
φιλοσοφίας μὲν οὐδέποτε ἠράσθη παράσιτος.
παρασιτικῆς δὲ, πάμπολλοι ἐπιθυμήσαντες
μνημονεύονται φιλόσοφοι, καὶ μέχρι γε νῦν
ἐρῶσι. Τυ. καὶ τίνας ἂν ἔχοις εἰπεῖν
φιλοσόφους, παρασιτεῖν σπουδάσαντας;
Πα. οὕστινας μὲν ὦ Τυχιάδη καὶ σὺ γι
γνώσκων, ὑποκρίνῃ ἀγνοεῖν κἀμὲ, ὥς κατά τι
νος αὐτοῖς αἰσχύνης ἐντεῦθεν γινομένης, οὐχὶ
τιμῆς. Τυ. οὐ μὰ τὸν Δί᾽ ὦ Σίμων. ἀλ
λὰ καὶ σφόδρα ἀπορῶ οὕς τινας καὶ εὕροις εἰπεῖν.
Πα. ὦ γενναῖε, σύ μοι δοκεῖς ἀνήκοος εἶναι καὶ
τῶν ἀναγραψάντων τοὺς ἐκείνων βίους, ἐπεὶ πάν
τως ἂν καὶ ἐπιγνῶναι οὕς τινας λέγω δύναιο.
Τυ. καὶ μέντοι νὴ τὸν Ἡρακλέα ποθῶ δὴ ἀκού
ειν τίνες εἰσίν. Πα. ἐγώ σοι δείξω, καὶ κατα
λέξω αὐτοὺς ὄντας οὐχὶ τοὺς φαύλους, ἀλλ᾽ ὡς
ἐγὼ δοκῶ τοὺς ἀρίστους, καὶ οὓς ἥκιστα οἴει. Αἰσχί
νης μὲν γὰρ ὁ Σωκρατικὸς οὗτος, ὁ τοὺς μακροὺς
καὶ ἀστείους διαλόγους γράψας, ἧκέ ποτε εἰς Σι
κελίαν κομίζων αὐτοὺς, ὅπως εἰ δύναιτο δι᾽ αὐ
τῶν γνωσθῆναι Διονυσίῳ τῷ τυράννῳ. καὶ τὸν

λ πάλιν ἀναγνούς, καὶ λέξας εὐδοκιμηκέναι, τὸ
ιπὸν ἐκάθητο ἐν Σικελίᾳ παρασιτῶν Διονυσίῳ,
ταῖς Σωκράτους διατριβαῖς ἐρρῶσθαι φράσας.
ί δέ, καὶ Ἀρίστιππος ὁ Κυρηναῖος οὐχὶ τῶν δοκί-
ων φαίνεταί σοι φιλοσόφων; Τυ. καὶ πάνυ.
α. καὶ οὗτος μέντοι κατὰ τὸν αὐτὸν χρόνον διέ-
ριβεν ἐν Συρακούσαις παρασιτῶν Διονυσίῳ.
πάντων γοῦν ἀμέλει τῶν παρασίτων αὐτὸς
ὐδοκίμει παρ' αὐτῷ. καὶ γὰρ ἦν πλέον τι τῶν ἀλ-
λων πρὸς τὴν τέχνην εὐφυής. ὥστε τοὺς ὀψο-
ποιοὺς ὁσημέραι ἔπεμπε παρὰ τοῦτον ὁ Διονύσι-
ος, ὡς παρ' αὐτοῦ τι μαθησομένους. οὗτος μέντοι
δοκεῖ καὶ κοσμῆσαι τὴν τέχνην ἀξίως. ὁ δὲ
Πλάτων ὑμῶν ὁ γενναιότατος, καὶ αὐτὸς μὲν ἧκεν
εἰς Σικελίαν ἐπὶ τούτῳ. καὶ ὀλίγας παρασι-
τήσας ἡμέρας τῷ τυράννῳ, τοῦ παρασιτεῖν ὑπὸ
ἀφυΐας ἐξέπεσε. καὶ πάλιν Ἀθήναζε ἀφικόμε-
νος, καὶ φιλοπονήσας, καὶ παρασκευάσας ἑ-
αυτόν, αὖθις δευτέρῳ στόλῳ ἐπέπλευσε τῇ
Σικελίᾳ. καὶ δειπνήσας πάλιν ὀλίγας ἡμέρας,
ὑπὸ ἀμαθίας ἐξέπεσε. καὶ αὕτη ἡ συμφορὰ Πλά-
τωνι περὶ Σικελίαν, ὁμοία δοκεῖ γενέσθαι τῇ
Νικίου. Τυ. καὶ τίς ὦ Σίμων, περὶ τούτου
λέγει; Πα. πολλοὶ μὲν καὶ ἄλλοι. Ἀριστό-
ξενος δὲ ὁ μουσικός, πολλοῦ λόγου ἄξιος, καὶ αὐ

ΑΑ

ὃς δὲ παράσιτος Νηλέως ἦν. Εὐριπίδης μὲν γὰρ ὅτι Ἀρχελάῳ μέχρι τοῦ θανάτου παρεσίτει, καὶ Ἀνάξαρχος Ἀλεξάνδρῳ, πάντως ἐπίστασαι. καὶ Ἀριστοτέλης δὲ τῆς παρασιτικῆς ἤρξατο μόνον, ὥσπερ καὶ τῶν ἄλλων τεχνῶν. φιλοσόφους μὲν οὖν ὥσπερ ἦν, παρασιτεῖν σπουδάσαντας, ἔδειξα. παράσιτον δὲ οὐδεὶς ἔχει φάσκειν, φιλοσοφεῖν ἐθελήσαντα. καὶ μὴν εἰ ἔστιν εὔδαιμον τὸ μὴ πεινῆν, μὴ δὲ διψῆν, μὴ δὲ ῥιγοῦν, ταῦτα οὐδενὶ ἄλλῳ ὑπάρχει, ἢ παρασίτῳ. ὥστε φιλοσόφους μὲν ἄν τις πολλοὺς καὶ ῥιγοῦντας, καὶ πεινῶντας εὕροι, παράσιτον δέ, οὔ. ἢ οὐκ ἂν εἴη παράσιτος, ἀλλὰ δυστυχής τις, ἢ πτωχὸς ἄνθρωπος, ἢ φιλοσόφῳ ὅμοιος. Τυ. ἱκανῶς ταῦτά γε. ὅτι δὲ καὶ κατὰ πολλὰ διαφέρει φιλοσοφίας, καὶ ῥητορικῆς ἡ παρασιτική, πῶς ἐπιδεικνύεις; Πα. εἰσὶν ὦ βέλτιστε, καιροὶ τοῦ τῶν ἀνθρώπων βίου. ὁ μέν τις, εἰρήνης οἶμαι. ὁ δ᾽ αὖ, πολέμου. ἐν δὴ τούτοις, πᾶσα ἀνάγκη φανερὰς γίνεσθαι τὰς τέχνας, καὶ τοὺς ἔχοντας ταύτας ὁποῖοί τινές εἰσι. πρότερον δὲ εἰ δοκεῖ, σκοπώμεθα τὸν τοῦ πολέμου καιρόν, καὶ τίνες ἂν εἶεν μάλιστα χρησιμώτεροι, ἰδίᾳ τε ἕκαστος αὑτῷ, καὶ κοινῇ τῇ πόλει. Τυ. ὡς οὐ μέτριον ἀγῶνα καταγγέλλεις τῶν ἀνδρῶν. καὶ ἔγωγε πάλαι γελῶ κατ᾽ ἐμαυτὸν, ἐν-

νοῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὴν ποῖος ἂν εἴη συμβαλλόμενος παράσιτος φι-
λόσοφος. Πα. ἵνα τοίνυν μὴ πάνυ θαυμά-
ς, μηδὲ τὸ πρᾶγμά σοι δοκῇ χλεύης ἄξιον, φέρε
οτυπωσώμεθα τι ἡμῖν αὐτοῖς. ἠγγέλθαι μὲν
ρνίδιον εἰς τὴν χώραν ἐμβεβληκέναι πολε-
ους, καὶ δὲ ἀνάγκην ἐπεξιέναι, καὶ μὴ περιορᾶν
ω δῃουμένην τὴν γῆν. τὸν στρατηγὸν δὲ πα-
γγέλλειν ἅπαντας εἰς τὸν κατάλογον τοὺς ἐν
ικίᾳ, καὶ δὴ χωρεῖν τοὺς ἄλλους. ἐν δὲ δὴ τού-
ς, φιλοσόφους τινάς, καὶ ῥήτορας, καὶ παρασί-
ους. πρῶτον τοίνυν ἀποδύσωμεν αὐτούς. ἀ-
γκη γὰρ τοὺς μέλλοντας ὁπλίζεσθαι, γυμνοῦ-
αι πρότερον. θεῶ δὴ τοὺς ἄνδρας ὦ γενναῖε κα-
ἕκαστον, καὶ δοκίμαζε τὰ σώματα. τοὺς μὲν
ίνυν αὐτῶν, ὑπὸ ἐνδείας ἴδοις ἂν λεπτούς, καὶ
χροὺς πεφρικότας, ὥσπερ ἤδη τραυματίας
αρειμένους. ἀγῶνα μὲν γάρ, καὶ μάχην σταδι-
αν, καὶ ὠθισμόν, καὶ κόνιν, καὶ τραύματα, μὴ
λοῖον ᾖ λέγειν, δύνασθαι φέρειν ἀνθρώπους
σπερ ἐκείνους τινὸς δεομένους ἀναλήψε-
σ. ἄθρει δὲ πάλιν μεταβάς, τὸν παράσι-
ον ὁποῖός τις φαίνεται. ἆρ' οὐχ ὁ μέν, τὸ σῶ-
α πρῶτον πολύς, τὸ δὲ χρῶμα ἡδύς, οὐ μέλας
έ, οὐδὲ λευκός; τὸ μὲν γὰρ γυναικί. τὸ δέ, δούλῳ
ροσέοικεν. ἔπειτα θυμοειδής, δεινὸν βλέπων,

ποῖον ἡμεῖς μέγα, καὶ ὕφαιμον. οὐ γὰρ καλὸν δ-
δικότα. καὶ θῆλυν ὀφθαλμὸν εἰς πόλεμον φέ-
ρειν, ἆρ' οὐχ ὁ τοιοῦτος καλὸς μὲν γένοιτ' ἂν
καὶ ζῶν ὁπλίτης, καλὸς δὲ καὶ εἰ ἀποθάνοι
καλῶς; ἀλλὰ τί δὴ ταῦτα εἰκάζειν, ἔχοντας
αὐτῶν παραδείγματα; ἁπλῶς γὰρ εἰπεῖν, ἐν
πολέμῳ τῶν πώποτε ῥητόρων, ἢ φιλοσόφων
οἱ μὲν, οὐδὲ ὅλως ὑπέμειναν ἔξω τοῦ τείχους
προελθεῖν. εἰ δέ τις καὶ ἀναγκασθεὶς παρεδέ-
ξατο, φημὶ τοῦτον λείψαντα τὴν τάξιν, ὑποσε-
φειν. Τυ. ὡς θαυμάσια πάντα, καὶ οὐδ' ἐν ὑ-
ποχνῆ μέτριον. Πα. λέγω δὲ ὅμως. τῶν
μὲν τοίνυν ῥητόρων, Ἰσοκράτης οὐχ ὅπως εἰς
πόλεμον ἐξῆλθέ ποτε, ἀλλ' οὐδ' ἐπὶ δικαστή-
ριον ἀνέβη διὰ δειλίαν. οἶμαι ὅτι οὐδὲ τὴν φωνὴν
διὰ τοῦτο εἶχε. τί ἔτι, οὐχὶ Δημάδης μὲν, καὶ Αἰ-
σχίνης, καὶ Φιλοκράτης ὑπὸ δέους εὐθὺς τῇ
καταγγελίᾳ τοῦ Φιλίππου πολέμου, τὴν πό-
λιν προὔδοσαν, καὶ σφᾶς αὐτοὺς τῷ Φιλίππῳ,
καὶ διετέλεσαν Ἀθήνησιν ἀεὶ τὰ ἐκείνου πολι-
τευόμενοι. ὡς εἴ γέ τις καὶ ἄλλος Ἀθηναῖος,
κατ' αὐτὰ ἐπολέμει, κἀκεῖνος ἐν αὐτοῖς ἦν φί-
λος. ὁ Ὑπερίδης δὲ, καὶ Δημοσθένης, καὶ Λυκοῦρ-
γος, οἵγε δοκοῦντες ἀνδρειότεροι, κἂν ταῖς ἐκ-
κλησίαις ἀεὶ θορυβοῦντες, καὶ λοιδορούμενοι τῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λίππῳ, τί ποτε ἀπειργάσαντο γενναῖον ἐν
πρὸς αὐτὸν πολέμῳ; καὶ Ὑπερείδης μὲν, καὶ
κοῦργος, οὐδ' ἐξῆλθον. ἀλλ' οὐδ' ὅλως ἐτόλ
σαν μικρὸν ἔξω παρακύψαι τῶν πυλῶν, ἀλ-
ντειχίδιοι κάθηντο, πρὸς αὐτοῖς ἤδη πολιορ-
ύμενοι, γνωμίδια, καὶ προβουλευμάτια συντι-
έντες. ὁ δὲ δὴ κορυφαῖος αὐτῶν, ὁ ταυτὶ
γων ἐν ταῖς ἐκκλησίαις συνεχῶς. Φίλιπ
ος γὰρ ὁ Μακεδόνων ὄλεθρος, ὅθεν οὐδὲ ἀν
ράποδον πρίαιτό τίς ποτε, τολμήσας προελ
ῖν εἰς τὴν Βοιωτίαν πρὶν ἢ ξυμμῖξαι τὰ στρα
όπεδα, καὶ ξυμβαλεῖν εἰς χεῖρας, ῥίψας τὴν
πίδα, ἔφυγεν. ἢ οὐδέπω ταῦτα πρότερον ἤκ
υσας οὐδενός, πάνυ γνώριμα ὄντα, οὐχ ὅπως
θηναίοις, ἀλλὰ Θρᾳξὶ, καὶ Σκύθαις, ὅθεν ἐκεῖ
τὸ κάθαρμα ἦν. Τυ. ἐπίσταμαι ταῦτα. ἀλλ'
τοι μὲν ῥήτορες, καὶ λόγους λέγειν ἠσκηκότες,
ρετὴν δ', οὔ. τί δὲ περὶ τῶν φιλοσόφων λέγεις;
ι γὰρ δὴ τούτους ὥσπερ ἐκείνους ἔχεις αἰτιᾶ
σθαι. Πα. οὗτοι πάλιν ὦ Τυχιάδη, οἱ περὶ τῆς
νδρίας ὁσημέραι διαλεγόμενοι, καὶ κατατρί
οντες τὸ τῆς ἀρετῆς ὄνομα, πολλῷ μᾶλλον
τῶν ῥητόρων φανοῦνται δειλότεροι, ἢ μαλα
κώτεροι. σκόπει δὴ οὕτω. πρῶτον μὲν, οὐκ ἔστιν
στις εἰπεῖν ἔχοι φιλόσοφον ἐν πολέμῳ τετε

λελυτηκότα. ἢ γὰρ οὐδὲ ὅλως ἐστρατεύσαντο, ἢ εἴ περ ἐστρατεύσαντο, πάντες ἔφυγον. Ἀντισθένης μὲν οὖν, καὶ Διογένης, καὶ Κράτης, καὶ Ζήνων, καὶ Πλάτων, καὶ Αἰσχίνης, καὶ Ἀριστοτέλης, καὶ πᾶς οὗτος ὁ ὅμιλος, οὔτε εἶδον παράταξιν. μόνος δὲ τολμήσας ἐξελθεῖν εἰς τὴν ἐν τῇ πόλει μάχην ὁ σοφὸς αὐτῶν Σωκράτης, φεύγων ἐκεῖθεν ἀπὸ τῆς Πάρνηθος, εἰς τὴν Ταυρέου παλαίστραν καταπέφυγε. πολὺ γὰρ αὐτῷ ἀστειότερον ἐδόκει μετὰ τῶν μειρακυλλίων καθεζόμενον, ὡραΐζειν, καὶ σοφισμάτια προβάλλειν τοῖς ἐντυγχάνουσιν, ἢ ἀνδρὶ Σπαρτιάτῃ μάχεσθαι. Τυ. ὦ γενναῖε, ταῦτα μὲν ἤδη καὶ παρ' ἄλλων ἐπυθόμην, οὐ μὰ Δία σκώπτειν αὐτοὺς, καὶ ὀνειδίζειν βουλομένων. ὥστε οὐδέν τι μοι δοκεῖς χαριζόμενος τῇ σεαυτοῦ τέχνῃ καταψεύδεσθαι τῶν ἀνδρῶν. ἀλλ' εἰ δοκεῖ, ἤδη φέρε καὶ σὺ τὸν παράσιτον ὁποῖός τίς ἐστιν ἐν πολέμῳ, καὶ λέγε. καὶ εἰ ὅλως λέγεταί παράσιτός τις γενέσθαι τῶν παλαιῶν. Πα. καὶ μὴν ὦ φιλότης, οὐδεὶς ἀνήκοος Ὁμήρου, οὐδ' ἂν παμπάνυ ἰδιώτης τύχῃ, ὅς τις οὐκ ἐπίσταται παρ' αὐτῷ τοὺς ἀρίστους τῶν ἡρώων παρασίτους ὄντας. ὅ, τε γὰρ Νέστωρ ἐκεῖνος, οὗ ἀπὸ τῆς γλώττης ὥσπερ μέλι ὁ λόγος ἀπέῤῥει, αὐτοῦ τοῦ βασιλέως παράσιτος ἦν, καὶ οὔτε τὸν Ἀχιλλέα, ὅσπερ ἐδόκει

τό,

ε, καὶ ἦν τὸ σῶμα γενναιότατος, καὶ ἀνδρειότα-
ος, οὔτε τὸν Διομήδην, οὔτε τὸν Αἴαντα ὁ Αγα-
μέμνων οὕτως ἐπαινεῖ τε, καὶ θαυμάζει, ὥσπερ τὸν
Νέστορα. οὐδὲ γὰρ δέκα Αἴαντας εὔχεται γενέ-
σθαι αὐτῷ, οὔτε δέκα Ἀχιλλέας. πάλαι δ' ἂν
ἑαλωκέναι τὴν Τροίαν, εἰ τοιοῦτος ὁποῖος ἦν
Νέστωρ ὁ πρεσβύτης, καίπερ γέρων ὤν, στρατιώ-
τας εἶχε δέκα. καὶ τὸν Ἰδομενέα τὸν τοῦ Διὸς ἔγγο-
νον, παράσιτον τοῦ Ἀγαμέμνονος ὁμοίως λέγει. Τυ.
ταῦτα μὲν καὶ αὐτὸς ἐπίσταμαι. οὔπω γε μὴν δοκῶ
μοι γιγνώσκειν πῶς δὴ τὼ ἄνδρε, τῷ Ἀγαμέμ-
νονι παράσιτοι ἦσαν. Πα. ἀναμνήσθητι ὦ γεν-
ναῖε τῶν ἐπῶν ἐκείνων, ὧνπερ αὐτὸς ὁ Ἀγαμέμ-
νων πρὸς τὸν Ἰδομενέα λέγει. Τυ. ποίων; Πα.
σὸν δὲ πλέον δέπας αἰεὶ ἕστηχ' ὥσπερ ἐμοὶ «
πιέειν, ὅτε θυμὸς ἀνώγοι. ἐνταῦθα γὰρ τὸ αἰεὶ πλέ- «
ον δέπας εἴρηκεν, οὐχ ὅτι τὸ ποτήριον διαπαν-
τὸς πλῆρες ἑστήκει τῷ Ἰδομενεῖ, καὶ μαχομένῳ,
καὶ καθεύδοντι, ἀλλ' ὅτι αὐτῷ διόλου τοῦ βίου
μόνῳ συνδειπνεῖν ὑπῆρχε τῷ βασιλεῖ. ἀλλ'
οὐχ ὥσπερ τοῖς λοιποῖς στρατιώταις πρὸς ἡ-
μέρας τινὰς προσκαλουμένοις. τὸν μὲν γὰρ Αἴ-
αντα, ἐπεὶ καλῶς ἐμονομάχησε τῷ Ἕκτορι, εἰς
Ἀγαμέμνονα δῖον ἄγον φησί, κατὰ τιμὴν ἀ-
ξιωθέντα τότε τοῦ παρὰ τῷ βασιλεῖ δείπνου. ὁ δὲ

Ἰδομενεύς, καὶ ὁ Νέστωρ, ὁσημέραι συνεδείπνουν τῷ βασιλεῖ, ὥς αὐτός φησι. Νέστωρ δὲ παράσιτός μοι δοκεῖ τῶν βασιλέων μάλιστα τεχνίτης, καὶ ἀγαθὸς γενέσθαι. οὐ γὰρ ἀπὸ τοῦ Ἀγαμέμνονος ἄρξασθαι τῆς τέχνης, ἀλλὰ ἄνωθεν ἀπὸ Καινέως, καὶ Ἐξαδίου. δοκεῖ δὲ οὐδὲ ἀναπαύσασθαι παρασιτῶν, εἰ μὴ καὶ Ἀγαμέμνων ἀπέθανε.

Τυ. οὑτοσὶ μὲν γενναῖος ὁ παράσιτος. εἰ δὲ καὶ ἄλλους τινὰς οἶσθα, πειρῶ λέγειν. Πα. τί οὖν ὦ Τυχιάδη, οὐχὶ καὶ Πάτροκλος τοῦ Ἀχιλλέως παράσιτος ἦν, καὶ ταῦτα, οὐδενὸς τῶν ἄλλων Ἑλλήνων φαυλότερος, οὔτε τὴν ψυχήν, οὔτε τὸ σῶμα, νεανίας ὤν; ἐγὼ γὰρ οὐδ᾽ αὐτοῦ μοι δοκῶ τοῦ Ἀχιλλέως τεκμαίρεσθαι τοῖς ἔργοις αὐτοῦ χείρω εἶναι. τόν τε γὰρ Ἕκτορα ῥήξαντα τὰς πύλας, καὶ παρὰ ταῖς ναυσὶν εἴσω μαχόμενον, οὗτος ἐξέωσε, καὶ τὴν Πρωτεσιλάου ναῦν ἤδη καιομένην ἔσβεσε. καίτοι ἐπεβάτευον αὐτῆς οὐχ οἱ φαυλότατοι, ἀλλ᾽ οἱ τοῦ Τελαμῶνος, Αἴας τε, καὶ Τεῦκρος. ὁ μὲν, ὁπλίτης ἀγαθός. ὁ δέ, τοξότης. καὶ πολλοὺς μὲν ἀπέκτεινε τῶν βαρβάρων. ἐν δὲ δὴ τούτοις καὶ Σαρπηδόνα τὸν τοῦ Διὸς υἱόν, ὁ παράσιτος τοῦ Ἀχιλλέως. καὶ ἀπέθανε δὲ οὐχὶ τοῖς ἄλλοις ὁμοίως, ἀλλ᾽ αὐτὸν μὲν Ἕκτορα, Ἀχιλλεὺς ἀπέκτεινεν, εἷς, ἕνα· καὶ αὐτὸν Ἀχιλλέα, Πάρις·

τὸν

τὸν δὲ παράσιτον, θεός, καὶ δύο ἄνθρωποι. καὶ τελευτῶν γὰρ, φωνὰς ἀφῆκεν, οὐχ οἵας ὁ γενναιότατος Ἕκτωρ, προσπίπτων τὸν Ἀχιλλέα, καὶ ἱκετεύων ὅπως ὁ νεκρὸς αὐτοῦ τοῖς οἰκείοις ἀποδοθῇ, ἀλλ᾽ οἵας εἰκὸς ἀφεῖναι παράσιτον. τίνας δὴ ταύτας; τοιοῦτοι δ᾽ εἴπερ μοι ἐείκοσιν ἀντεβόλησαν, πάντες κ᾽ αὐτόθ᾽ ὄλοντο, ἐμῷ ὑπὸ δουρὶ δαμέντες. ΤΥ. ταῦτα μὲν ἱκανά. ὅτι δὲ μὴ φίλος, ἀλλὰ παράσιτος ἦν ὁ Πάτροκλος τοῦ Ἀχιλλέως, πειρῶ λέγειν. ΠΑ. αὐτὸν ὦ Τυχιάδη τὸν Πάτροκλον ὅτι παράσιτος ἦν, λέγοντά σοι παρέξομαι. ΤΥ. θαυμαστὰ λέγεις. ΠΑ. ἄκουε τοίνυν αὐτῶν τῶν ἐπῶν. Μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ᾽ Ἀχιλλεῦ, ἀλλ᾽ ὁμοῦ ὡς ἐτράφημεν ἐν ὑμετέροισι δόμοισι. καὶ πάλιν ὑποβάς, καὶ νῦν με δεξάμενός φησιν, ὁ Πηλεὺς ἔτρεφεν ἐνδυκέως, καὶ σὸν θεράποντ᾽ ὀνόμηνε. τουτέστι παράσιτον εἶχεν. εἰ μὲν τοίνυν φίλον ἐβούλετο τὸν Πάτροκλον λέγειν, οὐκ ἂν αὐτὸν ὠνόμαζε θεράποντα. ἐλεύθερος γὰρ ἦν ὁ Πάτροκλος. τίνας τοίνυν λέγει θεράποντας, εἰ μήτε τοὺς δούλους, μήτε τοὺς φίλους; τοὺς παρασίτους δηλονότι, ἢ καὶ τὸν Μηριόνην τοῦ Ἰδομενέως καὶ αὐτὸν θεράποντα ὀνομάζει. οὕτως οἶμαι καλουμένων τότε τῶν παρασίτων. σκόπει δὲ ὅτι καὶ

ἐνταῦθα τὸν μὲν Ἰδομενέα, Διὸς ὄντα υἱόν, οὐκ ἀξιοῖ λέγειν ἀτάλαντον Ἄρηϊ, Μηριόνην δὲ τὸν παράσιτον αὐτοῦ. τί δὲ, οὐχὶ καὶ Ἀριστογείτων δημοτικὸς ὢν, καὶ πένης, ὥσπερ Θουκυδίδης φησί, παράσιτος ἦν Ἁρμοδίου; τί δὲ, οὐχὶ καὶ ἐραστής; ἐπιεικῶς γὰρ οἱ παράσιτοι καὶ ἐρασταὶ τῶν τρεφόντων εἰσίν. οὗτος τοίνυν πάλιν ὁ παράσιτος τὴν Ἀθηναίων πόλιν τυραννουμένην, εἰς ἐλευθερίαν ἀφείλετο. καὶ νῦν ἕστηκε χαλκοῦς ἐν τῇ ἀγορᾷ μετὰ τῶν παιδικῶν. οὗτοι μὲν δὴ τοιοίδε ὄντες μάλα ἀγαθοί, παράσιτοι ἦσαν. σὺ δὲ δὴ ποῖόν τινα εἰκάζεις ἐν πολέμῳ τὸν παράσιτον; οὐχὶ πρῶτον μὲν ὁ τοιοῦτος ἀριστοποιησάμενος ἔξεισιν ἐπὶ τὴν παράταξιν, καθάπερ καὶ ὁ Ὀδυσσεὺς ἀξιοῖ; οὐ γὰρ, ἀλλ' ὃν ἐν πολέμῳ μάχεσθαί φησιν ἐπιστάσει, καὶ εὐθὺς ἅμα ἕω μάχεσθαι δέοι. καὶ ὃν ἄλλοι στρατιῶται χρόνον ὑπὸ δέους· ὁ μὲν, τὸ ἀκριβῶς ἁρμόζει τὸ κράνος· ὁ δὲ, θωράκιον ἐνδύεται· ὁ δὲ, αὐτὸ τὸ δεινὸν ὑποπτεύων τοῦ πολέμου, τρέμει· οὗτος δὲ, ἐσθίει τότε μάλα φαιδρῷ τῷ προσώπῳ, καὶ μετὰ τὴν ἔξοδον εὐθὺς ἐν πρώτοις ἀγωνίζεται. ὁ δὲ τρέφων αὐτὸν, ὄπισθεν ὑποτέτακται τῷ παρασίτῳ. κἀκεῖνος αὐτὸν ὥσπερ ὁ Αἴας τὸν Τεῦκρον ὑπὸ τῷ σάκει καλύπτει. καὶ τῶν βελῶν ἀφιεμένων,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γυμνώσας ἑαυτὸν, ὑπὲρ σκέπει. βούλεται γὰρ ἐκεῖ-
ρον μᾶλλον σώζειν, ἢ ἑαυτόν. εἰ δὲ δὴ καὶ πέσοι πα-
λαιστὴς ἐν πολέμῳ, οὐκ ἂν ἐπ' αὐτῷ δήπου οὔτε
λοχαγὸς, οὔτε στρατιώτης αἰσχυνθείη, μεγάλῳ
πεσόντι νεκρῷ. καὶ ὥσπερ ἐν συμποσίῳ καλῷ κα-
τακειμένῳ, ὡς ἄξιόν γε φιλοσόφου νεκρὸν ἰδεῖν
τούτῳ παρακείμενον, ξηρὸν, ῥυπῶντα, μακρὸν
πωγώνιον ἔχοντα, προτεθνηκότα τῆς μάχης,
ἀσθενῆ ἄνθρωπον, τίς οὐκ ἂν καταφρονήσειε ταύ-
της τῆς πόλεως, τοὺς ὑπασπιστὰς αὐτῆς οὕτω
κακοδαίμονας ὁρῶν; τίς δὲ οὐκ ἂν εἰκάσαι
χλωροὺς καὶ κομήτας ὁρῶν ἀνθρωπίσκους κει-
μένους, τὴν πόλιν ἀπορούσαν συμμάχων, τοὺς
ἐν τῇ εἱρκτῇ κακούργους ἐπιλῦσαι τῷ πολέ-
μῳ; τοιοῦτοι μὲν ἐν πολέμῳ πρὸς ῥήτορας καὶ φι-
λοσόφους εἰσὶν οἱ παλαισταί. ἐν εἰρήνῃ δὲ, το-
σοῦτόν μοι δοκεῖ καὶ διαφέρειν παλαιστικὴ φιλο-
σοφίας, ὅσον αὐτὴ ἡ εἰρήνη πολέμου. καὶ πρῶτον
εἰ δοκεῖ σκοπῶμεν τὰ τῆς εἰρήνης χωρία.

Τυ. οὔπω ξυνίημι ὅτι ποτὲ πῶς βούλεται.
σκοπῶμεν δὲ ὅμως. Πα. οὐκοῦν ἀγορὰν, καὶ
δικαστήρια, καὶ παλαίστρας, καὶ γυμνάσια, καὶ
κυνηγέσια, καὶ συμπόσια ἔγωγε φαίην ἂν, πό-
λεως χωρία; Τυ. πάνυ μὲν οὖν. Πα. ὁ τοί-
νυν παλαιστὴς, εἰς ἀγορὰν μὲν, καὶ δικαστή-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρια εὐπάρεσιν, ὅτι οἶμαι τοῖς συκοφάνταις πάντα τὰ χωρία ταῦτα μᾶλλον προσήκει, καὶ ὅτι οὐδὲν μέτριόν ἐστι τῶν ἐν τούτοις γιγνομένων. τὰς δὲ παλαίστρας, καὶ τὰ γυμνάσια, καὶ τὰ συμπόσια, δοκεῖ, καὶ κοσμούμενος ὅρος. ἐπεὶ τίς ἐν παλαίστρᾳ φιλόσοφος, ἢ ῥήτωρ ἀποδὺς ἄξιος συγκριθῆναι πλουσίου σώματι; ἢ τίς ἐν γυμνασίῳ τούτων ὀφθεὶς οὐκ αἰσχύνει τὸ χωρίον μᾶλλόν ἐστι; καὶ μὴν ἐν ἐρημίᾳ τούτων οὐδεὶς ἂν ὑποσταίη θηρίον ὁμόσε ἰών. ὁ δὲ πλούσιος, αὐτὰ τὰ ἐπιόντα μένει, καὶ δέχεται ἐξ ἀδεῶς, μεμελετηκὼς αὐτῶν ἐν τοῖς δείπνοις καταφρονεῖν. καὶ οὔτ' ἔλαφος, οὔτε σῦς ἀνθρώπῳ πολίτῃ προσφιλεῖς. ἀλλὰ κἂν ἐπ' ἄνδρα ὁ σῦς ἐν [illegible] θίγῃ, καὶ ὁ πλούσιος ὁ ἀνθρώπων εἰ προσθίγῃ. τοὺς μὲν γὰρ λαγὼς, δοκεῖ μᾶλλον τῶν κυνῶν. ἐν δὲ δὴ συμποσίῳ, τίς ἂν καὶ ἁμιλλήσαιτο πλουσίῳ, ἤτοι παίζοντι, ἢ ἐσθίοντι; τίς δ' ἂν μᾶλλον εὐφράναι τοὺς συμπότας; πότερον ὁ πτωχὸς οὗτος ᾄδων καὶ σκώπτων, ἢ ἄνθρωπος μεγάλων, ἐν τελωνίῳ κείμενος, εἰς γῆν ὁρῶν, ὥσπερ τῶν πένθος οὐχὶ συμπόσιον ἔχων. καὶ ἔμοιγε δοκεῖ, ἐν συμποσίῳ φιλόσοφος τοιοῦτον ἐστιν, οἷον ἐν βαλανείῳ κόραξ. φέρε δὴ ταῦτα ἀφέντες, ὅπερ αὐτοὶ ἐβαδίζομεν, ἐς τὸν βίον τοῦ πλουσίου,

σκέπτ

κοπτοῦντων ἅμα, καὶ παραβάλλοντων ἐκεῖνον.
πρῶτον τοίνυν ἴδοις ἂν τὸν μὲν πλάσιον, ἀεὶ
δόξης καταφρονοῦντα, καὶ οὐδὲν μέλον αὐτῷ,
ὧν οἱ ἄνθρωποι οἴονται. περὶ ῥήτορας δὲ, καὶ φι-
λοσόφους εὕροι τις ἂν, οὐ τινὰς, ἀλλὰ πάντας,
ὑπὸ τύφου, καὶ δόξης τριβέντας. καὶ οὐ δόξης
μόνον, ἀλλὰ καὶ ὃ τούτου αἴσχιόν ἐστιν, ὑπ' ἀργυρί-
ου. καὶ ὁ μὲν πλάσιος, οὕτως ἔχει πρὸς ἀργύρει-
ον, ὡς οὐκ ἄν τις οὐδὲ πρὸς τὰς ἐν τοῖς αἰγιαλοῖς
ψηφῖδας ἀμελῶς ἔχοι. καὶ οὐδὲν αὐτῷ δοκεῖ
διαφέρειν τὸ χρυσίον τοῦ πυρός. οἵγε μὴν ῥήτορες,
καὶ ὃ δεινότερόν ἐστι, καὶ οἱ φιλοσοφεῖν φάσκον-
τες, πρὸς αὐτὰ οὕτω διάκεινται κακοδαιμό-
νως, ὥστε τῶν μάλιστα νῦν εὐδοκιμούντων φι-
λοσόφων· περὶ μὲν γὰρ τῶν ῥητόρων, τί δεῖ λέ-
γειν; ὁ μὲν, δικάζων δίκην, δῶροις ἐπ' αὐτῇ ἑά-
λω. ἄλλος δὲ, μισθὸν σοφιστεύων, εἰσπράττε-
ται τοὺς μανθάνοντας. ὁ δὲ, παρὰ τοῦ βασιλέ-
ως ὑπὲρ τοῦ συνεῖναι ὁμοίως μισθὸν αἰτεῖ, καὶ
οὐκ αἰσχύνεται. ἔτι πρεσβύτης ἀνὴρ διὰ τοῦτο ἀ-
ποδημεῖ, καὶ μισθοφορεῖ, καθάπερ ἰνδὸς, ἢ σκύ-
θης αἰχμάλωτος. καὶ οὐδὲ αὐτὸ τὸ ὄνομα αἰ-
σχύνεται, ὅτι μισθὸς ὃ λαμβάνει. εὕροις δ'
ἂν οὐ μόνον ταῦτα περὶ τούτους, ἀλλὰ καὶ
ἄλλα πάθη. οἷον, λύπας, καὶ ὀργὰς, καὶ φθόνους,

καὶ παντοίας ἐπιθυμίας. ὅτι μὴν παράσιτος, ἔξω τούτων ἐστὶν ἁπάντων. οὔτε γὰρ ὀργίζεται δι' ἀνεξικακίαν, καὶ ὅτι οὐκ ἔστιν αὐτῷ ὅτῳ ὀργισθείη. καὶ εἰ ἀγανακτήσειε δέ ποτε, ἡ ὀργὴ αὐτοῦ χαλεπὸν μὲν, οὐδὲ σκυθρωπὸν οὐδὲν ἀπεργάζεται. μᾶλλον δέ, γέλωτα. καὶ εὐφραίνει τοὺς ξυνόντας. λυπεῖται γε μὴν ἥκιστα πάντων. τοῦτο τῆς τέχνης παρασκευαζούσης αὐτῷ, καὶ χαριζομένης, μὴ ἔχειν ὑπὲρ ὅτου λυπηθείη. οὔτε γὰρ χρήματά ἐστιν αὐτῷ, οὔτε οἶκος, οὔτε οἰκέτης, οὔτε γυνή, οὔτε παῖδες. ὧν διαφθειρομένων, πάντως ἀνάγκη ἐστὶ λυπεῖσθαι τὸν ἔχοντα αὐτά, ἐπεὶ ταῦτα ἀπόλλυται. ἐπιθυμεῖ δὲ οὔτε δόξης, οὔτε χρημάτων, ἀλλ' οὐδὲ ὡραίου τινός. ΤΥ. ἀλλ' ὦ Σίμων, εἰκός γε ἐνδείᾳ τροφῆς λυπηθῆναι αὐτόν. ΠΑ. ἀγνοεῖς ὦ Τυχιάδη, ὅτι ἐξ ἀρχῆς οὐδὲ παράσιτός ἐστιν οὗτος, ὅστις ἀπορεῖ τροφῆς. οὐδὲ γὰρ ἀνδρεῖος, ἀπορίᾳ ἀνδρείας ἐστὶν ἀνδρεῖος. οὐδὲ φρόνιμος, ἀπορίᾳ φρενῶν ἐστι φρόνιμος. ἄλλως γε, οὔτε παράσιτος ἂν εἴη. πρόκειται δὲ ἡμῖν περὶ παρασίτου ζητεῖν ὄντος, οὐχὶ μὴ ὄντος. εἰ δὲ μὴ ὁ ἀνδρεῖος ἄλλως, ἢ παρουσίᾳ ἀνδρειότητος, καὶ ὁ φρόνιμος, παρουσίᾳ φρονήσεως, καὶ ὁ παράσιτος δέ, παρουσίᾳ τοῦ παρασιτεῖν, παράσιτος ἔσται. ὡς εἴ γε τοῦτο μὴ ὑπάρ-

χει ἀο·

ιν αὐτοῦ, τοῦ ἄλλου τινὸς, καὶ οὐχὶ παρασίτου ζητήσομεν. ΤΥ. οὐκοῦν οὐδέ ποτε ἀπορήσει παράσιτος τροφῆς. ΠΑ. ἔοικεν. ὥστε οὔτ' ἔστι τούτῳ, οὔτ' ἐπ' ἄλλῳ τινὶ ὅτῳ λυπηθείη ἄν. ἡ μὴν καὶ πάντες ὁμοῦ φιλόσοφοι, καὶ ῥήτορες, φοβοῦνται μάλιστα. τοὺς γέ τοι πλείους αὐτῶν, εὕροι τις ἂν μετὰ ξύλου προϊόντας. οὐκ ἂν δή που εἰ μὴ ἐφοβοῦντο ὡπλισμένους, καὶ τὰς θύρας δὲ μάλα ἐρρωμένως ἀποκλείοντες, μή τις ἄρα νύκτωρ ἐπιβουλεύσειεν αὐτοῖς δεδιότες. ὁ δὲ, τὴν θύραν τοῦ δωματίου προστίθησιν, εἰκῇ καὶ αὐτὸ, ὡς μὴ ὑπὸ ἀνέμου ἀνοιχθείη. γινομένου δὲ ψόφου νύκτωρ, οὐδὲν τι μᾶλλον θορυβεῖται, ἢ μὴ γινομένου. καὶ δι' ἐρημίας δὲ ἀπιὼν, ἄνευ ξίφους ὁδεύει. φοβεῖται γὰρ οὐδὲν οὐδαμοῦ. φιλοσόφους δὲ πολλάκις εἶδον ἐγὼ, οὐδενὸς ὄντος δεινοῦ, τόξα ἐνεσκευασμένους. ξύλα μὲν γὰρ ἔχουσι, καὶ εἰς βαλανεῖον ἀπιόντες, καὶ ἐπ' ἄριστον. παρασίτου μέντοι οὐδεὶς ἔχοι κατηγορῆσαι μοιχείαν, ἢ βίαν, ἢ ἁρπαγὴν, ἢ ἄλλο τι ἀδίκημα ἁπλῶς. ἐπεὶ ὅ γε τοιοῦτος, οὐκ ἂν εἴη παράσιτος, ἀλλ' ἑαυτὸν ἐκεῖνος ἀδικεῖ. ὥστ' εἰ μοιχεύσας τύχοι, ἅμα τῷ ἀδικήματι καὶ τοὔνομα μεταλαμβάνει τοῦ ἀδικήματος. ὥσπερ δὲ ὁ κακὸς οὐ τἀγαθὸς, ἀλλὰ φαῦ-

καὶ τοιούτων ἐπιθυμίας. ὅτι μὴν παράσιτος, ἔξω τούτων ἐστὶν ἁπάντων. οὔτε γὰρ ὀργίζεται δι' ἀνεξικακίαν, καὶ ὅτι οὐκ ἔστιν αὐτῷ ὅτῳ ὀργισθείη. καὶ εἰ ἀγανακτήσειε δέ ποτε, ἡ ὀργὴ αὐτοῦ χαλεπὸν μὲν, οὐδὲ σκυθρωπὸν οὐδὲν ἀπεργάζεται. μᾶλλον δέ, γέλωτα. καὶ εὐφραίνει τοὺς συνόντας. λυπεῖται γεμὴν ἥκιστα πάντων. τοῦτο τῆς τέχνης παρασκευαζούσης αὐτῷ, καὶ χαριζομένης, μὴ ἔχειν ὑπὲρ ὅτου λυπηθείη. οὔτε γὰρ χρήματά ἐστιν αὐτῷ, οὔτε οἶκος, οὔτε οἰκέτης, οὔτε γυνή, οὔτε παῖδες. ὧν διαφθειρομένων, πάντως ἀνάγκη ἐστὶ λυπεῖσθαι τὸν ἔχοντα αὐτά, ἐπὶ ταῦτα ἀπόλλυνται. ἐπιθυμεῖ δὲ οὔτε δόξης, οὔτε χρημάτων, ἀλλ' οὐδὲ ὡραίου τινός. ΤΥ. ἀλλ' ὦ Σίμων, εἰκός γε ἐνδείᾳ τροφῆς λυπηθῆναι αὐτόν. ΠΑ. ἀγνοεῖς ὦ Τυχιάδη, ὅτι ἐξ ἀρχῆς οὐδὲ παράσιτός ἐστιν οὗτος, ὅστις ἀπορεῖ τροφῆς. οὐδὲ γὰρ ὁ ἀνδρεῖος, ἀπορείᾳ ἀνδρείας ἐστὶν ἀνδρεῖος. οὐδὲ φόνιμος, ἀπορείᾳ φενῶν ἐστὶ φόνιμος. ἄλλως γε, οὔτε παράσιτος ἂν εἴη. πρόκειται δὲ ἡμῖν περὶ παρασίτου ζητεῖν ὄντος, οὐχὶ μὴ ὄντος. εἰ δὲ μὴ ὁ ἀνδρεῖος ἄλλως, ἢ παρουσίᾳ ἀνδρειότητος, καὶ ὁ φόνιμος, παρουσίᾳ φονήσεως, καὶ ὁ παράσιτος δέ, παρουσίᾳ τοῦ παρασιτεῖν, παράσιτος ἔσται. ὡς εἴγε τοῦτο μὴ ὑπάρ-

χει αὐ-

ἢ ἀπὸ τῶν, τῶν ἄλλων τινὸς, καὶ οὐχὶ παρασι-
ν ζητήσομεν. ΤΥ. οὐκοῦν οὐδέποτε ἀπο-
σαι παράσιτος τροφῆς. ΠΑ. ἔοικεν. ὥστε
τ' ἐν τούτῳ, οὔτ' ἐν ἄλλῳ ἐστὶν ὅτῳ λυ-
θείη ἄν. ἡ μὲν οἱ πάντες ὁμοῦ φιλόσοφοι,
ῥήτορες, φοβοῦνται μάλιστα. τούς γέ τοι πλεί
υς αὐτῶν, εὕροι τις ἂν μετὰ ξύλου προϊόντας.
κ ἂν δή που εἰ μὴ ἐφοβοῦντο ὡπλισμένους, τὰς
ὰς θύρας δὲ μάλα ἐρρωμένως ἀποκλείον-
ες, μή τις ἄρα νύκτωρ ἐπιβουλεύσειεν αὐτοῖς
διότες. ὁ δὲ, τὴν θύραν τοῦ δωματίου προσί-
ησιν, εἰκῆ καὶ τοῦτο, ὡς μὴ ὑπὸ ἀνέμου ἀνοιχθείη.
νομένου δὲ ψόφου νύκτωρ, οὐδέν τι μᾶλλον
ρυβεῖται, ἢ μὴ γινομένου. καὶ δι' ἐρημίας δὲ
πιὼν, ἄνευ ξίφους ὁδεύει. φοβεῖται γὰρ οὐδὲν οὐ
αμοῦ. φιλοσόφους δὲ πολλάκις εἶδον ἐγὼ,
ηδενὸς ὄντος δεινοῦ, τόξα ἐνεσκευασμένους.
λα μὲν γὰρ ἔχουσι, καὶ εἰς βαλανεῖον ἀπιόντες,
ἐπ' ἄριστον. παρασίτου μέντοι οὐδεὶς ἔχοι
κατηγορῆσαι μοιχείαν, ἢ βίαν, ἢ ἁρπαγὴν, ἢ ἄλ
ὅ τι ἀδίκημα ἁπλῶς. ἐπεὶ ὅ γε τοιοῦτος,
κ ἂν εἴη παράσιτος, ἀλλ' ἑαυτὸν ἐκεῖνος ἀδι-
εῖ. ὥστ' εἰ μοιχεύσας τύχοι, ἅμα τῷ ἀδι-
ήματι καὶ τοὔνομα μεταλαμβάνει τοῦ ἀδικήμα
ς. ὥσπερ δὲ ὁ κακὸς οὐ τὸ ἀγαθὸς, ἀλλὰ φαῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λος ἔτι λαμβάνῃ, οὕτως οἶμαι ὁ παράσιτος ἐάν τι ἀδικῇ, αὐτὸ μὲν τοῦτο, ὅπερ ἐστὶν, ἀποβάλλει, ἀναλαμβάνει δὲ ὃ ἀδικεῖ. ἀδικήματα δὲ ῥητόρων καὶ φιλοσόφων ἄφθονα, οὐ μόνον ἴσμεν αὐτοῖς γιγνόμενα καθ' ἡμᾶς, ἀλλὰ κἂν τοῖς βιβλίοις ἀπολελειμμένα ὑπομνήματα ἔχομεν, ὧν ἠδίκησαν. ἀπολογία μὲν γοῦν Σωκράτους ἐστὶ, καὶ Αἰσχίνου, καὶ Ὑπερίδου, καὶ Δημοσθένους, καὶ τῶν πλείστων σχεδόν τι ῥητόρων, καὶ σοφῶν. παρασίτου δὲ, οὐκ ἔστιν ἀπολογία, οὐδ' ἔχει τις εἰπεῖν δίκην πρὸς παράσιτόν τινι γεγραμμένην. Τυ. ἀλλὰ νὴ Δία, ὁ μὲν βίος τοῦ παρασίτου, κρείττων ἐστὶ τοῦ τῶν ῥητόρων, καὶ τῶν φιλοσόφων. ὁ δὲ θάνατος, φαυλότερος. Πα. πάνυ μὲν οὖν τοὐναντίον παραπολὺ εὐδαιμονέστερος. φιλοσόφους μὲν γὰρ ἴσμεν ἅπαντας, ἢ τοὺς πλείστους, κακοὺς κακῶς ἀποθανόντας. τοὺς μὲν, ἐκ καταδίκης ἑαλωκότας ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι φαρμάκῳ. τοὺς δὲ, καταπρησθέντας τὸ σῶμα ἅπαν. τοὺς δὲ, ἀπὸ δυσουρίας φθινήσαντας. τοὺς δὲ, φυγόντας. παρασίτου δὲ θάνατον, οὐδεὶς ἔχει τοιοῦτον εἰπεῖν, ἀλλὰ τὸν εὐδαιμονέστατον, φαγόντος καὶ πιόντος. εἰ δέ τις καὶ δοκεῖ βιαίῳ τετελευτηκέναι θανάτῳ, ἀπεπτήσας ἀπέθανε. Τυ. ταῦτα μὲν ἱκανῶς διημίλλη-

ται

εἴ σοι τὰ πρὸς τοὺς φιλοσόφους ὑπὲρ τοῦ παρα-
του. λοιπὸν δὲ εἰ καλὸν καὶ λυσιτελές ἐστι τὸ
χρῆμα τοῦτο τῷ τρέφοντι, πειρῶ λέγειν. ἐμοὶ
γὰρ δοκοῦσιν ὥσπερ εὐεργετοῦντες καὶ χαρι-
ζόμενοι τρέφειν αὐτοὺς οἱ πλούσιοι, καὶ εἶναι τοῦτο αἰ-
σχύνην τῷ τρεφομένῳ. Πα. ὡς ἠλίθιά γέ σοι
Τυχιάδη ταῦτα, εἰ μὴ δύνασαι γινώσκειν ὅ-
τι πλούσιος ἀνήρ, εἰ καὶ τὸ Γύγου χρυσίον ἔχει,
μόνος ἐσθίων, πένης ἐστί. καὶ προϊὼν ἄνευ παρα-
σίτου, πτωχὸς δοκεῖ. καὶ ὥσπερ στρατιώτης χω-
ρὶς ὅπλων, ἀτιμότερος, καὶ ἐσθὴς ἄνευ πορφύ-
ρας, καὶ ἵππος ἄνευ φαλάρων, οὕτω καὶ πλού-
σιος ἄνευ παρασίτου, ταπεινός τις, καὶ εὐτε-
λὴς φαίνεται. καὶ μὴν ὁ μὲν πλούσιος, κοσμεῖ-
ται ὑπ' αὐτοῦ. τὸν δὲ παράσιτον, πλούσιος οὐδέ-
ποτε κοσμεῖ. ἄλλως τε, οὐδὲ ὄνειδος αὐτῷ ἐστιν
ὡς σὺ φής, τὸ παρασιτεῖν ἐκείνῳ δηλονότι, ὡς
κρείττονι χείρονα. ὅπως γε μὴν τῷ πλουσίῳ
τοῦτο λυσιτελές ἐστι, τὸ τρέφειν τὸν παράσιτον, ὥστε
μετὰ τοῦ κοσμεῖσθαι ὑπ' αὐτοῦ, καὶ ἀσφάλεια πολ-
λὴ ἐκ τῆς τούτου δορυφορίας ὑπάρχει. οὔτε γὰρ
μάχῃ ῥᾳδίως ἄν τις ἐπιχειρήσαι τῷ πλου-
σίῳ, τοῦτον ὁρῶν παρεστῶτα, ἀλλ' οὐδ' ἂν ἀποθά-
νοι φαρμάκῳ οὐδείς, ἔχων παράσιτον. τίς γὰρ ἂν
τολμήσειεν ἐπιβουλεῦσαί τινι, τούτου προεσθί-

οντος, καὶ προπίνοντος. ὥστε ὁ πλούσιος οὐχὶ κοσμεῖται μόνον, ἀλλὰ καὶ ἐκ τῶν μεγίστων κινδύνων ὑπὸ τοῦ παρασίτου σώζεται. οὕτω μὲν ὁ παράσιτος διὰ φιλοστοργίαν πάντα κίνδυνον ὑπομένει. καὶ οὐκ ἂν παραχωρήσειε τῷ πλουσίῳ φαγεῖν μόνον, ἀλλὰ καὶ ἀποθανεῖν αἱρεῖται συμφαγών. Τυ. πάντα μοι δοκεῖς ὦ Σίμων διεξελθεῖν, ὑστερήσας οὐδὲν τῆς σαυτοῦ τέχνης, οὐχ ὥσπερ αὐτὸς ἔφασκες ἀμελέτητος ὤν, ἀλλ' ὥσπερ ἄν τις ὑπὸ τῶν μεγίστων γεγυμνασμένος. λοιπὸν εἰ μὴ αἴσχιον αὐτὸ τὸ ὄνομά ἐστι τῆς παρασιτικῆς, ἐθέλω μαθεῖν. Πα. ὅρα δὴ τὴν ἀπόκρισιν, ἐάν σοι ἱκανῶς λέγεσθαι δοκῇ, καὶ πειρῶ πάλιν αὐτὸς ἀποκρίνασθαι πρὸς τὸ ἐρωτώμενον ᾗ ἄριστα οἴει. φέρε γάρ, τὸν σῖτον οἱ παλαιοὶ τί καλοῦσι; Τυ. τροφήν. Πα. τί δέ, τὸ σιτεῖσθαι, οὐχὶ τὸ ἐσθίειν; Τυ. ναί. Πα. οὐκοῦν καθωμολόγηται τὸ παρασιτεῖν ὅτι οὐκ ἄλλο ἐστί. Τυ. τοῦτο γάρ ὦ Σίμων ἐστίν, ὃ αἰσχρὸν φαίνεται. Πα. φέρε δὴ πάλιν ἀπόκριναί μοι, πότερόν σοι δοκεῖ διαφέρειν, καὶ προκειμένων ἀμφοῖν, πότερον ἂν αὐτὸς ἕλοιο, ἆρά γε τὸ πλεῖν, ἢ τὸ παραπλεῖν; Τυ. τὸ παραπλεῖν ἔγωγε. Πα. τί δέ, τὸ τρέχειν, ἢ τὸ παρατρέχειν; Τυ. τὸ παρατρέχειν. Πα. τί δέ,

τὸ ἱπ

ν ἱππεύειν, ἢ τὸ ἐξιππεύειν; Τυ. τὸ παρεισπεύειν. Πα. τί δὲ, τὸ ἀκοντίζειν, ἢ τὸ ἐξακοντίζειν; Τυ. τὸ ἐξακοντίζειν. Πα. οὐκοῦν ὁμοίως ἔθ' ἕλοιο καὶ τοῦ ἐσθίειν μᾶλλον τὸ παρα-τεῖν. Τυ. ὁμολογεῖν ἀνάγκη. καί σοι λοιπὸν ὥσπερ οἱ παῖδες, ἀφίξομαι καὶ ἕωθεν, καὶ μετ' ἄριστον, μαθησόμενος τὴν τέχνην. σὺ δέ με αὐτὴν δίκαιος διδάσκειν ἀφθόνως, ἐπεὶ καὶ πρῶτος μαθητής σοι γίγνομαι. φασὶ δὲ καὶ τὰς μητέρας μᾶλλον τὰ πρῶτα φιλεῖν τῶν τέκνων.

## ΑΝΑΧΑΡΣΙΣ, Η ΠΕΡΙ ΓΥΜΝΑΣΙΩΝ.

Ταῦτα δὲ ὑμῖν ὦ Σόλων, τίνος ἕνεκα οἱ νέοι ποιοῦσιν; οἱ μὲν, αὐτῶν περιπλεκόμενοι, ἀλλήλους ὑποσκελίζουσιν. οἱ δὲ, ἄγχουσι, καὶ λυγίζουσι, καὶ ἐν τῷ πηλῷ συναναφύρονται καλινδούμενοι, ὥσπερ σύες. καίτοι κατ' ἀρχὰς εὐθὺς ἀποδυσάμενοι, ἑώρων γὰρ, λίπα τε ἠλείψαντο, καὶ κατέψησε μάλα εἰρηνικῶς ἅτερος τὸν ἕτερον ἐν τῷ μέρει. μετὰ δὲ, οὐκ οἶδ' ὅ, τι παθόντες, ὠθοῦσί τε ἀλλήλους συννενευκότες, καὶ τὰ μέτωπα συγκρούουσιν, ὥσπερ οἱ κριοί. καὶ ἢν ἰδοὺ ἀράμενος ἐκεινοσὶ τὸν ἕτερον ἐκ τοῖν σκελοῖν, ἀφῆκεν ἐς τὸ ἔδαφος. εἶτ' ἐπικαταπεσὼν, ἀνακύπτειν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐκ ἐᾷ, συνωθῶν κάτω ἐς τὸν πηλόν. τέλος δὲ ἤδη περιπλέξας αὐτῷ τὰ σκέλη κατὰ τὴν γαστέρα, τὸν πῆχυν ὑποβαλὼν τῷ λαιμῷ, ἄγχει ἄθλιον. ὁ δὲ, παρακροτεῖ ἐς τὸν ὦμον, ἱκετεύων οἶμαι ὡς μὴ τέλεον ἀποπνιγείη. καὶ οὐδὲ τοῦ ἐλαίου ἕνεκα φείδονται, μὴ μολύνεσθαι· ἀλλ' ἀφανίσαντες τὸ χρῖσμα, καὶ τοῦ βορβόρου ἀναπλησθέντες, ἐν ἱδρῶτι ἅμα πολλῷ γέλωτα ἐμοὶ γοῦν παρέχουσιν, ὥσπερ οἱ ἐγχέλυες ἐκ τῶν χειρῶν διολισθαίνοντες. ἕτεροι δὲ ἐν τῷ αἰθρίῳ τῆς αὐλῆς τὸ αὐτὸ τοῦτο δρῶσιν. οὐκ ἐν πηλῷ οὗτοι, ἀλλὰ ψάμμον ταύτην βαθεῖαν ὑποβαλλόμενοι ἐν τῷ ὀρύγματι πάττουσί τε ἀλλήλους, καὶ αὐτοὶ ἑκόντες πάττονται τὴν κόνιν ἀλεκτρυόνων δίκην, ὡς ἀφυκτότεροι εἶεν ἐν ταῖς συμπλοκαῖς οἶμαι, τῆς ψάμμου τὸν ὄλισθον ἀφαιρούσης, καὶ βεβαιοτέραν ἐν ξηρῷ παρεχούσης τὴν ἀντίληψιν. οἱ δὲ, ὀρθοστάδην κεκονιμένοι, καὶ αὐτοὶ παίουσιν ἀλλήλους προσπεσόντες, καὶ λακτίζουσιν. οὑτοσὶ γοῦν καὶ τοὺς ὀδόντας ἔοικεν ἀποπτύσειν ὁ κακοδαίμων. οὕτως αἵματος αὐτῷ καὶ ψάμμου ἀναπέπλησται τὸ στόμα, πὺξ ὡς ὁρᾷς παταχθέντος ἐς τὴν γνάθον. ἀλλ' οὐδὲ ὁ ἄρχων οὑτοσὶ διΐστησιν αὐτοὺς, καὶ λύει τὴν μάχην. τεκμαίρομαι γὰρ τῇ πορφυρίδι τῶν

ἀρχόν

ἀρχόντων τινὰ χρὴ εἶναι. ὁ δέ, καὶ ἐποτρύνει,
καὶ τὸν παταξάντα ἐπαινεῖ. ἄλλοι δὲ ἀλλα-
χόθι πάντες ἐγκονοῦσι, καὶ ἀναπηδῶσιν, ὥσπερ
θέοντες, ἐπὶ τοῦ αὐτοῦ μένοντες, καὶ ἐς τὸ ἄνω συναλ-
λόμενοι, λακτίζουσι τὸν ἀέρα. ταῦτα οὖν ἐθέ-
λω εἰδέναι τίνος ἀγαθοῦ ἂν εἴη ποιεῖν, ὡς ἔμοι-
γε μανία μᾶλλον ἐοικέναι δοκεῖ τὸ πρᾶγμα, καὶ
οὐκ ἔστιν ὅστις ἂν ῥᾳδίως μεταπείσειέ με ὡς οὐ
παραπαίουσιν οἱ ταῦτα δρῶντες. Σό. καὶ εἰκό-
τως ὦ Ἀνάχαρσι, τοιαῦτά σοι τὰ γιγνόμενα
φαίνεται, ξένα γε ὄντα, καὶ πάμπολυ τῶν σκυ-
θικῶν ἐθῶν ἀπᾴδοντα, καθάπερ καὶ ὑμῖν πολ-
λὰ εἰκὸς εἶναι μαθήματα, καὶ ἐπιτηδεύματα,
τοῖς Ἕλλησιν ἡμῖν ἀλλόκοτα εἶναι δόξαντα ἄν,
εἴ τις ἡμῶν ὥσπερ σὺ νῦν ἐπισταίη αὐτοῖς.
πλὴν ἀλλὰ θάῤῥει ὠγαθέ. οὐ γὰρ μανία τὰ γι-
γνόμενά ἐστιν, οὐδ᾽ ἐφ᾽ ὕβρει οὗτοι παίουσιν ἀλ-
λήλους, καὶ κυλίουσιν ἐν τῷ πηλῷ, ἢ ἐπιπάτ-
τουσι τὴν κόνιν, ἀλλ᾽ ἔχει τινὰ χρείαν οὐκ ἀτερ-
πῆ τὸ πρᾶγμα, καὶ ἀκμὴν οὐ μικρὰν ἐπάγει τοῖς
σώμασιν. ἢν γοῦν ἐνδιατρίψῃς ὥσπερ οἶμαί σε
ποιήσειν τῇ Ἑλλάδι, οὐκ εἰς μακρὰν εἷς καὶ αὐ-
τὸς ἔσῃ τῶν πεπηλωμένων, ἢ κεκονιμένων. οὕ-
τω σοι τὸ πρᾶγμα ἡδύ τε ἅμα καὶ λυσιτελὲς
εἶναι δόξει. Ἀνά. ἄπαγε ὦ Σόλων. ὑμῖν ταῦ-

τὰ γένοιτο τὰ ὠφέλιμα, ἢ τερπνά. ἐμὲ δὲ εἴ τις ὑμῶν τοιοῦτό τι διαθείη, εἴσεται ὡς οὐ μάτην διεζώσμεθα τὸν ἀκινάκην. ἀτὰρ εἰπέ μοι τί ὄνομα ἔθεσθε τοῖς γιγνομένοις, ἢ τί φῶμεν ποιεῖν αὐτούς. Σο. ὁ μὲν χῶρος αὐτὸς ὦ Ἀνάχαρσι, γυμνάσιον ὑφ' ἡμῶν ὀνομάζεται, καὶ ἔστιν ἱερὸν Ἀπόλλωνος τοῦ λυκείου. καὶ τὸ ἄγαλμα δὲ αὐτοῦ ὁρᾷς, τὸν ἐπὶ τῇ στήλῃ κεκλιμένον, τῇ ἀριστερᾷ μὲν, τὸ τόξον ἔχοντα. ἡ δεξιὰ δὲ, ὑπὲρ τῆς κεφαλῆς ἀνακεκλασμένη, ὥσπερ ἐκ καμάτου μακροῦ ἀναπαυόμενον δείκνυσι τὸν θεόν. τῶν γυμνασμάτων δὲ τούτων, τὸ μὲν ἐν τῷ πηλῷ ἐκείνῳ, πάλη καλεῖται. οἱ δ' ἐν τῇ κόνει, παλαίουσι καὶ αὐτοί. τὸ δὲ παίειν ἀλλήλους ὀρθοστάδην, παγκρατιάζειν λέγομεν. καὶ ἄλλα δὲ ἡμῖν ἐστι γυμνάσια τοιαῦτα πυγμῆς, καὶ δίσκου, καὶ τοῦ ὑπεράλλεσθαι, ὧν ἁπάντων ἀγῶνας προτίθεμεν. καὶ ὁ κρατήσας, ἄριστος εἶναι δοκεῖ τῶν καθ' αὑτὸν, καὶ ἀναιρεῖται τὰ ἆθλα.

Ἀνά. τὰ δ' ἆθλα τίνα ὑμῖν ταῦτά ἐστιν; Σό. ὀλυμπίασι μὲν, στέφανος ἐκ κοτίνου. ἰσθμοῖ δὲ, ἐκ πίτυος, ἐν νεμέᾳ δὲ, σελίνων πεπλεγμένος. πυθοῖ δὲ, μῆλα τῶν ἱερῶν τοῦ θεοῦ. παρ' ἡμῖν δὲ τοῖς παναθηναίοις, τὸ ἔλαιον τὸ ἐκ τῆς μορίας. τί ἐγέλασας ὦ Ἀνάχαρσι, ἢ διότι

μι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μικρά σοι ταῦτα εἶναι δοκεῖ; Αν. οὐκ, ἀλλὰ πάνσεμνα ὦ Σόλων κατέλεξας τὰ ἆθλα, καὶ ἄξια τοῖς τε διαθεῖσιν αὐτὰ φιλοτιμεῖσθαι ἐπὶ τῇ μεγαλοδωρεᾷ, καὶ τοῖς ἀγωνισταῖς αὐτοῖς ὑπερεσπουδακέναι περὶ τὴν ἀναίρεσιν τῶν τηλικούτων. ὥστε μήλων ἕνεκα, καὶ σελίνων, τοσαῦτα προπονεῖν, καὶ κινδυνεύειν, ἀγχομένους πρὸς ἀλλήλων, καὶ κατακλωμένους, ὡς οὐκ ἐνὸν ἀπραγμόνως εὐπορῆσαι μήλων ὅτῳ ἐπιθυμία, ἢ σελίνῳ ἐστεφανῶσθαι, ἢ πίτυϊ, μήτε πηλῷ καταχριόμενον τὸ πρόσωπον, μήτε λακτιζόμενον ἐς τὴν γαστέρα ὑπὸ τῶν ἀνταγωνιστῶν. Σό. ἀλλ᾽ ὦ ἄριστε, οὐκ ἐς ψιλὰ τὰ διδόμενα ἡμεῖς ἀποβλέπομεν. ταῦτα μὲν γάρ ἐστι σημεῖα τῆς νίκης, καὶ γνωρίσματα, οἵ τινες οἱ κρατήσαντες. ἡ δὲ παρακολουθοῦσα τούτοις δόξα, τοῦ παντὸς ἀξία τοῖς νενικηκόσιν, ὑπὲρ ἧς καὶ λακτίζεσθαι καλῶς ἔχει τοῖς θηρωμένοις τὴν εὔκλειαν ἐκ τῶν πόνων. οὐ γὰρ ἀπονητὶ προσγένοιτ᾽ ἂν αὕτη. ἀλλὰ χρὴ τὸν ὀρεγόμενον αὐτῆς, πολλὰ τὰ δυσχερῆ ἀνασχόμενον ἐν τῇ ἀρχῇ, τότ᾽ ἤδη τὸ λυσιτελὲς, καὶ ἡδὺ τέλος ἐκ τῶν καμάτων περιμένειν. Αν. τοῦτο φὴς ὦ Σόλων τὸ τέλος ἡδὺ, καὶ λυσιτελὲς, ὅτι πάντες αὐτοὺς ὄψονται ἐστεφανωμένους, καὶ ἐπὶ τῇ νίκῃ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπαινέσονται, πολὺ πρότερον οἰκτείραντες αὐτοὺς ἐπὶ ταῖς πληγαῖς. οἱ δέ, εὐδαιμονήσουσιν, ἀντὶ τῶν πόνων μῆλα καὶ σέλινα ἔχοντες. Σό. ἄπειρος εἶ φημὶ τῶν ἡμετέρων ἔτι. μετὰ μικρὸν δὲ, ἄλλα σοι δόξει περὶ αὐτῶν. ἐπειδὰν ἐς τὰς πανηγύρεις ἀπιὼν, ὁρᾷς τοσοῦτον πλῆθος ἀνθρώπων συλλεγόμενον ἐπὶ τὴν θέαν τῶν τοιούτων, καὶ θέατρα μυρίανδρα συμπληρούμενα, καὶ τοὺς ἀγωνιστὰς ἐπαινουμένους. τὸν δὲ καὶ νικήσαντα αὐτῶν, ἰσόθεον νομιζόμενον. Ανά. αὐτὸ τοῦτο ὦ Σόλων, καὶ τὸ οἰκτιστόν ἐστιν, εἰ μὴ ἐπ' ὀλίγων ταῦτα πάσχουσιν, ἀλλ' ἐν τοσούτοις θεαταῖς, καὶ μάρτυσι τῆς ὕβρεως. οἳ δηλαδὴ εὐδαιμονίσουσιν αὐτοὺς, αἵματι ῥαινομένους ὁρῶντες, ἢ ἀγχομένους πρὸς τῶν ἀντιπάλων. ταῦτα γὰρ τὰ εὐδαιμονέστατα πρόσεστι τῇ νίκῃ αὐτῶν. παρ' ἡμῖν δὲ τοῖς Σκύθαις, ἤν τις ὦ Σόλων, ἢ πατάξῃ τινὰ τῶν πολιτῶν, ἢ ἀνατρέψῃ προσπεσὼν, ἢ θοἰμάτιον περιῤῥήξῃ, μεγάλας οἱ πρεσβῦται τὰς ζημίας ἐπάγουσι, κἂν ἐπ' ὀλίγων τῶν μαρτύρων τοῦτο πάθῃ τις. οὔτι γε ἐν τηλικούτοις θεάτροις, οἷα σὺ διηγῇ, τὸ ἰσθμοῖ, καὶ τὸ ἐν ὀλυμπίᾳ· οὐ μὴν ἀλλὰ τοὺς μὲν ἀγωνιστὰς, οἰκτείρειν μοι ἔπεισιν, ὧν πάσχουσι. τῶν δὲ θεατῶν, οὓς φὴς ἀπανταχόθεν τοὺς ἀρίστους παραγίνε-

σθαι

μι ἐς τὰς πανηγύρεις, καὶ πάνυ θαυμάζω, ἐξ ἀναγκαῖα παρέντων, σχολάζουσιν γὰρ τοῖς γ-ρίοις. οὐδὲ γὰρ ἐκεῖνό πω δύναμαι κατανοῆσαι, ὅ τι τὸ τερπνὸν αὐτοῖς, ὁρᾶν παιομένους τε, καὶ διαπληκτιζομένους ἀνθρώπους, καὶ πρὸς τὴν γῆν ἀρασσομένους, καὶ συντριβομένους ὑπ' ἀλλήλων. Σό. εἰ καιρὸς ἦν, ὦ Ἀνάχαρσι, ὀλυμπίων, ἢ ἰσθμίων, ἢ παναθηναίων, αὐτὸ ἄν σε τὸ γιγνόμενον ἐδίδαξεν, ὡς οὐ μάτην ἐσπουδάκαμεν ἐπὶ τούτοις. οὐ γὰρ οὕτω λέγων ἄν τις προσβιβάσειέ σε τῇ ἡδονῇ τῶν ἐκεῖ δρωμένων, ὡς εἰ καθεζόμενος αὐτὸς ἐν μέσοις τοῖς θεαταῖς, βλέποις ἀρετὰς ἀνδρῶν, καὶ κάλλη σωμάτων, καὶ εὐεξίας θαυμαστὰς, καὶ ἐμπειρίας δεινὰς, καὶ ἰσχὺν ἄμαχον, καὶ τόλμαν, καὶ φιλοτιμίαν, καὶ γνώμας ἀηττήτους, καὶ σπουδὴν ἄλεκτον ὑπὲρ τῆς νίκης. εὖ γὰρ δὴ οἶδα, ὡς οὐκ ἂν ἐπαύσω ἐπαινῶν, καὶ ἐπιβοῶν, καὶ ἐπικροτῶν. Αν. νὴ Δί' ὦ Σόλων, καὶ ἐπιγελῶν γε προσέτι, καὶ ἐπιχλευάζων. ἅπαντα γὰρ, ὁπόσα κατηριθμήσω ἐκεῖνα, τὰς ἀρετὰς, καὶ τὰς εὐεξίας, καὶ τὰ κάλλη, καὶ τόλμαν, ὁρῶ οὐδενὸς μεγάλου ἕνεκα παραπολλύμενα ὑμῖν, οὔτε πατρίδος κινδυνευούσης, οὔτε χώρας πορθουμένης, οὔτε φίλων, ἢ οἰκείων πρὸς ὕβριν ἀπαγομένων. ὥστε τοσούτῳ γε-

λοιότεροι ἂν εἶεν, ἄριστοι μὲν ὡς φῂς ὄντες, μάτην δὲ τοσαῦτα πάσχοντες, καὶ ταλαιπωρούμενοι, καὶ αἰσχύνοντες τὰ κάλλη, καὶ τὰ μεγέθη τῇ ψάμμῳ, καὶ τοῖς ὑπωπίοις, ὡς μήλου, καὶ κοτίνου ἐγκρατεῖς γένοιντο νικήσαντες. ἡδὺ γάρ μοι ἀεὶ μεμνῆσθαι τῶν ἄθλων, τοιούτων ὄντων. ἀτὰρ εἰπέ μοι, πάντες αὐτὰ λαμβάνουσιν οἱ ἀγωνισταί; Σό. οὐδαμῶς, ἀλλὰ εἷς ἐξ ἁπάντων, ὁ κρατήσας αὐτῶν. Αν. εἶτ' ὦ Σόλων, ἐπὶ τῷ ἀδήλῳ, καὶ ἀμφιβόλῳ τῆς νίκης, τοσοῦτοι πονοῦσι, καὶ ταῦτ' εἰδότες, ὅτι ὁ μὲν νικῶν, εἷς ἔσται πάντως, οἱ δὲ ἡττώμενοι, πάμπολλοι, μάτην ἄθλιοι πληγάς, οἱ δέ, καὶ τραύματα λαμβάνοντες; Σό. ἔοικας ὦ Ἀνάχαρσι, μηδέποτε ἐννενοηκέναι πολιτείας ὀρθῆς πέρι μηδέν. οὐ γὰρ ἂν τὰ κάλλιστα τῶν ἐθῶν ἐν ψόγῳ ἐτίθεσο. ἢν δέ σοι μελήσῃ ποτὲ εἰδέναι ὅπως ἂν τὰ κάλλιστα οἰκισθείη πόλις, καὶ ὅπως ἂν ἄριστοι γένοιντο οἱ πολῖται αὐτῆς, ἐπαινέσῃ τότε καὶ τὰς ἀσκήσεις ταύτας, καὶ τὴν φιλοτιμίαν, ἣν φιλοτιμούμεθα πρὸς αὐτάς, καὶ εἴσῃ ὅτι πολὺ τὸ χρήσιμον ἔχουσιν ἐγκαταμεμιγμένον τοῖς πόνοις, εἰ καὶ νῦν μάτην σπουδάζεσθαι δοκοῦσι. Αν. καὶ μὴν ὦ Σόλων, κατ' οὐδὲν ἄλλο ἀπὸ τῆς Σκυθίας ἥκω παρ' ὑμᾶς,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μν, τοσαύτην μὲν γῆν διοδεύσας, μέγαν δὲ
τὸν Εὔξεινον, καὶ δυσχείμερον περαιωθεὶς, ἢ ὅπως
νόμους τε τοὺς Ἑλλήνων ἐκμάθοιμι, καὶ ἔθη παρ'
ὑμῖν κατανοήσαιμι, καὶ πολιτείαν τὴν ἀρίστην
ἐκμελετήσαιμι. διὸ καί σε μάλιστα φίλον ἐξ
ἁπάντων Ἀθηναίων, καὶ ξένων, προειλόμην κα-
τὰ κλέος, ἐπεί περ ἤκουον νόμων τέ τινων ξυγ-
γραφέα εἶναί σε, καὶ ἐθῶν τῶν ἀρίστων εὑρετὴν,
καὶ ἐπιτηδευμάτων ὠφελίμων εἰσηγητήν. καὶ
ὅλως, πολιτείας τινὸς συναρμοστήν. ὥστε
οὐκ ἂν φθάνοις διδάσκων με, καὶ μαθητὴν ποι-
ούμενος, ὡς ἔγωγε ἡδέως ἂν ἄσιτός σοι, καὶ ἄπο-
τος παρακαθεζόμενος, ἐς ὅσον ἂν αὐτὸς διαρκοίης
λέγων, κεχηνὼς, ἐπακούοιμι περὶ πολιτεί-
ας τε, καὶ νόμων διεξιόντος. ΣΟ. τὰ μὲν
πάντα, οὐ ῥᾴδιον ὦ ἑταῖρε διελθεῖν ἐν βραχεῖ.
ἀλλὰ κατὰ μέρη ἐπιὼν, εἴσῃ ἕκαστα, οἷα μὲν
περὶ θεῶν, οἷα δὲ περὶ γονέων, ἢ περὶ γάμων,
ἢ τῶν ἄλλων δοκεῖ ἡμῖν. ἃ δὲ περὶ τῶν νέων
γινώσκομεν, ἢ ὅπως αὐτοῖς χρώμεθα, ἐπειδὰν
πρῶτον ἄρξωνται συνιέναι τε τοῦ βελτίονος,
καὶ τῷ σώματι ἀνδρίζεσθαι, καὶ ὑφίστασθαι
τοὺς πόνους, ταῦτα ἤδη σοι διέξειμι, ὡς μάθοις
τίνος χάριν τὰς ἀσκήσεις ταύτας προτε-
θείκαμεν αὐτοῖς, καὶ διαπονεῖν τὸ σῶμα κατα

ραγμάζομεθα· οὐ μόνον ἕνεκα τῶν ἀγώνων, ὅπως τὰ ἆθλα δύναιντο ἀναιρεῖσθαι, ἐπ' ἐκεῖνα μὲν γὰρ ὀλίγοι πάνυ ἐξ ἁπάντων χωροῦσιν, ἀλλὰ μεῖζόν τι ἁπάσῃ τῇ πόλει ἀγαθὸν ἐκ τούτου καὶ αὐτοῖς ἐκείνοις προσκτώμενοι. κοινὸς γάρ τις ἀγὼν ἄλλος ἅπασι τοῖς ἀγαθοῖς πολίταις πρόκειται, καὶ στέφανος οὐ πίτυος, οὐδὲ κοτίνου, ἢ σελίνων, ἀλλ' ὃς ἐν αὑτῷ συλλαβὼν ἔχει τὴν ἀνθρώπων εὐδαιμονίαν. οἷον ἐλευθερίαν λέγω αὐτοῦ τε ἑκάστου ἰδίᾳ, καὶ κοινῇ τῆς πατρίδος, καὶ πλοῦτον, καὶ δόξαν, καὶ ἑορτῶν πατρίων ἀπόλαυσιν, καὶ οἰκείων σωτηρίαν. καὶ συνόλως, τὰ κάλλιστα, ὧν ἄν τις εὔξαιτο γενέσθαι οἱ παρὰ τῶν θεῶν. ταῦτα πάντα τῷ στεφάνῳ, ὅν φημι, συναπέπλεκται, καὶ ἐκ τοῦ ἀγῶνος ἐκείνου περιγίγνεται. ἐφ' ὃν αἱ ἀσκήσεις αὗται, καὶ οἱ πόνοι ἄγουσιν. ΑΝ. εἶτα ὦ θαυμάσιε Σόλων, τοιαῦτά μοι, καὶ τηλικαῦτα ἔχων ἆθλα διεξιέναι, μῆλα, καὶ σέλινα διηγοῦ, καὶ θαλλὸν ἐλαίας ἀγρίας, καὶ πίτυν; ΣΟ. καὶ μὴν ὦ Ἀνάχαρσι, οὐδ' ἐκεῖνά σοι ἔτι δόξει μικρὰ εἶναι, ὁπόταν ἃ λέγω καταμάθῃς. ἀπὸ γάρ τοι τῆς αὐτῆς γνώμης γίγνεται, καὶ μέρη πάντα ταῦτά ἐστι μικρὰ τοῦ μείζονος ἐκείνου ἀγῶνος, καὶ τοῦ στεφάνου, ὃν κατέλεξα τοῦ πανευδαίμονος. ὁ δὲ λόγος, οὐκ

οἶδ'

ἅ. ὅπως ὑπερβὰς τὴν τάξιν, ἐκείνων προτέ
ρ ἐπεμνήσθην, τῶν ἰσθμοῖ γιγνομένων, καὶ ὀλυμπι
ά, καὶ ἐν Νεμέᾳ. πλὴν ἀλλ' ἀνώ, σχολὴν γὰρ ἄγο
μ, καὶ σὺ ὡς φὴς προθυμῇ ἀκούειν, ἀναδραμού
μα ῥᾳδίως πρὸς τὴν ἀρχὴν, καὶ τὸν κοινὸν ἀγῶ
ν δ' ὅν φημι πάντα ταῦτα ἐπιτηδεύεσθαι.
ά. ἄμεινον ὦ Σόλων οὕτω. καθ' ὁδὸν γὰρ ἂν ἡ
μ ὁ λόγος μᾶλλον προχωροίη. καὶ τάχ' ἂν ἴσως
τ τούτων πεισθείην, μὴ δ' ἐκείνων ἔτι κατα
λᾶν, εἴ τινα ἴδοιμι σεμνυνόμενον κοτίνῳ, ἢ σε
νῳ ἐστεφανωμένον. ἀλλ' εἰ δοκεῖ, ἐς τὸ σύσκιον
εῖσε ἀπελθόντες, καθίσωμεν ἐπὶ τῶν θάκων,
 μὴ ἐνοχλοῖεν ἡμῖν ἐπικεκραγότες τοῖς πα
αίουσιν. ἄλλως τε, εἰρήσεται γὰρ, οὐδὲ τὸν ἥ
ιον ἔτι ῥᾳδίως ἀνέχομαι, ὀξὺν, καὶ φλογώδη
ιπίπτοντα γυμνῇ τῇ κεφαλῇ. τὸν γὰρ πῖλόν
οι ἀφελεῖν οἴκοθεν ἔδοξεν, ὡς μὴ μόνος ἐν ὑ
ῖν ξενίζοιμι τῷ σχήματι. ἡ δὲ ὥρα τοῦ ἔτους,
τι πρὸς τὸ πυρωδέστατόν ἐστι τοῦ ἀστέρος, ὃν ὑμεῖς
ύνα φατὲ, πάντα καταφλέγοντος, καὶ τὸν
έρα ξηρὸν, καὶ διακαῆ τιθέντος, ὅτε ἥλιος κα
ὰ μεσημβρίαν ἤδη ὑπὲρ κεφαλῆς ἐπικείμε
ος, φλογμὸν αὐτὸν οὐ φορητὸν ἐπάγει τοῖς
ώμασιν. ὥστε καὶ σοῦ θαυμάζω ὅπως γηραιὸ
ς ἤδη ἄνθρωπος, οὔτε ἰδίεις πρὸς τὸ θάλπος,

ὥσπερ ἐγώ, οὔτε ὅλως ἐνοχλουμένῳ ἔοικας, οὐδὲ περιβλέπεις σύσκιόν τι, ἔνθα ὑποδύσῃ, ἀλλὰ δέχῃ τὸν ἥλιον εὐμαρῶς. Σό. οἱ μάταιοι γὰρ οὗτοι πόνοι ὦ Ἀνάχαρσι, καὶ αἱ συνεχεῖς ἐν τῷ πηλῷ κυβιστήσεις, καὶ αἱ ὑπαίθριοι ἐν τῇ ψάμμῳ ταλαιπωρίαι, τοῦτο ἡμῖν τὸ ἀμυντήριον παρέχουσι πρὸς τὰς τοῦ ἡλίου βολάς. καὶ οὐκέτι πίλου δεόμεθα, ὃς τὴν ἀκτῖνα κωλύσει καθικνεῖσθαι τῆς κεφαλῆς. ἀπίωμεν δ' οὖν. καὶ ὅπως μὴ καθάπερ νόμοις, προσέξεις οἷς ἂν λέγω πρὸς σέ, ὡς ἐξ ἅπαντος πιστεύειν αὐτοῖς, ἀλλ' ἔνθα ἄν σοι μὴ ὀρθῶς τι λέγεσθαι δοκῇ, ἀντιλέγειν εὐθύς, καὶ διευθύνειν τὸν λόγον. δυοῖν γὰρ θατέρου πάντως οὐκ ἂν ἁμάρτοιμεν, ἢ σὲ βεβαίως πεισθῆναι ἐκχέαντα ὁπόσα οἴει ἀντιλεκτέα εἶναι, ἢ ἐμὲ ἀναδιδαχθῆναι ὡς οὐκ ὀρθῶς γιγνώσκω περὶ αὐτῶν. καὶ ἐν τούτῳ πᾶσα ἄν σοι ἡ πόλις ἡ Ἀθηναίων, οὐκ ἂν φθάνοι χάριν ὁμολογοῦσα. ὅσῳ γὰρ ἂν ἐμὲ παιδεύσῃς, καὶ μεταπείσῃς πρὸς τὸ βέλτιον, ἐκείνην τὰ μέγιστα ἔσῃ ὠφεληκώς. οὐδὲ γὰρ ἂν ἀποκρυψαίμην αὐτήν, ἀλλ' εὐθὺς εἰς τὸ μέσον καταθήσω φέρων. καὶ καταστὰς ἐν τῇ πυκνί, ἐρῶ πρὸς ἅπαντας, ἄνδρες Ἀθηναῖοι, ἐγὼ μὲν ὑμῖν ἔγραψα τοὺς νόμους, οἵους ᾤμην ὠφελιμωτάτους ἔσεσθαι τῇ πόλει. ὁ δὲ ξένος

οὗτ-

σοὶ, δείξας σε ὦ Ἀνάχαρσι, σκύθης μὲν ὤν
σοφὸς λέων, μετεπαίδευσέ με, καὶ ἄλλα βελ-
τίω μαθήματα, καὶ ἐπιτηδεύματα ἐδιδάξατο.
ὥστε εὐεργέτης ὑμῶν ὁ ἀνὴρ ἀναγεγράφθω. καὶ
χαλκοῦν αὐτὸν ἀναστήσατε παρὰ τοὺς ἐπωνύμους
ἐν πόλει παρὰ τὴν Ἀθηνᾶν. καὶ εὖ ἴσθι ὡς οὐκ αἰ-
σχυνοῖτο ἡ Ἀθηναίων πόλις, παρὰ βαρβάρου, ἀλλ' ἕλ-
ληνα τὰ συμφέροντα ἐκμανθάνοντες. Αν. τοῦτ'
ἐκεῖνο ἦν ἄρα, ὃ ἐγὼ περὶ ὑμῶν ἤκουον τῶν Ἀθη-
ναίων, ὡς εἴητε εἴρωνες ἐν τοῖς λόγοις. ἐπεὶ πό-
θεν ἂν ἐγὼ νομάς, καὶ πλάνης ἄνθρωπος, ἐφ'
ἁμάξης βεβιωκώς, ἄλλοτε ἄλλην γῆν ἀμεί-
βων, πόλιν δὲ οὔτε οἰκήσας πώποτε, οὔτε ἄλ-
λοτε, ἢ νῦν ἑωρακώς, περὶ πολιτείας διεξίοι-
μι καὶ διδάσκοιμι αὐτόχθονας ἄνδρας, πόλιν
ταύτην ἀρχαιοτάτην τοσούτοις ἤδη χρόνοις ἐν
εὐνομίᾳ κατῳκηκότας; καὶ μάλιστα σὲ ὦ Σό-
λων, ᾧ τοῦτο ὥς φασιν, ἐξ ἀρχῆς καὶ μάθημα ἐ-
γένετο, ἐπίστασθαι ὅπως ἂν ἄριστα πόλις οἰκοῖ-
το καὶ οἷστισι νόμοις χρωμένη, εὐδαιμονήσειε,
πλὴν, ἀλλὰ καὶ τοῦτο ὡς νομοθέτῃ πιστέον σοι.
καὶ ἀντιλέγω ἤν τι μοι δοκῇ μὴ ὀρθῶς λέγεσθαι,
ὡς βεβαιότερον μάθοιμι. καὶ ἰδοὺ γὰρ ἤδη ἐκφυ-
γόντες τὸν ἥλιον, ἐν τῷ σκιᾷ συνεισεφθείημεν. καὶ
ἡ ἕδρα μάλα ἡδεῖα, καὶ εὔκαιρος, ἐπὶ ψυ-

χροῦ τοῦ λίθου. λέγε τὸν τὸν λόγον ἐξ ἀρχῆς, κα-
θότι τοὺς νέους παραλαβόντες, ἐκ παίδων αὐ-
τοὺς διαπονεῖτε, καὶ ὅπως ὑμῖν ἄριστοι ἄνδρες ἀ-
ποβαίνουσιν ἐκ τοῦ πηλοῦ, καὶ τῶν ἀσκημάτων τού-
των, καὶ τί ἡ κόνις, καὶ τὰ κυβιστήματα, συντε-
λεῖ πρὸς ἀρετὴν αὐτοῖς. τοῦτο γὰρ δὴ μάλιστα ἐξ
ἀρχῆς εὐθὺς ἐπόθουν ἀκοῦσαι. τὰ δ' ἄλλα, εἰς
ὕστερον διδάξῃ με κατὰ καιρὸν ἕκαστον ἐν τῷ μέ-
ρει. ἐκεῖνο μέντοι ὦ Σόλων, μέμνησό μοι παρὰ
τὴν ῥῆσιν, ὅτι πρὸς ἄνδρα βάρβαρον ἐρεῖς. λέ-
γω δὲ, ὡς μὴ περιπλέκῃς, μηδὲ ἀπομηκύνῃς
τοὺς λόγους. δέδια γὰρ μὴ ἐπιλανθάνωμαι τῶν
πρώτων, εἰ τὰ μετὰ ταῦτα πολλὰ ἐπιρρέοι.

Σό. σὺ τοῦτο ὦ Ἀνάχαρσι, ταμιεύσῃ ἄμει-
νον, ἔνθα ἄν σοι δοκῇ μὴ πάνυ σαφὴς ὁ λόγος
εἶναι, ἢ πόρρω ποι ἀποπλανᾶσθαι εἰκῇ ῥέων. ἐ-
ρήσῃ γὰρ μεταξὺ ὅ,τι ἂν ἐθέλῃς, καὶ διακόψῃς ἂν
τοῦ μήκους. ἢν μέντοι μὴ ἐξαγώνια, μη-
δὲ πόρρω τοῦ σκοποῦ τὰ λεγόμενα ᾖ, κωλύ-
σει οὐδὲν οἶμαι, εἰ καὶ μακρὰ λέγοιτο· ἐπεὶ καὶ
τῇ βουλῇ τῇ ἐξ Ἀρείου πάγου, ἥπερ τὰς φονικὰς
ἡμῖν δίκας δικάζει, πάτριον οὕτω ποιεῖν. ὁ-
πόταν γὰρ ἀνελθοῦσα εἰς τὸν πάγον συγκαθίζη-
ται φόνου, ἢ τραύματος ἐκ προνοίας, ἢ πυρ-
καϊᾶς δικάσοντες, ἀποδίδοται λόγος ἑκατέρῳ

τῶν

ῶν κρινομένων, καὶ λέγουσιν ἐν τῷ μέρει, ὅ
τε, διώκων, ὁ δὲ, φεύγων. ἢ αὐτοὶ, ἢ ῥήτορας
ἀναβιβάζονται τοὺς ἐροῦντας ὑπὲρ αὐτῶν. οἱ δὲ,
ἔστ' ἂν μὲν περὶ τοῦ πράγματος λέγωσιν, ἀνέχε
ται ἡ βουλὴ, καθ' ἡσυχίαν ἀκούουσα. ἢν δέ τις
φροίμιον εἴπῃ πρὸ τοῦ λόγου, ὡς εὐνουστέρους
ἀπεργάσαιτο αὐτοὺς, ἢ οἶκτον, ἢ δείνωσιν ἔξωθεν ἐ
πάγοι τῷ πράγματι, οἷα πολλὰ ῥητόρων
παῖδες ἐπὶ τοὺς δικαστὰς μηχανῶνται, πα
ρελθὼν ὁ κῆρυξ, κατεσιώπησεν εὐθὺς, οὐκ ἐῶν
ληρεῖν πρὸς τὴν βουλὴν, καὶ περιπέττειν τὸ
πρᾶγμα ἐν τοῖς λόγοις, ὡς γυμνὰ τὰ γεγενημέ
να οἱ Ἀρεωπαγῖται βλέποιεν. ὥστε καὶ σὲ ὦ Ἀ
νάχαρσι, ἀρεωπαγίτην ἐν τῷ παρόντι ποιοῦ
μαι ἔγωγε. καὶ κατὰ τὸν τῆς βουλῆς μου νόμον,
ἄκουε, καὶ σιωπᾶν κέλευε, ἢν αἴσθῃ καταρρητο
ρευόμενος. ἄχρι δ' ἂν οἰκεῖα τῷ πράγματι λέ
γηται, ἐξέστω ἀπομηκύνειν. οὐδὲ γὰρ ὑφ' ἡλίῳ ἔ
τι ποιησόμεθα τὴν συνουσίαν, ὡς ἄχθεσθαι εἰ ἀ
ποτείνοιτο ἡ ῥῆσις. ἀλλὰ ἥ τε σκιὰ πυκνὴ, καὶ ἡ
μεῖς σχολὴν ἄγομεν. ΑΝ. εὐγνώμονά σου
ταῦτα ὦ Σόλων. καὶ ἔγωγε ἤδη χάριν οὐ μικρὰν
οἶδά σοι καὶ ἐπὶ τούτοις, ὅτι παρὰ ῥοῦν τοῦ λόγου,
καὶ τὰ ἐν Ἀρείῳ πάγῳ γινόμενα ἐνδέδειξαί με,
θαυμάσια ὡς ἀληθῶς, καὶ ἀγαθῶν βουλευτῶν

ἔργα, πρὸς ἀλήθειαν οἰσόντων τὴν ψῆφον. καὶ τοῦτό γε ἤδη λέγει. καὶ ὁ ἀρεοπαγίτης ἐγώ, οὕτω γὰρ ἔθου με, κατὰ σχῆμα τῆς βουλῆς ἀκούσομαί σου. Σό. οὐκοῦν διὰ βραχέων προακοῦσαι χρή σε, ἃ περὶ πόλεως, καὶ πολιτῶν ἡμῖν δοκεῖ. πόλιν γὰρ ἡμεῖς οὐ τὰ οἰκοδομήματα ἡγούμεθα εἶναι, οἷον τείχη, καὶ ἱερά, ἢ νεωσοίκους, ἀλλὰ ταῦτα μὲν ὥσπερ σῶμά τι ἑδραῖον, καὶ ἀκίνητον ὑπάρχειν εἰς ὑποδοχήν, καὶ ἀσφάλειαν τῶν πολιτευομένων. τὸ δὲ πᾶν κῦρος, ἐν τοῖς πολίταις τιθέμεθα. τούτους γὰρ εἶναι τοὺς ἀναπληροῦντας, καὶ διατάττοντας, καὶ ἐπιτελοῦντας ἕκαστα, καὶ φυλάττοντας οἷόν τι ἐν ἡμῖν ἑκάστῳ ἐστὶν ἡ ψυχή. οὕτω δὴ τοίνυν κατανοήσαντες, ἐπιμελούμεθα μὲν ὡς ὁρᾷς καὶ τοῦ σώματος τῆς πόλεως, κατακοσμοῦντες αὐτό, ὡς κάλλιστον ἡμῖν εἴη, ἔνδοθέν τε οἰκοδομήμασι κατεσκευασμένον, καὶ τοῖς ἔξωθεν ταύταις περιβολαῖς, ἐς τὸ ἀσφαλέστατον περιπεφραγμένον. μάλιστα δὲ καὶ διὰ πάντων οὕτω προνοοῦμεν, ὅπως οἱ πολῖται ἀγαθοὶ μὲν τὰς ψυχάς, ἰσχυροὶ δὲ τὰ σώματα γίγνοιντο. τοὺς γὰρ τοιούτους, σφίσι τε αὐτοῖς καλῶς χρήσασθαι ἐν εἰρήνῃ συμπολιτευομένους, καὶ ἐκ πολέμου σώσειν τὴν πόλιν, καὶ ἐλευθέραν, καὶ εὐδαίμονα διαφυλάξειν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ξειν. τὴν μὲν δὴ πρώτην ἀναστροφὴν αὐτῶν,
φάσι, καὶ τίτθαις, καὶ παιδαγωγοῖς ἐπιτρέπο-
υ ὑπὸ παιδικῆς ἐλευθερίοις ἄγειν τε, καὶ
φειν αὐτούς. ἐπειδὰν δὲ συνιέναι ἤδη γίγνων-
ται τῶν καλῶς ἐχόντων, καὶ αἰδὼς, καὶ ἐρύθη-
μα, καὶ φόβος, καὶ ἐπιθυμία τῶν ἀρίστων ἀναφύ-
ηται αὐτοῖς, καὶ αὐτὰ ἤδη τὰ σώματα ἀξιό-
χρεα δοκῇ πρὸς τοὺς πόνους, παγιώτερα γινό-
μενα, καὶ πρὸς τὸ ἰσχυρότερον συνιστάμενα, τη-
νικαῦτα ἤδη παραλαβόντες αὐτοὺς διδάσκου-
σιν, ἄλλα μὲν τῆς ψυχῆς μαθήματα καὶ γυμνά-
σια προτιθέντες, ἄλλως δὲ πρὸς τοὺς πόνους
τὰ σώματα ἐθίζοντες. οὐ γὰρ ἱκανὸν ἡμῖν
δοξε τὸ μόνον φῦναι ὡς ἔφυ ἕκαστος, ἤ τι κατὰ
σῶμα, ἢ κατὰ τὴν ψυχὴν, ἀλλὰ καὶ παιδεύ-
σεως, καὶ μαθημάτων ἐπ' αὐτοὺς δεόμεθα. ἀφ'
τά τε εὖ φύσεως διακείμενα, βελτίω παρὰ πο-
λὺ γίγνοιντ' ἄν, καὶ τὰ φαύλως ἔχοντα με-
τακοσμοῖτο πρὸς τὸ βέλτιον. καὶ τὸ παράδει-
γμα ἡμῖν παρὰ τῶν γεωργῶν, οἳ τὰ φυτὰ μέχρι
μὲν πρόσγεια, καὶ νήπια ἔτι, σκέπουσι, καὶ περι-
φράττουσιν, ἕως μὴ βλάπτοιντο ὑπὸ τῶν πνευ-
μάτων. ἐπειδὰν δὲ ἤδη παχύνηται τὸ ἔρνος,
τηνικαῦτα περιτέμνουσί τε τὰ περιττά. καὶ
παραδιδόντες αὐτὰ τοῖς ἀνέμοις δονεῖν, καὶ δια-

παλεύειν, καρτερώτερα ἐξεργάζονται. τὴν μὲν οὖν ψυχὴν μουσικῇ τὸ πρῶτον καὶ ἀριθμητικῇ ἀναρριπίζομεν, καὶ γράμματα γράψασθαι, καὶ τορῶς αὐτὰ ἐπιλέξασθαι διδάσκομεν. προϊοῦσι δὲ ἤδη, σοφῶν ἀνδρῶν γνώμας, καὶ ἔργα παλαιά, καὶ λόγους ὠφελίμους ἐν μέτροις κατακοσμήσαντες, ὡς μᾶλλον μνημονεύοιεν, ῥαψῳδοῦμεν αὐτοῖς. οἱ δέ, καὶ ἀκούοντες ἀριστείας τινάς, καὶ πράξεις ἀοιδίμους, ὀρέγονται κατὰ μικρόν, καὶ πρὸς μίμησιν ἐπεγείρονται, ὡς καὶ αὐτοὶ ᾄδοιντο, καὶ θαυμάζοιντο ὑπὸ τῶν ὕστερον, οἷα πολλὰ Ἡσίοδός τε ἡμῖν, καὶ Ὅμηρος ἐποίησαν. ἐπειδὰν δὲ πλησιάσωσι πρὸς τὴν πολιτείαν, καὶ δέῃ αὐτοὺς ἤδη μεταχειρίζεσθαι τὰ κοινά, καί τι ἔξω τοῦ ἀγῶνος ἴσως ταῦτα, οὐ γὰρ ὅπως τὰς ψυχὰς αὐτῶν ἀσκοῦμεν, ἐξ ἀρχῆς προὔκειτο εἰπεῖν, ἀλλὰ διότι τοῖς τοιούτοις πόνοις καταγυμνάζειν αὐτοὺς ἀξιοῦμεν, ὥστε αὐτὸς ἐμαυτοῦ σιωπᾶν προστάττω, οὐ περιμείνας τὸν κήρυκα, οὐδὲ τὴν Ἀρεοπαγίτην σέ, ὃς ὑπ᾽ αἰδοῦς οἶμαι ἀνέχῃ ληροῦντα ἤδη τοσαῦτα ἔξω τοῦ πράγματος.

Ανά. εἰπέ μοι ὦ Σόλων, πρὸς δὲ δὴ τοὺς τὰ ἀναγκαιότατα μὴ λέγοντας ἐν Ἀρείῳ πάγῳ, ἀλλὰ ἀποσιωπῶντας, οὐδὲν τῇ βουλῇ

πρόσ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄσημον ἐπιγενόνται; Σό. τί δαὶ ἤρου
μὴ οὐδέπω γὰρ δῆλον. Ἀνά. ὅπερ τὰ κάλλι
στα καὶ ἐμοὶ ἀκοῦσαι ἥδιστα προεῖς τὰ περὶ τῆς
ψυχῆς, τὰ ἧττον ἀναγκαῖα λέγειν δοκοῦν, γυμ
νάσια, καὶ διαπονήσεις τῶν σωμάτων. Σό. μέμ-
νημαι γὰρ ὦ γενναῖε τῶν ἀπ' ἀρχῆς προρρήσεων,
καὶ ἀποπλανᾶν οὐ βούλομαι τὸν λόγον, μή σου
ἐπιταράξῃ τὴν μνήμην ἐπιρρέων. πλὴν ἀλλὰ
καὶ ταῦτα ἐρῶ διὰ βραχέων, ὡς οἷόν τε. τὸ γὰρ
ἀκριβὲς περὶ τοῦ αὐτῶν διασκέψεως, ἑτέρου
ἄξιον λόγου. ῥυθμίζομεν δὲ τὰς γνώμας αὐτῶν,
νόμους τε τοὺς κοινοὺς ἐκδιδάσκοντες, οἳ δημο-
σίᾳ πᾶσι πρόκεινται ἀναγινώσκειν μεγάλοις
γράμμασιν ἅμα ἀναγεγραμμένοι, κελεύοντες
ἃ χρὴ ποιεῖν, καὶ ὧν ἀπέχεσθαι, καὶ ἀγαθῶν αὐ-
τῶν συνουσίαις, παρ' ὧν λέγειν τὰ δέοντα ἐκμαν
θάνουσι, καὶ πράττειν τὰ δίκαια, καὶ ἐκ τοῦ ἴσου ἀλ
λήλοις συμπολιτεύεσθαι, καὶ μὴ ἐφίεσθαι τῶν αἰ
σχρῶν, καὶ ὀρέγεσθαι τῶν καλῶν, βίαιον δὲ μηδὲν ποι
εῖν. οἱ δὲ ἄνδρες οὗτοι, σοφισταί, καὶ φιλόσοφοι
παρ' ἡμῖν ὀνομάζονται. καὶ μέντοι καὶ ἐς τὸ θέατρον
συνάγοντες αὐτοὺς δημοσίᾳ παιδεύομεν ὑπὸ
κωμῳδίαις, καὶ τραγῳδίαις, ἀρετάς τε ἀνδρῶν
παλαιῶν, καὶ κακίας θεωμένους, ὡς τῶν μὲν
ἀποτρέποιντο, ἐπ' ἐκεῖνα δὲ σπεύδοιεν· τοῖς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δέ γε κωμῳδίαις, καὶ ἀποσκώπτειν, καὶ λοιδο-
ρεῖσθαι ἐφίεμεν ἐς τοὺς πολίτας, οὓς ἂν αἰσχρὰ,
καὶ ἀνάξια τῆς πόλεως ἐπιτηδεύοντας αἴσθων-
ται. αὐτῶν τε ἐκείνων χάριν, ἀμείνους γὰρ οὕ-
τω γίγνονται ὀνειδιζόμενοι, καὶ τῶν πολλῶν ὡς
φεύγοιεν τὸν ἐπὶ τοῖς ὁμοίοις ἔλεγχον. Ανά.
εἶδον ὦ Σόλων οὓς φῄς, τοὺς τραγῳδοὺς, καὶ κω-
μῳδοὺς, εἴ γε ἐκεῖνοί εἰσιν. ὑποδήματα μὲν βα-
ρέα, καὶ ὑψηλὰ ὑποδεδεμένοι, χρυσαῖς δὲ ται-
νίαις τὴν ἐσθῆτα πεποικιλμένοι, κράνη δὲ ἐπι-
κείμενοι παγγέλοια, κεχηνότα παμμεγέθη.
αὐτοὶ δὲ ἔνδοθεν μεγάλα τε ἐκεκράγεσαν, καὶ
διέβαινον οὐκ οἶδ' ὅπως ἀσφαλῶς ἐν τοῖς ὑπο-
δήμασι. Διονύσῳ δὲ οἶμαι τότε ἡ πόλις ἑώρ-
ταζεν. οἱ δὲ κωμῳδοὶ, βραχύτεροι μὲν ἐκείνων,
καὶ πεζοὶ, καὶ ἀνθρωπινώτεροι, καὶ ἧττον ἐβόων.
κράνη δὲ, πολὺ γελοιότερα. καὶ τὸ θέατρον
γοῦν ἅπαν ἐγέλα ἐπ' αὐτοῖς. ἐκείνων δὲ τῶν
ὑψηλῶν, σκυθρωποὶ ἅπαντες ἤκουον, οἰκτείρον-
τες οἶμαι αὐτοὺς, πέδας τηλικαύτας ἐπισυρο-
μένους. Σό. οὐκ ἐκείνους ὦ 'γαθὲ
ᾤκτειρον, ἀλλὰ ποιητὴς ἴσως ἀρχαίαν τινὰ
συμφορὰν ἐπεδείκνυε τοῖς θεαταῖς, καὶ ῥή-
σεις οἰκτρὰς ἐτραγῴδει πρὸς τὸ θέατρον, ὑφ'
ὧν ἐς δάκρυα κατεσπῶντο οἱ ἀκούοντες. εἰκὸς

δέ σε

σι καὶ αὐλοῦντας ἑωρακέναι τινὰς τότε, καὶ
λοις συνᾴδοντας, ἐν κύκλῳ συνεστῶτας, οὐ
ταῦτα ὦ Ἀνάχαρσι, ἀχρεῖα ᾄσματα, καὶ ἀν
ήματα. ρύρισ δ' ἐν ἅπασι, καὶ τοῖς τοιού
οις παραθηγόμενοι τὰς ψυχάς, ἀμείνους ἡ
ν γίνονται. τὰ δὲ δὴ σώματα, ὅπερ μά
στα ἐπόθεις ἀκοῦσαι, ὧδε καταγυμνάζομεν,
δύσαντες αὐτὰ ὡς ἔφην, οὐκέτι ἁπαλὰ
τέλεον ἀσυμπαγῆ ὄντα, πρῶτον μὲν ἐθίζειν
ιοῦμεν πρὸς τὸν ἀέρα, συνοικειοῦντες αὐτὰ
αῖς ὥραις ἑκάσταις, ὡς μήτε θάλπος δυσχε
ίνειν, μήτε πρὸς κρύος ἀπαγορεύειν. ἔπειτα
έ, χρίομεν ἐλαίῳ, καὶ καταμαλάττομεν, ὡς
τονώτερα γίνοιντο. ἄτοπον γάρ, εἰ τὰ μὲν σκύ
η νομίζομεν ὑπὸ τοῦ ἐλαίου μαλαττόμενα,
υσραγέστερα, καὶ πολὺ διαρκέστερα γίνεσθαι,
κρά γε ἤδη ὄντα, τὸ δ' ἔτι ζωῆς μετέχον σῶ
α, μὴ ἂν ἄμεινον ἡγοίμεθα ὑπὸ τοῦ ἐλαίου διὰ
τεθῆσθαι. ρύντεῦθεν ποικίλα τὰ γυμνάσια
πινοήσαντες, καὶ διδασκάλους ἑκάστων ἐπιστή
ντες, τὸν μέν τινα, πυκτεύειν, τὸν δέ, παγ
ρατιάζειν διδάσκομεν, ὡς ρόσ τε πόνους καρ
τερεῖν ἐθίζοιντο, καὶ ὁμόσε χωρεῖν ταῖς πληγαῖς,
ὴ δὲ ἀποτρέποιντο δέει τῶν τραυμάτων. τοῦτο δὲ
ἡμῖν δύο τὰ ὠφελιμώτατα ἐξεργάζεται ἐν αὐ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῖς, θυμοειδεῖς τε παρασκευάζοντες τοὺς κινδύνους, καὶ τῶν σωμάτων ἀφειδεῖν, καὶ προσέτι, ἐρρῶσθαι, καὶ καρτεροὺς εἶναι. ὅσοι δὲ αὐτῶν καὶ τὰ συνενευκότες παλαίουσι, καταπίπτειν τε ἀσφαλῶς μανθάνουσι, καὶ ἀνίστασθαι εὐμαρῶς, καὶ ὠθισμοὺς, καὶ περιπλοκὰς, καὶ λυγισμοὺς, καὶ ἄγχεσθαι δύνασθαι, καὶ ἐς ὕψος ἀναβαστάσαι τὸν ἀντίπαλον, οὐκ ἀχρεῖα οὐδὲ οὗτοι ἐκμελετῶντες, ἀλλὰ ἓν μὲν τὸ πρῶτον καὶ μέγιστον, ἀναμφιβόλως κτώμενοι. δυσπαθέστερα γὰρ, καὶ καρτερώτερα τὰ σώματα γίνονται αὐτοῖς διαπονούμενα. ἕτερον δὲ, οὐδὲ αὐτὸ μικρόν. ἔμπειροι γὰρ δὴ ἐκ τούτου καθίστανται, εἴ ποτε ἀφίκοιντο εἰς χρείαν τῶν μαθημάτων τούτων ἐν ὅπλοις. δῆλον γὰρ ὅτι καὶ πολεμίῳ ἀνδρὶ ὁ τοιοῦτος συμπλακεὶς, καταῤῥίψει τε θᾶττον ὑποσκελίσας. καὶ καταπεσὼν, εἴσεται ὡς ῥᾷστα ἐξανίστασθαι. πάντα γὰρ ταῦτα ὦ Ἀνάχαρσι, ἐπ᾿ ἐκεῖνον τὸν ἀγῶνα ποιούμεθα τὸν ἐν τοῖς ὅπλοις, καὶ ἡγούμεθα πολὺ ἀμείνοσι χρήσεσθαι τοῖς οὕτως ἀσκηθεῖσιν, ἐπειδὰν πρότερον αὐτῶν γυμνὰ τὰ σώματα καταμαλάξαντες, καὶ διαπονήσαντες, ἐρρωμενέστερα, καὶ ἀλκιμώτερα ἐξεργασώμεθα, καὶ κοῦφα, καὶ εὔτονα, καὶ τὰ αὐτὰ βαρέα τοῖς ἀνταγωνισταῖς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τις. ἐννοεῖς γὰρ οἶμαι τὸ μετὰ τοῦτο, οἵους εἰκὸς τοῖς ἄλλοις ἔσεσθαι τοὺς καὶ γυμνοὺς ἄν, φόβον τοῖς δυσμενέσιν ἐμποιήσοντας, οὐ πολυσαρκίαν ἀργὸν, καὶ λευκήν, ἢ ἀσαρκίαν μετὰ ὠχρότητος ἐπιδεικνυμένους, οἷα γυναικῶν σώματα ὑπὸ σκιᾶς μεμαρασμένα, τρέμοντα, ἱδρῶτί τε αὐτίκα πολλῷ ῥεόμενα, καὶ ἀσθμαίνοντα ὑπὸ τῷ κράνει, καὶ μάλιστα ἢν καὶ ὁ ἥλιος ὥσπερ νῦν τὸ μεσημβρινὸν ἐπιφλέγῃ. οἷς τί ἄν τις χρήσαιτο διψῶσι. καὶ τὸν κονιορτὸν οὐκ ἀνεχομένοις, καὶ εἰ αἷμα ἴδοιεν εὐθὺς ταραττομένοις, καὶ προαποθνήσκουσι, πρὶν ἐντὸς βέλους γενέσθαι, καὶ εἰς χεῖρας ἐλθεῖν τοῖς πολεμίοις. οὗτοι δὲ ἡμῖν ὑπέρυθροι ἐς τὸ μελάντερον ὑπὸ τοῦ ἡλίου κεχρωσμένοι, καὶ ἀρρενωποί, πολὺ τὸ ἔμψυχον, καὶ θερμὸν, καὶ ἀνδρῶδες ἐπιφαίνοντες, τοσαύτης εὐεξίας ἀπολαύοντες, οὔτε ῥικνοί, καὶ κατεσκληκότες, οὔτε περιπληθεῖς ἐς βάρος, ἀλλὰ ἐς τὸ σύμμετρον περιγεγραμμένοι. τὸ μὲν ἀχρεῖον τῶν σαρκῶν, καὶ περιττὸν, τοῖς ἱδρῶσιν ἐξαναλωκότες. ὃ δὲ ἰσχὺν, καὶ τόνον παρεῖχεν, ἀμιγὲς τοῦ φαύλου περιλελειμμένον, ἐρρωμένως φυλάττοντες. ὅπερ γὰρ δὴ οἱ λικμῶντες τὸν πυρόν, τοῦτο ἡμῖν καὶ τὰ γυμνάσια ἐργάζεται ἐν τοῖς σώμασι, τὴν μὲν ἄχνην, καὶ τὰς ἀθέρας, ἀποφυσῶντα,

καθαρὸν δὲ τὸν καρπὸν διευκρινοῦντα, καὶ προ-
σωρεύοντα. καὶ διὰ τοῦτο ὑγιαίνειν τε ἀνάγκη,
καὶ ἐπιμήκιστον διαρκεῖν ἐν τοῖς καμάτοις. ὀψέ
τε ἂν ἰδίειν ὁ τοιοῦτος ἄρξαιτο, καὶ ὀλιγάκις
ἂν ἀσθενῶν φανείη. ὥσπερ γὰρ ἂν, εἰ πῦρ τις φέ-
ρων, ἅμα ἐμβάλλοι ἐς πυρὸν αὐτὸ, καὶ ἐς τὴν
καλάμην αὐτὸ, καὶ ἐς τὴν ἄχνην. αὖθις γὰρ
ἐπὶ τὸν λικμῶντα ἐπάνειμι. θᾶττον ἂν οἶμαι
παραπολὺ ἡ καλάμη ἀναφλεγείη, ὁ δὲ πυ-
ρὸς κατ᾽ ὀλίγον, οὔτε φλογὸς μεγάλης ἀνιστα-
μένης, οὔτε ὑπὸ μιᾷ τῇ ὁρμῇ, ἀλλὰ κατὰ
μικρὸν ὑποτυφόμενος, χρόνῳ ὕστερον καὶ αὐτὸς
ἂν κατακαυθείη. οὕτω τοίνυν οὐδὲ νόσος, οὐδὲ κά-
ματος ἐς τοιοῦτο σῶμα ἐμπεσόντα, ῥαδίως
ἐλέγξειεν ἂν, οὐδ᾽ ἐπικρατήσειεν εὐμαρῶς. τὰ
ἔνδοθεν γὰρ εὖ παρεσκεύασται αὐτῷ, καὶ τὰ ἔ-
ξω μάλα καρτερῶς πέφρακται πρὸς αὐτὰ,
ὡς μὴ παρεῖναι ἐς τὸ εἴσω, μηδὲ παραδέχε-
σθαι μήτε ἥλιον αὐτῶν, μήτε κρύος ἐπὶ λύμῃ τοῦ
σώματος. πρός τε τὸ ἐνδιδοῦν ἐν τοῖς πόνοις,
πολὺ τὸ θερμὸν τὸ ἔνδοθεν ἐπιῤῥέον, ἅτε ἐκ πλ-
λοῦ προπαρεσκευασμένον, καὶ ἐς τὴν ἀναγκαί-
αν χρείαν ἀποκείμενον, ἀποπληροῖ εὐθὺς ἐ-
πάρδον τῇ ἀκμῇ, καὶ ἀκαμάτους ἐπιπλεῖστον
παρέχεται. τὸ γὰρ προπονῆσαι πολλὰ, καὶ προ-

καμὼν, ἢ

ἀμεν, οὐκ ἀνάλωσιν τῆς ἰσχύος, ἀλλ' ἐπίδο
νεργάζεται, καὶ ἀναῤῥιπιζομένη, πλείων γί
νεται. καὶ μὴν καὶ δρομικοὺς εἶναι ἀσκοῦμεν αὐ
τοὺς ἐς μῆκός τε διαρκεῖν ἐθίζοντες, καὶ ἐς τὸ ἐν
ραχεῖ ὠκύτατον ἐπικουφίζοντες. καὶ ὁ δρόμος
ὐ πρὸς τὸ στεῤῥὸν, καὶ ἀντίτυπον, ἀλλὰ ἐν ψάμ
ῳ βαθείᾳ, ἔνθα οὔτε βεβαίως ἀπερεῖσαι τὴν
άσιν, οὔτε ἐπιστηρίξαι ῥᾴδιον, ὑποσυρομένου
ρὸς τὸ ὑπεῖκον τοῦ ποδός. ἀλλὰ καὶ ὑπεράλ
εσθαι τάφρον εἰ δέοι, ἢ εἴ τι ἄλλο ἐμπόδιον.
αὶ πρὸς τοῦτο ἀσκοῦνται ἡμῖν ἔτι, καὶ μολυβδί
ας χειροπληθεῖς ἐν ταῖν χεροῖν ἔχοντες. εἶτα
ερὶ ἀκοντίου βολῆς ἐς μῆκος ἁμιλλῶνται.
ἶδες δὲ καὶ ἄλλο τι ἐν τῷ γυμνασίῳ χαλκοῦν,
εριφερὲς, ἀσπίδι μικρᾷ ἐοικὸς ὄχανον οὐκ ἔ
ουσῃ, οὐδὲ τελαμῶνας. καὶ ἐπειράθης γε αὐ
οῦ, κειμένου ἐν τῷ μέσῳ. καὶ ἐδόκει σοι βαρὺ,
αὶ δύσληπτον ὑπὸ λειότητος. ἐκεῖνο τοίνυν ἄ
ω τε ἀναῤῥιπτοῦσιν εἰς τὸν ἀέρα, καὶ ἐς τὸ πόῤῥω
ιλοτιμούμενοι, ὅστις ἐπιμήκιστον ἐξέλθοι,
αὶ τοὺς ἄλλους ὑπερβάλοιτο. καὶ ὁ πόνος οὗτος,
μους τε αὐτῶν κρατύνει, καὶ τόνον τοῖς ἄκροις
ντίθησιν. ὁ πηλὸς δὲ, καὶ ἡ κόνις, ἅπερ σοι
αὶ γελοιότερα ἐξ ἀρχῆς ἔδοξεν, ἄκουσον ὦ θαυμά
ιε, ὅτου ἕνεκα ὑποβέβληνται. πρῶτον μὲν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὡς μὴ ἐπὶ τὸ κραταιὸν ἡ πτῶσις αὐτοῖς γίγνοιτο, ἀλλ' ἐπὶ τὸ μαλακὸν ἀσφαλῶς πίπτοιεν. ἔπειτα, καὶ τὸ ὀλισθηρὸν ἀνάγκη πλεῖον γίγνεσθαι, ἱδρούντων ἐν τῷ πηλῷ, ὃ σὺ ταῖς ἐγχέλυσιν εἴκαζες, οὐκ ἀχρεῖον, οὐδὲ γελοῖον ὄν, ἀλλὰ καὶ τοῦτο ἐς ἰσχὺν, καὶ τόνον οὐκ ὀλίγα συντελεῖ, ὁπόταν οὕτως ἐχόντων, ἀλλήλων ἀναγκάζωνται ἐγκρατῶς ἀντιλαμβάνεσθαι καὶ συνέχειν διολισθαίνοντας. αἴρεσθαί τε ἐν πηλῷ ἱδρωκότα μετ' ἐλαίου ἐκπεσεῖν, καὶ διαδρῦναι τῶν χειρῶν σπουδάζοντα, μὴ μικρὸν εἶναι νόμιζε. καὶ ταῦτα πάντα ὥσπερ ἔφην ἔμπροσθεν, ἐς τοὺς πολέμους καὶ χρήσιμα, εἰ δέοι φίλον τρωθέντα, ῥᾳδίως ἀράμενον ὑπεξενεγκεῖν. ἢ καὶ πολέμιον συναρπάσαντα, ἥκειν μετέωρον κομίζοντα. καὶ διὰ τοῦτο ἐς ὑπερβολὴν ἀσκοῦμεν, τὰ χαλεπώτερα προτιθέντες, ὡς τὰ μικρότερα μακρῷ εὐκολώτερον φέροιεν. τὴν μέντοι κόνιν, τοὐναντίον χρησίμην οἰόμεθα εἶναι, ὡς μὴ διολισθάνοιεν συμπλεκόμενοι. ἐπειδὰν γὰρ ἐν τῷ πηλῷ ἀσκηθῶσι συνέχειν τὸ διαδιδρᾶσκον ὑπὸ γλισχρότητος, ἐθίζονται καὶ ἐκφεύγειν αὐτοὶ ληφθέντες ἐκ τῶν χειρῶν, καὶ ταῦτα, ἐν ἀφύκτῳ ἐχόμενοι. καὶ μὴν καὶ τὸν ἱδρῶτα συνέχειν δοκεῖ ἡ κόνις, ἀθρόον ἐκχεόμενον ἐπιπαττομένη,

ιομένη, καὶ ἐπὶ πολὺ διαρκεῖν ποιεῖ τὴν δύναμιν, καὶ κώλυμα γίγνεται μὴ βλάπτεσθαι ὑπὸ τῶν ἀνέμων, ἀραιοῖς τότε, καὶ ἀνεῳγόσι τοῖς σώμασιν ἐμπιπτόντων. ἄλλως τε, καὶ τὸν ῥύπον ἀποσμᾷ, καὶ στιλπνότερον ποιεῖ τὸν ἄνδρα. καὶ ἔγωγε ἡδέως ἂν παραστησάμενος πλησίον τῶν τε λευκῶν τινα ἐκείνων, καὶ ὑπὸ σκιᾷ διαιτημένων, καὶ ὃν ἂν ἕλῃ τῶν ἐν τῷ λυκείῳ γυμναζομένων, ἀποπλύνας τὴν κόνιν, καὶ τὸν πηλόν, ἐροίμην ἄν σε ποτέρῳ ἂν ὅμοιος εὔξαιο γενέσθαι. οἶδα γὰρ ὡς αὐτίκα ἕλοιο ἂν ἐκ πρώτης προσόψεως, εἰ καὶ μὴ ἐπὶ τῶν ἔργων πειραθείης ἑκατέρου συνεστηκώς, καὶ συγκεκροτημένος εἶναι μᾶλλον, ἢ θρύπτεσθαι, καὶ διαῤῥεῖν, καὶ λευκὸς εἶναι ἀπορίᾳ καὶ φυγῇ εἴσω τοῦ αἵματος. ταῦτ᾿ ἐστὶν ὦ ἀνάχαρσι, ἃ τοὺς νέους ἡμεῖς ἀσκοῦμεν, οἰόμενοι φύλακας ἡμῖν τῆς πόλεως ἀγαθοὺς γενέσθαι, καὶ ἐν ἐλευθερίᾳ βιώσεσθαι δι᾿ αὐτούς, κρατοῦντες μὲν τῶν δυσμενῶν εἰ ἐπίοιεν, φοβεροὶ δὲ τοῖς περιοίκοις ὄντες, ὡς ὑποπτήσσειν τε, καὶ ὑποτελεῖν ἡμῖν τοὺς πλείστους αὐτῶν. ἐν εἰρήνῃ τε αὖ πολὺ ἀμείνοσιν αὐτοῖς χρώμεθα, περὶ μηδὲν τῶν αἰσχρῶν φιλοτιμουμένοις, μηδ᾿ ὑπ᾿ ἀργίας ἐς ὕβριν τρεπομένοις, ἀλλὰ περὶ τὰ τοιαῦτα διατρίβουσι, καὶ ἀσχόλοις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὖσιν ἐν αὐτοῖς. καὶ ὅπερ ἔφην, τὸ κοινὸν ἀγαθὸν, καὶ τὴν ἄκραν πόλεως εὐδαιμονίαν, τοῦτ' ἔστι λέγειν, ὁπόταν ἔς τε εἰρήνην, καὶ ἐς πόλεμον τὰ ἄριστα παρεσκευασμένη φαίνοιτο ἡ νεότης, περὶ τὰ κάλλιστα ἡμῖν σπουδάζοντες. Ἀνά. οὐκοῦν ὦ Σόλων, ἤν ποτε ὑμῖν ἐπίωσιν οἱ πολέμιοι χρισάμενοι τῷ ἐλαίῳ, καὶ κονισάμενοι, πρόιτε καὶ αὐτοὶ, πὺξ τὰς χεῖρας ἐπ' αὐτοὺς προβεβλημένοι. κἀκεῖνοι δηλαδὴ ὑποπτήσσουσιν ὑμᾶς, καὶ φεύγουσι δεδιότες, μὴ σφίσι κεχηνόσι, πάσητε τὴν ψάμμον ἐς τὸ στόμα, ἢ περιπηδήσαντες ὡς κατὰ νώτου γένησθε, περιπλέξητε αὐτοῖς τὰ σκέλη περὶ τὴν γαστέρα, καὶ ἄγχητε, ὑπὸ τὸ κράνος ὑποβαλόντες τὸν πῆχυν. καὶ νὴ Δί' οἱ μὲν τοξεύσουσι δηλονότι, καὶ ἀκοντιοῦσιν. ὑμῶν δὲ ὥσπερ ἀνδριάντων, οὐ καθίξεται τὰ βέλη, κεχρωσμένων πρὸς τὸν ἥλιον, καὶ πολὺ τὸ αἷμα πεπορισμένων. οὐ γὰρ καλάμη καὶ ἀθέρες ὑμεῖς ἐστε, ὡς τάχιστα ἐνδιδόναι πρὸς τὰς πληγάς. ἀλλ' ὀψέ ποτε ἄν, καὶ μόλις κατατετμημένοι βαθέσι τοῖς τραύμασιν, αἷμα ὀλίγον ὑποδείξητε. τοιαῦτα γὰρ φῂς, εἰ μὴ πάνυ παρήκουσα τοῦ παραδείγματος. ἢ τὰς πανοπλίας ἐκείνας τότε ἀναλήψεσθε, τὰς τῶν κωμῳδῶν τε, καὶ τραγῳδῶν. καὶ ἢν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

προτεθῇ ὑμῖν ἔξοδος, ἐκεῖνα τὰ κράνη περιθή-
σεσθε τὰ κεχηνότα, ὡς φοβερώτεροι εἴητε τοῖς
ἐναντίοις, μορμολυττόμενοι αὐτούς, καὶ ὑποδή-
σεσθε τὰ ὑψηλὰ ἐκεῖνα δηλαδή. φεύγουσί τε
ὴν δέῃ, κοῦφα. καὶ ἢν διώκητε, ἄφυκτα
οῖς πολεμίοις ἔσται, ὑμῶν οὕτω μεγάλα δια-
ινόντων ἐπ' αὐτούς. ἀλλ' ὅρα μὴ ταῦτα μὲν
ῖν τὰ κομψὰ λῆρος ᾖ, καὶ παιδιὰ ἄλλως, καὶ
ιβαὶ ἀργοῦσι, καὶ ῥαθυμεῖν ἐθέλουσι τοῖς νε-
νίσκοις. εἰ δὲ βούλεσθε πάντως ἐλεύθεροι, καὶ
δαίμονες εἶναι, ἄλλων ὑμῖν γυμνασίων δεή-
, καὶ ἀσκήσεως ἀληθινῆς τῆς ἐν τοῖς ὅπλοις.
ἡ ἅμιλλα οὐ πρὸς ἀλλήλους μετὰ παιδι-
, ἀλλὰ πρὸς τοὺς δυσμενεῖς ἔσται, μετὰ κινδύ-
ον μελετῶσι τὴν ἀρετήν. ὥστε ἀφέντας
ὴν κόνιν, καὶ τὸ ἔλαιον, διδάσκετε αὐτοὺς το-
ύειν, καὶ ἀκοντίζειν, μὴ κοῦφα διδόντας τὰ
κόντια, καὶ οἷα διαφέρεσθαι πρὸς τὸν ἄνεμον,
λλ' ἔστω λόγχη βαρεῖα, μετὰ συρισμοῦ ἑλιτ-
τομένη, καὶ λίθος χειροπληθής, καὶ σάγαρις, καὶ
έῤῥον ἐν τῇ ἀριστερᾷ, καὶ θώραξ, καὶ κράνος. ὡς
ὲ νῦν ἔχετε, θεῶν τινος εὐμενείᾳ σώζεσθαί
οι δοκεῖτε, οἳ μηδέπω ἀπολώλατε ὑπό τι-
ων ὀλίγων ψιλῶν ἐπιπεσόντων. ἰδοὺ γέ τοι
ν σπασάμενος τὸ μικρὸν τοῦτο ξιφίδιον τὸ παρὰ

τὴν ζώνην, μόνος ἐπιστρατεύσω τοῖς νέοις ὑμῶν ἅπασιν, αὐτοβοεὶ ἂν ἕλοιμι τὸ γυμνάσιον, φυγόντων ἐκείνων, καὶ οὐδενὸς ἀντιβλέπειν πρὸς σίδηρα τολμῶντος. ἀλλὰ περὶ τοὺς ἀνδριάντας ἂν περιϊστάμενοι, καὶ περὶ τοὺς κίονας κατακρυπτόμενοι, γέλωτα ἄν μοι παράσχοιεν, δακρύοντες οἱ πολλοί, καὶ τρέμοντες. καὶ τότ' ἂν ἴδοις οὐκέτι ἐρυθριῶντας αὐτοὺς τὰ σώματα, οἷοι νῦν εἰσιν, ἀλλὰ ὠχροὶ ἅπαντες αὐτίκα γένοιντ' ἄν, ὑπὸ τοῦ δέους μεταβαφέντες. οὕτως ὑμᾶς ἡ εἰρήνη διατέθεικε βαθεῖα οὖσα, ὡς μὴ ἂν ῥαδίως ἀνασχέσθαι λόφον ἕνα κράνους πολεμίου ἰδόντας. ΣΟ. οὐ ταῦτα ἔφασαν ὦ Ἀνάχαρσι, Θρᾳκῶν τε ὅσοι μετ' Εὐμόλπου ἐφ' ἡμᾶς ἐστράτευσαν, καὶ αἱ γυναῖκες ὑμῶν αἱ μετὰ Ἱππολύτης ἐλάσασαι ἐπὶ τὴν πόλιν, οὐδ' ἄλλοι ὅσοι ἡμῶν ἐν ὅπλοις ἐπειράθησαν. ἡμεῖς γὰρ ὦ μακάριε, οὐκ ἐπειδήπερ οὕτω γυμνὰ τὰ σώματα ἐκπονοῦμεν τῶν νέων, διὰ τοῦτο καὶ ἄνοπλα ἐξάγομεν πρὸς τοὺς κινδύνους. ἀλλ' ἐπειδὰν καθ' αὑτοὺς ἄριστοι γένωνται, ἀσκοῦνται τὸ μετὰ τοῦτο ξὺν τοῖς ὅπλοις. καὶ πολὺ ἄμεινον χρήσαιντ' ἂν αὐτοῖς, οὕτω διακείμενοι. ΑΝΑ. καὶ ποῦ τοῦτο ὑμῖν ἐστι τὸ γυμνάσιον τὸ ἐν τοῖς ὅπλοις; οὐ γὰρ εἶδον ἔγωγε ἐν τῇ πόλει τοιοῦτον οὐδὲν, ἅπασαν αὐτὴν ἐν κύκλῳ περιελθών. ΣΟ.

ἀλλὰ

ἄλλα ἴδοις ἂν, ὦ Ἀνάχαρσι, ἐπεὶ πλέον ἡμῖν τῶν
ἐν ταῖς θήκαις, καὶ ὅπλα ἑκάστῳ μάλα πολλά, οἷς
χρώμεθα ὁπόταν ἀναγκαῖον ᾖ, καὶ λόφους καὶ
φάλαρα, καὶ ἵππους, καὶ ἱππέας σχεδὸν τὸ τέ-
ταρτον τῶν πολιτῶν. τὸ μέντοι ὁπλοφορεῖν
ἀεὶ, καὶ ἀκινάκην παραζώννυσθαι, περιττὸν ἐν
εἰρήνῃ οἰόμεθα εἶναι. καὶ πρόστιμόν γ' ἐστιν, ὅστις
ἄσει σιδηροφοροίη μηδὲν δέον, ἢ ὅπλα ἐξενέ-
γκοι εἰς τὸ δημόσιον. ὑμεῖς δὲ συγγνωστοὶ, ἐν ὅ-
πλοις ἀεὶ βιοῦντες. τό τε γὰρ ἐν ἀφάκτῳ οἰκεῖν,
εὐεπιβούλευτον. καὶ οἱ πόλεμοι, μάλα
πολλοί. καὶ ἄδηλον ὁπότε τις ἐπιστὰς, κοιμώ-
μενον κατασπάσας ἀπὸ τῆς ἁμάξης, φονεύσει-
εν. ἥ τε πρὸς ἀλλήλους ἀπιστία αὐθαίρετος,
οὐ μὴ ἐν νόμῳ ξυμπολιτευομένων, ἀναγκαῖον
ἀεὶ τὸν σίδηρον ποιεῖ, ὡς πλησίον εἶναι ἀμυ-
νοῦντα, εἴ τις βιάζοιτο. Ανά. εἶτα ὦ Σόλων,
τὸ σιδηροφορεῖν μὲν οὐδενὸς ἀναγκαίου ἕνεκα περιτ-
τὸν ὑμῖν δοκεῖ, καὶ τῶν ὅπλων φείδεσθε, ὡς μὴ διὰ
χειρὸς ὄντα φθείροιτο. ἀλλὰ φυλάττετε ἀπο-
κείμενα, ὡς χρησόμενοι τότε, τῆς χρείας ἐπιστά-
σης. τὰ δὲ σώματα τῶν νέων, οὐδενὸς δεινοῦ ἐπεί-
γοντος, καταπονεῖτε παίοντες. καὶ ὑπὸ τῶν ἱδρώτων
καταναλίσκοντες, οὐ ταμιευόμενοι πρὸς τὸ ἀ-
ναγκαῖον τὰς ἀλκὰς αὐτῶν, ἀλλ' εἰκῇ ἐν τῷ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πηλῷ, καὶ τῇ κόνει ἐγχέοντες. Σό. ἔοικας ὦ Ἀνάχαρσι ῥιόν δέ τι δυνάμεως πέρι ἐννοεῖν, ὡς οἴνῳ, ἢ ὕδατι, ἢ ἄλλῳ τῶν ὑγρῶν ὁμοίαν αὐτὴν οὖσαν. δέδιας οὖν μὴ ὥσπερ ἐξ ἀγγείου κεραμέου λάθῃ διαρρυεῖσα ἐν τοῖς πόνοις, κᾆτα ἡμῖν κενόν, καὶ ξηρὸν οἴχηται τὸ σῶμα καταλιποῦσα, ὑπὸ μηδενὸς ἔνδοθεν ἀναπληρούμενον. τὸ δέ, οὐχ οὕτως ἔχει σοι. ἀλλ' ὅσῳ τις ἂν αὐτὴν ἐξαντλῇ τοῖς πόνοις, τοσῷδε μᾶλλον ἐπιρρεῖ κατὰ τὸν τῆς Ὕδρας μῦθον, εἴ τινα ἠκούσας, ὡς ἀντὶ μιᾶς κεφαλῆς τμηθείσης, δύ' ἀεὶ ἄλλαι ἀνεφύοντο. ἢν δὲ ἀγύμναστος ἐξ ἀρχῆς, καὶ ἄτονος ᾖ, μηδὲ διαρκῆ τὴν ὕλην ἔχῃ ὑποβεβλημένην, τότε ὑπὸ τῶν καμάτων βλάπτοιτο ἄν, καὶ καταμαραίνοιτο, οἷόν τι ἐπὶ πυρός, καὶ λύχνου γίνεται. ὑπὸ γὰρ τοῦ αὐτοῦ φυσήματι, τὸ μὲν πῦρ ἀνακαύσειας ἄν, καὶ μεῖζον ποιήσειας ἐν βραχεῖ, παραθήγων τῷ πνεύματι. καὶ τὸ τοῦ λύχνου φῶς ἀποσβέσειας, οὐκ ἔχον ἀποχρῶσαν τῆς ὕλης τὴν χορηγίαν, ὡς διαρκεῖν ἐπὶ πρὸς τὸ ἀντιπνέον. οὐ γὰρ ἀπ' ἰσχυρᾶς οἶμαι τῆς ῥίζης ἀνεφύετο. Ἀνά. ταυτὶ μὲν ὦ Σόλων, οὐ πάνυ συνίημι. λεπτότερα γὰρ ἢ κατ' ἐμὲ εἴρηκας ἀκριβοῦς τινος φροντίδος, καὶ διανοίας ὀξὺ δεδορκυίας δεόμενα. ἐκεῖνο δέ

μοι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μοι πάντως εἰπέ, τίνος ἕνεκα οὐχὶ καὶ ἐν τοῖς ἀ-
ῶσι τοῖς ὀλυμπίασι, καὶ ἰσθμοῖ, καὶ πυθοῖ, καὶ
τοῖς ἄλλοις, ὁπότε πολλοὶ ὡς φὴς συνίασιν ὀ-
ψόμενοι τοὺς νέους ἀγωνιζομένους, οὐδέ ποτε ἐν ὅ-
πλοις ποιεῖσθε τὴν ἅμιλλαν, ἀλλὰ γυμνοὺς ἐς
τὸ μέσον παραγαγόντες, λακτιζομένους, καὶ παι-
ομένους ἐπιδείκνυτε, καὶ νικήσασι, μῆλα, καὶ κό-
τινον δίδοτε. ἄξιον γὰρ εἰδέναι τοῦτό γε, οὗτι-
νος ἕνεκα οὕτω ποιεῖτε. ΣΟ. ἡγούμεθα γὰρ ὦ Ἀνά-
χαρσι, τὴν ἐς τὰ γυμνάσια προθυμίαν οὕτως ἂν
πλείω ἐγγενέσθαι αὐτοῖς, εἰ τοὺς ἀριστεύοντας ἐν
τούτοις ἴδοιεν τιμωμένους, καὶ ἀνακηρυττομέ-
νους ἐν μέσοις τοῖς Ἕλλησι. καὶ διὰ τοῦτο ὡς ἐς τοσού-
τους ἀποδυσόμενοι, εὐεξίας τε ἐπιμελοῦνται,
ὡς μὴ αἰσχύνοιντο γυμνωθέντες, καὶ ἀξιονικότα-
τον ἕκαστος αὑτὸν ἀπεργάζεται. καὶ τὰ ἆθλα ὥσ-
περ ἔμπροσθεν εἶπον, οὐ μικρά, ὁ ἔπαινος ὁ πα-
ρὰ τῶν θεατῶν, καὶ τὸ ἐπισημότατον γενέσθαι, καὶ
δείκνυσθαι τῷ δακτύλῳ, ἄριστον εἶναι τῶν καθ' ἑαυ-
τὸν δοκοῦντα. τοιγάρτοι πολλοὶ τῶν θεατῶν, οἷς
καθ' ἡλικίαν ἔτι ἡ ἄσκησις, ἀπίασιν οὐ μετρί-
ως ἐκ τῶν τοιούτων, ἀρετῆς, καὶ πόνων ἐρασθέν-
τες. ὡς εἴ γέ τις ὦ Ἀνάχαρσι, τὸν τῆς εὐκλείας
ἔρωτα ἐκβάλοι ἐκ τοῦ βίου, τί ἂν ἔτι ἀγαθὸν ἡμῖν
γένοιτο; ἢ τίς ἄν τι λαμπρὸν ἐργάσασθαι ἐπιθυ-

μήσειε; νῦν δὲ καὶ ἀπὸ τούτων εἰκάζειν πάρεστί σοι ἐννοῆσαι, ὁποῖοι ἐν πολέμοις ὑπὲρ πατρίδος, καὶ παίδων, καὶ γυναικῶν, καὶ ἱερῶν γένοιντ' ἄν, ὅπλα ἔχοντες, οἱ κοτίνου πέρι, καὶ μήλων γυμνοὶ, τοσαύτην προθυμίαν ἐς τὸ νικᾶν εἰσφερόμενοι. καίτοι τί ἂν πάθοις, εἰ θεάσαιο καὶ ὀρτύγων, καὶ ἀλεκτρυόνων ἀγῶνας παρ' ἡμῖν, καὶ σπουδὴν ἐπὶ τούτοις οὐ μικράν. ἢ γελάσῃ δηλονότι. καὶ μάλιστα ἢν μάθῃς ὡς ὑπὸ νόμῳ αὐτὸ δρῶμεν, καὶ προστέτακται πᾶσι τοῖς ἐν ἡλικίᾳ παρεῖναι, καὶ ὁρᾶν τὰ ὄρνεα διαπυκτεύοντα μέχρι τῆς ἐσχάτης ἀπαγορεύσεως. ἀλλ' οὐδὲ τοῦτο γελοῖον. ὑποδύεται γάρ τις ἠρέμα ταῖς ψυχαῖς ὁρμὴ ἐς τοὺς κινδύνους, ὡς μὴ ἀγεννέστεροι, καὶ ἀτολμότεροι φαίνοιντο τῶν ἀλεκτρυόνων, μηδὲ προαπαγορεύοιεν ὑπὸ τραυμάτων, ἢ καμάτων, ἢ τοῦ ἄλλου δυσχεροῦς. τὸ δὲ δὴ ἐν ὅπλοις πειρᾶσθαι αὐτῶν, καὶ ὁρᾶν τιτρωσκομένους, ἄπαγε. θηριῶδες γάρ, καὶ δεινῶς σκαιόν, καὶ προσέτι γε ἀλυσιτελὲς ἀποσφάττειν τοὺς ἀρίστους, καὶ οἷς ἄν τις ἄμεινον χρήσαιτο κατὰ τῶν δυσμενῶν. ἐπεὶ δὲ φὴς ὦ Ἀνάχαρσι, καὶ τὴν ἄλλην Ἑλλάδα ἐπελεύσεσθαι, μέμνησο ἤν ποτε καὶ ἐς Λακεδαίμονα ἔλθῃς, μὴ καταγελάσαι μηδὲ ἐκείνων, μηδὲ οἴεσθαι μάτην πονεῖν αὐτούς, ὁπόταν ἢ

σφαί

ιφαίρας πέρι ἐν τῷ θεάτρῳ συμπεσόντες, παί-
ουσιν ἀλλήλους, ἢ ἐς χωρίον ἐσελθόντες, ὕδατι
περιγεγραμμένον ἐς φάλαγγα διαστάντες,
τὰ πολεμίων ἀλλήλους ἐργάζονται, γυμνοὶ καὶ
αὐτοί, ἄχρις ἂν ἐκβάλωσι τοῦ περιγράμματος
θάτερον σύνταγμα οἱ ἕτεροι. οἱ κατὰ Λυ-
κοῦργον, οἱ καθ᾽ Ἡρακλέα. ἢ ἔμπαλιν συνω-
θοῦντες ἐς τὸ ὕδωρ. τὸ γὰρ ἀπὸ τούτου, εἰρήνη λοι-
πόν, καὶ οὐδεὶς ἂν ἔτι παίσειε. μάλιστα δὲ ἢν ὁρᾷς
μαστιγουμένους αὐτοὺς ἐπὶ τῷ βωμῷ, καὶ αἵματι
ῥεομένους, πατέρας δέ, καὶ μητέρας παρε-
στώσας, οὐχ ὅπως ἀνιωμένας ἐπὶ τοῖς γι-
γνομένοις, ἀλλὰ καὶ ἀπειλούσας, ἢν μὴ ἀντέ-
χοιεν πρὸς τὰς πληγάς, καὶ ἱκετευούσας ἐπὶ
μήκιστον διαρκέσαι πρὸς τὸν πόνον, καὶ ἐγκαρτε-
ρῆσαι τοῖς δεινοῖς. πολλοὶ γοῦν καὶ ἐναπέθανον
τῷ ἀγῶνι, μὴ ἀξιώσαντες ἀπαγορεῦσαι ζῶν-
τες ἔτι ἐν ὀφθαλμοῖς τῶν οἰκείων, μηδὲ εἶξαι
τοῖς σώμασιν, ὧν καὶ τοὺς ἀνδριάντας ὄψει τιμω-
μένους δημοσίᾳ, ὑπὸ τῆς Σπάρτης ἀνατεθέν-
τας. ὅταν τοίνυν ὁρᾷς κἀκεῖνα μήτε μαίνεσθαι ὑ-
πολάβῃς αὐτούς, μήτε εἴπῃς, ὡς οὐδεμιᾶς ἕνε-
κα αἰτίας ἀναγκαίας ταλαιπωροῦσι, μήτε τυ-
ράννου βιαζομένου, μήτε πολεμίων διατιθέντων.
εἴποι γὰρ ἄν σοι καὶ ὑπὲρ ἐκείνων Λυκοῦργος ὁ νο-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μοθέτης ἀυτῶν, πολλὰ τὰ εὔλογα, καὶ ἃ σὺ
νῦν ὁρῶν κολάζει αὐτοὺς, οὐκ ἐχθρὸς ὤν, οὐδὲ ὑπὸ
μίσους αὐτοὺς δρῶν, οὐδὲ τὴν νεολαίαν τῆς πό-
λεως εἰκῆ παραναλίσκων, ἀλλὰ καρτερικω-
τάτους, καὶ παντὸς δεινοῦ κρείττονας ἀξιῶν
εἶναι τοὺς σώζειν μέλλοντας τὴν πατρίδα. καί-
τοι κἂν μὴ ὁ Λυκοῦργος εἴπῃ, ἐννοεῖς οἶμαι καὶ
αὐτὸς, ὡς οὐκ ἄν ποτε ληφθεὶς ὁ τοιοῦτος ἐν
πολέμῳ, ἀπόῤῥητόν τι ἐξείποι τῆς Σπάρτης,
αἰκιζομένων τῶν ἐχθρῶν, ἀλλὰ καταγελῶν
αὐτῶν, μαστιγοῖτ' ἄν, ἁμιλλώμενος πρὸς τὸν
παίοντα, ὁπότερος ἀπαγορεύσειεν. Ανά.
ὁ Λυκοῦργος δὲ καὶ αὐτὸς ὦ Σόλων, ἐμαστιγοῦ-
το ἐφ' ἡλικίας, ἢ ἔκπρόθεσμος ὢν ἤδη τοῦ ἀγῶ-
νος, ἀσφαλῶς τὰ τοιαῦτα ἐνεανιεύσατο;
Σό. πρεσβύτης ἤδη ὢν, ἔγραψε τοὺς νόμους αὐ-
τοῖς, Κρήτηθεν ἀφικόμενος. ἀποδεδημήκει δὲ
παρὰ τοὺς Κρῆτας, ὅτι ἤκουσεν εὐνομωτάτους εἶναι,
Μίνωος τοῦ Διὸς νομοθετήσαντος ἐν αὐτοῖς.
Ανά. τί οὖν οὐ καὶ σὺ ὦ Σόλων, ἐμιμήσω Λυ-
κοῦργον, καὶ μαστιγοῖς τοὺς νέους; καλὰ γὰρ ταῦ-
τα, καὶ ἄξια ὑμῶν ἐστιν. Σό. ὅτι ἡμῖν ἱκανὰ
ὦ Ἀνάχαρσι, ταῦτα τὰ γυμνάσια, οἰκεῖα ὄντα,
ζηλοῦν δὲ τὰ ξενικὰ, οὐ πάνυ ἀξιοῦμεν.
Ανά. οὐκ. ἀλλὰ συνίης οἶμαι οἷόν τι ἐστὶ μαστι-

δῦσθαι γυμνὸν, ἄνω τὰς χεῖρας ἐπαίροντα, οὐδενὸς ἕνεκα ὠφελίμου, ἢ αὐτῷ ἑκάστῳ, ἢ κοινῇ τῇ πόλει, ὡς ἔγωγε ἤν ποτε ἐπιδημήσω τῇ Σπάρτῃ, καθ' ὃν καιρὸν ταῦτα δρῶσι, δοκῶ μοι τάχιστα καταλευσθήσεσθαι δημοσίᾳ πρὸς αὐτῶν, ἐπιγελῶν ἑκάστοις, ὁπόταν ὁρῶ τυπτομένοις καθάπερ κλέπτας, ἢ λωποδύτας, ἤ τι ἄλλο τοιοῦτον εἰργασμένοις. ἀτεχνῶς γὰρ ἐλλεβόρου δεῖσθαί μοι δοκεῖ ἡ πόλις αὐτῶν, οὕτω καταγέλαστα ὑφ' ἑαυτῆς πάσχουσα. Σό. μὴ ἐρήμην ὦ γενναῖε, μηδὲ τῶν ἀνδρῶν ἀπόντων, μόνος αὐτὸς λέγων, οἴου κρατεῖν. ἔσται γάρ τις ὁ καὶ ὑπὲρ ἐκείνων σοι τὰ εἰκότα ἀντερῶν ἐν Σπάρτῃ. πλὴν ἀλλ' ἐπείπερ ἐγὼ τὰ ἡμέτερά σοι διεξελήλυθα, σὺ δὲ οὐ πάνυ ἀρεσκόμενος ἐν τούτοις ἔοικας, οὐκ ἄδικα αἰτήσειν ἔοικα παρὰ σοῦ, ὡς καὶ αὐτὸς ἐν τῷ μέρει διεξέλθῃς πρός με, ὃν τρόπον ὑμεῖς οἱ Σκύθαι διασκεῖτε τοὺς νέους τοὺς παρ' ὑμῖν, καὶ οἷς τισι γυμνασίοις ἀνατρέφετε, καὶ ὅπως ὑμῖν ἄνδρες ἀγαθοὶ γίγνονται. Ἀνά. δικαιότατα μὲν οὖν ὦ Σόλων. ἠ ἔγωγε διηγήσομαι τὰ Σκυθῶν νόμιμα, οὐ σεμνὰ ἴσως, οὐδὲ καθ' ὑμᾶς, ὅπου οὐδὲ κατὰ κόῤῥης παταχθῆναι τολμήσαιμεν ἂν μίαν πληγήν. δειλοὶ γάρ ἐσμεν. ἀλλ' εἰρήσεταί γε ὁποῖα



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἂν εἴη. ἐς αὔριον μέν τοι εἰ δοκεῖ, ὑπερβαλώμεθα τὴν συνουσίαν, ὡς ἅ, τε αὐτὸς ἔφης, ἔτι μᾶλλον ἐννοήσαιμι καθ' ἡσυχίαν, ἅ, τε χρὴ εἰπεῖν, συναγάγοιμι τῇ μνήμῃ ἐπελθών. τὸ δὲ νῦν ἔχον, ἀπίωμεν ἤδη κύριος. ἑσπέρα γὰρ ἤδη.

## ΠΕΡΙ ΠΕΝΘΟΥΣ.

Ἄξιόν γε παρατηρεῖν τὰ ὑπὸ τῶν πολλῶν ἐν τοῖς πένθεσι γιγνόμενα, καὶ λεγόμενα, καὶ τὰ ὑπὸ τῶν παραμυθουμένων δῆθεν αὐτοὺς αὖθις λεγόμενα, καὶ ὡς ἀφόρητα ἡγοῦνται τὰ συμβαίνοντα σφίσι τε αὐτοῖς οἱ ὀδυρόμενοι, καὶ ἐκείνοις, οὓς ὀδύρονται, οὐ μὰ τὸν Πλούτωνα, καὶ Περσεφόνην κατ' οὐδὲν ἐπιστάμενοι σαφῶς, οὔτ' εἰ πονηρὰ ταῦτα, καὶ λύπης ἄξια, οὔτε εἰ τοὐναντίον ἡδίω, καὶ βελτίω τοῖς παθοῦσι, νόμῳ δὲ, καὶ συνηθείᾳ τὴν λύπην ἐπιτρέποντες. ἐπειδὰν τοίνυν ἀποθάνῃ τις, οὕτω ποιοῦσι. μᾶλλον δὲ πρότερον εἰπεῖν βούλομαι ἅς τινας περὶ αὐτοῦ τοῦ θανάτου δόξας ἔχουσιν. οὕτω γὰρ ἔσται φανερὸν, οὗ τινος ἕνεκα τὰ περιττὰ ἐκεῖνα ἐπιτηδεύουσιν. ὁ μὲν δὴ πολὺς ὅμιλος, οὓς ἰδιώτας οἱ σοφοὶ καλοῦσιν, Ὁμήρῳ τε, καὶ Ἡσιόδῳ, καὶ τοῖς ἄλλοις μυθοποιοῖς περὶ τούτων πειθόμενοι, καὶ νόμον θέμενοι τὴν ποίησιν αὐτῶν, τόπον τινὰ ὑπὸ τῇ γῇ βαθὺν,

ἄδην

λω ὑπειλήφασι. μέγαν δέ, καὶ πολύχωρον
ον εἶναι, καὶ ζοφερόν, καὶ ἀνήλιον, οὐκ οἶδ᾽ ὅπως
ισὶ τοῖς φωτίζεσθαι δοκοῦντα πρὸς τὸ καὶ καθο-
ν τῶν ἐνόντων ἕκαστον. βασιλεύειν δὲ τοῦ χά-
ους ἀδελφὸν τοῦ Διός, Πλούτωνα κεκλη-
μένον, ὥς μοι τῶν τὰ τοιαῦτα δεινῶν τις ἔλε-
γε, διὰ τὸ πλουτεῖν τοῖς νεκροῖς τῇ προσηγορίᾳ
τετιμημένον. οὗτος δὲ ὁ Πλούτωνα, τὴν πα-
ρ᾽ αὐτῷ πολιτείαν, καὶ τὸν κάτω βίον κατεστή-
σατο τοῦτον. κεκληρῶσθαι μὲν γὰρ αὐτὸν ἄρ-
χειν τῶν ἀποθανόντων. καταδεξάμενον δὲ αὐ-
τούς, καὶ παραλαβόντα, κατέχειν δεσμοῖς ἀ-
λύτοις, οὐδενὶ τὴν ἐπάνω ἄνοδον ὑφιέμε-
νον, πλὴν ἐξ ἅπαντος τοῦ αἰῶνος πάνυ ὀλίγων
ἐπὶ μεγίσταις αἰτίαις. περιῤῥεῖσθαι δὲ τὴν χώ-
ραν αὐτοῦ ποταμοῖς μεγάλοις τε, καὶ φοβεροῖς,
καὶ ἐκ μόνων τῶν ὀνομάτων. Κωκυτοὶ γὰρ, καὶ Πυρι-
φλεγέθοντες, καὶ τὰ τοιαῦτα κέκληνται.
τὸ δὲ μέγιστον, ἡ Ἀχερουσία λίμνη πρόκειται,
πρώτη δεχομένη τοὺς ἀπαντῶντας, ἣν οὐκ ἔνι δια-
πλεῦσαι, ἢ παρελθεῖν, ἄνευ τοῦ πορθμέως.
καὶ βαθεῖά τε γὰρ περάσαι τοῖς ποσί, καὶ διανήξασθαι
πολλή. καὶ ὅλως, οὐκ ἂν αὐτὴν διαπταίη οὐδὲ τὰ
νεκρὰ τῶν ὀρνέων. πρὸς δὲ αὐτῇ τῇ καθόδῳ, καὶ
πύλῃ, οὔσῃ ἀδαμαντίνῃ, ἀδελφιδοῦς τοῦ βασι-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λέως Αἰακός ἐστι, τὴν φρουρὰν ἐπιτεταγμένος. καὶ παρ' αὐτὸν, κύων τρικέφαλος, μάλα καρχάρος, τοὺς μὲν ἀφικνουμένους, φίλιόν τι, καὶ εἰρηνικὸν προσβλέπων. τοὺς δὲ πειρῶντας ἀποδιδράσκειν, ὑλακτῶν, καὶ τῷ χάσματι δεδιττόμενος. περαιωθέντας δὲ τὴν λίμνην ἐς τὸ εἴσω, λειμὼν ὑποδέχεται μέγας, τῷ ἀσφοδέλῳ κατάφυτος, καὶ ποτὸν, μνήμης πολέμιον. λήθης γοῦν διὰ τοῦτο ὠνόμασται. ταῦτα μὲν ἀμέλει διηγήσαντο τοῖς πάλαι, ἐκεῖθεν ἀφιγμένοι, Ἄλκηστίς τε, καὶ Πρωτεσίλαος οἱ Θετταλοὶ, καὶ Θησεὺς ὁ τοῦ Αἰγέως, καὶ ὁ τοῦ Ὁμήρου Ὀδυσσεὺς, μάλα σεμνοὶ καὶ ἀξιόπιστοι μάρτυρες, ἐμοὶ δοκεῖν, οὐ πιόντες τῆς πηγῆς, οὐ γὰρ ἂν ἐμέμνηντο αὐτῶν. ὁ μὲν οὖν Πλούτων, ὡς ἐκεῖνοι ἔφασαν, καὶ ἡ Περσεφόνη, δυναστεύουσι, καὶ τὴν τῶν ὅλων δεσποτείαν ἔχουσιν. ὑπηρετοῦσι δ' αὐτοῖς, καὶ τὴν ἀρχὴν συνδιαπράττουσιν, ὄχλος πολὺς, ἐριννύες τε, καὶ ποιναὶ, καὶ φόβοι, καὶ ὁ Ἑρμῆς. οὗτος μέν γε, οὐκ ἀεὶ συμπαρών. ὕπαρχοι δὲ, καὶ σατράπαι, καὶ δικασταὶ, κάθηνται δύο, Μίνως τε, καὶ Ῥαδάμανθυς, Κρῆτες ὄντες, καὶ υἱοὶ τοῦ Διός. οὗτοι δὲ, τοὺς μὲν ἀγαθοὺς τῶν ἀνδρῶν, καὶ δικαίους, καὶ κατ' ἀρετὴν βεβιωκότας, ἐπειδὰν συ

ναλι

λιαθῶσι πολλοί, καθάπερ εἰς ἀποικίαν τινά,
ἐμποιοῦντες τὸ Ἠλύσιον πεδίον, τοῦ ἀρίστου βί
γνωσομένους. ἂν δέ τινας τῶν πονηρῶν λά
βωσι, ταῖς Ἐριννύσι παραδόντες, ἐς τὸν τῶν
σεβῶν χῶρον ἐκπέμπουσι, κατὰ λόγον τῆς
ἀδικίας κολασθησομένους. ἔνθα δὴ τί τῶν
κακῶν οὐ πάσχουσι, στρεβλούμενοί τε, καὶ καυ
όμενοι, καὶ ὑπὸ γυπῶν ἐσθιόμενοι, καὶ τροχῷ
συμφερόμενοι, ἢ λίθους ἀνακυλίοντες. ὁ μὲν
γὰρ Τάνταλος, ἐπ' αὐτῇ τῇ λίμνῃ αὐτὸς ἕ
στηκε, κινδυνεύων ὑπὸ τοῦ δίψους ὁ κακοδαί
μων ἀποθανεῖν. οἱ δὲ τοῦ μέσου βίου πολλοὶ ὄν
τες οὗτοι, ἐν τῷ λειμῶνι πλανῶνται ἄ
νευ τῶν σωμάτων, σκιαὶ γενόμενοι, καὶ ὑπὸ
τῇ ἀφῇ καθάπερ καπνὸς ἀφανιζόμενοι. τρέ
φονται δὲ ἄρα ταῖς παρ' ἡμῖν χοαῖς, καὶ τοῖς
καθαγιζομένοις ἐπὶ τῶν τάφων. ὡς εἴ τῳ
μὴ εἴη καταλελειμμένος ὑπὲρ γῆς φίλος,
ἢ συγγενής, ἄσιτος οὗτος νεκρὸς καὶ λιμώττων,
ἐν αὐτοῖς πολιτεύεται. ταῦτα οὕτως ἰσχυρῶς
ἐπελήλυθε τοὺς πολλούς, ὥστε ἐπειδάν τις
ἀποθάνῃ τῶν οἰκείων, πρῶτα μὲν φέροντες ὀβο
λόν, ἐς τὸ στόμα κατέθηκαν αὐτῷ, μισθὸν τῷ
πορθμεῖ τῆς ναυτιλίας γενησόμενον, οὐ πρότερον
ἐξετάσαντες ὁποῖον τὸ νόμισμα νομίζεται, καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰ διαχωρεῖ παρὰ τοῖς κάτω, καὶ εἰ δύναται παρ'
ἐκείνοις ἀττικὸς, ἢ μακεδονικὸς, ἢ αἰγιναῖος ὀβο
λὸς, οὐδ' ὅτι πολὺ κάλλιον ἦν μὴ ἔχειν τὰ πορθ
μία καταβαλεῖν. οὕτω γὰρ ἄν, οὐ παραδεξαμένου
τοῦ πορθμέως, ἀναπόμπιμοι πάλιν ἐς τὸν βί
ον ἀφικνοῦντο. μετὰ ταῦτα δὲ, λούσαντες αὐ
τοὺς, ὡς οὐχ ἱκανῆς τῆς κάτω λίμνης λουτρὸν
εἶναι τοῖς ἐκεῖ, καὶ μύρῳ τῷ καλλίστῳ χρίσαντες
τὸ σῶμα, πρὸς δυσωδίαν ἤδη βιαζόμενον, καὶ στε
φανώσαντες τοῖς ὡραίοις ἄνθεσι, προτίθενται,
λαμπρῶς ἀμφιέσαντες, ἵνα μὴ ῥιγῷεν δηλο
νότι παρὰ τὴν ὁδὸν, μηδὲ γυμνοὶ βλέποιντο τῷ
Κερβέρῳ. οἰμωγαὶ δὲ ἐπὶ τούτοις, καὶ κωκυτὸς
γυναικῶν, καὶ παρὰ πάντων, δάκρυα, καὶ στέρνα τυ
πτόμενα, καὶ σπαραττομένη κόμη, καὶ φοινισσό
μεναι παρειαί. καί που καὶ ἐσθὴς καταῤῥήγνυται,
καὶ κόνις ἐπὶ τῇ κεφαλῇ πάσσεται. καὶ οἱ ζῶντες,
οἰκτρότεροι τοῦ νεκροῦ. οἱ μὲν γὰρ χαμαὶ κυλιν
δοῦνται πολλάκις, καὶ τὰς κεφαλὰς ἀράττουσι
πρὸς τὸ ἔδαφος. ὁ δὲ, εὐσχήμων, καὶ καλὸς, καὶ
καθ' ὑπερβολὴν ἐστεφανωμένος, ὑψηλὸς πρό
κειται, καὶ μετέωρος, ὥσπερ ἐς πομπὴν κεκο
σμημένος. εἶθ' ἡ μήτηρ, ἢ νὴ Δί' ὁ πατὴρ,
ἐκ μέσων τῶν συγγενῶν προελθὼν, καὶ περιχυ
θεὶς αὐτῷ, προκείσθω γάρ τις νέος, καὶ καλὸς,
ἵνα καὶ

καὶ ἀκμαιότερον ἐπ' αὐτῶν τὸ δρᾶμά ἐστι, φω-
ἀλλοκότους, καὶ ματαίας ἀφίησι. πρὸς ἃς
νεκρὸς αὐτὸς ἀποκρίναιτ' ἄν, εἰ λάβοι φω-
νήν. φήσει γὰρ ὁ πατήρ, γοερόν τι φθεγγόμενος,
παρατείνων ἕκαστον τῶν ὀνομάτων, τέκνον
ἥδιστον, οἴχῃ μοι, καὶ τέθνηκας, καὶ πρὸ ὥρας ἀνηρ-
πάσθης, μόνον ἐμὲ ἔτι τὸν ἄθλιον καταλιπών,
γαμήσας, οὐ παιδοποιησάμενος, οὐ στρατευ-
σάμενος, οὐ γεωργήσας, οὐκ εἰς γῆρας ἐλθών.
κωμάσῃ πάλιν, οὐδ' ἐρασθήσῃ τέκνον, οὐ-
δ' ἐν συμποσίῳ μετὰ τῶν ἡλικιωτῶν μεθυσθή-
σῃ. ταῦτα δέ, καὶ τὰ τοιαῦτα φήσει, οἰόμενος
τὸν υἱὸν δεῖσθαι μὲν ἔτι τούτων, καὶ ἐπιθυμεῖν
καὶ μετὰ τὴν τελευτήν, οὐ δύνασθαι δὲ μετέ-
χειν αὐτῶν. καίτοι τί ταῦτα φημί; πόσοι
γὰρ καὶ ἵππους, καὶ παλλακίδας, οἱ δέ, καὶ οἰνο-
χόους ἐπικατέσφαξαν, καὶ ἐσθῆτα, καὶ τὸν ἄλ-
λον κόσμον συγκατέφλεξαν, ἢ συγκατώρυξαν,
ὡς χρησομένοις ἐκεῖ, καὶ ἀπολαύσουσιν αὐτῶν
κάτω. ὁ δ' οὖν πρεσβύτης ὁ πενθῶν, οὑτωσὶ
πάντα ταῦτα ὁπόσα εἴρηκε, καὶ ἔτι τούτων
πλείονα, οὔτε τοῦ παιδὸς ἕνεκα τραγῳδεῖν ἔ-
οικεν, οἶδε γὰρ οὐκ ἀκουσόμενον, οὐδ' ἂν μεῖζον ἐμ-
βοήσῃ τοῦ Στέντορος, οὔτε μὴν αὐτοῦ. φρονεῖν γὰρ
οὕτω, καὶ γινώσκειν ἱκανὸν ἦν καὶ ἄνευ τῆς βοῆς.

οὐδεὶς γὰρ δὴ πρὸς ἑαυτὸν δεῖται βοᾶν. λοιπὸν τὸν ἔστιν αὐτὸν τῶν παρόντων ἕνεκα ταῦτα ληρεῖν, οὔθ' ὅτι πέπονθεν αὐτὸς ὁ παῖς εἰδότα, οὔθ' ὅποι κεχώρηκε. μᾶλλον δὲ οὔτε τὸν βίον αὐτοῦ ἐξετάσαντα ὁποῖός ἐστιν. οὐ γὰρ ἂν τὴν ἐξ αὐτοῦ μετάστασιν ὥς τι τῶν δεινῶν ἐδυσχέραινεν. εἴποι δ' ἂν τὸν πρὸς αὐτὸν ὁ παῖς, παραιτησάμενος τὸν Αἰακὸν, καὶ τὸν Αἰδωνέα πρὸς ὀλίγον τοῦ στομίου ὑπερκύψαι, καὶ τὸν πατέρα παύσασθαι ματαιάζοντα, ὦ κακόδαιμον ἄνθρωπε, τί κέκραγας; τί δέ μοι παρέχεις πράγματα; παῦσαι τιλλόμενος τὴν κόμην, καὶ τὸ πρόσωπον ἐξ ἐπιπολῆς ἀμύσσων. τί μοι λοιδορῇ, καὶ ἄθλιον ἀποκαλεῖς, καὶ δύσμορον, πολύ σου βελτίω, καὶ μακαριώτερον γεγενημένον; ἢ τί σοι δεινὸν πάσχειν δοκῶ; ἢ διότι μὴ τοιοῦτος γέρων ἐγενόμην, οἷος εἶ σύ, φαλακρὸς μὲν τὴν κεφαλήν, τὴν δὲ ὄψιν ἐρρυτιδωμένος, κυφὸς, καὶ τὰ γόνατα νωθὴς, καὶ ὅλως, ὑπὸ τοῦ χρόνου σαθρὸς, πολλὰς τριακάδας, καὶ ὀλυμπιάδας ἀναπλήσας, καὶ τὰ τελευταῖα δὴ ταῦτα, παραπαίων ἐπὶ τοσούτων μαρτύρων; ὦ μάταιε, τί σοι χρηστὸν εἶναι δοκεῖ παρὰ τὸν βίον, οὗ μηκέτι μεθέξομεν; ἢ τοὺς πότους ἐρεῖς δηλονότι, καὶ τὰ δεῖπνα, καὶ ἐσθῆτα, καὶ ἀφροδίσια, καὶ δέδιας μὴ τού-

των

πένδεης γενόμενος, ἀπόλωμαι; οὐκ ἐννοεῖς ὅτι τὸ μὴ διψῆν, πολὺ κάλλιον τοῦ πιεῖν, καὶ τὸ μὴ πεινῆν, τοῦ φαγεῖν, καὶ τὸ μὴ ῥιγοῦν, τοῦ ἀμπεχόνης εὐπορεῖν; φέρε τοίνυν ἐπειδὴ ἔοικας ἀγνοεῖν, διδάξομαί σε θρηνεῖν ἀληθέστερον. καὶ διαναλαβὼν ἐξ ὑπαρχῆς, βόα, τέκνον ἄθλιον, οὐκέτι διψήσεις, οὐκέτι πεινήσεις, οὐ ῥιγώσεις. οἴχῃ μοι κακόδαιμον, ἐκφυγὼν τὰς νόσους, οὐ πυρετὸν ἔτι δεδιώς, οὐ πολέμιον, οὐ τύραννον. οὐκ ἔρως σε ἀνιάσει, οὐδὲ συνουσία παραξέψει, οὐδὲ σπαθήσεις ἐπὶ τούτου δὶς ἢ τρὶς τῆς ἡμέρας. ὢ τῆς συμφορᾶς. οὐδὲ καταφρονηθήσῃ, γέρων γενόμενος, οὐδὲ βαρὺς ἔσῃ τοῖς νέοις, βλεπόμενος. ἂν ταῦτα λέγῃς ὦ πάτερ, οὐκ οἴει πολὺ ἀληθέστερα, καὶ γελοιότερα ἐκείνων ἐρεῖν; ἀλλὰ ὅρα μὴ τόδε σε ἀνιᾷ, ὅτι δνοφερὸν τὸ παρ' ἡμῖν ζόφος, ὅτι τὸ πολὺ σκότος. κᾆτα δέδιας μή σοι ἀποπνιγῶ κατακλεισθεὶς ἐν τῷ μνήματι; χρὴ δὲ πρὸς ταῦτα λογίζεσθαι ὅτι τῶν ὀφθαλμῶν διασαπέντων, ἢ καὶ νὴ Δία καέντων, μετ' ὀλίγον, εἴγε καῦσαί με διεγνώκατε, οὔτε σκότους, οὔτε φῶς ὁρᾶν δεησόμεθα. καὶ ταῦτα μὲν ἴσως μέτρια. τί δέ με ὁ κωκυτὸς ὑμῶν ὀνίνησι, καὶ ἡ πρὸς τὸν αὐλὸν αὕτη στερνοτυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πτία, καὶ ἡ τῶν γυναικῶν πολὺ τὸν θρῆνον ἀμέτρως; τί δὲ ὁ ὑπὲρ τοῦ τάφου λίθος ἐστεφανωμένος; ἢ τί ὑμῖν δύναται τὸν ἄκρατον ἐπιχεῖν; εἰ μὴ νομίζετε καταστάξειν αὐτὸν πρὸς ἡμᾶς, καὶ μέχρι τοῦ ᾅδου διίξεσθαι; τὰ μὲν γὰρ ἐπὶ τῶν καταγισμῶν, καὶ αὐτοὶ ὁρᾶτε οἶμαι, ὡς τὸ μὲν νοστιμώτατον τῶν παρεσκευασμένων, ὁ καπνὸς παραλαβὼν, ἄνω εἰς τὸν οὐρανὸν οἴχεται, μηδέν τι ἡμᾶς ὀνήσας τοὺς κάτω. τὸ δὲ καταλειπόμενον, ἡ κόνις, ἀχρεῖον, ἐκτὸς εἰ μὴ τὴν σποδὸν ἡμᾶς σιτεῖσθαι πεπιστεύκατε. οὐχ οὕτως ἄσπορος, οὐδὲ ἄκαρπος ἡ τοῦ Πλούτωνος ἀρχή, οὐδ' ἐπιλέλοιπεν ἡμᾶς ὁ ἀσφόδελος, ἵνα παρ' ὑμῶν τὰ σιτία μεταστελλώμεθα. ὥστε μοι νὴ τὴν Τισιφόνην, πάλαι δὴ ἐφ' οἷς ἐποιεῖτε, καὶ ἐλέγετε, παμμέγεθες ἐπῄει ἀνακαγχάσαι. διεκώλυσε δὲ ἡ ὀθόνη, καὶ τὰ ἔρια, οἷς μου τὰς σιαγόνας
,, ἀπεσφίγξατε. ὣς ἄρα μιν εἰπόντα, τέλος θα-
,, νάτοιο κάλυψε. πρὸς Διὸς δέ, ἢν λέγῃ ταῦτα ὁ νεκρὸς ἐπιστραφείς, ἀνακλίνας αὑτὸν ἐπ' ἀγκῶνος, οὐκ ἂν οἰόμεθα δικαιότατα ἂν αὐτὸν εἰπεῖν; ἀλλ' ὅμως οἱ μάταιοι καὶ βοῶσι. καὶ μεταστειλάμενοί τινα θρήνων σοφιστήν, πολλὰς συνειλοχότα παλαιὰς συμφοράς, τούτῳ συναγωνιστῇ, καὶ χορηγῷ τῆς ἀνοίας καταχρῶνται,

ὅπῃ

ὅποι ἂν ἐκεῖνος ἐξάρχῃ, πρὸς τὸ μέλος ἐπαιάζοντες. καὶ μέχρι μὲν θρήνων, ὁ αὐτὸς ἅπασι νόμος τῆς ἀβελτηρίας. τὸ δ' ἀπὸ τούτων διελόμενοι κατὰ ἔθνη τὰς ταφάς, ὁ μὲν Ἕλλην, ἔκαυσεν. ὁ δὲ πέρσης ἔθαψεν. ὁ δ' ἰνδὸς, ὑάλῳ περιχρίει. ὁ δὲ σκύθης κατεσθίει. ταριχεύει δὲ ὁ αἰγύπτιος. οὗτος μὲν γε, λέγω δὲ ἰδὼν, ξηράνας τὸν νεκρὸν, σύνδειπνον, καὶ συμπότην ἐποιήσατο. πολλάκις δὲ καὶ δεομένῳ χρημάτων ἀνδρὶ αἰγυπτίῳ, ἔλυσε τὴν ἀπορίαν, ἐνέχυρον ἢ ὁ ἀδελφὸς, ἢ ὁ πατὴρ γενόμενος ἐν καιρῷ. χώματα μὲν γὰρ, καὶ πυραμίδες, καὶ στῆλαι, καὶ ἐπιγράμματα, πρὸς ὀλίγον διαρκοῦντα, πῶς οὐ περιττὰ, καὶ παιδιαῖς προσεοικότα; καίτοι καὶ ἀγῶνας ἔνιοι διέθεσαν, καὶ λόγους ἐπιταφίους εἶπον ἐπὶ τῶν μνημάτων, ὥσπερ συναγορεύοντες, ἢ μαρτυροῦντες, παρὰ τοῖς κάτω δικασταῖς τῷ νεκρῷ. ἐπὶ πᾶσι γύρις, τὸ περίδειπνον. καὶ πάρεισιν οἱ προσήκοντες, καὶ τοὺς γονέας παραμυθοῦνται τοῦ τετελευτηκότος, καὶ πείθουσι γεύσασθαι ὡς οὐκ ἀηδῶς μὰ Δί', οὐδ' αὐτοὺς ἀναγκαζομένους, ἀλλ' ἤδη ὑπὸ λιμοῦ τριῶν ἑξῆς ἡμερῶν ἀπηυδηκότας. καὶ μέχρι μέν τινος ὀδυρόμεθα, ἔασον ἀναπαύσασθαι τοὺς τοῦ μακαρίτου δαίμονας. εἰ δὲ

καὶ τὸ πρᾶγμα ἀπαγκλάειν διέγνωκας, ἄριστόν τε τούτου ἕνεκα χρὴ μὴ ἀπόσιτον εἶναι, ἵνα καὶ διαρκέσῃς πρὸς τὸ τοῦ πένθους τὸ μέγεθος. ἴστε δὴ τότε πρὸς ἁπάντων ῥαψῳδοῦνται δύο τοῦ Ὁμήρου

» στίχοι. καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σί-

» του. καὶ, γαστέρι δ' οὔπως ἐστὶ νέκυν πενθῆσαι

» Ἀχαιούς. οἱ δὲ, ἅπτονται μὲν, αἰσχυνόμενοι δὲ τὰ πρῶτα, καὶ δεδιότες, εἰ φανοῦνται μετὰ τὴν τελευτὴν τῶν φιλτάτων τοῖς ἀνθρωπίνοις πάθεσιν ἐμμένοντες. ταῦτα, καὶ πολὺ τούτων γελοιότερα εὕροι τις ἂν ἐπιτηρῶν ἐν τοῖς πένθεσι γιγνόμενα, διὰ τὸ τοὺς πολλοὺς τὸ μέγιστον τῶν κακῶν τὸν θάνατον οἴεσθαι.

## ΡΗΤΟΡΩΝ ΔΙΔΑΣΚΑΛΟΣ.

Ἐρωτᾷς ὦ μειράκιον ὅπως ἂν ῥήτωρ γένοιο, καὶ τὸ σεμνότατον τοῦτο, καὶ πάνδημον ὄνομα, σοφιστὴς αὐτὸς εἶναι δόξῃς. ἀβίωτα γὰρ εἶναί σοι φῄς, εἰ μὴ τοιαύτην τινὰ τὴν δύναμιν περιβάλλοιο ἐν τοῖς λόγοις, ὡς ἄμαχον εἶναι, καὶ ἀνυπόστατον, καὶ θαυμάζεσθαι πρὸς ἁπάντων, καὶ ἀποβλέπεσθαι, περισπούδαστον ἄκουσμα τοῖς Ἕλλησι δοκοῦντα. καὶ δὴ τὰς ἐπὶ τοῦτο ἀγούσας ὁδοὺς, αἵτινές ποτέ εἰσιν ἐθέλεις ἐκμαθεῖν. ἀλλ' οὐ διὶ φθόνος ὦ παῖ. καὶ μάλιστα ὁπότε νέος

τις

τῆς αὐτοῦ σῶν, ὀρεγόμενος τῶν ἀρίστων, οὐκ εἰ-
δὼς ὅθεν ἂν ταῦτα ἐκπορίσαιο, ἱερὸν δὲ χρῆ-
μα τὴν συμβουλὴν οὖσαν, καθάπερ νῦν σὺ,
παρ' αὐτοῖς προσελθών. ὥστε ἄκουε τό γε ἐπ' ἐ-
μοί. καὶ πάνυ θαρρῶν, ὡς μάλιστα δεινὸς αὐτὸς ἔ-
σῃ γνῶναί τε τὰ δέοντα, καὶ ἑρμηνεῦσαι αὐ-
τά, ἤν γε μετὰ ταῦτα ἐθελήσῃς αὐτοῖς ἐμμένειν,
οἷς ἂν ἀκούσῃς παρ' ἡμῶν, καὶ φιλοπόνως αὐ-
τὰ μελετᾶν, καὶ προθύμως ἀνύειν τὴν ὁδὸν,
ἔστ' ἂν ἀφίκῃ πρὸς τὸ τέρμα. τὸ μὲν οὖν θήραμα,
οὐ σμικρὸν, οὐδὲ ὀλίγης τῆς σπουδῆς δεόμενον, ἀλ-
λὰ ἐφ' ὅτῳ καὶ πονῆσαι πολλὰ, καὶ ἀγρυπνῆσαι,
καὶ πᾶν ὁτιοῦν ὑπομεῖναι ἄξιον. σκόπει γοῦν ὁπό-
σοι τέως μηδὲν ὄντες, ἔνδοξοι, καὶ πλούσιοι, καὶ νὴ
Δί' εὐγενέστατοι ἔδοξαν ἀπὸ τῶν λόγων. ὅμως δὲ,
μὴ δέδιθι, μηδὲ πρὸς τὸ μέγεθος τῶν ἐλπιζομέ-
νων ἀποδυσπετήσῃς, μυρίους τινὰς ἐπὶ τούτοις πόνους
προπονήσειν οἰηθείς. οὐ γάρ σε τραχεῖάν τι-
να, οὐδὲ ὄρθιον, καὶ ἱδρῶτος μεστὴν ἡμεῖς γε
ἄξομεν, ὡς ἐκ μέσης αὐτῆς ἀναστρέψαι κα-
μόντα. ἐπεὶ οὐδὲν ἂν διεφέρομεν τῶν ἄλλων,
ὅσοι τὴν συνήθη ἐκείνην ἡγοῦνται, μακρὰν, καὶ
ἀνάντη, καὶ καματηρὰν, καὶ ὡς τὸ πολὺ ἀ-
πεγνωσμένην. ἀλλὰ τόπερ παρ' ἡμῶν ἐξαίρε-
τον τῆς συμβουλῆς, τοῦτό ἐστιν, ὅτι ἡδίστην

τέ ἅμα, καὶ ἐπιθυμωτάτην, καὶ ἱππήλατον, καὶ κατάντη σὺν πολλῇ τῇ θυμηδίᾳ, καὶ τρυφῇ, διὰ λειμώνων εὐανθῶν, καὶ σκιᾶς ἀκριβοῦς, σχολῇ, καὶ βάδην ἀνιὼν, ἀνιδρωτὶ ἐπιστήσῃ τῇ ἄκρᾳ, καὶ ἀγρεύσεις οὐ καμών. καὶ νὴ Δί' εὐωχήσῃ κατακείμενος ἐκ πίονος, ὁπόσοι τὴν ἑτέραν ἐτράποντο ἀπὸ τοῦ ὑψηλοῦ ἐπισκοπῶν ἐν τῇ ἀπορείᾳ τῆς ἀνόδου. ἔτι κατὰ δυσβάτων, καὶ ὀλισθηρῶν τῶν κρημνῶν μόλις ἀνέρποντας, ἀποκυλιομένους ἐπὶ κεφαλὴν ἐνίοτε, καὶ πολλὰ τραύματα λαμβάνοντας περὶ τραχείαις ταῖς πέτραις. σὺ δὲ πρὸ πολλοῦ ἄνω ἐστεφανωμένος, εὐδαιμονέστατος ἔσῃ, ἅπαντα ἐν βραχεῖ ὅσα ἐστὶν ἀγαθὰ παρὰ τῆς ῥητορικῆς μονονουχὶ καθεύδων λαβών. ἡ μὲν δὴ ὑπόσχεσις, οὕτω μεγάλη. ἀλλὰ πρὸς Φιλίου Διὸς μὴ ἀπιστήσῃς, εἰ ῥᾷστά τε ἅμα, καὶ ἥδιστά σοι ταῦτα ἐπιδείξειν φαμέν. εἰ γὰρ Ἡσίοδος μὲν ὀλίγα φύλλα ἐκ τοῦ Ἑλικῶνος λαβὼν, αὐτίκα μάλα ποιητὴς ἐκ ποιμένος κατέστη, καὶ ᾖδε θεῶν, καὶ ἡρώων γένη, κάτοχος ἐκ μουσῶν γενόμενος, ῥήτορα δέ, ὃ πολὺ ἐνδεέστερον τῆς ποιητικῆς μεγαληγορίας ἐστὶν, ἐν βραχεῖ καταστῆναι ἀδύνατον, εἴ τις ἐκμάθοι τὴν ταχίστην ὁδὸν, ὡς ἔγωγε καὶ διηγήσασθαί σοι βούλομαι Σιδωνίου τινὸς ἐμπόρου ἐπίνοι-

αν, δι'

αὐ, δι' ἀπιστίαν ἀτελῆ γενομένην, τὸ δὲ ἀκού-
σαντι ἀνόνητον. ἦρχε μὲν γὰρ ἤδη Ἀλέξανδρος
Περσῶν, μετὰ τὴν ἐν Ἀρβήλοις μάχην, Δα-
ρεῖον καθῃρηκώς. ἔδει δὲ πανταχόσε τῆς ἀρ-
χῆς διαθεῖν τοὺς γραμματοφόρους, τὰ ἐπιτά-
γματα τοῦ Ἀλεξάνδρου κομίζοντας. ἐκ Περσῶν
δὲ, πολλὴ ἐς Αἴγυπτον ἐγίγνετο ἡ ὁδός. ἐκ-
περιιέναι γὰρ ἔδει τὰ ὄρη. εἶτα διὰ τῆς Βαβυ-
λωνίας, εἰς τὴν Ἀραβίαν ἐλθεῖν. εἶτα ἐρή-
μην πολλὴν ἐλάσαντας, ἀφικέσθαι ποτὲ
μόλις ἐς Αἴγυπτον, εἴκοσι μηκίστους ἀνδρὶ εὐζώ-
νῳ σταθμοὺς τούτους διανύσαντα. ἤχθετο οὖν
Ἀλέξανδρος ἐπὶ τούτῳ, διότι Αἰγυπτίους τι
παρακινεῖν ἀκούων, οὐκ εἶχε διὰ ταχέων ἐκ-
πέμπειν τοῖς σατράπαις τὰ δοκοῦντά οἱ πε-
ρὶ αὐτῶν. τότε δὴ ὁ Σιδώνιος ἔμπορος, ἐγώ
σοι ἔφη ὦ βασιλεῦ ὑπισχνοῦμαι δείξειν ὁδὸν,
οὐ πολλὴν ἐκ Περσῶν εἰς Αἴγυπτον. εἰ γάρ
τις ὑπερβαίη τὰ ὄρη ταῦτα, ὑπερβαίη δ' ἂν
τεταρταῖος, αὐτίκα μάλα ἐν Αἰγύπτῳ οὗτός
ἐστι. καὶ εἶχεν οὕτω. πλὴν ὅγε Ἀλέξανδρος οὐκ
ἐπίστευσεν, ἀλλὰ γόητα εἶναι τὸν ἔμπορον ᾤ-
ετο. οὕτω τὸ παράδοξον τῆς ὑποσχέσεως ἄπι-
στον ἐδόκει τοῖς πολλοῖς. ἀλλὰ μὴ σύ γε πά-
θῃς τὸ αὐτό. εἴσῃ γὰρ πειρώμενος ὡς οὐδεὶς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σε κωλύσει ῥήτορα δοκεῖν μιᾶς οὐδ' ὅλης ἡμέρας, ὑπερπτάντα τὸ ὄρος ἐκ Περσῶν ἐς Αἴγυπτον. ἐθέλω δέ σοι πρῶτον ὥσπερ ὁ κέβης ἐκεῖνος, εἰκόνα γραψάμενος τῷ λόγῳ, ἑκατέραν ἐπιδεῖξαι τὴν ὁδόν. δύο γάρ εἰσιν, αἱ πρὸς τὴν ῥητορικὴν ἄγουσαι, ἧς ἐρᾶν οὐ μετρίως μοι δοκεῖς. καὶ δῆτα, ἡ μὲν, ἐφ' ὑψηλοῦ καθήσθω, πάνυ καλὴ, καὶ εὐπρόσωπος, τὸ τῆς Ἀμαλθείας κέρας ἔχουσα ἐν τῇ δεξιᾷ, παντοίοις καρποῖς ὑπερβρύον. ἐν θατέρᾳ δέ μοι δόκει τὸν πλοῦτον παρεστῶτα ὁρᾶν, χρυσοῦν ὅλον ὄντα, καὶ ἐπέραστον. καὶ ἡ δόξα δὲ, καὶ ἡ ἰσχὺς παρέστωσαν, καὶ οἱ ἔπαινοι περὶ πᾶσαν αὐτὴν, ἔρωσι μικροῖς ἐοικότες, πολλοὶ ἁπανταχόθεν περιπλεκέσθωσαν ἐκπετόμενοι, εἴ που τὸν Νεῖλον εἶδες γραφῇ μεμιμημένον. αὐτὸν μὲν, κείμενον ἐπὶ κροκοδείλου τινὸς ἢ ἱπποποτάμου, οἷον οἱ πολλοὶ γράφουσιν ἐν αὐτῷ. μικρὰ δέ τινα παιδία παρ' αὐτὸν παίζοντα· πήχεις αὐτοὺς οἱ Αἰγύπτιοι καλοῦσι. τοιοῦτοι καὶ περὶ τὴν ῥητορικὴν οἱ ἔπαινοι. πρόσει δὴ σὺ ὁ ἐραστὴς, ἐπιθυμῶν δηλαδὴ ὅτι τάχιστα γενέσθαι ἐπὶ τῆς ἄκρας, ὡς γαμήσειάς τε αὐτὴν ἀνελθὼν, καὶ πάντα ἐκεῖνα ἔχοις, τὸν πλοῦτον, τὴν δόξαν, τοὺς ἐπαίνους. νόμῳ γὰρ ἅπαντα γίγνεται



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν γεγηρακότων. εἶτα ἐπειδὰν πλησιάσῃς τῷ ὄρει, τὸ μὲν πρῶτον, ἀπογινώσκεις τὴν ἄνοδον, καὶ τὸ πρᾶγμα ὅμοιόν σοι εἶναι δοκεῖ, οἵα ἡ Ἄορνος ἐφάνη τοῖς Μακεδόσιν, ἀπόξυρον αὐτὴν ἅπαν ταχόθεν ἰδοῦσιν, ἀτεχνῶς οὐδὲ ὀρνέοις ὑπερπτῆναι ῥᾳδίαν, Διονύσου τινὸς, ἢ Ἡρακλέους εἰ μέλλοι καθαιρεθήσεσθαι δεομένην. ταῦτά σοι δοκεῖ τὸ πρῶτον. εἶτα μετ' ὀλίγον, ὁρᾷς δύο τινὰς ὁδοὺς, μᾶλλον δὲ, ἡ μὲν, ἀτραπός ἐστι στενὴ, καὶ ἀκανθώδης, καὶ τραχεῖα, πολὺ τὸ δίψος ἐμφαίνουσα, καὶ ἱδρῶτα. καὶ ἔφθη δὲ ἤδη Ἡσίοδος, εὖ μάλα ὑποδείξας αὐτήν. ὥστε οὐδὲν ἐμοῦ δεήσει. ἡ ἑτέρα δὲ, πλατεῖα, καὶ ἀνθηρὰ, καὶ εὔυδρος, τοιαύτη, οἵαν μικρῷ πρόσθεν εἶπον, ἵνα μὴ καὶ τὰ αὐτὰ λέγων πολλάκις, ἐπέχω σε ἤδη ῥήτορα εἶναι δυνάμενον. τὴν τοσοῦτο προσθήσειν μοι δοκῶ, ὅτι ἡ μὲν τραχεῖα ἐκείνη, καὶ ἀνάντης, οὐ πολλὰ ἴχνη τῶν ὁδοιπόρων εἶχεν. εἰ δέ τινα, πάνυ παλαιά. καὶ ἔγωγε κατ' ἐκείνην ἄθλιος ἀνῆλθον, τοσαῦτα καμὼν, οὐδὲν δέον. ἡ ἑτέρα δὲ, ἅτε ὁμαλὴ οὖσα, καὶ ἀγκύλον οὐδὲν ἔχουσα, πόρρωθέν μοι ἐφάνη, οἵα ἐστὶν, οὐχ ὁδεύσαντι ἀπ' αὐτῆς. οὐ γὰρ ἑώρων νέος ἔτι ὢν τὸ βέλτιον. ἀλλὰ τὸν ποιητὴν ἐκεῖνον ἀληθεύειν ᾤμην, λέγοντα ἐκ τῶν πόνων φύεσθαι τὰ ἀγαθά. τὸ δ' οὐκ

εἶχεν οὕτως. ἀπονητὶ γοῦν ὁρῶ τοὺς πολλοὺς μειζόνων ἀξιουμένους, εὐμοιρίᾳ τῆς αἱρέσεως τῆς τῶν λόγων, καὶ ὁδῶν. ἐπεὶ δ' οὖν εἰς τὴν ἀρχὴν ἀφικόμενος, εὖ οἶδα ὅτι ἀπορήσεις. καὶ ἤδη ἀπρεξεστέραν καὶ φραστέον. ὡς οὖν περιήξας ἤδη, ῥᾷστα ἐπὶ τὸ ἀκρότατον ἀναβήσῃ, καὶ εὐδαιμονήσεις, καὶ γαμήσεις, καὶ θαυμαστὸς πᾶσι δόξεις, ἐγώ σοι φράσω. ἱκανὸν γὰρ τὸ ἑαυτὸν ἐξαπατηθῆναι, καὶ πονῆσαι. σοὶ δέ, ἄσπορα, καὶ ἀνήροτα φυέσθω πάντα, καθάπερ ἐπὶ τοῦ Κρόνου. εὐθὺς οὖν πρόσεισί σοι καρτερός τις ἀνήρ, ὑπόσκληρος, ἀνδρώδης τὸ βάδισμα, πολὺν τὸν ἥλιον ἐπὶ τοῦ σώματος δεικνὺς, ἀρρενωπὸς τὸ βλέμμα, ἐγρηγορώς, τῆς τραχείας ἐκείνης ὁδοῦ ἡγεμών, λήρους τινὰς ὁ μάταιος διεξιών, πρὸς σὲ ἕπεσθαί οἱ παρακελευόμενος, ὑποδεικνὺς τὰ Δημοσθένους ἴχνη, καὶ Πλάτωνος, καὶ ἄλλων τινῶν, μεγάλα μὲν, καὶ ὑπὲρ τοὺς νῦν, ἀμαυρὰ δὲ ἤδη, καὶ ἀσαφῆ τὰ πολλὰ ὑπὸ τοῦ χρόνου. καὶ φησὶν εὐδαίμονά σε ἔσεσθαι, καὶ νόμῳ γαμήσειν τὴν ῥητορικὴν, εἰ κατὰ τούτων ὁδεύσειας, ὥσπερ οἱ ἐπὶ τῶν κάλων βαίνοντες. εἰ δὲ κἂν μικρόν τι παραβαίης, ἢ ἔξω τῆς εὐθείας, ἢ ἐπὶ θάτερα μᾶλλον κλιθείης τῇ βάσει, ἐκπεσεῖσθαί σε τῆς ὀρθῆς ὁδοῦ,

καὶ ἀ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἀγρύπνους ἐπὶ τὸν γάμον. εἶτά σε κελεύσει
ζηλοῦν ἐκείνους τοὺς ἀρχαίους ἄνδρας, ἕωλα
παραδείγματα παρατιθεὶς τῶν λόγων, οὐ
ῥᾴδια μιμεῖσθαι, οἷα τὰ τῆς παλαιᾶς ἐργασίας
ἐστὶν, Ἡγησίου, καὶ τῶν ἀμφὶ Κράτητα, καὶ Νησιώ-
την, ἀπεσφιγμένα, καὶ νευρώδη, καὶ σκληρὰ,
καὶ ἀκειβῶς ἀποτεταμένα ταῖς γραμμαῖς.
πόνον δὲ, καὶ ἀγρυπνίαν, καὶ ὑδατοποσίαν, καὶ
τὸ ἀλιπαρὲς, ἀναγκαῖα ταῦτα, καὶ ἀπαραίτη-
τα φήσει. ἀδύνατον γὰρ εἶναι ἄνευ τούτων διανῦ-
σαι τὴν ὁδόν. ὃ δὲ πάντων ἀνιαρότατον, ὅτι
καὶ τὸν χρόνον πάμπολυν ὑπογράφει τῆς ὁ-
δοιπορίας, ἔτη πολλὰ, οὐ κατὰ ἡμέρας, οὐ κα-
τὰ τριακάδας, ἀλλὰ κατὰ ὀλυμπιάδας ὅ-
λας ἀριθμῶν, ὡς προαποκαμεῖν τὸν ἀκούοντα,
καὶ ἀπαγορεῦσαι, πολλὰ χαίρειν φάσκοντα τῇ
ἐλπιζομένῃ ἐκείνῃ εὐδαιμονίᾳ. πρὸς δὲ τού-
τοις, οὐδὲ μισθοὺς ὀλίγους ἀπαιτεῖν τῶν τοσού-
των κακῶν. ἀλλὰ οὐκ ἂν ἡγήσαιτό σοι, εἰ μὴ
μεγάλα πρότερον λάβοι. ὁ μὲν, ταῦτα φή-
σει, ἀλαζὼν, καὶ ἀρχαῖος ὡς ἀληθῶς, καὶ κρονικὸς
ἄνθρωπος, νεκροὺς εἰς μίμησιν παλαιοὺς προτι-
θεὶς, καὶ ἀνορύττειν ἀξιῶν λόγους πάλαι κατο-
ρωρυγμένους, ὥς τι μέγιστον ἀγαθὸν, μαχαιρο-
ποιοῦ υἱὸν, καὶ ἄλλον ἀτρομήτου τινὸς γραμμα

πιστοῦ, ζηλοῦν ἀξιῶν, καὶ ταῦτα, ἐν εἰρήνῃ μήτε Φι
λίππου ἐπιόντος, μήτε Ἀλεξάνδρου ἐπιτάττον
τος. ὁπότε τὰ ἐκείνων ἴσως ἐδόκει χρήσιμα, οὐκ
εἰδὼς ὁποία νῦν κεκαινοτόμηται, ταχεῖα, καὶ ἀπρά
γμων, καὶ ἐς τὸ εὐθὺ τῆς ῥητορικῆς ὁδός. σὺ δὲ μή
τε πείθεσθαι, μήτε προσέχειν αὐτῷ, μή σε ἐκτρα
χηλίσῃ που παραλαβών, ἢ τὸ τελευταῖον, προγη
ράσαι τοῖς πόνοις παρασκευάσῃ. ἀλλὰ εἰ πάν
τως ἐρᾷς, καὶ τάχιστα ἐθέλεις τῇ ῥητορικῇ συνεῖ
ναι, ἀκμάζων ἔτι, ὡς καὶ σπουδάζοιο πρὸς αὐτῆς,
ἴθι τῷ μὲν δασεῖ τούτῳ, καὶ πέραν τοῦ μετρίου
ἀνδρικῷ, μακρὰ χαίρειν λέγε, ἀναβαίνειν αὐτὸν,
καὶ ἄλλους, ὁπόσους ἂν ἐξαπατᾶν δύνηται ἀνά
γειν, καταλιπὼν ἀσθμαίνοντας, καὶ πολλῷ ἱ
δρῶτι σωνόντας. πρὸς δὲ τὴν ἑτέραν ἐλθὼν,
εὑρήσεις πολλοὺς καὶ ἄλλους. ἐν τούτοις δέ, καὶ
πάνσοφόν τινα, καὶ πάγκαλον ἄνδρα, διασεσα
λευμένον τὸ βάδισμα, ἐπικεκλασμένον τὸν
αὐχένα, γυναικεῖον τὸ βλέμμα, μελιχρὸν τὸ
φώνημα, μύρων ἀποπνέοντα, τῷ δακτύλῳ ἄ
κρῳ τὴν κεφαλὴν κνώμενον. ὀλίγας μὲν ἔτι,
οὔλας δέ, καὶ ὑακινθίνας τὰς τρίχας εὐθετί
ζοντα, πάναβρόν τινα Σαρδανάπαλον, ἢ Κινύ
ραν, ἢ αὐτὸν Ἀγάθωνα, τὸν τῆς τραγῳδίας ἐπέ
ραστον ἐκεῖνον ποιητήν. λέγω δὲ ὡς ἀπὸ τούτων
γνωρί

γνωρίζοις αὐτόν, μηδέ σε οὕτω θεσπέσιον χρῆ-
μα, καὶ φίλον Ἀφροδίτῃ, καὶ χάρισι, διαλάθοι.
καί τοι τί φημι. κἂν εἰ μύοντι γάρ σοι προσελ-
θὼν εἴποι τι, τὸ ὑμήττιον ἐκεῖνο ἀνοίξας στόμα,
καὶ τὴν συνήθη φωνὴν ἀφίῃ, μάθοις ἂν ὡς οὐχὶ
τῶν καθ' ἡμᾶς τίς ἐστιν, οἳ ἀρούρης καρπὸν ἔδο-
μεν, ἀλλά τι ξένον φάσμα δρόσῳ, ἢ ἀμβροσίᾳ
τρεφόμενον. τούτῳ τοίνυν προσελθών, καὶ παρα-
δοὺς σεαυτόν, αὐτίκα μάλα ῥήτωρ ἔσῃ, καὶ πε-
ρίβλεπτος, καὶ ὡς ὀνομάζει αὐτός, βασιλεὺς ἐν
τοῖς λόγοις ἀπονητὶ καταστήσῃ, τὰ τέθριππα
ἐλαύνων τοῦ λόγου. διδάξεται γάρ σε παραλα-
βὼν τὰ πρῶτα μὲν ἐκεῖνα. μᾶλλον δὲ αὐτὸς
εἰπάτω πρὸς σέ. γελοῖον γὰρ ὑπὲρ τοιούτου ῥή-
τορος ἐμὲ ποιεῖσθαι τοὺς λόγους, φαῦλον ὑπο-
κριτὴν ἴσως τῶν τοιούτων, ἢ τηλικούτων, μὴ
καὶ συντρίψω που πεσὼν τὸν ἥρωα, ὃν ὑποκρί-
νομαι. φαίη ἂν τοιγαροῦν πρὸς σὲ ὧδέ πως ἀ-
νασπασάμενος ὁπόσον ἔτι λοιπὸν τῆς κόμης. καὶ
ὑπομειδιάσας τὸ γλαφυρὸν ἐκεῖνο, καὶ ἁπα-
λόν, οἷον εἴωθεν, Αὐτοθαΐδα τὴν κωμικήν, ἢ
Μαλθάκην, ἢ Γλυκέραν τινὰ μιμησάμενος τῷ
προσηνεῖ τοῦ φθέγματος. ἄγροικον γὰρ τὸ ἀῤῥε-
νωπόν, καὶ οὐ πρὸς ἁβροῦ, καὶ ἐρασμίου ῥήτορος.
φήσει δ' οὖν πάνυ μετριάζων ὑπὲρ ἑαυτοῦ, μῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σε ὦ ἀγαθὲ ὁ Πόθος ἔπεμψε πρός με, ῥητό-
ρων τὸν ἄριστον προσειπών, ὥσπερ ὅτε Χαιρε-
φῶν ἤρετο αὐτήν, ἔδειξεν αὐτῷ ὅστις ἦν ὁ σοφώ-
τατος ἐν τοῖς τότε; εἰ δὲ μὴ τοῦτο, ἀλλὰ κατὰ
κλέος αὐτὸς ἥκεις ἀκούων ἁπάντων ὑπερεκπε-
πληγμένων τὰ ἡμέτερα, καὶ ὑμνούντων, καὶ τε-
θηπότων, καὶ ὑποπεπτηχότων, αὐτίκα μάλα
εἴσῃ πρὸς οἷόν τινα δαιμόνιον ἄνδρα ἥκεις. προσ-
δοκήσεις δὲ μηδὲν τοιοῦτον ὄψεσθαι, οἷον τόδε,
ἢ τόδε παραβαλεῖν. ἀλλ' εἴ τις ἢ Τιτυὸς, ἢ
Ὦτος, ἢ Ἐφιάλτης, ὑπὲρ ἐκείνους πάνυ φανεῖ-
ταί σοι τὸ πρᾶγμα ὑπερφυὲς, καὶ τεράστιον. ἐπὶ
τοὺς τε ἄλλους τοσοῦτον ὑπερφωνοῦντα εὑρήσεις,
ὁπόσον ἡ σάλπιγξ τοὺς αὐλοὺς, καὶ οἱ τέττιγες
τὰς μελίττας, καὶ οἱ χοροὶ τοὺς ἐνδιδόντας.
ἐπεὶ δὲ καὶ ῥήτωρ αὐτὸς ἐθέλεις γενέσθαι, καὶ
τοῦτο οὐκ ἂν παρ' ἄλλου ῥᾷον μάθοις, ἕπου μό-
νον ὦ κλητίου μέλημα οἷς ἂν εἴπω, καὶ ζήλου
πάντα. καὶ τοὺς νόμους, οἷς ἂν ἐπιτάξω χρῆσθαι,
ἀκριβῶς μοι παραφύλαττε. μᾶλλον δὲ ἤδη
προχώρει, μηδὲν ὀκνήσας, μηδὲ ἀποθεὶς, εἰ
μὴ προετελέσθης ἐκεῖνα τὰ πρὸ τῆς ῥητορι-
κῆς, ὁπόσα ἡ ἄλλη προπαιδεία τοῖς ἀνοή-
τοις καὶ ματαίοις μετὰ πολλοῦ καμάτου ὁ-
δοποιεῖ. οὐδὲν γὰρ αὐτῶν δεήσῃ. ἀλλ' ἀνίπτοις

τοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῖς ποσὶν, ἡ παροιμία φησὶν, ἔμβαινε, οὐ μὴν ἀλλ' ἔξων διὰ τοῦτο, οὐδ' ἂν τὸ κοινότατον μὴ δὲ γράφειν τὰ γράμματα εἰδῇς. ἄλλο γάρ τι παρὰ πάντα ταῦτα ὁ ῥήτωρ. λέξω δὲ πρῶτον μὲν ὁπόσα χρὴ αὐτόν σε οἴκοθεν ἔχοντα ἥκειν ἐφόδια πρὸς τὴν πορείαν, καὶ ὅπως ἐπισιτισάμενος, ὡς ἂν τάχιστα διανύσαι δυνηθείης. ἔπειτα δὲ αὐτὸς, ἃ μὲν προϊόντι ἐπιδεικνὺς κατὰ τὴν ὁδὸν, ἃ δὲ καὶ παραινῶν πρὶν ἥλιον δῦναι, ῥήτορά σε ὑπὲρ τοὺς πάντας ἀποφανῶ, οἷος αὐτός εἰμι, ἀναμφιλέκτως τὰ πρῶτα, καὶ μέσα, καὶ τελευταῖα τῶν λέγειν ἐπιχειρούντων ἔχων. κόμιζε τοίνυν τὸ μέγιστον μὲν, τὴν ἀμαθίαν. εἶτα, θράσος ἐπὶ τούτοις. καὶ τόλμαν, καὶ ἀναισχυντίαν. αἰδῶ δὲ, ἢ ἐπιείκειαν, ἢ μετριότητα, ἢ ἐρύθημα οἴκοι ἀπόλιπε. ἀχρεῖα γὰρ, καὶ ὑπεναντία τῷ πράγματι. ἀλλὰ μὴν καὶ βοὴν ὅτι μεγίστην, καὶ μέλος ἀναίσχυντον, καὶ βάδισμα, οἷον τὸ ἐμόν. ταῦτα δὲ ἀναγκαῖα πάνυ, καὶ μόνα ἔστιν ὅτε ἱκανά. ἡ ἐσθὴς δὲ, ἔστω εὐανθὴς, καὶ λευκὴ, ἔργον τῆς Ταραντίνης ἐργασίας, ὡς διαφαίνεσθαι τὸ σῶμα. καὶ ἡ κρηπὶς ἀττικὴ, καὶ γυναικεία τὸ πολυσχιδές. ἢ ἐμβὰς, σικυωνία, πίλοις τοῖς λευκοῖς ἐπιπρέπουσα. καὶ ἀκόλουθοι πολλοὶ, καὶ βιβλίον ἀεί. ταῦ

τὰ μὲν οὖν αὐτὸν χρὴ συντελεῖν. τὰ δ' ἄλλα, καθ' ὁδὸν ἤδη προϊὼν, ὅρα, καὶ ἄκουε. καὶ δή σοι τοὺς νόμους διέιμι, οἷς χρώμενόν σε, ἡ ῥητορικὴ γνωριεῖ, καὶ προσήσεται, οὐδὲ ἀποστραφήσεται, καὶ σκορακιεῖ, καθάπερ ἀτέλεστόν τινα, καὶ κατάσκοπον τῶν ἀποῤῥήτων. ἀλλὰ σχήματος μὲν τὸ πρῶτον ἐπιμεληθῆναι χρὴ μάλιστα, καὶ τῆς εὐμόρφου τῆς ἀναβολῆς. ἔπειτα πεντεκαίδεκά που, ἢ οὐ πλείω γε τῶν εἴκοσιν ἀττικὰ ὀνόματα ἐκλέξας ποθὲν, καὶ ταῦτα ἀκριβῶς ἐκμελετήσας, πρόχειρα ἐπ' ἄκρας τῆς γλώττης ἔχε τὸ ἄττα, καὶ κᾆτα, καὶ μῶν, καὶ ἀμηγέπη, καὶ λῷστε, καὶ τὰ τοιαῦτα. καὶ ἐν ἅπαντι λόγῳ, καθάπερ τι ἥδυσμα ἐπίπαττε αὐτῶν. μελέτω δὲ μηδὲν τῶν ἄλλων, ἐὰν ἀνόμοια τούτοις, καὶ ἀσύμφυλα, καὶ ἀπῳδά. ἡ πορφύρα μόνον ἔστω καλὴ, καὶ εὐανθὴς, κἂν σισύρα τῶν παχειῶν τὸ ἱμάτιον ᾖ. μετὰ δὲ, ἀπόῤῥητα, καὶ ξένα ῥήματα, καὶ σπανιάκις ὑπὸ τῶν πάλαι εἰρημένα. καὶ ταῦτα συμφορήσας, ἀποτόξευε, προχειριζόμενος ἐς τοὺς προσομιλοῦντας. οὕτω γάρ σε ὁ λεὼς ὁ πολὺς ἀποβλέψονται, καὶ θαυμαστὸν ὑπολήψονται, καὶ τὴν παιδείαν ὑπὲρ αὐτοὺς, εἰ ἀποστλεγγίσασθαι μὲν τὸ ἀποξύσασθαι λέγοις. τὸ δὲ ἡλίῳ θέρεσθαι, ἀνθειλεῖσθαι, τὸν ἀῤῥαβῶνα δὲ, προτίμιον. τὸν ὄρθρ-

λὲ, ἀκροκνεφές. ἐνίοτε δὲ καὶ αὐτὸς ποίει
καινὰ, καὶ ἀλλόκοτα ὀνόματα, ἢ ὀνοματοθέτει.
τὸν μὲν ἑρμηνεῦσαι δεινὸν, εὔλεξιν καλεῖν. τὸν
συνετὸν, σοφόνουν. τὸν ὀρχηστὴν δὲ, χειρίσο-
φον. ἂν σολοικίσῃς δὲ, ἢ βαρβαρίσῃς, ἓν ἔστω
φάρμακον, ἡ ἀναισχυντία. καὶ πρόχειρον εὐθὺς
ὄνομα, οὔτε ὄντος τινὸς, οὔτε γενομένου πο-
τὲ, ἢ ποιητοῦ, ἢ συγγραφέως. ὃς οὕτω λέγειν ἐ-
δοκίμαζε σοφὸς ἀνὴρ, καὶ τὴν φωνὴν ἐς τὸ ἀ-
κρότατον ἀπηκριβωμένος. ἀλλὰ καὶ ἀναγί-
γνωσκε, τὰ παλαιὰ μὲν μὴ σύ γε, μὴ δὲ εἴ τι
ὁ λῆρος Ἰσοκράτης, ἢ ὁ χαρίτων ἄμοιρος Δη-
μοσθένης, ἢ ὁ ψυχρὸς Πλάτων, ἀλλὰ τοὺς τῶν
πρὸ ἡμῶν ὀλίγον λόγους, καὶ ἃς φασι ταύτας
μελέτας, ὡς ἔχῃς ἀπ᾽ ἐκείνων ἐπισιτισάμενος
ἐν καιρῷ καταχρῆσθαι, καθάπερ ἐκ ταμιείου
προαιρῶν. ἐπειδὰν δὲ καὶ δέῃ λέγειν, καὶ οἱ πα-
ρόντες ὑποβάλωσι τινὰς ὑποθέσεις, ἢ ἀφορ-
μὰς τῶν λόγων, ἅπαντα μὲν ὁπόσα ἂν ᾖ δυ-
σχερῆ λεγέσθω, καὶ ἐκφαυλιζέσθω, ὡς οὐδὲν
ὅλως ἀνδρώδη αὐτῶν. ἑλομένων δὲ, μὴ με-
λλήσας, λέγε ὅ,τι κεν ἐπὶ κερῆμα γλῶτταν
ἔλθῃ, μηδὲν ἐκείνων ἐπιμεληθεὶς, ὡς τὸ
πρῶτον, ὥσπερ δὴ καὶ ἔστι πρῶτον, ἐρεῖς ἐν και-
ρῷ προσήκοντι. καὶ τὸ δεύτερον, μετὰ τοῦτο.

καὶ τὸ τρίτον, μετ' ἐκεῖνο. ἀλλὰ τὸ πρῶτον ἐμ-
πεσὸν, πρῶτον λεγέσθω. καὶ ἢν οὕτω τύχῃ, περὶ
τοῦ μετώπου μὲν, ἡ κνημίς. περὶ τῆς κνήμης δὲ,
ἡ κόρυς. πλὴν ἀλλ' ἔπειγε, καὶ σύνειρε, καὶ μὴ σιώ-
πα μόνον. κἂν περὶ ὑβριστοῦ τινος, ἢ μοιχοῦ λέ-
γῃς Ἀθήνησι, τὰ ἐν Ἰνδοῖς, καὶ τὰ ἐν Ἐκβατά-
νοις λεγέσθω. ἐπὶ πᾶσι δὲ, ὁ Μαραθὼν, καὶ ὁ
Κυναίγειρος, ὧν οὐκ ἄν τι ἄνευ γένοιτο. καὶ ἀεὶ ὁ
Ἄθως πλείσθω, καὶ ὁ Ἑλλήσποντος πεζευέσθω,
καὶ ὁ ἥλιος ὑπὸ τῶν περσικῶν βελῶν σκεπέσθω,
καὶ Ξέρξης φευγέτω, καὶ ὁ Λεωνίδας θαυμαζέ-
σθω, καὶ τὰ Ὀθρυάδου γράμματα ἀναγινω-
σκέσθω. καὶ ἡ Σαλαμὶς, καὶ τὸ Ἀρτεμίσιον, καὶ αἱ
Πλαταιαὶ, πολλὰ ταῦτα, καὶ πυκνά. καὶ ἐπὶ πᾶ-
σα ὀλίγα ἐκεῖνα ὀνόματα ἐπιπολαζέτω, καὶ
ἐπανθείτω. καὶ συνεχὲς τὸ ἄττα, καὶ τὸ δήπου-
θεν, κἂν μηδαμοῦ αὐτῶν δέῃ. καλὰ γάρ ἐστι
καὶ εἰκῆ λεγόμενα. ἢν δέ ποτε καὶ ᾆσαι καιρὸς
εἶναι δοκῇ, πάντα ᾀδέσθω, καὶ μέλος γινέσθω.
κἄν ποτε ἀπορήσῃς πράγματος ᾠδικοῦ, τοὺς ἄν-
δρας τοὺς δικαστὰς ὀνομάσας ἐμμελῶς, πεπλη-
ρωκέναι οἴου τὴν ἁρμονίαν. τὸ δὲ οἴμοι τῶν κακῶν,
πολλάκις. καὶ ὁ μηρὸς παταγείσθω, καὶ λαρύγ-
γιζε, καὶ ἐπιχείρημα τοῖς λεγομένοις, καὶ βάδι-
ζε, μεταφέρων τὴν πυγήν. καὶ ἢν μέν σε μὴ

ἐπαινῶ.

ἐπαινῶσιν, ἀγανάκτει, καὶ λοιδοροῦ αὐτοῖς. ἢν δὲ ὀρθοὶ ἑστήκωσιν, ὑπὸ τῆς αἰσχύνης ἤδη πρὸς τὴν ἔξοδον ἕτοιμοι, καθίζεσθαι κέλευε. καὶ ὅλως, τυραννὶς τὸ πρᾶγμα ἔστω. ὅπως δὲ καὶ τὸ πλῆθος θαυμάζωσι τῶν λόγων, ἀπὸ τῶν Ἰλιακῶν ἀρξάμενος, ἢ καὶ νὴ Δία ἀπὸ τῶν Δευκαλίωνος, καὶ Πύῤῥας γάμων, ἢν δοκῇ, καταβίβαζε τὸν λόγον ἐπὶ τὰ νῦν καθεστῶτα. οἱ μὲν γὰρ συνιέντες, ὀλίγοι, οἳ μάλιστα μὲν σιωπήσονται ὑπὸ εὐγνωμοσύνης. ἢν δὲ καὶ λέγωσί τι, ὑπὸ φθόνου αὐτὸ δόξουσι δρᾶν. οἱ πολλοὶ δὲ, καὶ σχῆμα, καὶ φωνὴν, καὶ βάδισμα, καὶ περίπατον, καὶ μέλος, καὶ κρηπῖδα, καὶ τὸ ἄττα σου ἐκεῖνο θαυμάσονται. καὶ τὸν ἱδρῶτα ὁρῶντες, καὶ τὸ ἆσθμα, οὐχ ἕξουσιν ὅπως ἀπιστήσουσι μὴ οὐχὶ πάνδεινόν τινα ἐν τοῖς λόγοις ἀγωνιστὴν εἶναί σε. ἄλλως τε, καὶ τὸ ταχὺ τοῦτο, οὐ σμικρὰν ἔχει τὴν ἀπολογίαν. καὶ θαῦμα παρὰ τοῖς πολλοῖς, ὥστε ὅρα μήποτε γράψῃς, ἢ σκεψάμενος παρέλθῃς. ἔλεγχος γὰρ σαφὴς ταῦτά γε. οἱ φίλοι δὲ πηδάτωσαν ἀεὶ, καὶ μισθὸν τῶν δείπνων ἀποτινέτωσαν, εἴ ποτε αἴσθοιντό σε καταπεσούμενον χεῖρα ὀρέγοντες, καὶ παρέχοντες εὑρεῖν τὸ λεχθησόμενον ἐν τοῖς μεταξὺ τῶν ἐπαίνων διαλείμμασι. καὶ γὰρ αὖ καὶ τοῦτο μελέτω

σοι τὸν χορὸν ἔχειν οἰκεῖον, καὶ συνᾴδοντα. ταῦ-
τα μέν σοι τὰ ἐν τοῖς λόγοις. μετὰ ταῦτα δὲ,
προϊόντα σε, δορυφορείτω χορὸς ἐγκεκαλυμμένον
αὐτὸν, καὶ περὶ ὧν ἔφης μεταξὺ διαλαμβάνον-
τα. καὶ ἤν τις ἐντύχῃ, θαυμάσια ὑπὲρ σαυτοῦ
λέγε, καὶ ὑπερεπαίνει, καὶ ἐπαχθὴς γίνου αὐ-
τῷ. τί γὰρ ὁ παιανιεὺς πρὸς ἐμὲ, καὶ πρὸς ἕνα
ἴσως μοι τῶν παλαιῶν ὁ ἀγὼν, ἢ τὰ τοιαῦτα.
ὃ δὲ μέγιστον, καὶ πρὸς τὸ εὐδοκιμεῖν ἀναγκαιό-
τατον, ὀλίγου δεῖν παρέλιπον. ἁπάντων κατα-
γέλα τῶν λεγόντων. καὶ ἢν μέν τις καλῶς εἴ-
πῃ, ἀλλότρια, καὶ οὐχ ἑαυτοῦ δεικνύειν δοκείτω.
ἢν δὲ μετρίως ἐνεχθῇ, πάντα ἔστω ἐπιλήψι-
μα. καὶ ἐν ταῖς ἀκροάσεσι μετὰ πάντας εἰ-
σιέναι χρή. ἐπίσημον γάρ. καὶ σιωπησάντων ἁ-
πάντων, ξένον τινὰ ἔπαινον ἐπειπεῖν, τὰς ἀ-
κοὰς τῶν παρόντων ἐπιστρέφοντα, ἢ ἐνοχλήσον-
τα, ὡς ναυτιᾶν ἅπαντας ὑπὸ τοῦ φορτικοῦ τῶν
ὀνομάτων, καὶ ἐπιφράττεσθαι τὰ ὦτα. ἐπισεί-
σῃς δὲ μὴ πολλάκις τὴν χεῖρα, εὐτελὲς γὰρ,
μηδ' ἀναστῇς, πλὴν ἅπαξ ἢ δὶς τὸ πλεῖ-
στον. ὑπομειδία δὲ τὰ πολλὰ, καὶ δῆλος γίνου
μὴ ἀρεσκόμενος τοῖς λεγομένοις. ἀμφιλαφεῖς
δὲ αἱ ἀφορμαὶ τῶν μέμψεων τοῖς συκοφαντι-
κοῖς τὰ ὦτα. τὰ δὲ ἄλλα, χρὴ θαρρεῖν.

τόλμα

τόλμα δέ, καὶ ἡ ἀναισχυντία, καὶ τὸ ψεῦσμα,
πρόχειρον, καὶ ὅρκος ἐπ' ἄκροις ἀεὶ τοῖς χείλε-
σι, καὶ φθόνος πρὸς ἅπαντας, καὶ μῖσος, καὶ
βλασφημία, καὶ διαβολαὶ πιθαναί. ταῦτά σε
ἀοίδιμον ἐν βραχεῖ, καὶ περίβλεπτον ἀποφανεῖ.
τοιαῦτα μὲν τὰ φανερά, καὶ τὰ ἔξω. ἰδίᾳ δὲ
πάντα πράγματα ποιεῖν σοι δεδόχθω, κυβεύ-
ειν, μεθύσκεσθαι, λαγνεύειν, μοιχεύειν, αὐχεῖν
γε, κἂν μὴ ποιήσῃς, καὶ πρὸς ἅπαντας λέγειν,
καὶ γραμμάτια ἐπιδεικνύναι ὑπὸ γυναικῶν δῆ-
θεν γραφέντα. καλὸς γὰρ εἶναι θέλε. καί σοι μελέ-
τω ὑπὸ τῶν γυναικῶν σπουδάζεσθαι δοκεῖν. ἐς τὴν
ῥητορικὴν γὰρ καὶ τοῦτ' ἀνοίσουσιν οἱ πολλοί, ὡς δι' αὐ-
τὸ τοσοῦτο καὶ ἄχρι τῶν γυναικωνίτιδος εὐδοκιμοῦν-
τος. καὶ τὸ δεῖνα δὲ μὴ αἰδεσθείς, κἂν πρὸς ἀνδρῶν
[illegible] ἑτέρῳ ἐρᾶσθαι δοκοίης. καὶ ταῦτα, γενειήτης,
καὶ νὴ Δία φαλακρὸς ἤδη ὤν. ἀλλ' ἔστωσαν οἱ καὶ
τὸ τούτῳ συνόντες. ἢν δὲ μὴ ὦσιν, οἱ οἰκέται ἱ-
κανοί. πολλὰ γὰρ καὶ ἐκ τοῦ τοιούτου πρὸς τὴν ῥη-
τορικὴν χρήσιμα παραγίνεται. πλείων ἡ ἀ-
ναισχυντία, καὶ θράσος. ὁρᾷς ὡς λαλίστεραι αἱ
γυναῖκες, καὶ λοιδοροῦνται περιττῶς, καὶ ὑπὲρ
τοὺς ἄνδρας; εἰ δὴ τὰ ὅμοια πάσχεις, διοίσεις
τῶν ἄλλων. καὶ μὴν καὶ παρατίλλεσθαι χρὴ μάλιστα
μὲν τὰ πάντα. εἰ δὲ μή, πάντως ἐκεῖνα. καὶ

ἀνεῴχθω δέ σοι τὸ στόμα, πρὸς ἅπαντα ἡδέως κεχηνέτω, καὶ ἡ γλῶττα ὑπηρετείτω καὶ πρὸς τοὺς λόγους, καὶ πρὸς τὰ ἄλλα, ὁπόσα ἂν δύνηται. δύναται δὲ οὐ σολοικίζειν μόνον, οὐδὲ βαρβαρίζειν, οὐδὲ ληρεῖν, ἢ ἐπιορκεῖν, ἢ λοιδορεῖσθαι, ἢ διαβάλλειν, καὶ ψεύδεσθαι, ἀλλὰ καὶ νύκτωρ τι ἄλλο ὑποτελεῖν. καὶ μάλιστα ἢν πρὸς οὕτω πολλοὺς τοὺς ἔρωτας μὴ διαρκέσῃς, πάντα αὕτη γε ἐπιστάσθω, καὶ γονιμωτέρα γιγνέσθω, καὶ μηδὲν ἀποστρεφέσθω. ἢν ταῦτα ὦ παῖ καλῶς ἐκμάθῃς, δύνασαι δέ, οὐδὲν τὶ ἐν αὐρίοις βαρύ, θαρρῶν ἐπαγγέλλομαι οὐκ εἰς μακρὰν σε ἄριστον ῥήτορα, καὶ ἡμῖν ὅμοιον ἀποτελεσθήσεσθαι. τὸ μετὰ τοῦτο δέ, οὐκ ἐμὲ χρὴ λέγειν ὅσα ἐν βραχεῖ περιέσται σοι τὰ ἀγαθὰ παρὰ τῆς ῥητορικῆς. ὁρᾷς γὰρ ἐμέ, ὃς πατρὸς μὲν ἀφανοῦς, καὶ οὐδὲ καθαρῶς ἐλευθέρου ἐγενόμην, ὑπὲρ Ξόϊν, καὶ Θμοῦιν δεδουλευκότος. μητρὸς δὲ ἀκεστρίας, ἐπ' ἀμφοδίου τινός. αὐτὸς δὲ τὴν ὥραν οὐ παντάπασιν ἀδόκιμον εἶναι δόξας, τὸ μὲν πρῶτον, ὑπὸ ψιλῷ τῷ τρέφεσθαι, συνῆν τινι κακοδαίμονι, καὶ γλίσχρῳ ἐραστῇ. ἐπεὶ δὲ τὴν ὁδὸν ταύτην ῥᾴστην οὖσαν κατεῖδον, καὶ διεκπεράσας ἐπὶ τὸ ἄκρον ἐγενόμην, ὑπῆρχε γάρ μοι ὦ φίλη Ἀδράστεια, πάντα ἐκεῖνα, ἃ προεῖπον ἐφόδια, τὸ

θρά-

θράσος, ἡ ἀμαθία, ἡ ἀναισχυντία, πρῶτον μὲν,
οὐκ ἔτι ποθεινὸς ὀνομάζομαι, ἀλλ' ἤδη τοῖς Δι-
ὸς, καὶ Λήδας παισὶν ὁμώνυμος γεγένημαι. ἔ-
πειτα δὲ γραῒ συνοικήσας, τὸ πρῶτον μὲν ἐγα-
στριζόμην πρὸς αὐτῆς, ἐρᾶν προσποιούμενος γυναι-
κὸς ἑβδομηκοντούτιδος, τέτταρας ἔτι λοιποὺς
ὀδόντας ἐχούσης, χρυσίῳ καὶ τούτους ἐνδεδεμέ-
νους. πλὴν ἀλλ' ἀπό γε τὴν πενίαν, ὑπεστάμην τὸν
ἆθλον. καὶ τὰ ψυχρὰ ἐκεῖνα τὰ ἐκ τῆς σοροῦ φιλή-
ματα, ὑπερήδιστά μοι ἐποίει ὁ λιμός. εἶτα ὀ-
λίγου δεῖν, κληρονόμος ὢν εἶχον ἁπάντων κατέ-
στην, εἰ μὴ κατάρατός τις οἰκέτης ἐμήνυσεν,
ὡς φάρμακον εἴην ἐπ' αὐτὴν ἐωνημένος. ἐξω-
σθεὶς δὲ ἐπὶ κεφαλὴν, ὅμως οὐδὲ τότε ἠπόρησα
τῶν ἀναγκαίων. ἀλλὰ καὶ ῥήτωρ δοκῶ, κἂν ταῖς
δίκαις ἐξετάζομαι, προδιδοὺς τὰ πολλὰ, καὶ
τοὺς δικαστὰς τοῖς ἀνοήτοις καθυπισχνούμενος.
καὶ ἡττῶμαι μὲν τὰ πλεῖστα. οἱ φοίνικες δὲ, ἐπὶ τῇ
θύρᾳ χλωροὶ ἐστεφανωμένοι. τούτοις γὰρ ἐπὶ τοὺς δυ-
στυχεῖς χρῶμαι τοῖς δελέασιν. ἀλλὰ καὶ τὸ μισεῖ-
σθαι πρὸς ἁπάντων, καὶ ἐπίσημον εἶναί με, ἐπὶ
τῇ μοχθηρίᾳ τῶν τρόπων, καὶ πολὺ πρότερον τῶν
λόγων, καὶ τὸ δείκνυσθαι τῷ δακτύλῳ, οὗτος ἐ-
κεῖνον τὸν ἀκρότατον ἐν πάσῃ κακίᾳ λεγόμενον,
οὐ μικρὸν ἔμοιγε δοκεῖ. ταῦτά σοι παραινῶ,

νὴ τὴν πάνδημον, πολὺ πρότερον ἐμαυτοῦ παραινέσας, καὶ χάριν ἐμαυτοῦ οὐ μικρὰν ἐπισπασάμενος. εἶεν. ὁ μὲν γεννάδας εἰπὼν ταῦτα, πεπαύσεται. σὺ δέ, ἢν πεισθῇς τοῖς εἰρημένοις, καὶ δὴ παρεῖναι νόμιζε οἷπερ ἐξ ἀρχῆς ἐπόθεις ἐλθεῖν. καὶ οὐδέν σε κωλύσει ἑπομένῳ τῷ νόμῳ, ἔν τε τοῖς δικαστηρίοις κρατεῖν, καὶ ἐν τοῖς πλήθεσιν εὐδοκιμεῖν, καὶ ἐπέραστον εἶναι, καὶ γαμεῖν, οὐ γραῦν τινα τῶν κωμικῶν, καθάπερ ὁ νομοθέτης, καὶ διδάσκαλος, ἀλλὰ καλλίστην γυναῖκα, τὴν ῥητορικήν, ὡς δὲ τὸ Πλάτωνος ἐκεῖνο πτηνὸν ἅρμα ἐλαύνοντα φέρεσθαι, σοὶ μᾶλλον πρέπειν περὶ σαυτοῦ εἰπεῖν, ἢ ἐκείνῳ περὶ τοῦ Διός. ἐγὼ δέ, ἀγεννής γε, καὶ δειλός εἰμι, ἐκστήσομαι ὑμῖν τῆς ὁδοῦ, καὶ παύσομαι τῇ ῥητορικῇ προσπλάζων, ἀσύμβουλος ὢν πρὸς αὐτὴν τὰ ὑμέτερα. μᾶλλον δὲ ἤδη πέπαυμαι. ὥστε ἀκονιτὶ ἀνακηρύττεσθε, καὶ θαυμάζεσθε, μόνον ἐκεῖνο μεμνημένοι, ὅτι μὴ τῷ τάχει ἡμῶν κεκρατήκατε, ὠκύτεροι φανέντες, ἀλλὰ τῷ ῥᾴστην, καὶ πρανῆ τραπέσθαι τὴν ὁδόν.

## ΦΙΛΟΨΕΥΔΗΣ, Η ΑΠΙΣΤΩΝ.

ΤΥΧΙΑΔΗΣ.

Ἔχεις μοι ὦ Φιλόκλεις εἰπεῖν τί ποτε ἄρα τοῦτό ἐστιν, ὃ τοὺς πολλοὺς εἰς ἐπιθυμίαν τοῦ ψεύδεσθαι προάγεται, ὡς αὐ-

τούς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτούς τε χαίρειν μηδὲν ὑγιὲς λέγοντας, καὶ τοῖς τὰ τοιαῦτα διεξιοῦσι μάλιστα προσέχειν τὸν νοῦν; Φιλο. πολλὰ ὦ Τυχιάδη ἐστίν, ἃ τοὺς ἀνθρώπους ἐνίους ἀναγκάζει τὰ ψευδῆ λέγειν, ἐς τὸ χρήσιμον ἀποβλέποντας. Τυ. οὐδὲν πρὸς ἔπος ταῦτα φασίν, οὐδὲ περὶ τούτων ἠρόμην, ὁπόσοι τῆς χρείας ἕνεκα ψεύδονται. συγγνώμης γὰρ οὖν οὗτοί γε μᾶλλον καὶ ἐπαίνου τινὲς αὐτῶν ἄξιοι, ὁπόσοι ἢ πολεμίους ἐξηπάτησαν, ἢ ἐπὶ σωτηρίᾳ τῷ τοιούτῳ φαρμάκῳ ἐχρήσαντο ἐν τοῖς δεινοῖς, οἷα πολλὰ καὶ Ὀδυσσεὺς ἐποίει, τήν τε αὐτοῦ ψυχὴν ἀρνύμενος, καὶ τὸν νόστον τῶν ἑταίρων. ἀλλὰ περὶ ἐκείνων ὦ ἄριστε φημί, οἳ αὐτὸ ἄνευ τῆς χρείας τὸ ψεῦδος περὶ πολλοῦ τῆς ἀληθείας τίθενται, ἡδόμενοι τῷ πράγματι, καὶ ἐνδιατρίβοντες ἐπ' οὐδεμιᾷ προφάσει ἀναγκαίᾳ. τούτους οὖν ἐθέλω εἰδέναι, τίνος ἀγαθοῦ τοῦτο ποιοῦσιν. Φιλο. ἤ που κατανενόηκας ἤδη τινὰς τοιούτους, οἷς ἔμφυτος ἔρως οὗτός ἐστι, πρὸς τὸ ψεῦδος; Τυ. καὶ μάλα πολλοί εἰσιν οἱ τοιοῦτοι. Φιλ. τί δ' οὖν ἄλλο, ἢ ἄνοιαν χρὴ αἰτίαν εἶναι αὐτοῖς φάναι τοῦ μὴ ἀληθῆ λέγειν, εἴπερ τὸ χεῖρον ἀντὶ τοῦ βελτίστου προαιροῦνται; Τυ. οὐδὲν τοῦτο, ἐπεὶ πολλοὺς ἂν ἐγώ σοι δείξαιμι, συνετοὺς τἆλλα, καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν γνώμην θαυμασίους, οὐκ οἶδ' ὅπως ἑαλωκότας τούτῳ τῷ κακῷ, καὶ φιλοψευδεῖς ὄντας, ὡς ἀνιᾶσθαί με, εἰ τοιοῦτοι ἄνδρες ἄριστοι τὰ πάντα, ὅμως χαίρουσιν αὐτοί τε, καὶ τοὺς ἐντυγχάνοντας ἐξαπατῶντες. ἐκείνους μὲν γὰρ τοὺς παλαιοὺς πρὸ ἐμοῦ σε χρὴ εἰδέναι, τὸν Ἡρόδοτον, καὶ Κτησίαν τὸν Κνίδιον, καὶ πρὸ τούτων, τοὺς ποιητὰς, καὶ τὸν Ὅμηρον αὐτὸν, ἀοιδίμους ἄνδρας ἐγγράφῳ τῷ ψεύσματι κεχρημένους, ὡς μὴ μόνον ἐξαπατᾶν τοὺς τότε ἀκούοντας αὐτῶν, ἀλλὰ καὶ μέχρις ἡμῶν διικνεῖσθαι τὸ ψεῦδος, ἐκ διαδοχῆς ἐν καλλίστοις ἔπεσι, καὶ μέτροις φυλαττόμενον. ἐμοὶ γοῦν πολλάκις αἰδεῖσθαι ὑπὲρ αὐτῶν ἔπεισιν, ὁπόταν οὐρανοῦ τομὴν, καὶ Προμηθέως δεσμὰ διηγῶνται, καὶ γιγάντων ἐπανάστασιν, καὶ τὴν ἐν ᾅδου πᾶσαν τραγῳδίαν, καὶ ὡς δι' ἔρωτα ὁ Ζεὺς ταῦρος, ἢ κύκνος ἐγένετο, καὶ ὡς ἐκ γυναικός τις, ἐς ὄρνεον, ἢ ἐς ἄρκτον μετέπεσεν. ἔτι δὲ πηγάσους, καὶ χιμαίρας, καὶ γοργόνας, καὶ κύκλωπας, καὶ ὅσα τοιαῦτα, πάνυ ἀλλόκοτα, καὶ τεράστια μυθίδια, παίδων ψυχὰς κηλεῖν δυνάμενα. ἔτι τὴν μορμὼ, καὶ τὴν λάμιαν δεδιότων. καίτοι τὰ μὲν τῶν ποιητῶν, ἴσως μέτρια. τὸ δὲ καὶ πόλεις ἤδη, καὶ ἔθνη πολλὰ, κοινῇ, καὶ δημοσίᾳ ψεύδεσθαι,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θαι, πῶς οὐ γελοῖον, εἰ Κρῆτες μὲν τοῦ Διὸς τάφον δεικνύοντες οὐκ αἰσχύνονται, Ἀθηναῖοι δὲ τὸν Ἐριχθόνιον ἐκ τῆς γῆς ἀναδοθῆναί φασι, καὶ τοὺς πρώτους ἀνθρώπους ἐκ τῆς ἀττικῆς ἀναφῦναι, καθάπερ τὰ λάχανα. πολὺ σεμνότερον οὗτοι τῶν Θηβαίων, οἱ ἐξ ὄφεως ὀδόντων, σπαρτούς τινας ἀναβεβλαστηκέναι διηγοῦνται. ὃς δ' ἂν οὖν ταῦτα καταγέλαστα ὄντα, μὴ οἴηται ἀληθῆ εἶναι, ἀλλ' ἐμφόνως ἂν ἐξετάζων ταῦτα, Κοροίβου τινὸς, ἢ Μαργίτου νομίζοι τὸ πείθεσθαι, ἢ Τριπτόλεμον ἐλάσαι διὰ τοῦ ἀέρος ἐπὶ δρακόντων ὑποπτέρων, ἢ Πᾶνα ἥκειν ἐξ Ἀρκαδίας σύμμαχον εἰς Μαραθῶνα, ἢ Ὠρείθυιαν ὑπὸ τοῦ βορέου ἀναρπασθῆναι, ἀσεβὴς οὗτός γε, καὶ ἀνόητος αὐτοῖς ἔδοξεν. οὕτω προδήλοις, καὶ ἀληθέσι πράγμασιν ἀπιστῶν. ἐς τοσοῦτον ἐπικρατεῖ τὸ ψεῦδος. ΦΙΛΟ. ἀλλ' οἱ μὲν ποιηταὶ, ὦ Τυχιάδη, καὶ αἱ πόλεις δὲ, συγγνώμης τυγχάνοιεν ἄν. οἱ μὲν, τὸ ἐκ τοῦ μύθου τερπνὸν ἐπαγωγότατον ὂν, ἐγκαταμιγνύντες τῇ γραφῇ, οὗπερ μάλιστα δέονται πρὸς τοὺς ἀκροατάς. Ἀθηναῖοι δὲ, καὶ Θηβαῖοι, καὶ εἴ τινες ἄλλοι, σεμνοτέρας ἀποφαίνονται τὰς πατρίδας ἐκ τῶν τοιούτων. εἰ γοῦν τις ἀφέλοι τὰ μυθώδη ταῦτα ἐκ τῆς Ἑλλάδος, οὐδὲν ἂν κωλύσῃ λιμῷ τοὺς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

[illegible]θυμητὰς ἀστῶν διαφθαρῆναι, μὴ δὲ ἀμισθὶ τῶν ξένων τἀληθὲς ἀκούειν ἐθελησάντων. οἱ δὲ μηδεμιᾶς ἕνεκα τοιαύτης αἰτίας, ὅμως χαίροντες τῷ ψεύσματι, παγγέλοιοι εἰκότως δοκοῖεν ἄν. Τυ. εὖ λέγεις. ἐγὼ γοῦν παρὰ Εὐκράτους ἥκω σοι, τοῦ πάνυ πολλὰ τὰ ἄπιστα, καὶ μυθώδη ἀκούσας. μᾶλλον δὲ μεταξὺ λεγομένων, ἀπιὼν ᾠχόμην, οὐ φέρων τοῦ πράγματος τὴν ὑπερβολήν, ἀλλά με ὥσπερ αἱ ἐριννύες ἐξήλασαν, πολλὰ τεράστια, καὶ ἀλλόκοτα διεξιόντες. Φιλο. καίτοι ὦ Τυχιάδη, ἀξιόπιστος ὁ Εὐκράτης ἐστί. καὶ οὐδεὶς ἂν οὐδὲ πιστεύσειεν, ὡς ἐκεῖνος οὕτω βαθὺν πώγωνα καθειμένος, ἑξηκοντούτης ἀνήρ, ἔτι καὶ φιλοσοφίᾳ ξυνὼν τὰ πολλά, ὑπομείνειεν ἂν καὶ ἄλλου τινὸς ψευδομένου ἀκοῦσαι παρών, οὐχ ὅπως αὐτός τι τολμῆσαι τοιοῦτον. Τυ. οὐ γὰρ οἶσθα ὦ ἑταῖρε οἷα μὲν εἶπεν, ὅπως δὲ αὐτὰ ἐπιστώσατο, ὡς δὲ καὶ ἐπώμνυτο τοῖς πλείστοις, παραστησάμενος τὰ παιδία, ὥστε με καὶ ἀποβλέποντα ἐς αὐτὸν, ποικίλα ἐννοεῖν. ἄρτι μὲν, ὡς μεμήνοι, καὶ ἔξω εἴη τοῦ καθεστηκότος. ἄρτι δέ, ὡς γόης ὤν, ἄρα τοσοῦτον χρόνον ἐλελήθει με ὑπὸ τῇ λεοντῇ, γελοῖόν τινα πίθηκον περιστέλλων. οὕτως ἄτοπα διηγεῖτο. Φιλο. τίνα ταῦτα πρὸς ἑστίας ὦ Τυχιάδη;

ἐθέλω γὰρ εἰδέναι ἥν τινα τὴν ἀλαζονείαν
ὑπὸ τηλικούτῳ τῷ πώγωνι ἔσκεπεν. Τυ. εἰ-
ώθειν μὲν καὶ ἄλλοτε ὦ Φιλόκλεις, φοιτᾶν πρὸς
αὐτὸν, εἴ ποτε πολλὴν τὴν σχολὴν ἄγοιμι. πρῴη
ν δὲ, Λεοντίχῳ συγγενέσθαι δεόμενος, ἑταῖρος
δέ μοι ὡς οἶσθα, ἀκούσας παρὰ τοῦ παιδὸς ὡς
παρ' Εὐκράτην ἕωθεν ἀπέλθοι, νοσοῦντα ἐπι-
σκεψόμενος, ἀμφοῖν ἕνεκα, ὡς καὶ τῷ Λεοντί-
χῳ συγγενοίμην, κἀκεῖνον ἴδοιμι, ἠγνοήκειν γὰρ ὡς
νοσοίη, παραγίνομαι πρὸς αὐτὸν, εὑρίσκω δὲ
αὐτόθι τὸν μὲν Λεόντιχον, οὐκ ἔτι. ἐφθάκει γὰρ
ὡς ἔφασκον, ὀλίγον προεξεληλυθώς. ἄλλους
δὲ συχνοὺς, ἐν οἷς Κλεόδημός τε ἦν ὁ ἐκ τοῦ πε-
ριπάτου, καὶ Δεινόμαχος ὁ στωϊκὸς, καὶ Ἴων. οἶ-
σθα τὸν ἐκ τῶν Πλάτωνος λόγων θαυμάζεσθαι
ἀξιοῦντα, ὡς μόνον ἀκριβῶς κατανενοηκότα
τὴν γνώμην τοῦ ἀνδρὸς, καὶ τοῖς ἄλλοις ὑπο-
φητεῦσαι δυνάμενον. ὁρᾷς οἵους ἄνδρας σοι φη-
μὶ, πανσόφους, καὶ παναρέτους; ὅτι περ τὸ κε-
φάλαιον αὐτὸ ἐξ ἑκάστης προαιρέσεως, αἰδεσί-
μους ἅπαντας, καὶ μονονουχὶ φοβεροὺς τὴν πρό-
σοψιν. ἔτι καὶ ὁ ἰατρὸς Ἀντίγονος παρῆν, κατὰ
χρείαν οἶμαι τῆς νόσου ἐπικληθεὶς, καὶ ῥᾷον ἐδό-
κει ἤδη ἔχειν ὁ Εὐκράτης, καὶ τὸ νόσημα τῶν
συντρόφων ἦν. τὸ ῥεῦμα γὰρ, ἐς τοὺς πόδας αὖθις

αὐτὸν κατειλήφει. καθέζεσθαι οὖν με παρ' αὐτὸν ἐπὶ τῇ κλίνῃ ὁ Εὐκράτης ἐκέλευεν, ἠρέμα ἐγκλίνας τῇ φωνῇ ἐς τὸ ἀσθενικὸν, ὁπότε εἶδέ με. καί τοι βοῶντος αὐτοῦ, καὶ διατεινομένου, τι μεταξὺ εἰσιὼν ἐπήκουον. κἀγὼ μάλα πεφυλαγμένως μὴ ψαύσαιμι τῶν ποδῶν αὐτοῦ, ἀπολογησάμενος τὰ συνήθη ταῦτα, ὡς ἀγνοήσαιμι νοσοῦντα, καὶ ὡς ἐπεὶ ἔμαθον, δρομαῖος ἔλθοιμι, ἐκαθεζόμην πλησίον. οἱ μὲν δὴ ἐτύγχανον ἤδη ὑπὲρ τοῦ νοσήματος, τὰ μὲν, ἤδη προειρηκότες, τὰ δὲ, καὶ τότε διεξιόντες, ἔτι δὲ καὶ θεραπείας τινὰς ἕκαστος ὑποβάλλοντες. ὁ γοῦν Κλεόδημος, εἰ τοίνυν φησὶ τῇ ἀριστερᾷ τις ἀνελόμενος χαμόθεν τὸν ὀδόντα τῆς μυγαλῆς, οὕτω φονευθείσης ὡς προεῖπον, ἐνδήσειεν εἰς δέρμα λέοντος, ἄρτι ἀποδαρέντος, εἶτα περιάψειε περὶ τὰ σκέλη, αὐτίκα παύεται τὸ ἄλγημα. οὐκ εἰς λέοντος ἔφη ὁ Δεινόμαχος ἐγὼ ἤκουσα, ἐλάφου δὲ θηλείας, ἔτι παρθένου, καὶ ἀβάτου. καὶ τὸ πρᾶγμα οὕτω πιθανώτερον. ὠκὺ γὰρ ἡ ἔλαφος, καὶ ἔρρωται μάλιστα ἐκ τῶν ποδῶν. καὶ ὁ λέων, ἄλκιμος μὲν, καὶ τὸ λίπος αὐτοῦ, καὶ ἡ χεὶρ ἡ δεξιὰ, καὶ αἱ τρίχες ἐκ τοῦ πώγωνος αἱ ὀρθαὶ, μεγάλα δύναιντο, εἴ τις ἐπίστατο αὐτοῖς χρῆσθαι μετὰ τῆς οἰκείας

ἐπῳ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῷ δεῖσθαι ἑκάστῳ. ποδῶν δὲ ἰᾶσιν, ἥκιστα ἐπάγ
γέλλεται. καὶ αὐτὸς ἤδη ὅ γε ὁ Κλεόδημος, οὕτω
πάλαι ἐγίγνωσκον ἐλάφου χρῆναι τὸ δέρμα
...ειν, δηλοῖ ὠκὺ ἔλαφος. ἔναγχος δὲ Λίβυς ἀ-
νὴρ σοφὸς τὰ τοιαῦτα, μετεδίδαξέ με, εἰπὼν
ὠκυτέρους εἶναι τῶν ἐλάφων τοὺς λέοντας. ἀμέλει
...ρῆ, καὶ αἱροῦσιν αὐτὰς διώκοντες. ἐπῄνεσαν
οἱ παρόντες, ὡς εὖ εἰπόντος τοῦ Λίβυος. ἐγὼ
δὲ, οἴεσθε γὰρ ἔφην ἐπῳδαῖς τισι τὰ τοιαῦτα
παύεσθαι, ἢ τοῖς ἔξωθεν παρηρτήμασι, τοῦ κα
κοῦ ἔνδον διατρίβοντος; ἐγέλασαν οὖν πρὸς τὸν λό
γον μου, καὶ δῆλοι ἦσαν κατεγνωκότες μου πολ
λὴν τὴν ἄνοιαν, ἐπεὶ μὴ ἐπισταίμην τὰ προδηλό
τατα. καὶ ὑπὲρ ὧν ἂν οὐδεὶς φρονῶν ἀντείποι,
...ὴ οὐχὶ οὕτως ἔχειν. ὁ μέντοι ἰατρὸς Ἀντίγο
νος, ἐδόκει μοι ἡσθῆναι τῇ ἐρωτήσει μου. πάλαι
γὰρ ἠμελεῖτο οἶμαι, βοηθεῖν ἀξιῶν τῷ Εὐκράτει
μετὰ τῆς τέχνης, οἴνου τε παραγγέλλων ἀπέ
χεσθαι, καὶ λάχανα σιτεῖσθαι, καὶ ὅλως ὑφαι
ρεῖν τοῦ τόνου. ὁ γοῦν Κλεόδημος, ὑπομειδιῶν
ἅμα, τί λέγεις ἔφη ὦ Τυχιάδη; ἄπιστον εἶναί
σοι δοκεῖ τὸ ἐκ τῶν τοιούτων γίγνεσθαι τινὰς ὠφε
λείας ἐς τὰ νοσήματα; ἔμοιγε ἦν δ' ἐγὼ, εἰ μὴ
πάνυ τὴν ῥῖνα κορύζης μεστὸς εἴην, ὡς πιστεύ
σαιμι τὰ ἔξω, καὶ μηδὲν κοινωνοῦντα τοῖς ἔνδο

θεν, ἐπιπείροις τὰ νοσήματα, μετασχηματίων ὡς φατὲ, καὶ γοητείας τινὸς ἐνεργεῖν, καὶ τὴν ἴασιν ἐπιπέμπειν προσαρτώμενα. τὸ δ' οὐκ ἂν γένοιτο, οὐδ' ἢν ἐς τοῦ νεμείου λέοντος τὸ δέρμα ἐνδήσῃ τις ἑκκαίδεκα ὅλας μυγαλᾶς. ἐγὼ γοῦν αὐτὸν τὸν λέοντα εἶδον πολλάκις χωλεύοντα ὑπ' ἀλγηδόνων, ἐν ὁλοκλήρῳ τῷ αὑτοῦ δέρματι. πάνυ γὰρ ἰδιώτης ἔφη ὁ Δεινόμαχος εἶ, καὶ τὰ τοιαῦτα οὐκ ἐμέλησέ σοι ἐκμαθεῖν, ὅν τινα τρόπον ὠφελεῖ, τοῖς νοσήμασι προσφερόμενα. καί μοι δοκεῖς, οὐδὲ τὰ προφανέστατα ἂν παραδέξασθαι ταῦτα, τῶν ἐκ περιόδου πυρετῶν τὰς ἀποπομπάς, καὶ τῶν ἑρπετῶν τὰς καταθέλξεις, καὶ βουβώνων ἰάσεις, καὶ τἆλλα, ὁπόσα καὶ αἱ γρᾶες ἤδη ποιοῦσιν. εἰ δὲ ἐκεῖνα γίνεται ἅπαντα, τί δή ποτε οὐχὶ ταῦτα οἴῃ γίνεσθαι ὑπὸ τῶν ὁμοίων; ἀπέραντα ἦν δ' ἐγὼ ξυμπεραίνῃ ὦ Δεινόμαχε, καὶ ἥλῳ φασὶν ἐκκρούεις τὸν ἧλον. οὐδὲ γὰρ ἃ φὴς, ταῦτα δῆλα μετὰ τοιαύτης δυνάμεως γινόμενα. ἢν γοῦν μὴ πείσῃς πρότερον ἐπάγων τὸν λόγον διότι φύσιν ἔχει γίνεσθαι, τοῦ τε πυρετοῦ, καὶ τοῦ οἰδήματος δεδιότος, ἢ ὄνομα θεσπέσιον, ἢ ῥῆσιν βαρβαρικὴν, καὶ διὰ τοῦτο ἐκ τοῦ βουβῶνος δραπετεύοντος, ἔτι σοι γραῶν μῦθοι τὰ λεγόμενά ἐστι. σύ μοι δοκεῖς ἦ δ' ὃς ὁ Δεινόμα

χος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ος τὰ τοιαῦτα λέγων, οὐδὲ θεοὺς εἶναι πιστεύειν,
εἴγε μὴ οἴει τὰς ἰάσεις οἷόν τε εἶναι ὑπὸ ἱερῶν ὀνο
μάτων γίνεσθαι. τοῦτο μὲν ἦν δ' ἐγώ, μὴ λέγε
ὦ ἄριστε. κωλύει γὰρ οὐδὲν καὶ θεῶν ὄντων, ὅ-
μως τὰ τοιαῦτα ψευδῆ εἶναι. ἐγὼ δὲ καὶ θεοὺς
σέβω, καὶ ἰάσεις αὐτῶν ὁρῶ, καὶ ἃ εὖ ποιοῦσι
τοὺς κάμνοντας, ὑπὸ φαρμάκων καὶ ἰατρικῆς
ἀνιστάντες. ὁ γοῦν Ἀσκληπιὸς αὐτός, καὶ οἱ
παῖδες αὐτοῦ, ἤπια φάρμακα πάσσοντες, ἐ-
θεράπευον τοὺς νοσοῦντας, οὐ λέοντας, καὶ μυ
γαλᾶς περιάπτοντες. ἔα τοῦτον ἔφη ὁ Ἴων. ἐγὼ
δὲ ὑμῖν θαυμάσιόν τι διηγήσομαι. ἦν μὲν ἐγὼ
μειράκιον ἔτι, ἀμφὶ τὰ τέτταρα, ἢ δεκαέτης
σχεδόν. ἧκε δέ τις ἀγγέλλων τῷ πατρί, Μίδαν
τὸν ἀμπελουργὸν ἐρρωμένον ἐς τὰ ἄλλα, οἰ-
κέτην, καὶ ἐργατικόν, ἀμφὶ πληθοῦσαν ἀγο-
ράν, ὑπὸ ἐχίδνης δηχθέντα, κεῖσθαι ἤδη σεση-
πότα τὸ σκέλος. ἀναδοῦντι γὰρ αὐτῷ τὰ κλή-
ματα, καὶ ταῖς χάραξι περιπλέκοντι, προσερ-
πύσαν τὸ θηρίον, δακεῖν κατὰ τὸν μέγαν δάκτυ-
λον. καὶ τὸ μὲν, φθάσαι, καὶ καταδῦναι αὖθις
εἰς τὸν φωλεόν. τὸν δὲ, οἰμώζειν, ἀπολλύμενον
ὑπ' ἀλγηδόνων. ταῦτά τε οὖν ἀπηγγέλλετο.
καὶ τὸν Μίδαν ἑωρῶμεν αὐτὸν ἐπὶ σκίμποδος ὑπὸ
τῶν ὁμοδούλων προσκομιζόμενον, ὅλον ᾠδη-

κότα, πελιδνὸν, μυδῶντα τὴν ἐπιφάνειαν, ὀλίγον ἔτι ἐμπνέοντα. λελυπημένῳ δὴ τῷ πατρὶ, τῶν φίλων τις παρὼν, θάῤῥει ἔφη. ἐγὼ γάρ σοι ἄνδρα Βαβυλώνιον τῶν Χαλδαίων ὥς φασιν, αὐτίκα μέτειμι, ὃς ἰάσεται τὸν ἄνθρωπον. καὶ ἵνα μὴ διατρίβω λέγων, ἧκεν ὁ Βαβυλώνιος, καὶ ἀνέστησε τὸν Μίδαν, ἐπῳδῇ τινι ἐξελάσας τὸν ἰὸν ἐκ τοῦ σώματος, ἔτι καὶ προσαρτήσας τῷ ποδὶ τεθνηκυίας παρθένου λίθον, ἀπὸ τῆς στήλης ἐκκόψας καὶ τοῦτο μὲν, ἴσως μέτριον. καίτοι ὁ Μίδας αὐτὸς ἀράμενος τὸν σκίμποδα, ἐφ' οὗ ἐκεκόμιστο, ᾤχετο ἐς τὸν ἀγρὸν ἀπιών. τοσοῦτον ἡ ἐπῳδὴ ἐδυνήθη, καὶ ὁ στηλίτης ἐκεῖνος λίθος. ὁ δὲ, καὶ ἄλλα ἐποίησε θεσπέσια ὡς ἀληθῶς. ἐς γὰρ τὸν ἀγρὸν ἐλθὼν, ἕωθεν ἐπειπὼν ἱερατικά τινα ἐκ βίβλου παλαιᾶς ὀνόματα ἑπτὰ, θείῳ καὶ δᾳδὶ καθαγνίσας τὸν τόπον, περιελθὼν ἐς τρὶς, ἐξήλασεν ὅσα ἦν ἑρπετὰ ἐντὸς τῶν ὅρων. ἧκον οὖν ὥσπερ ἑλκόμενοι πρὸς τὴν ἐπῳδὴν ὄφεις πολλοὶ, καὶ ἀσπίδες, καὶ ἔχιδναι, καὶ κεράσται, καὶ ἀκοντίαι, φῦναί τε, καὶ φύσαλοι. ἐλείπετο δὲ εἷς δράκων παλαιὸς ὑπὸ γήρως οἶμαι ἐξερπύσαι μὴ δυνάμενος, παρακούσας τοῦ προστάγματος. ὁ δὲ μάγος, οὐκ ἔφη παρεῖναι ἅπαντας, ἀλλ' ἕνα τινὰ τῶν ὄφεων τὸν νεώτατον χειροτονήσας, πρεσβευτὴν ἔπεμψεν,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν δράκοντα. καὶ μετὰ μικρὸν ἧκε κἀκεῖνος. ἐ-
πεὶ δὲ συνεκυλίσθησαν, ἐνεφύσησε μὲν αὐτοῖς ὁ
Βαβυλώνιος, τὰ δὲ, αὐτίκα μάλα κατεκαύ-
θη ἅπαντα ὑπὸ τῷ φυσήματι. ἡμεῖς δὲ ἐθαυ-
μάζομεν. εἰπέ μοι ὦ Ἴων ἦν δ' ἐγώ, ὁ ὄφις ὁ
πρεσβύτης ὁ νέος, ἄρα καὶ ἐχειραγώγει τὸν δρά-
κοντα ἤδη ὥς φῂς γεγηρακότα, ἢ σκίπωνα ἔχων
ἐκεῖνος, ἐπεστηρίζετο. σὺ μὲν παίζεις ἔφη ὁ Κλεό-
δημος. ἐγὼ δὲ καὶ αὐτὸς ἀπιστότερος ὢν σοῦ πά-
λαι τὰ τοιαῦτα, ᾤμην γὰρ οὐδενὶ λόγῳ δυνατὸν
γίνεσθαι ἂν αὐτὰ πιστεῦσαι, ὅμως ὅτε τὸ πρῶ-
τον εἶδον πετόμενον τὸν ξένον τὸν βάρβαρον, ἐξ ὑ-
περβορέων δὲ ἦν ὡς ἔφασκεν, ἐπίστευσα, καὶ ἐνι-
κήθην, ἐπὶ πολὺ ἀντισχών. τί γὰρ ἔδει ποιεῖν, αὐ-
τὸν ὁρῶντα διὰ τοῦ ἀέρος φερόμενον, ἡμέρας οὔσης,
καὶ ἐφ' ὕδατος βαδίζοντα, καὶ διὰ πυρὸς διεξιόντα,
σχολῇ, καὶ βάδην. σὺ ταῦτα ἦν δ' ἐγὼ εἶδες,
τὸν ὑπερβόρεον ἄνδρα πετόμενον, ἢ ἐπὶ τοῦ ὕδα-
τος βεβηκότα; καὶ μάλα ἦ δ' ὅς ὑποδεδεμένον
γε καρβατίνας, οἷα μάλιστα ἐκεῖνοι ὑποδοῦν-
ται. τὰ μὲν γὰρ σμικρὰ ταῦτα, τί χρὴ καὶ λέ-
γειν, ὅσα ἐπεδείκνυτο, ἔρωτας ἐπιπέμπων, καὶ
δαίμονας ἀνάγων, καὶ νεκροὺς ἑώλους ἀνακα-
λῶν, καὶ τὴν ἑκάτην αὐτὴν ἐναργῆ παριστάς,
καὶ τὴν σελήνην καθαιρῶν. ἐγὼ γοῦν διηγήσο-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μου ὑμῖν ἃ εἶδον γενόμενα ὑπ' αὐτοῦ ἐν Γλαυκίου τοῦ Ἀλεξικλέους. ἄρτι γὰρ ὁ Γλαυκίας τοῦ πατρὸς ἀποθανόντος, παραλαβὼν τὴν οὐσίαν, ἠράσθη Χρυσίδος τῆς Δημαινέτου θυγατρός. ἐμοὶ δὲ διδασκάλῳ ἐχρῆτο πρὸς τοὺς λόγους. καὶ εἴ γε μὴ ὁ ἔρως ἐκεῖνος ἀπησχόλησεν αὐτόν, ἅπαντα ἂν ἤδη τὰ τοῦ περιπάτου ἠπίστατο. ὃς καὶ ὀκτωκαιδεκαέτης ὢν, ἀνέλυε, καὶ τὴν φυσικὴν ἀκρόασιν μετεληλύθει εἰς τέλος. ἀμηχανῶν δὲ ὅμως τῷ ἔρωτι, μηνύει μοι τὸ πᾶν. ἐγὼ δὲ ὥσπερ εἰκὸς ἦν, διδάσκαλον ὄντα τὸν ὑπερβόρεον ἐκεῖνον μάγον, ἄγω πρὸς αὐτόν, ἐπὶ μναῖς τέτταρσι μὲν παραυτίκα. ἔδει γὰρ προτελέσαι τι πρὸς τὰς θυσίας. ἑκκαίδεκα δὲ, εἰ τύχοι τῆς Χρυσίδος. ὁ δὲ, αὐξομένην τηρήσας τὴν σελήνην, τότε γὰρ ὡς ἐπίπαν τὰ τοιαῦτα τελεσιουργεῖται, βόθρον τε ὀρυξάμενος ἐν αἰθρίῳ τινὶ τῆς οἰκίας, περὶ μέσας νύκτας ἀνεκάλεσεν ἡμῖν, πρῶτον μὲν, τὸν Ἀλεξικλέα τὸν πατέρα τοῦ Γλαυκίου, πρὸ ἑπτὰ μηνῶν τεθνεῶτα. ἠγανάκτει δὲ ὁ γέρων ἐπὶ τῷ ἔρωτι, καὶ ὠργίζετο. τὰ τελευταῖα δὲ, ὅμως ἐφῆκεν αὐτῷ ἐρᾶν. μετὰ δὲ, τὴν Ἑκάτην τε ἀνήγαγεν ἐπαγομένην τὸν Κέρβερον, καὶ τὴν σελήνην κατέσπασε. πολύμορφόν τι θέαμα, καὶ ἄλ

λοτ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λοῖε ἄλλοι οἷον τι φανταζόμενοι. τὸ μὲν γὰρ πρῶτον, γυναικείαν μορφὴν ἐπεδείκνυτο. εἶτα βοῦς ἐγένετο πάγκαλος. εἶτα σκύλαξ ἐφαίνετο. τέλος δ' οὖν, ὁ ὑπερβόρεος ἐκ πηλοῦ ἐρωτιόν τι ἀναπλάσας, ἄπιθι ἔφη, καὶ ἄγε Χρυσίδα. καὶ ὁ μὲν πηλὸς, ἐξέπτατο. καὶ μετὰ μικρὸν δὲ, ἐπέστη κόπτουσα τὴν θύραν ἐκείνη. καὶ εἰσελθοῦσα, περιβάλλει τὸν Γλαυκίαν, ὡς ἂν ἐμμανέστατα ἐρῶσα. καὶ συνῆν, ἄχρι δὴ ἀλεκτρυόνων ἠκούσαμεν ᾀδόντων. τότε δὴ ἥ τε σελήνη ἀνέπτατο ἐς τὸν οὐρανόν, καὶ ἡ Ἑκάτη ἔδυ κατὰ τῆς γῆς, καὶ τὰ ἄλλα φάσματα ἠφανίσθη, καὶ τὴν Χρυσίδα ἐξεπέμψαμεν περὶ αὐτό που σχεδὸν τὸ λυκαυγές. εἰ ταῦτα εἶδες ὦ Τυχιάδη, οὐκ ἂν ἔτι ἠπίστησας εἶναι πολλὰ ἐν ταῖς ἐπῳδαῖς χρήσιμα. εὖ λέγεις ἦν δ' ἐγώ. ἐπίστευον γὰρ ἄν, εἴγε εἶδον αὐτά. νῦν δὲ συγγνώμη οἶμαι, εἰ μὴ τὰ ὅμοια ὑμῖν ὀξυδερκεῖν ἔχω. πλὴν ἀλλ' οἶδα γὰρ τὴν Χρυσίδα ἣν λέγεις, ἐραστὴν γυναῖκα, καὶ πρόχειρον, οὐχ ὁρῶ δὲ τίνος ἕνεκα ἐδεήθητε ἐπ' αὐτὴν τοῦ πηλίνου πρεσβευτοῦ, καὶ μάγου τοῦ ἐξ ὑπερβορέων, καὶ σελήνης αὐτῆς, ἣν εἴκοσι δραχμῶν ἀπαγαγεῖν ἐς ὑπερβορέους δυνατὸν ἦν. πάνυ γὰρ ἐνδίδωσι πρὸς ταύτην τὴν ἐπῳδὴν ἡ γυνή, καὶ τὸ ἐναντίον τοῖς φάσμασι πέπονθεν. ἐκεῖνα μὲν γὰρ ἢν ψόφον ἀκούσῃ χαλ

κοῦ, ἢ σιδήρου, πέφυκε. καὶ ταῦτα μὲν ὑμεῖς φατε.
αὐτὴ δέ, ἂν ἀργύρειόν τι ψοφῇ, ἔρχεται πρὸς
τὸν ἦχον. ἄλλως τε, ἔφην, θαυμάζω αὐτοῦ τοῦ μάγου,
εἰ δυνάμενος αὐτὸς ἐρασθῆναι πρὸς τῶν πλουσιω-
τάτων γυναικῶν, καὶ τάλαντα ὅλα παρ' αὐτῶν
λαμβάνειν, ὁ δέ, τεττάρων μνῶν πάνυ σμικρο
λόγος ὤν, Γλαυκίαν ἐπέραστον ἐργάζεται. γελοῖα
ποιεῖς ἔφη ὁ Ἴων, ἀπιστῶν ἅπασιν. ἐγὼ γοῦν ἡδέ
ως ἂν ἐροίμην σε τί περὶ τούτων φῄς, ὅσοι τοὺς δαι
μονῶντας ἀπαλλάττουσι τῶν δειμάτων, οὕτω
σαφῶς ἐξάδοντες καὶ τὰ φάσματα. καὶ ταῦτα
οὐκ ἐμὲ χρὴ λέγειν, ἀλλὰ πάντες ἴσασι τὸν Σύ
ρον τὸν ἐκ τῆς Παλαιστίνης, τὸν ἐπὶ τούτου σοφιστήν,
ὅσους παραλαβὼν καταπίπτοντας πρὸς τὴν σε
λήνην, καὶ τὼ ὀφθαλμὼ διαστρέφοντας, καὶ ἀ
φροῦ πιμπλαμένους τὸ στόμα, ὅμως ἀνίστησι,
καὶ ἀποπέμπει ἀρτίους, ἐπὶ μισθῷ μεγάλῳ ἀ
παλλάξας τῶν δεινῶν. ἐπειδὰν γὰρ ἐπιστῇ κει
μένοις, καὶ ἔρηται ὅθεν εἰσεληλύθασιν εἰς τὸ σῶ
μα, ὁ μὲν νοσῶν αὐτὸς, σιωπᾷ. ὁ δαίμων δὲ ἀπο
κρίνεται, ἑλληνίζων, ἢ βαρβαρίζων, ἢ ὅθεν ἂν
αὐτὸς ᾖ, ὅπως τέ, καὶ ὅθεν ἐπῆλθεν ἐς τὸν ἄν
θρωπον. ὁ δέ, ὅρκους ἐπάγων, εἰ δὲ μὴ πεισθεί
η, καὶ ἀπειλῶν, ἐξελαύνει τὸν δαίμονα. ἐγὼ
γοῦν καὶ εἶδον ἐξιόντα μέλανα, καὶ καπνώδη

τὴν

τὴν χροιάν. οὐ μέγα ἦν δ' ἐγὼ τὰ τοιαῦτά σε ὁ-
ρᾶν ὦ Ἴων, ᾧ γε καὶ αἱ ἰδέαι αὐταὶ φαίνονται, ἃς
ὁ πατὴρ ὑμῶν Πλάτων δείκνυσιν ἀμαυρόν τι θέ-
αμα, ὡς πρὸς ἡμᾶς τοὺς ἀμβλυώττοντας. μόνος
γὰρ Ἴων ἔφη ὁ Εὐκράτης τὰ τοιαῦτα εἶδεν, οὐχὶ δὲ
καὶ ἄλλοι πολλοὶ δαίμοσιν ἐντετυχήκασιν. οἱ μὲν,
νύκτωρ, οἱ δὲ, μεθ' ἡμέραν; ἐγὼ δὲ οὐχ ἅπαξ,
ἀλλὰ μυριάκις ἤδη τὰ τοιαῦτα τεθέαμαι. καὶ τὸ
μὲν πρῶτον, ἐταραττόμην πρὸς αὐτά. νῦν δὲ
ὑπὸ τοῦ ἔθους, οὐδέν τι παράλογον ὁρᾶν μοι δο-
κῶ. καὶ νῦν μάλιστα, ἐξ οὗ μοι τὸν δακτύλιον ὁ Ἄ-
ραψ ἔδωκε, σιδήρου τοῦ ἐκ τῶν σταυρῶν πεποιημέ-
νον, καὶ τὴν ἐπῳδὴν ἐδίδαξε τὴν πολυώνυμον,
εἰκὸς εἰ μὴ κἀμοὶ ἀπιστήσεις ὦ Τυχιάδη. καὶ
πῶς ἂν ἦν δ' ἐγὼ ἀπιστήσαιμι Εὐκράτει τῷ
Δείνωνος, σοφῷ ἀνδρὶ μάλιστα, καὶ ἐλευθερί-
ως τὰ δοκοῦντά οἱ λέγοντι οἴκοι παρ' αὐτῷ με-
τ' ἐξουσίας; τὸ γοῦν περὶ τοῦ ἀνδριάντος ἦ δ'
ὃς ὁ Εὐκράτης, ἅπασι τοῖς ἐν τῇ οἰκίᾳ, ὅσαι
νύκτες φαινόμενον, καὶ παισὶ, καὶ νεανίαις, καὶ
γέρουσι, τοῦτο οὐ παρ' ἐμοῦ μόνον ἀκούσειας
ἂν, ἀλλὰ καὶ παρὰ τῶν ἡμετέρων ἁπάντων. τίνος
ἦν δ' ἐγὼ ἀνδριάντος; οὐχ ἑώρακας ἔφη εἰσιὼν
ἐν τῇ αὐλῇ, ἑστηκότα πάγκαλον ἀνδριάντα,
Δημητρίου ἔργον τοῦ ἀνθρωποποιοῦ; μῶν τὸν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διασκεύοντα ἦν δ' ἐγὼ φὴς, τὸν ἐπικεκυφότα κατὰ τὸ σχῆμα τῆς ἀφέσεως, ἀπεστραμμένον εἰς τὴν δισκοφόρον, ἠρέμα ὀκλάζοντα τῷ ἑτέρῳ, ἐοικότα ξυναναστησομένῳ μετὰ τῆς βολῆς; οὐκ ἐκεῖνον ἦ δ' ὃς, ἐπεὶ τῶν Μύρωνος ἔργων ἓν καὶ τοῦτό ἐστιν, ὁ δισκοβόλος, ὃν λέγεις. οὐδὲ τὸν παρ' αὐτόν φημι τὸν διαδούμενον τὴν κεφαλὴν τῇ ταινίᾳ, τὸν καλόν. Πολυκλείτου γὰρ ἐκεῖνο ἔργον. ἀλλὰ τοὺς μὲν, ἐπὶ τὰ δεξιὰ εἰσιόντων, ἄφες, ἐν οἷς καὶ τὰ Κριτίου τοῦ νησιώτου πλάσματα ἕστηκεν, οἱ τυραννοκτόνοι. σὺ δὲ εἴ τινα παρὰ τὸ ὕδωρ τὸ ἐπιῤῥέον εἶδες προγάστρα, φαλαντίαν, ἡμίγυμνον τὴν ἀναβολὴν, ἠνεμωμένον τοῦ πώγωνος τὰς τρίχας ἐνίας, ἐπίσημον τὰς φλέβας, αὐτοανθρώπῳ ὅμοιον, ἐκεῖνον λέγω. Πέλιχος ὁ κορίνθιος στρατηγὸς εἶναι δοκεῖ. νὴ Δί' ἦν δ' ἐγὼ, εἶδόν τινα ἐπὶ τὰ δεξιὰ τοῦ Κρόνου, ταινίας, καὶ στεφάνους ξηροὺς ἔχοντα, κεχρυσωμένον πετάλοις τὸ στῆθος. ἐγὼ δὲ ὁ Εὐκράτης ἔφη, ἐκεῖνα ἐχρύσωσα, ὁπότε μ' ἰάσατο διὰ τρίτης ὑπὸ τοῦ ἠπιάλου ἀπολλύμενον. ἦν γὰρ καὶ ἰατρὸς ἦν δ' ἐγὼ ὁ βέλτιστος οὗτος Πέλιχος; ἔστι, καὶ μὴ σκῶπτε ἦ δ' ὃς ὁ Εὐκράτης, ἤ σε οὐκ εἰς μακρὰν μέτεισιν ὁ ἀνήρ. οἶδα ἐγὼ ὅσον δύναται οὗτος ὁ ὑπὸ σοῦ γελώμενος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

…ος ἀνδριάς. ἢ οὐ νομίζεις τῷ αὐτῷ ἐξεῖναι καὶ ἐπι-
πέμπειν ἠπιάλους, οἷς ἂν ἐθέλοι, εἴγε καὶ ἀπο-
πέμπειν δύναται αὐτούς; ἵλεως ἦν δ' ἐγὼ ἔστω
ὁ ἀνδριάς, καὶ ἤπιος, οὕτως ἀνδρεῖος ὤν. τί δ'
οὖν καὶ ἄλλο ποιοῦντα ὁρᾶτε αὐτὸν ἅπαντες οἱ
ἐν τῇ οἰκίᾳ; ἐπειδὰν τάχιστα ἔφη νὺξ γένηται,
ὁ δὲ καταβὰς ἀπὸ τῆς βάσεως, ἐφ' ἧς ἕστηκε, περί-
εισιν ἐν κύκλῳ τὴν οἰκίαν, καὶ πάντες ἐντυγ-
χάνομεν αὐτῷ, ἐνίοτε καὶ ἄδοντι. καὶ οὐκ ἔστιν
ὅντινα ἠδίκησεν. ἐκτρέπεσθαι γὰρ χρὴ μόνον. ὁ
δὲ, παρέρχεται, μηδὲν ἐνοχλήσας τοὺς ἰδόν-
τας. καὶ μὴν καὶ λούεται τὰ πολλὰ, καὶ παίζει
δι' ὅλης νυκτὸς, ὥστε ἀκούειν τοῦ ὕδατος ψο-
φοῦντος. ὅρα τοίνυν ἦν δ' ἐγὼ, μὴ οὐχὶ Πέλι-
χος ὁ ἀνδριὰς, ἀλλὰ Τάλως ὁ Κρὴς ὁ τοῦ Μίνω-
ος ᾖ. καὶ γὰρ ἐκεῖνος χαλκοῦς τις ἦν, τῆς Κρή-
της περίπολος. εἰ δὲ μὴ χαλκοῦ ὦ Εὔκρα-
τες, ἀλλὰ ξύλου ἐπεποίητο, οὐδὲν αὐτὸν ἐκώ-
λυεν οὐ Δημητρίου ἔργον εἶναι, ἀλλὰ τῶν Δαι-
δάλου τεχνημάτων. δραπετεύει γοῦν ὥς φὴς
ἀπὸ τῆς βάσεως καὶ οὗτος. ὅρα ἔφη ὦ Τυχιά-
δη, μή σοι μεταμελήσῃ τοῦ σκώμματος ὕστε-
ρον. οἶδα ἐγὼ οἷα ἔπαθεν ὁ τοὺς ὀβολοὺς ὑφελό-
μενος, οὓς κατὰ τὴν νουμηνίαν ἑκάστην τιθέ-
μεν αὐτῷ. πάνδεινα ἐχρῆν ὁ Ἴων ἔφη, ἱερόσυ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λόν γε ὄντα. πῶς δὲ τὸν αὐτὸν ἠμύνατο ὦ Εὐκρα-
τες; ἐθέλω γὰρ ἀκοῦσαι, εἰ καὶ ὅτι μάλιστα οὑ-
τοσὶ Τυχιάδης ἀπιστήσει. πολλοὶ ἦ δ' ὅς ἔκειν-
το ὀβολοὶ πρὸς τοῖν ποδοῖν αὐτοῦ, καὶ ἄλλα νομί-
σματα ἔνια ἀργυρᾶ πρὸς τὸν μηρὸν, κηρῷ κε-
κολλημένα, καὶ πέταλα ἐξ ἀργύρου, εὐχαί
τινος, ἢ μισθὸς ἐπὶ τῇ ἰάσει, ὁπόσοι δι' αὐτὸν
ἐπαύσαντο πυρετῷ ἐχόμενοι. ἦν δὲ ἡμῖν λίβυς
τις οἰκέτης, κατάρατος, ἱπποκόμος. οὗτος
ἐπεχείρησε νυκτὸς ὑφελέσθαι πάντα ἐκεῖνα,
καὶ ὑφείλετο, καταβεβηκότα ἤδη τηρήσας τὸν
ἀνδριάντα. ἐπεὶ δὲ ἐπανελθὼν τάχιστα ἔγνω
ἀποσεσυλημένος ὁ Πέλιχος, ὅρα ὅπως ἠμύ-
νατο, καὶ κατεφώρασε τὸν λίβυν. δι' ὅλης γὰρ
τῆς νυκτὸς περιῄει ἐν κύκλῳ τὴν αὐλὴν, ἄθ-
λιος ἐξελθεῖν οὐ δυνάμενος, ὥσπερ ἐς λαβύριν-
θον ἐμπεσών. ἄχρι δὴ κατελήφθη ἔχων τὰ φώ-
ρια, γενομένης τῆς ἡμέρας· καὶ τότε μὲν, πληγὰς
οὐκ ὀλίγας ἔλαβεν ἁλούς. οὐ πολὺν δὲ ἐπιβιοὺς
χρόνον, κακὸς κακῶς ἀπέθανε, μαστιγούμενος
ὡς ἔλεγε κατὰ τὴν νύκτα ἑκάστην, ὥστε καὶ
μώλωπας ἐς τὴν ἐπιοῦσαν φαίνεσθαι αὐτοῦ
ἐπὶ τοῦ σώματος. πρὸς ταῦτα ὦ Τυχιάδη, καὶ
τὸν Πέλιχον σκῶπτε, κἀμὲ, ὥσπερ τὸν Μίνωος
ἡλικιώτην παραπαίειν ἤδη δόκει. ἀλλ' ὦ Εὐ-

κρα-

κρατοῦς. ἦν δ᾽ ἐγώ, ἔστ᾽ ἂν ὁ χαλκὸς μὲν, χαλκός, τὸ δ᾽ ἔργον, Δημήτριος ὁ Ἀλωπεκῆθεν εἰργασμένος ᾖ, οὐ θεοποιός τις, ἀλλ᾽ ἀνθρωποποιὸς ὤν, οὔποτε φοβήσομαι τὸν ἀνδριάντα Πελίχου, ὃν οὐδὲ ζῶντα πάνυ ἐδεδίειν, ἀπειλοῦντά μοι. ἐπὶ τούτοις, Ἀντίγονος ὁ ἰατρὸς εἶπε· κἀμοὶ ὦ Εὔκρατες, Ἱπποκράτης ἐστὶ χαλκοῦς, ὅσον πηχυαῖος τὸ μέγεθος. ὃς μόνον ἐπειδὰν ἡ θρυαλλὶς ἀποσβῇ, περίεισι τὴν οἰκίαν ὅλην ἐν κύκλῳ, ψοφῶν, καὶ τὰς πυξίδας ἀνατρέπων, καὶ τὰ φάρμακα συγχέων, καὶ τὴν θύραν περιτρέπων, καὶ μάλιστα ἐπειδὰν τὴν θυσίαν ὑπερβαλώμεθα, ἣν κατὰ τὸ ἔτος ἕκαστον αὐτῷ θύομεν. ἀξιοῖ γὰρ ἦν δ᾽ ἐγὼ καὶ Ἱπποκράτης ἤδη ὁ ἰατρὸς θύεσθαι αὐτῷ, καὶ ἀγανακτεῖ, ἢν μὴ κατὰ καιρὸν ἀφ᾽ ἱερῶν τελείων ἑστιαθῇ; ὃν ἔδει ἀγαπᾶν, εἴ τις ἐναγίσειεν αὐτῷ, ἢ μελίκρατον ἐπισπείσειεν, ἢ στεφανώσειε τὴν κεφαλήν. ἄκουε τοίνυν ἔφη ὁ Εὐκράτης, τοῦτο μὲν καὶ ἐπὶ μαρτύρων, ὃ πρὸ ἐτῶν πέντε εἶδον. ἐτύγχανε μὲν ἀμφὶ τρυγητὸν τὸ ἔτος ὄν, ἐγὼ δὲ ἀμφὶ τὸν ἀγρὸν μεσούσης τῆς ἡμέρας τρυγῶντας ἀφεὶς τοὺς ἐργάτας, κατ᾽ ἐμαυτὸν εἰς τὴν ὕλην ἀπῄειν, μεταξὺ φροντίζων τι, καὶ ἀνασκοπούμενος. ἐπεὶ δ᾽ ἐν τῷ συνηρεφεῖ ἦν, τὸ μὲν πρῶτον, ὑλαγμὸς ἐγένετο κυνῶν, κἀγὼ

εἰκάζον Μνάσωνα τὸν υἱὸν, ὥσπερ εἰώθει, παίζειν, ἢ κυνηγετεῖν εἰς τὸ λάσιον μετὰ τῶν ἡλικιωτῶν προελθόντα. τὸ δ' οὐκ εἶχεν οὕτως. ἀλλὰ μετ' ὀλίγον σεισμοῦ τινος γινομένου, καὶ βοῆς, οἷον ἐκ βροντῆς, γυναῖκα ὁρῶ προσιοῦσαν φοβεράν, ἡμισταδιαίαν σχεδὸν τὸ ὕψος. εἶχε δὲ καὶ δᾷδα ἐν τῇ ἀριστερᾷ, καὶ ξίφος ἐν τῇ δεξιᾷ, ὅσον εἰκοσάπηχυ. καὶ τὰ μὲν ἔνερθεν, ὀφιόπους ἦν. τὰ δὲ ἄνω, γοργόνι ἐμφερὴς, τὸ βλέμμα φημὶ, καὶ τὸ φρικῶδες τῆς προσόψεως. καὶ ἀντὶ τῆς κόμης, τοὺς δράκοντας βοστρυχηδὸν περιέκειτο, εἱλουμένους περὶ τὸν αὐχένα, καὶ ἐπὶ τῶν ὤμων ἐνίους ἐσπειραμένους. ὁρᾶτε ἔφη ὅπως ἔφριξα ὦ φίλοι, μεταξὺ διηγούμενος; καὶ ἅμα λέγων, ἐδείκνυεν ὁ Εὐκράτης τὰς ἐπὶ τοῦ πήχεος τρίχας, πᾶσιν ὀρθὰς ὑπὸ τοῦ φόβου. οἱ μὲν οὖν ἀμφὶ τὸν Ἴωνα, καὶ τὸν Δεινόμαχον, καὶ τὸν Κλεόδημον, κεχηνότες ἀτενὲς, προσεῖχον αὐτῷ γέροντες ἄνδρες, ἑλκόμενοι τῆς ῥινὸς, ἠρέμα προσκυνοῦντες οὕτως ἀπίθανον κολοσσὸν, ἡμισταδιαίαν γυναῖκα, γιγάντειόν τι μορμολύκειον. ἐγὼ δὲ, ἐνενόουν μεταξὺ οἷοι ὄντες αὐτοὶ, νέοις τε ὁμιλοῦσιν ἐπὶ σοφίᾳ, καὶ ὑπὸ πολλῶν θαυμάζονται, μόνῃ τῇ πολιᾷ, καὶ τῷ πώγωνι διαφέροντες τῶν βρεφῶν. τὰ δ' ἄλλα, καὶ αὐτῶν ἐκείνων εὐαγωγότεροι πρὸς

τὸ ψεῦ

τὸ ψεῦδος. ὁ γοῦν Δεινόμαχος, εἰπέ μοι ἔφη ὦ Εὔκρατες, οἱ κύνες δὲ τῆς θεοῦ, πηλίκοι τὸ μέγεθος ἦσαν; ἐλεφάντων ἦ δ' ὅς, ὑψηλότεροι τῶν ἰνδικῶν, καὶ μέλανες καὶ αὐτοί, καὶ λάσιοι, πινώδει καὶ αὐχμώσῃ τῇ λάχνῃ. ἐγὼ μὲν οὖν ἰδὼν, ἔστην, ἀναστρέψας ἅμα τὴν σφραγῖδα, ἥν μοι ὁ ἄραψ ἔδωκεν εἰς τὸ εἴσω τοῦ δακτύλου. ἡ Ἑκάτη δὲ πατάξασα τῷ δρακοντείῳ ποδὶ τοὔδαφος, ἐποίησε χάσμα παμμέγεθες, ἡλίκον, ταρτάρειον τὸ μέγεθος. εἶτα ᾤχετο μετ' ὀλίγον ἀλλομένη ἐς τὸ αὐτό. ἐγὼ δὲ θαρσήσας, ἐπέκυψα, λαβόμενος δένδρου τινὸς πλησίον πεφυκότος, ὡς μὴ σκορδινιάσας, ἐμπέσοιμι ἐπὶ κεφαλήν. εἶτα ἑώρων τὰ ἐν ᾅδου ἅπαντα, τὸν Πυριφλεγέθοντα, τὴν λίμνην, τὸν Κέρβερον, τοὺς νεκρούς, ὥστε γνωρίζειν ἐνίους αὐτῶν. τὸν γοῦν πατέρα εἶδον ἀκριβῶς αὐτὰ ἐκεῖνα ἔτι ἀμπεχόμενον, ἐν οἷς αὐτὸν κατεθάψαμεν. τί δὲ ἔπραττον ὁ Ἴων ἔφη ὦ Εὔκρατες αἱ ψυχαί; τί ἄλλο ἦ δ' ὅς, ἢ κατὰ φῦλα, καὶ φρήτρας μετὰ τῶν φίλων, καὶ συγγενῶν διατρίβουσιν ἐπὶ τοῦ ἀσφοδέλου κατακείμενοι; ἀντιλεγέτωσαν νῦν ἔτι ἦ δ' ὃς ὁ Ἴων οἱ ἀμφὶ τὸν Ἐπίκουρον τῷ ἱερῷ Πλάτωνι, καὶ τῷ περὶ τῶν ψυχῶν λόγῳ. σὺ δὲ μὴ καὶ τὸν Σωκράτην αὐτόν, καὶ τὸν Πλάτωνα εἶδες ἐν

τοῖς νεκροῖς; τὸν Σωκράτην ἔγωγε ἤδη, οὐδὲ τοῦτον σαφῶς, ἀλλὰ εἰκάζων ὅτι φαλακρὸς καὶ προγάστωρ ἦν. τὸν Πλάτωνα δὲ οὐκ ἐγνώρισα, χρὴ γὰρ οἶμαι πρὸς φίλους ἄνδρας τἀληθῆ λέγειν. ἅμα γοῦν ἐγὼ ἅπαντα ἀκριβῶς ἑώρακα. καὶ τὸ χάσμα συνέμυε. καί τινες τῶν οἰκετῶν ἀναζητοῦντές με, καὶ Πυρρίας οὗτος ἐν αὐτοῖς, ἐπέστησαν οὔπω τέλεον μεμυκότος τοῦ χάσματος. εἰπὲ Πυρρία εἰ ἀληθῆ λέγω. νὴ Δί' ἔφη ὁ Πυρρίας, καὶ ὑλακῆς δὲ ἤκουσα διὰ τοῦ χάσματος, καὶ πῦρ τι ὑπέλαμπεν ἀπὸ τῆς δᾳδός μοι ἐδόκει. κἀγὼ ἐγέλασα, ἐπιμετρήσαντος τοῦ μάρτυρος τὴν ὑλακὴν, καὶ τὸ πῦρ. ὁ Κλεόδημος δὲ, οὐ καινὰ εἶπεν, οὐδὲ ἄλλοις ἀόρατα ταῦτα εἶδες, ἐπεὶ καὶ αὐτὸς οὐ πρὸ πολλοῦ νοσήσας, τοιόνδε τι ἐθεασάμην. ἐπεσκόπει δέ με, καὶ ἐθεράπευεν Ἀντίγονος οὗτος. ἑβδόμη μὲν ἦν ἡμέρα. ὁ δὲ πυρετὸς, οἷος, καύσωνος σφοδρότερος. ἅπαντες δέ με ἀπολιπόντες ἐπ' ἐρημίας, ἐπικλεισάμενοι τὰς θύρας, ἔξω περιέμενον. οὕτω γὰρ ἐκέλευσας ὦ Ἀντίγονε, εἴ πως δυνηθείην εἰς ὕπνον τραπέσθαι. τότε οὖν ἐφίσταταί μοι νεανίας ἐγρηγορότι, πάγκαλος, λευκὸν ἱμάτιον περιβεβλημένος. εἶτα ἀναστήσας, ἄγει διά τινος χάσματος ἐς τὸν ᾅδην, ὡς αὐτίκα ἐγνώρισα Τάνταλον

λον

ιον ἰδὼν, καὶ Τιτυὸν, καὶ Σίσυφον. καὶ τὰ μὲν
ἄλλα, τί ἂν ὑμῖν λέγοιμι; ἐπεὶ δὲ κατὰ τὸ δι-
καστήριον ἐγενόμην, παρῆν δὲ καὶ ὁ Αἰακὸς, καὶ
ὁ Χάρων, καὶ αἱ μοῖραι, καὶ αἱ ἐριννύες, ὁ μέν τις
ὥσπερ βασιλεὺς, ὁ Πλούτων μοι δοκεῖ καθῆστο,
ἐπιλεγόμενος τῶν τεθνηξομένων τὰ ὀνόμα-
τα, οὓς ἤδη ὑπερημέρους τῆς ζωῆς συνέβαινεν
εἶναι. ὁ δὲ νεανίσκος, ἐμὲ φέρων, παρέστησεν αὐ-
τῷ. ὁ δὲ Πλούτων, ἠγανάκτησέ τε, καὶ πρὸς
τὸν ἀγαγόντα με οὔπω πεπλήρωταί φησι τὸ
νῆμα αὐτῷ. ὥστε ἀπίτω. σὺ δὲ δὴ, τὸν χαλ-
κέα Δημύλον ἄγε. ὑπὲρ γὰρ τὸν ἄτρακτον ἤδη βι-
οῖ. κἀγὼ ἄσμενος ἀναδραμὼν, αὐτὸς μὲν ἤδη
ἀπύρετος ἦν, ἀπήγγειλον δ᾽ ἅπασιν, ὡς τεθ-
νήξεται Δημύλος. ἐν γειτόνων δὲ ἡμῖν ᾤκει, νο-
σῶν τι καὶ αὐτὸς ὡς ἀπηγγέλλετο. καὶ μετὰ μι-
κρὸν ἠκούομεν οἰμωγῆς ὀδυρομένων ἐπ᾽ αὐτῷ.
τί θαυμαστὸν εἶπεν ὁ Ἀντίγονος; ἐγὼ γὰρ οἶδά τι-
νὰ μετὰ εἰκοστὴν ἡμέραν, ἧς ἐτάφη, ἀναστάντα,
θεραπεύσας καὶ πρὸ τοῦ θανάτου, καὶ ἐπεὶ ἀνέστη,
τὸν ἄνθρωπον. καὶ πῶς ἦν δ᾽ ἐγὼ ἐν εἴκοσιν ἡμέ-
ραις οὔτε ἐμύδησε τὸ σῶμα, οὔτε ἄλλως ὑπὸ
λιμοῦ διεφθάρη, εἰ μή τινά γε Ἐπιμενίδην σύ
γε ἐθεράπευες. ἅμα ταῦτα λεγόντων ἡμῶν, ἐ-
πεισῆλθον οἱ τοῦ Εὐκράτους υἱοὶ ἐκ τῆς παλαίστρας,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῖς νεκροῖς; τὸν Σωκράτην ἔγωγε ἠδέως, οὐδὲ τοῦτον σαφῶς, ἀλλὰ εἰκάζων ὅτι φαλακρὸς, καὶ προγάστωρ ἦν. τὸν Πλάτωνα δὲ, οὐκ ἐγνώρισα, χρὴ γὰρ οἶμαι πρὸς φίλους ἄνδρας τἀληθῆ λέγειν. ἅμα γοῦν ἐγὼ ἅπαντα ἀκριβῶς ἑώρακα. καὶ τὸ χάσμα συνέμυε. καί τινες τῶν οἰκετῶν ἀναζητοῦντές με, καὶ Πυρρίας οὗτος ἐν αὐτοῖς, ἐπέστησαν οὔπω τέλεον μεμυκότος τοῦ χάσματος. εἰπὲ Πυρρία εἰ ἀληθῆ λέγω. νὴ Δί' ἔφη ὁ Πυρρίας, καὶ ὑλακῆς δὲ ἤκουσα διὰ τοῦ χάσματος, καὶ πῦρ τι ὑπέλαμπεν ἀπὸ τῆς δᾳδός μοι ἐδόκει. κἀγὼ ἐγέλασα, ἐπιμετρήσαντος τοῦ μάρτυρος τὴν ὑλακὴν, καὶ τὸ πῦρ. ὁ Κλεόδημος δὲ, οὐ καινὰ εἶπεν, οὐδὲ ἄλλοις ἀόρατα ταῦτα εἶδες, ἐπεὶ καὶ αὐτὸς οὐ πρὸ πολλοῦ νοσήσας, τοιόνδε τι ἐθεασάμην. ἐπεσκόπει δέ με, καὶ ἐθεράπευεν Ἀντίγονος οὗτος. ἑβδόμη μὲν ἦν ἡμέρα. ὁ δὲ πυρετὸς, οἷος, καῦσος σφοδρότερος. ἅπαντες δέ με ἀπολιπόντες ἐπ' ἐρημίας, ἐπικλείσαντές μοι τὰς θύρας, ἔξω περιέμενον. οὕτω γὰρ ἐκέλευσας ὦ Ἀντίγονε, εἴ πως δυνηθείην εἰς ὕπνον τραπέσθαι. τότε οὖν ἐφίσταταί μοι νεανίας ἐγρηγορότι, πάγκαλος, λευκὸν ἱμάτιον περιβεβλημένος. εἶτα ἀναστήσας, ἄγει διά τινος χάσματος εἰς τὸν ἅδην, ὡς αὐτίκα ἐγνώρισα Τάνταλον

νον ἰδὼν, καὶ Τιτυὸν, καὶ Σίσυφον. καὶ τὰ μὲν
ἄλλα, τί ἂν ὑμῖν λέγοιμι; ἐπεὶ δὲ κατὰ τὸ δι-
καστήριον ἐγενόμην, παρῆν δὲ καὶ ὁ Αἰακὸς, καὶ
Χάρων, καὶ αἱ μοῖραι, καὶ αἱ ἐριννύες, ὁ μέν τις
ὥσπερ βασιλεὺς, ὁ Πλούτων μοι δοκεῖ καθῆστο,
ἐπιλεγόμενος τῶν τεθνηξομένων τὰ ὀνόμα-
τα, οὓς ἤδη ὑπερημέρους τῆς ζωῆς συνέβαινεν
εἶναι. ὁ δὲ νεανίσκος, ἐμὲ φέρων, παρέστησεν αὐ-
τῷ. ὁ δὲ Πλούτων, ἠγανάκτησέ τε, καὶ πρὸς
τὸν ἀγαγόντα με οὔπω πεπλήρωταί φησι τὸ
νῆμα αὐτῷ. ὥστε ἀπίτω. σὺ δὲ δὴ, τὸν χαλ-
κέα Δημύλον ἄγε. ὑπὲρ γὰρ τὸν ἄτρακτον ἤδη βι-
οῖ. κἀγὼ ἄσμενος ἀναδραμὼν, αὐτὸς μὲν ἤδη
ἀπύρετος ἦν, ἀπήγγελλον δ᾽ ἅπασιν, ὡς τεθ-
νήξεται Δημύλος. ἐν γειτόνων δὲ ἡμῖν ᾤκει, νο-
σῶν τι καὶ αὐτὸς ὡς ἀπηγγέλλετο. καὶ μετὰ μι-
κρὸν ἠκούομεν οἰμωγῆς ὀδυρομένων ἐπ᾽ αὐτῷ.
τί θαυμαστὸν εἶπεν ὁ Ἀντίγονος; ἐγὼ γὰρ οἶδά τι-
να μετὰ εἰκοστὴν ἡμέραν, ἧς ἐτάφη, ἀναστάντα,
θεραπεύσας καὶ πρὸ τοῦ θανάτου, καὶ ἐπεὶ ἀνέστη,
τὸν ἄνθρωπον. καὶ πῶς ἦν δ᾽ ἐγὼ ἐν εἴκοσιν ἡμέ-
ραις οὔτε ἐμύδησε τὸ σῶμα, οὔτε ἄλλως ὑπὸ
λιμοῦ διεφθάρη, εἰ μή τινά γε Ἐπιμενίδην σύ
γε ἐθεράπευες. ἅμα ταῦτα λεγόντων ἡμῶν, ἐ-
πεισῆλθον οἱ τοῦ Εὐκράτους υἱοὶ ἐκ τῆς παλαίστρας,

ὁ μὲν, ἤδη ἐξ ἐφήβων. ὁ δὲ ἕτερος, ἀμφὶ τὰ πεντεκαίδεκα ἔτη. καὶ ἀσπασάμενοι ἡμᾶς, ἐκαθέζοντο ἐπὶ τῆς κλίνης παρὰ τῷ πατρί. ἐμοὶ δὲ, εἰσεκομίσθη θρόνος. καὶ ὁ Εὐκράτης ὥσπερ ἀναμνησθεὶς πρὸς τὴν ὄψιν τῶν υἱέων, οὕτως ὀναίμην ἔφη τούτων, ἐπιβαλὼν αὐτοῖν τὴν χεῖρα, ὡς ἀληθῆ ὦ Τυχιάδη πρὸς σὲ ἐρῶ. τὴν μακαρῖτιν μου γυναῖκα τὴν τούτων μητέρα, πάντες ἴσασιν ὅπως ἠγάπησα. ἐδήλωσα δὲ, οἷς περὶ αὐτὴν ἔπραξα, οὐ ζῶσαν μόνον, ἀλλ᾽ ἐπεὶ καὶ ἀπέθανε, τόν τε κόσμον ἅπαντα συγκατακαύσας, καὶ τὴν ἐσθῆτα, ᾗ ζῶσα ἔχαιρεν. ἑβδόμῃ δὲ μετὰ τὴν τελευτὴν ἡμέρᾳ, ἐγὼ μὲν ἐνταῦθα ἐπὶ τῆς κλίνης, ὥσπερ νῦν, ἐκείμην παραμυθούμενος τὸ πένθος. ἀνεγίνωσκον γὰρ τὸ περὶ ψυχῆς τοῦ Πλάτωνος βιβλίον ἐφ᾽ ἡσυχίας. ἐπεισέρχεται δὲ μεταξὺ ἡ Δημαινέτη αὐτὴ ἐκείνη, καὶ καθέζεται πλησίον, ὥσπερ νῦν Εὐκρατίδης οὑτοσὶ, δείξας τὸν νεώτερον τῶν υἱέων. ὁ δὲ, αὐτίκα ἔφριξε μάλα παιδικῶς. καὶ πάλαι ἤδη ὠχρὸς ἦν πρὸς τὴν διήγησιν. ἐγὼ δὲ ἦδ᾽ ὃς ὁ Εὐκράτης, ὡς εἶδον, περιπλακεὶς αὐτῇ, ἐδάκρυον ἀνακωκύσας. ἡ δὲ, οὐκ εἴα βοᾶν, ἀλλ᾽ ᾐτιᾶτό με ὅτι τὰ ἄλλα πάντα χαρισάμενος αὐτῇ, θάτερον τοῖν σανδάλοιν χρυσοῖν ὄντοιν, οὐ κατακαύσαιμι. εἶναι δὲ αὐτὸ

ἔφα

ρασκε, παραπεσὸν ὑπὸ τῇ κιβωτῷ. ὃ διὰ
το ἡμεῖς οὐχ εὑρόντες, θάτερον μόνον ἐκαύ
εμεν. ἔτι δὲ ἡμῶν διαλεγομένων, κατάρα
τόν τι κυνίδιον ὑπὸ τῇ κλίνῃ ὂν, μελιταῖον,
λάκτησεν. ἡ δὲ, ἠφανίσθη πρὸς τὴν ὑλακήν.
ι. μέντοι σανδάλιον, εὑρέθη ὑπὸ τῇ κιβωτῷ,
κατεκαύθη ὕστερον. ἔτι ἀπιστεῖν τούτοις ὦ Τυ
χιάδη ἄξιον ἐναργέσιν οὖσι, καὶ κατὰ τὴν ἡμέ
ραν ἑκάστην φαινομένοις; μὰ Δί' ἦν δ' ἐγὼ, ἐπεὶ
σανδάλῳ γε χρυσῷ ἐς τὰς πυγὰς, ὥσπερ τὰ
παιδία, παίεσθαι ἄξιοι ἂν εἶεν οἱ ἀπιστοῦντες,
καὶ οὕτως ἀναισχυντοῦντες πρὸς τὴν ἀλή
θειαν. ἐπὶ τούτοις, ὁ πυθαγορικὸς Ἀρίγνωτος
εἰσῆλθεν, ὁ κομήτης, ὁ σεμνὸς ἀπὸ τοῦ προσώπου.
οἶσθα τὸν ἀοίδιμον ἐπὶ τῇ σοφίᾳ, τὸν ἱερὸν ἐπο
νομαζόμενον. κἀγὼ μὲν ὡς εἶδον αὐτὸν, ἀνέ-
πνευσα. τοῦτ' ἐκεῖνο ἥκειν μοι νομίσας, πέλε
κύν τινα κατὰ τῶν ψευσμάτων. ἐπιστομιεῖ γὰρ
αὐτοὺς ἔλεγον ὁ σοφὸς ἀνὴρ, οὕτω τεράστια διε
ξιόντας. καὶ τὸ τοῦ λόγου, θεὸν ἀπὸ μηχανῆς
ἐπεισκυκληθῆναί μοι τοῦτον ᾤμην ὑπὸ τῆς τύχης.
ὁ δὲ, ἐπεὶ ἐκαθίζετο, ὑπεκστάντος αὐτῷ τοῦ
Κλεοδήμου, πρῶτα μὲν, περὶ τῆς νόσου ἤρετο.
καὶ ὡς ῥᾷον ἤδη ἔχειν ἤκουσε παρὰ τοῦ Εὐκρά-
τους, τί δὲ ἔφη πρὸς ἀλλήλους φιλοσοφεῖτε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μεταξὺ γὰρ εἰσιών, ἐπήκουσα. καί μοι δοκεῖτε εἰς
καλὸν διατεθήσεσθαι τὴν διατριβήν. τί δ' ἄλλο
εἶπεν ὁ Εὐκράτης, ἢ τουτονὶ τὸν ἀδαμάντινον
πείθομεν, δείξας ἐμέ, ἡγεῖσθαι δαίμονάς τινας
εἶναι, καὶ φαντάσματα, καὶ νεκρῶν ψυχὰς πε-
ριπολεῖν ὑπὲρ γῆς, καὶ φαίνεσθαι οἷς ἂν ἐθέλωσιν.
ἐγὼ μὲν οὖν ἠρυθρίασα, καὶ κάτω ἔνευσα, αἰδε-
σθεὶς τὸν Ἀρίγνωτον. ὁ δέ, ὅρα ἔφη ὦ Εὔκρατες,
μὴ τοῦτό φησι Τυχιάδης τὰς τῶν βιαίως ἀπο-
θανόντων μόνας ψυχὰς περινοστεῖν, οἷον εἴ τις
ἀπήγξατο, ἢ ἀπετμήθη τὴν κεφαλήν, ἢ ἀνε-
σκολοπίσθη, ἢ ἄλλῳ γέ τῳ τρόπῳ τοιούτῳ ἀ-
πῆλθεν ἐκ τοῦ βίου, τὰς δὲ τῶν κατὰ μοῖραν ἀ-
ποθανόντων οὐκέτι; ἢν γὰρ τοῦτο λέγῃ, οὐ πάνυ
ἀπόβλητα φήσει. μὰ Δί' ἦ δ' ὃς ὁ Δεινόμαχος,
ἀλλ' οὐδὲ ὅλως εἶναι τὰ τοιαῦτα, οὐδὲ συνεστῶ-
τα ὁρᾶσθαι οἴεται. πῶς λέγεις ἦ δ' ὃς ὁ Ἀρίγνω-
τος, δριμὺ ἀπιδὼν εἰς ἐμέ. οὐδέν σοι τούτων
γίνεσθαι δοκεῖ, καὶ ταῦτα, πάντων ὡς εἰπεῖν
ὁρώντων; ἀπολελόγηται ἦν δ' ἐγὼ ὑπὲρ ἐμοῦ,
εἰ μὴ πιστεύω, διότι μὴ δὲ ὁρῶ μόνος τῶν ἄλ-
λων. εἰ δὲ ἑώρων, καὶ ἐπίστευον ἂν δηλαδή, ὥσ-
περ ὑμεῖς, ἀλλὰ ἦ δ' ὅς ἤν ποτε ἐς Κόρινθον
ἔλθῃς, ἐροῦ ἔνθα ἐστὶν ἡ Εὐβατίδου οἰκία. καὶ ἐπει-
δάν σοι δειχθῇ παρὰ τὸ Κράνειον, παρελθὼν

ἐς τὸ

ταύτην, λέγει πρὸς τὸν θυρωρὸν Τίβιον, ὡς ἐν ἄλλοις ἰδεῖν ὅθεν τὸν δαίμονα ὁ πυθαγορικὸς Ἀρίγνωτος ἀνοίξας, ἀπήλασε, καὶ πρὸς τὸ λοιπὸν οἰκεῖσθαι τὴν οἰκίαν ἐποίησε. τί δὲ ἐστὶν ἣν ᾤκει πότε ἤρξατο ὁ Εὐκράτης. ἀοίκητος ἦν ἦ δ' ὅς ἐκ πολλοῦ ὑπὸ δειμάτων. εἰ δέ τις οἰκήσειεν, εὐθὺς ἐκπλαγεὶς, ἔφευγεν ἐκδιωχθεὶς ὑπό τινος φοβεροῦ καὶ ταραχώδους φάσματος. συνέπιπτεν ἤδη, καὶ ἡ στέγη κατέρρει. καὶ ὅλως, οὐδεὶς ἦν ὁ θαρρήσων παρελθεῖν εἰς αὐτήν. ἐγὼ δὲ ἐπεὶ ταῦτα ἤκουσα, τὰς βίβλους λαβὼν, εἰσὶ δέ μοι αἰγύπτιαι μάλα πολλαὶ περὶ τῶν τοιούτων, ἧκον ἐς τὴν οἰκίαν περὶ πρῶτον ὕπνον, ἀποτρέποντος τοῦ ξένου, καὶ μονονοὺ ἐπιλαμβανομένου, ἐπεὶ ἔμαθεν οἷ βαδίζοιμι, εἰς προὖπτον κακὸν ὡς ᾤετο. ἐγὼ δὲ λύχνον λαβὼν, μόνος εἰσέρχομαι. καὶ ἐν τῷ μεγίστῳ οἰκήματι καταθεὶς τὸ φῶς, ἀνεγίγνωσκον ἡσυχῇ, χαμαὶ καθεζόμενος. ἐφίσταται δὲ ὁ δαίμων, ἐπί τινα τῶν πολλῶν ἥκειν νομίζων, καὶ δεδίξεσθαι κἀμὲ ἐλπίζων, ὥσπερ τοὺς ἄλλους, αὐχμηρός, καὶ κομήτης, καὶ μελάντερος τοῦ ζόφου. καὶ ὁ μὲν, ἐπιστάς, ἐπειρᾶτό μου πανταχόθεν προσβάλλων, εἴ ποθεν κρατήσειε. καὶ ἄρτι μὲν, κύων, ἄρτι δὲ, ταῦρος γιγνόμενος, ἢ λέων. ἐγὼ δὲ προχει-

σάμενος τὴν φρικωδεστάτην ἐπίρρησιν, αἰγυπτιάζων τῇ φωνῇ, συνήλασα κατᾴδων αὐτὸν εἴς τινα γωνίαν σκοτεινοῦ οἰκήματος. ἰδὼν δὲ αὐτὸν οἷ κατέδυ, τὸ λοιπὸν ἀνεπαυόμην. ἕωθεν δὲ πάντων ἀπεγνωκότων, καὶ νεκρὸν εὑρήσειν με οἰομένων, καθάπερ τοὺς ἄλλους, προελθὼν ἀπροσδόκητος ἅπασι, πρόσειμι τῷ Εὐβατίδῃ, εὐαγγελιζόμενος αὐτῷ, ὅτι καθαρὰν αὐτῷ, καὶ ἀδείμαντον ἤδη ἕξει τὴν οἰκίαν οἰκεῖν. καὶ παραλαβὼν αὐτόν τε, καὶ τῶν ἄλλων πολλούς, εἵποντο γὰρ τοῦ παραδόξου ἕνεκα, ἐκέλευον ἀγαγὼν ἐπὶ τὸν τόπον, οὗ καταδεδυκότα τὸν δαίμονα ἑωράκειν, σκάπτειν, λαβόντας δικέλλας, καὶ σκαφεῖα. καὶ ἐπειδὴ ἐποίησαν, εὑρέθη ὡς ἐπ' ὀργυιὰν κατορωρυγμένος τις νεκρὸς ἕωλος, μόνα τὰ ὀστᾶ κατὰ σχῆμα συγκείμενος. ἐκεῖνον μὲν οὖν ἐθάψαμεν ἀνορύξαντες. ἡ οἰκία δὲ τὸ ἀπ' ἐκείνου ἐπαύσατο, ἐνοχλουμένη ὑπὸ τῶν φασμάτων. ὡς δὲ ταῦτα εἶπεν ὁ Ἀρίγνωτος, ἀνὴρ δαιμόνιος τὴν σοφίαν, καὶ ἅπασιν αἰδέσιμος, οὐδεὶς ἦν ἔτι τῶν παρόντων, ὃς οὐχὶ κατεγίνωσκέ μου πολλὴν τὴν ἄνοιαν, τοῖς τοιούτοις ἀπιστοῦντος. καὶ ταῦτα, Ἀριγνώτου λέγοντος. ἐγὼ δὲ ὅμως οὐδὲν τρέσας, οὔτε τὴν κόμην, οὔτε τὴν δόξαν τὴν περὶ αὐτοῦ, τί τοῦτ'

ἔφην

ϛιῶ ὦ Ἀρίγνωτε, καὶ σὺ τοιοῦτος ἦσθα, ἡ μόνη
ἐλπὶς τῆς ἀληθείας, καπνοῦ μεστὸς, καὶ ἰνδαλ-
μάτων; τὸ γοῦν τοῦ λόγου ἐκεῖνο, ἄνθρακες
ἡμῖν ὁ θησαυρὸς πέφηνας. σὺ δὲ ἦ δ' ὃς ὁ Ἀ-
ρίγνωτος, εἰ μήτε ἐμοὶ πιστεύεις λέγοντι, μή-
τε Δεινομάχῳ, ἢ Κλεοδήμῳ τούτῳ, μήτε αὐ-
τῷ Εὐκράτει, φέρε εἰπὲ τίνα περὶ τῶν τοιού-
των ἀξιοπιστότερον ἡγῇ τἀναντία ἡμῖν λέ-
γοντα. νὴ Δί' ἦν δ' ἐγὼ μάλα θαυμαστὸν ἄν-
δρα, τὸν Ἀβδηρόθεν ἐκεῖνον Δημόκριτον, ὃς οὕ-
τως ἄρα ἐπέπειστο μηδὲν οἷόν τε εἶναι συστῆναι
τοιοῦτον, ὥστε ἐπειδὴ καθείρξας ἑαυτὸν ἐς
μνῆμα ἔξω πυλῶν, ἐνταῦθα διετέλει γρά-
φων καὶ συντάττων καὶ νύκτωρ, καὶ μεθ' ἡμέ-
ραν. καί τινες τῶν νεανίσκων, ἐρεσχελεῖν βου-
λόμενοι αὐτὸν, καὶ δειματοῦν, στειλάμενοι νε-
κρικῶς ἐσθῆτι μελαίνῃ καὶ προσωπείοις ἐς τὰ
κρανία μεμιμημένοις περιστάντες αὐτὸν, περι-
εχόρευον ὑπὸ πυκνῇ τῇ βάσει ἀναπηδῶντες.
ὁ δὲ, οὔτε ἔδεισε τὴν προσποίησιν αὐτῶν, οὔτε
ὅλως ἀνέβλεψε πρὸς αὐτούς. ἀλλὰ μεταξὺ
γράφων, παύσασθε ἔφη παίζοντες. οὕτω βεβαί-
ως ἐπίστευε μηδὲν εἶναι τὰς ψυχὰς ἔτι ἔξω γε-
νομένας τῶν σωμάτων. τοῦτο φὴς ἦ δ' ὃς ὁ Εὐκρά-
της, ἀνόητόν τινα ἄνδρα καὶ τὸν Δημόκριτον



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γενέσθαι, εἴ γε οὕτως ἐγίνωσκεν. ἐγὼ δὲ ὑμῖν καὶ ἄλλο διηγήσομαι αὐτὸς παθών, οὐ παρ' ἄλλου ἀκούσας. τάχα γὰρ ἂν καὶ σὺ ὦ Τυχιάδη ἀκούων, προσβιβασθείης πρὸς τὴν ἀλήθειαν τοῦ διηγήματος. Ὁπότε γὰρ ἐν Αἰγύπτῳ διῆγον, ἔτι νέος ὤν, ὑπὸ τοῦ πατρὸς ἐπὶ παιδείας προφάσει ἀποσταλείς, ἐπεθύμησα ἐς Κοπτὸν ἀναπλεύσας, ἐκεῖθεν ἐπὶ τὸν Μέμνονα ἐλθών, ἀκοῦσαι τὸ θαυμαστὸν ἐκεῖνο ἠχοῦντα, πρὸς ἀνίσχοντα τὸν ἥλιον. ἐκείνου μὲν οὖν ἤκουσα, οὐ κατὰ τὸ κοινὸν τοῖς πολλοῖς, ἄσημόν τινα φωνήν, ἀλλά μοι καὶ ἔχρησεν ὁ Μέμνων αὐτός, ἀνοίξας τὸ στόμα ἐν ἔπεσιν ἑπτά. καὶ εἴ γε μὴ περιττὸν ἦν, αὐτὰ ἂν ὑμῖν εἶπον τὰ ἔπη. κατὰ δὲ τὸν ἀνάπλουν, ἔτυχεν ἡμῖν συμπλέων Μεμφίτης ἀνὴρ τῶν ἱερῶν γραμματέων, θαυμάσιος τὴν σοφίαν, καὶ τὴν παιδείαν πᾶσαν εἰδὼς τὴν αἰγύπτιον. ἐλέγετο δὲ τρία καὶ εἴκοσιν ἔτη ἐν τοῖς ἀδύτοις ὑπόγειος ᾠκηκέναι, μαγεύειν παιδευόμενος ὑπὸ τῆς Ἴσιδος. Παγκράτην ἔφη λέγεις ὁ Ἀρίγνωτος, ἐμὸν διδάσκαλον, ἱερὸν ἄνδρα, ἐξυρημένον ἐν ὀθονίοις, νοήμονα, καθαρῶς ἑλληνίζοντα, ἐπιμήκη, σιμόν, πρόχειλον, ὑπόλεπτον τὰ σκέλη. αὐτὸν ἦν δ' ὃς ἐκεῖνον τὸν Παγκράτην. καὶ τὰ μὲν πρῶτα, ἠγνόουν ὅστις ἦν. ἐπεὶ δὲ ἑώρων αὐ-

ι, εἴ ποτε ὁρμίσαιμεν τὸ πλοῖον, ἄλλα τε πολλ

ὰ τεράστια ἐργαζόμενον, καὶ δὴ καὶ ἐπὶ κροκο-

ίλων ὀχούμενον, καὶ συννέοντα τοῖς θηρίοις, τὰ

ὲ, ὑποπτήσσοντα, καὶ σαίνοντα ταῖς οὐραῖς,

νων ἱερόν τινα ἄνθρωπον ὄντα. καὶ κατὰ μι

ρὸν φιλοφρονούμενος, ἔλαθον ἑταῖρος αὐτῷ,

καὶ συνήθης γενόμενος. ὥστε πάντων ἐκοινώνει

οι τῶν ἀπορρήτων. καὶ τέλος, πείθει με, τοὺς

ὲν οἰκέτας ἅπαντας, ἐν τῇ Μέμφιδι κατα-

πεῖν, αὐτὸν δὲ μόνον ἀκολουθεῖν μετ' αὐτοῦ,

ὴ γὰρ ἀπορήσειν ἡμᾶς τῶν διακονησομένων. καὶ

μετὰ τοῦτο οὕτω διήγομεν. ἐπειδὴ δὲ ἔλθοι

μεν εἴς τι καταγώγιον, λαβὼν ἂν ὁ ἀνὴρ τὸν μο

λὸν τῆς θύρας, ἢ τὸ κόρηθρον, ἢ καὶ τὸ ὕπερον, πε

ιβαλὼν ἱματίοις, ἐπειπών τινα ἐπῳδὴν, ἐ

οίει βαδίζειν, τοῖς ἄλλοις ἅπασιν ἄνθρωπον

εἶναι δοκοῦντα. τὸ δὲ, ἀπελθὸν, ὕδωρ τε ἄντλει

λει, καὶ ὠψώνει, καὶ ἐσκεύαζε, καὶ ἐς πάντα δεξι-

ῶς ὑπηρέτει, καὶ διηκονεῖτο ἡμῖν. εἶτα δὲ ἐπει

δὴ ἅλις ἔχοι τῆς διακονίας, αὖθις κόρηθρον τὸ

κόρηθρον, ἢ ὕπερον τὸ ὕπερον, ἄλλην ἐπῳδὴν ἐπει

πών, ἐποίει ἄν. τοῦτο ἐγὼ πάνυ ἐσπουδακὼς,

οὐκ εἶχον ὅπως ἐκμάθοιμι παρ' αὐτοῦ. ἐβάσκαι-

νε γὰρ αὐτοῦ, καίτοι πρὸς τὰ ἄλλα προχειρό-

τατος ὤν. μιᾷ δέ ποτε ἡμέρᾳ λαθὼν, ἐπήκου



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σα τῆς ἐπῳδῆς, ἦν δὲ τρισύλλαβος, σχεδὸν ἐν σκοτεινῷ ὑποστάς. καὶ ὁ μὲν, ᾤχετο ἐς τὴν ἀγορὰν, ἐντειλάμενος τῷ ὑπέρῳ ἃ ἔδει ποιεῖν. ἐγὼ δὲ, ἐς τὴν ὑστεραίαν ἐκείνου τι κατὰ τὴν ἀγορὰν πραγματευομένου, λαβὼν τὸ ὕπερον, σχηματίσας, ὁμοίως ἐπειπὼν τὰς συλλαβὰς, ἐκέλευον ὑδροφορεῖν. ἐπεὶ δὲ ἐμπλησάμενος τὸν ἀμφορέα ἐκόμισε, πέπαυσο ἔφην, καὶ μηκέτι ὑδροφόρει, ἀλλ' ἴσθι αὖθις ὕπερον. τὸ δὲ, οὐκέτι μοι πείθεσθαι ἤθελεν, ἀλλ' ὑδροφόρει ἀεὶ, ἄχρι δὴ ἐνέπλησεν ἡμῖν ὕδατος τὴν οἰκίαν ἐπαντλοῦν. ἐγὼ δὲ ἀμηχανῶν τῷ πράγματι, ἐδεδίειν γὰρ μὴ ὁ Παγκράτης ἐπανελθὼν ἀγανακτήσῃ, ὅπερ καὶ ἐγένετο, ἀξίνην λαβὼν, διακόπτω τὸ ὕπερον εἰς δύο μέρη. τὰ δὲ, ἑκάτερον τὸ μέρος, ἀμφορέα λαβόντα, ὑδροφόρει, καὶ ἀνθ' ἑνὸς, δύο μοι ἐγεγένοντο οἱ διάκονοι. ἐν τούτῳ καὶ καὶ ὁ Παγκράτης ἐφίσταται. καὶ συνεὶς τὸ γενόμενον, ἐκεῖνα μὲν αὖθις ἐποίησε ξύλα, ὥσπερ ἦν πρὸ τῆς ἐπῳδῆς. αὐτὸς δὲ ἀπολιπών με λαθὼν, οὐκ οἶδ' ὅποι ἀφανὴς ᾤχετο ἀπιών. νῦν οὖν ἔφη ὁ Δεινόμαχος οἶσθα κἂν ἐκεῖνο ἄνθρωπον ποιεῖν ἐκ τοῦ ὑπέρου; νὴ Δί' ἦ δ' ὃς ἐξ ἡμισείας γε. οὐκέτι γὰρ εἰς τὸ ἀρχαῖον οἷόν τέ μοι ἀπάγειν αὐτὸ, ἢν ἅπαξ γένηται ὑδροφόρος, ἀλλὰ δεήσει

ύσει ἡμῖν ὕδατι κλυσθῆναι τὴν οἰκίαν ἐπαντλουμένην. οὐ παύσεσθε ἦν δ' ἐγὼ τὰ τοιαῦτα τερατολογοῦντες γέροντες ἄνδρες; εἰ δὲ μή, ἀλλὰ κἂν τῶν μειρακίων τούτων ἕνεκα εἰς ἄλλον καιρὸν ὑπερβάλλεσθε τὰς παραδόξους ταύτας, καὶ φοβερὰς διηγήσεις, μή πως λάθωσιν ἡμῖν ἐμπλησθέντες δειμάτων, καὶ ἀλλοκότων μυθολογημάτων. φείδεσθαι δὲ χρὴ αὐτῶν, μηδὲ τοιαῦτα ἐθίζειν ἀκούειν, ἃ διὰ παντὸς τοῦ βίου ἐνοχλήσει συνόντα, καὶ ψοφοδεεῖς ποιήσει, ποικίλης τῆς δεισιδαιμονίας ἐμπιπλάντα. εὖ γε ὑπέμνησας ἦ δ' ὃς ὁ Εὐκράτης, εἰπὼν τὴν δεισιδαιμονίαν. τί γάρ σοι ὦ Τυχιάδη, περὶ τῶν τοιούτων δοκεῖ, λέγω δὴ χρησμῶν, καὶ θεσφάτων, καὶ ὅσα θεοφορούμενοί τινες ἀναβοῶσιν, ἢ ἐξ ἀδύτων ἀκούεται, ἢ παρθένος ἔμμετρα φθεγγομένη, προθεσπίζει τὰ μέλλοντα, ἢ δηλαδὴ καὶ τοῖς τοιούτοις ἀπιστήσεις. ἐγὼ δὲ, ὅτι μὲν καὶ δακτύλιόν τινα ἱερὸν ἔχω, Ἀπόλλωνος τοῦ Πυθίου εἰκόνα ἐκτυπούσης τῆς σφραγῖδος, καὶ οὗτος ὁ Ἀπόλλων φθέγγεται πρὸς ἐμέ, οὐ λέγω, μή σοι ἄπιστα δόξω περὶ ἐμαυτοῦ μεγαλαυχεῖσθαι. ἃ δὲ ἐν Ἀμφιλόχου τε ἤκουσα ἐν Μαλλῷ τοῦ ἥρωος ὑποδιαλεχθέντος μοι, καὶ συμβουλεύσαντος ὑπὲρ τῶν ἐμῶν, καὶ ἃ εἶδον αὐτὸς, ἐθέλω ὑμῖν εἰπεῖν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἶτα ἐξῆς ἃ ἐν Περγάμῳ εἶδον, καὶ ἤκουσα ἐν Πα-
τάροις. ὁπότε γὰρ δὴ ἐξ Αἰγύπτου ἐπανῄειν οἴκα-
δε, ἀκούων τὸ ἐν Μαλλῷ τοῦτο μαντεῖον, ἐπιφα-
νέστατόν τε, καὶ ἀληθέστατον εἶναι, καὶ χρᾶν ἐναρ-
γῶς, πρὸς ἔπος ἀποκρινόμενον, οἷς ἂν ἐγγρά-
ψας τις εἰς τὸ γραμματεῖον παραδῷ τῷ
προφήτῃ, καλῶς ἂν ἔχειν ἡγησάμην ἐν παρά-
πλῳ πειραθῆναι τοῦ χρηστηρίου, καί τι περὶ
μελλόντων συμβουλεύσασθαι τῷ θεῷ. ταῦ-
τα ἔτι τοῦ Εὐκράτους λέγοντος, ἰδὼν οἷ τὸ πρᾶ-
γμα προχωρήσειν ἔμελλε, καὶ ὡς οὐ περὶ μικρᾶς ἐ-
νήρχετο τῆς περὶ τὰ χρηστήρια τραγῳδίας, οὐ
δοκῶν οἰηθεὶς δεῖν μόνος ἀντιλέγειν ἅπασιν, ἀ-
πολιπὼν αὐτὸν ἔτι διαπλέοντα ἐξ Αἰγύπτου εἰς
τὴν Μαλλόν, καὶ γὰρ συνίην ὅτι μοι ἄχθονται πα-
ρόντι, καθάπερ ἀντισοφιστῇ τῶν ψευσμάτων, ἀλ-
λ' ἐγὼ ἄπειμι ἔφην Λεόντιχον ἐπιζητήσων. δέο-
μαι γάρ τι αὐτῷ συγγενέσθαι. ὑμεῖς δέ, ἐπεὶ οὐχ ἱκα-
νὰ ἡγεῖσθε τὰ ἀνθρώπινα εἶναι, καὶ αὐτοὺς ἤδη τοὺς θε-
οὺς καλεῖτε συνεπιληψομένους ὑμῖν τῶν μυθολο-
γουμένων. καὶ ἅμα λέγων, ἐξῄειν. οἱ δέ, ἄσμενοι ἐ-
λευθερίας λαβόμενοι, εἱστίων ὡς τὸ εἰκὸς αὐ-
τούς, καὶ ἐνεφοροῦντο τῶν ψευσμάτων. τοιαῦτά σοι
ὦ Φιλόκλεις, παρὰ Εὐκράτει ἀκούσας, ἤκω νὴ
τὸν Δία, ὥσπερ οἱ τοῦ γλεύκους πιόντες, ἐμπε-

φυση

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

-μενος τὴν γαστέρα, ἐμέτου δεόμενος. ἡδέως
ἂν παθεῖν τοῦ πολλοῦ ἐπριάμην λήθεδανόν τι
φάρμακον, ὧν ἤκουσα, ὡς μή τι κακὸν ἐργάσῃ
με ἡ μνήμη αὐτῶν ἐνοικουροῦσα. τέρατα
γοῦν, καὶ δαίμονας, καὶ ἑκάτας ὁρᾶν μοι δοκῶ.
αὐτὸς ὦ Τυχιάδη, τοιοῦτόν τι ἀπήλαυσας
ἠγήσεως. φασὶ γέ τοι μὴ μόνον λυττᾶν, καὶ
ὕδωρ φοβεῖσθαι, ὁπόσους ἂν οἱ λυττῶντες κύνες
δάκωσιν, ἀλλὰ κἄν τινα ὁ δηχθεὶς ἄνθρωπος
δάκῃ, ἴσα τῷ κυνὶ δύναται τὸ δῆγμα. καὶ τὰ
αὐτὰ κἀκεῖνος φοβεῖται. καὶ σὺ τοίνυν ἔοικας
αὐτὸς ἐν Εὐκράτους δηχθεὶς ὑπὸ πολλῶν ψευ-
δάτων, μεταδεδωκέναι κἀμοὶ τοῦ δήγματος.
τῶ δαιμόνων μοι τὴν ψυχὴν ἐνέπλησας. ἀλ-
λὰ θαῤῥῶμεν ὦ φιλότης, μέγα τῶν τοιούτων ἀ-
λεξιφάρμακον ἔχοντες τὴν ἀλήθειαν, καὶ τὸν
ἐπὶ πᾶσι λόγον ὀρθόν. ᾧ χρωμένους ἡμᾶς, οὐ-
δὲν οὐ μὴ ταράξῃ τῶν κενῶν καὶ ματαίων τού-
των ψευσμάτων.

## ΙΠΠΙΑΣ, Η ΒΑΛΑΝΕΙΟΝ.

Τῶν σοφῶν ἐκείνους μάλιστα ἔγωγέ φημι
δεῖν ἐπαινεῖν, ὁπόσοι μὴ λόγοις μόνον
δεξιοὺς παρέχονται ὑπὲρ τῶν πραγμάτων
ἕκαστων, ἀλλὰ καὶ ἔργοις ὁμοίοις τὰς τῶν λόγων
ὑποσχέσεις ἐπιστώσαντο. καὶ γὰρ τῶν ἰατρῶν ὅγε

νοῦν ἔχων, οὐ τοὺς ἄριστα περὶ τέχνης εἰπεῖν δυναμένους μεταστέλλεται νοσῶν, ἀλλὰ τοὺς πρᾶξαί τι κατ' αὐτὴν μεμελετηκότας. ἀμείνω μὲν δὲ καὶ μουσικὸς οἶμαι τοῦ ἐγκρίνειν ῥυθμοὺς, καὶ ἁρμονίας ἐπισταμένου, ὁ καὶ ψάλαι, καὶ κιθαρίσαι αὐτὸς δυνάμενος. τί δὲ ἂν σοι τῶν στρατηγῶν λέγοιμι τοὺς εἰκότως ἀρίστους κριθέντας, ὅτι οὐ τάττειν μόνον, καὶ παραινεῖν ἦσαν ἀγαθοὶ, ἀλλὰ καὶ προμάχεσθαι τῶν ἄλλων, καὶ χειρὸς ἔργα ἐπιδείκνυσθαι, οἷον τῶν πάλαι μὲν, Ἀγαμέμνονα, καὶ Ἀχιλλέα, τῶν κάτω δὲ, τὸν Ἀλέξανδρον, καὶ Πύῤῥον ἴσμεν γεγονότας. πρὸς δὴ τί ταῦτ' ἔφην; οὐχ ἄλλως ἱστορίαν ἐπιδείκνυσθαι βουλόμενος, ἐπιμνησθεὶς αὐτῶν· ἀλλ' ὅτι καὶ τῶν μηχανικῶν ἐκείνους ἄξιον θαυμάζειν, ὁπόσοι ἐπὶ τῇ θεωρίᾳ λαμπροὶ γενόμενοι, καὶ μνημόσυνα ὅμως τῆς τέχνης, καὶ πράγματα τοῖς μετ' αὐτοὺς κατέλιπον. ἐπεὶ οἵγε τοῖς λόγοις μόνοις ἐγγεγυμνασμένοι, σοφισταὶ ἂν εἰκότως μᾶλλον, ἢ σοφοὶ καλοῖντο. τοιοῦτον ἀκούομεν τὸν Ἀρχιμήδην γενέσθαι, καὶ τὸν Κνίδιον Σώστρατον. τὸν μὲν, Πτολεμαῖον χειρωσάμενον, καὶ τὴν Μέμφιν ἀνεῖναι πολιορκίας, ἀποστροφῇ, καὶ διαιρέσει τοῦ ποταμοῦ· τὸν δὲ, τὰς τῶν πολεμίων τριήρεις καταφλέξαντα τῇ τέχνῃ. καὶ Θαλῆς δὲ ὁμιλήσας

πρὸ αὐ

ὁ αὐτῶν ὑποσχόμενος Κροίσῳ ἄβροχον δια-
βάσειν τὴν στρατιάν, ὥσθ' οἷα κατόπιν τοῦ στρα-
τοπέδου μιᾷ νυκτὶ τὸν Ἅλυν παρήγαγεν, οὐ
μηχανικὸς οὗτος γενόμενος, σοφὸς δὲ καὶ ὥστ' ἐννοῆ-
σαι, καὶ συνεῖναι πιθανώτατος. τὸ μὲν γὰρ τοῦ Ε-
πειοῦ, πάνυ ἀρχαῖον, ὃς οὐ μόνον τεχνήσασθαι
τοῖς Ἀχαιοῖς τὸν ἵππον, ἀλλὰ καὶ συγκατα-
βῆναι αὐτοῖς εἰς αὐτὸν λέγεται. ἐν δὴ τούτοις,
Ἰππίου τουτουῒ τοῦ καθ' ἡμᾶς, μεμνῆσθαι
ἄξιον, ἀνδρὸς λογίου μέν, παρ' ὅν τινα βού-
λει τῶν πρὸ αὐτοῦ γεγυμνασμένου, καὶ συνεῖναι
ὀξέως, καὶ ἑρμηνεῦσαι σαφεστάτου. τὰ δὲ
ἔργα, πολὺ τῶν λόγων ἀμείνω παρεχομένου,
τὴν γὰρ τέχνης ὑπόσχεσιν ἀποπληροῦν-
τος, οὐκ ἐν τοιαύταις μὲν ὑποσχέσεσιν, ἐν αἷς
οἱ πρὸ αὐτοῦ γενέσθαι ἠτύχησαν, κατὰ δὲ τὸν
γεωμετρικὸν λόγον, ὥσπερ γὰρ δοθείσης φασὶν εὐ-
θείας τὸ τρίγωνον ἀκριβῶς συνισταμένου. καὶ
τῶν γε ἄλλων ἕκαστος ἐν τινι γὰρ ἐπιστήμης ἔρ-
γον ἀποτεμόμενος, ἐν ἐκείνῳ εὐδοκιμήσας, εἴ
τις ὅμως ἔδοξεν. ὁ δέ, μηχανικῶν τε ὢν τὰ
πρῶτα, καὶ γεωμετρικῶν, ἔτι δὲ ἁρμονικῶν,
καὶ μουσικῶν φαίνεται. τὸ ὅμως ἕκαστον τού-
των οὕτως ἐντελῶς διϊκνεῖσθαι, ὡς ἐν αὐτῷ μό-
νῳ ἐπιστάμενος. τὴν μὲν γὰρ περὶ ἀκτίνων,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἀνακλάσεων, καὶ κατόπτρων θεωρίαν, ἔτι δὲ καὶ ἀστρονομίαν, ἐν ᾗ παῖδας τοὺς πρὸ αὐτοῦ ἀπέφηνεν, οὐκ ὀλίγου χρόνου ἂν εἴη ἐπαινεῖν. ἃ δὲ ἕναγχος ἰδὼν αὐτοῦ τῶν ἔργων κατεπλάγην, οὐκ ὀκνήσω εἰπεῖν. κοινὴ μὲν γὰρ ἡ ὑπόθεσις, καὶ ἐν τῷ καθ' ἡμᾶς βίῳ πάνυ πολλή, βαλανείου κατασκευή, ἡ ἐπίνοια δὲ, καὶ ἐν τῷ κοινῷ τούτῳ σύνεσις θαυμαστή. τόπος μὲν ἦν οὐκ ἐπίπεδος, ἀλλὰ πάνυ προσάντης, καὶ ὄρθιος. ὃν παραλαβὼν κατὰ θάτερα εἰς ὑπερβολὴν ταπεινὸν, ἰσόπεδον θατέρῳ ἀπέφηνε, κρηπῖδα μὲν βεβαιοτάτην ἅπαντι τῷ ἔργῳ βαλλόμενος, καὶ θεμελίων θέσει τῇ τῶν ἐπιτιθεμένων ἀσφάλειαν ἐμπεδωσάμενος. ὕψεσι δὲ πάνυ ἀποτόμοις, καὶ πρὸς ἀσφάλειαν συνεχομένοις τὸ ὅλον κρατυνάμενος. τὰ δὲ ἐποικοδομηθέντα τῷ τε τοῦ τόπου μεγέθει σύμμετρα, καὶ τῷ εὐλόγῳ τῆς κατασκευῆς ἁρμοδιώτατα, καὶ τὸν τῶν φώτων λόγον φυλάττοντα, πυλὼν μὲν ὑψηλὸς, ἀναβάσεις πλατείας ἔχων, ὕπτιος μᾶλλον, ἢ ὄρθιος πρὸς τὴν τῶν ἀνιόντων εὐμάρειαν. εἰσιόντα δὲ τοῦτον ἐκδέχεται κοινὸς οἶκος εὐμεγέθης, ἱκανὴν ἔχων ἀκολούθοις καὶ ὑπηρέταις διατριβὴν, ἐν ἀριστερᾷ δὲ τῶν ἐς τρυφὴν παρεσκευασμένων οἰκημάτων. βαλανείῳ δ' οὖν καὶ ταῦτα πρε-

πωδέστα

ὑδέσατα, χαρίεσαι, καὶ φωτὶ πολλῷ καταλαμπόμεναι ὑποχωρήσεις. εἶτ' ἐχόμενος αὐτῶν ...ρος, περιττὸς μὲν ὡς πρὸς τὸ λουτρόν, ἀναγκαῖος δὲ ὡς πρὸς τὴν τῶν εὐδαιμονεστέρων ὑποδοχήν. μετὰ δὲ τοῦτον, ἑκατέρωθεν διαρκεῖς τοῖς ἀποδυομένοις ἀποθέσεις. καὶ μέσος οἶκος ὕψει ὑψηλότατος, καὶ φωτὶ φαιδρότατος, ψυχροῦ ὕδατος ἔχων τρεῖς κολυμβήθρας, λακαίνῃ λίθῳ κεκοσμημένος. καὶ εἰκόνες ἐν αὐτῷ λίθου λευκοῦ τῆς ἀρχαίας ἐργασίας, ἡ μὲν, ὑγιείας. ἡ δὲ ἀσκληπιοῦ. εἰσελθόντας δὲ, ὑποδέχεται ἠρέμα χλιαινόμενος οἶκος, οὐκ ἀπηνεῖ τῇ θέρμῃ προϋπαντῶν, ἐπιμήκης, ἀμφιστρόγγυλος. μετὰ τοῦτον ἐν δεξιᾷ οἶκος, εὖ μάλα φαιδρός, ἀλείψασθαι προσηνῶς παρεχόμενος, ἑκατέρωθεν εἰσόδους ἔχων, φρυγίῳ λίθῳ κεκαλλωπισμένας, τοὺς ἀπὸ παλαίστρας εἰσιόντας δεχόμενος. εἶτ' ἐπὶ τούτῳ ἄλλος οἶκος, οἴκων ἁπάντων κάλλιστος, στῆναί τε, καὶ ἐγκαθίζεσθαι προσηνέστατος, καὶ ἐμβραδῦναι ἀβλαβέστατος, καὶ ἐγκυλίσασθαι ὠφελιμώτατος, φρυγίου καὶ αὐτὸς εἰς ὀροφὴν ἄκραν ἀποστίλβων. ἑξῆς δὲ ὁ θερμὸς ὑποδέχεται διάδρομος, νομάδι λίθῳ διακεκολλημένος. ὁ δὲ ἔνδον οἶκος, κάλλιστος, φωτός τε πλ... ...ῦ ἀνάμεστος, καὶ ὡς πορφύρᾳ διηνθισμένος.

χρὰς καὶ θερμὰς πυέλους παρέχεται. λουσαμέ
νῳ δὲ, ἔνεστί σοι μὴ τὴν διὰ τῶν αὐτῶν οἴκων αὖθις
ἐπανιέναι, ἀλλὰ ταχεῖαν τὴν ἐπὶ τὸ ψυχρὸν, δι᾽
ἠρέμα θερμοῦ οἰκήματος. καὶ ταῦτα πάντα ὑπὸ
φωτὶ μεγάλῳ, καὶ πολλῇ τῇ ἔνδον ἡμέρᾳ, ὕψη
πρὸς εὖρος ἀνάλογα, καὶ πλάτη τοῖς μήκεσι
σύμμετρα, καὶ πανταχοῦ πολλὴ χάρις, καὶ ἀ
φροδίτη ἐπανθεῖ. κατὰ γὰρ τὸν καλὸν Πίνδα
,, ρον, ἀρχομένου ἔργου, πρόσωπον χρὴ θέμεν τη
,, λαυγές. τοῦτο δ᾽ ἂν εἴη ἐκ τῶν αὐγῶν μάλιστα, καὶ
τοῦ φέγγους, καὶ τῶν φωταγωγῶν μεμηχανημένον.
ὁ γὰρ σοφὸς ὡς ἀληθῶς Ἱππίας, τὸν μὲν ψυχρο
δόχον οἶκον, εἰς βορὰν προκεχωρηκότα ἐποίησεν,
οὐκ ἄμοιρον οὐδὲ τοῦ μεσημβρινοῦ ἀέρος. τοὺς δὲ
πολλοῦ τοῦ θάλπους δεομένους, νότῳ, καὶ εὔρῳ,
καὶ ζεφύρῳ ὑπέθηκε. τί ἄν σοι τὸ ἐπὶ τούτῳ λέ
γοιμι, παλαίστρας, καὶ τὰς κοινὰς τῶν ἱματιο
φυλακούντων κατασκευὰς, ταχεῖαν τὴν ἐπὶ
τὸ λουτρὸν, καὶ μὴ διὰ μακροῦ τὴν ὁδὸν ἐχού
σας, τοῦ χρησίμου τε, καὶ ἀβλαβοῦς ἕνεκα. καὶ
μή με ὑπολάβῃ τις μικρὸν ἔργον προθέμενον,
κοσμεῖν διὰ λόγου προαιρεῖσθαι. τὸ γὰρ ἐν τοῖς
κοινοῖς, καινὰ ἐπινοῆσαι κάλλους δείγματα, οὐ μι
κρᾶς σοφίας ἔργον τίθεμαι. οἷον καὶ τόδε τὸ
ἔργον ὁ θαυμάσιος ἡμῖν Ἱππίας ἐπεδείξατο
πᾶσι.

ίας ἔχοντας βαλανείου ἀρετάς, τὸ χρήσι
μον, τὸ εὔκαιρον, τὸ εὐφεγγές, τὸ σύμμετρον, τὸ
τῷ τόπῳ ἡρμοσμένον, καὶ τὴν χρείαν ἀσφαλῆ
παρεχόμενον. καὶ προσέτι, τῇ ἄλλῃ περινοίᾳ κε
κοσμημένον, ἀμφόδων μὲν ἀναγκαίων δυσὶ
ν ἀναχωρήσεσιν, ἐξόδοις τε πολλαῖς τεθυ-
ρωμένον. ὁρῶν δὲ διττὰς δηλώσεις, τὴν
μὲν, δι' ὕδατος, καὶ μυκήματος, τὴν δὲ, δι' ἡ-
λίου ἐπιδεικνύμενον, ταῦτα ἰδόντα μὴ ἀπο
δοῦναι τὸν πρέποντα ἔπαινον τῷ ἔργῳ, οὐκ ἀ
νοήτου μόνον, ἀλλὰ καὶ ἀχαρίστου, μᾶλλον δὲ
βασκάνου μοι εἶναι ἔδοξεν. ἐγὼ μὲν οὖν εἰς δύνα
μιν καὶ τὸ ἔργον, καὶ τὸν τεχνίτην, καὶ δημιουργὸν ἠ
μειψάμην τῷ λόγῳ. εἰ δὲ θεὸς παράσχοι καὶ λού
σασθαί ποτε, πολλοὺς οἶδα καὶ ἄλλους ἕξων τοὺς κοι
νωνήσοντάς μοι τῶν ἐπαίνων.

## ΠΡΟΣΛΑΛΙΑ, Η ΔΙΟΝΥΣΟΣ

Ὅτε ὁ Διόνυσος ἐπ' Ἰνδοὺς στρατιὰν ἤλα-
σε, κωλύει γὰρ οὐδὲν οἶμαι καὶ μῦθον ὑ-
μῖν διηγήσασθαι βακχικόν, φασὶν οὕ
τω καταφρονῆσαι αὐτοῦ τὰ πρῶτα τοὺς ἀν
θρώπους τοὺς ἐκεῖ, ὥστε καταγελᾶν ἐπιόντος.
μᾶλλον δὲ ἐλεεῖν τὴν τόλμαν, ὡς αὐτίκα
μάλα συμπατηθησομένου ὑπὸ τῶν ἐλεφάν
των, εἰ ἀντιτάξαιτο. ἤκουον γὰρ οἶμαι τῶν σκο

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πῶν ἀλλόκοτα ὑπὸ τῶν στρατιῶν αὐτοῖς ἀγγε
λόντων, ὡς ἡ μὲν φάλαγξ αὐτοῦ, καὶ οἱ λόχοι
γυναῖκες εἶεν ἔκφονες, καὶ μεμηνυῖαι, κιττῷ ἐστε
μμέναι, νεβρίδας ἐνημμέναι, δοράτιά τινα μικρ
ἔχουσαι, ἀσίδηρα, κιττοποίητα καὶ ταῦτα
καί τινα πελτάρια κοῦφα, βομβοῦντα, εἴ τι
μόνον προσάψαιτο. ἀσπίσι γὰρ εἴκαζον καὶ τ
τύμπανα. ὀλίγους δέ τινας ἀγροίκους νεα
σκους ἐνεῖναι γυμνούς, κόρδακα ὀρχουμένους,
οὐρὰς ἔχοντας κεράστας, οἷα τοῖς ἄρτι γεννηθεῖσ
ἐρίφοις ὑποφύεται. καὶ τὸν μὲν στρατηλάτην αὐ
τὸν, ἐφ' ἅρματος ὀχεῖσθαι παρδάλεων ὑπεζευγμέ
νων, ἀγένειον ἀκριβῶς, οὐδ' ἐπ' ὀλίγον χνοῶντα
τὴν παρειάν, κερασφόρον, βοτρύοις ἐστεφανωμέ
νον, μίτρᾳ τὴν κόμην ἀναδεδεμένον ἐν πορφυ
ρίδι, καὶ χρυσῇ ἐμβάδι. ὑποστρατηγεῖν δὲ δύο, ἕ
να μέν τινα βραχὺν πρεσβύτην, ὑπόπαχυν, προ
γάστορα, ῥινόσιμον, ὦτα μεγάλα ὄρθια ἔχον
τα, ὑπότρομον, νάρθηκι ἐπερειδόμενον, ἐπ' ὄ
νου τὰ πολλὰ ἱππεύοντα, ἐν κροκωτῷ, καὶ τοῦ
πάνυ πιθανόν τινα συνταγματάρχην αὐτοῦ
ἕτερον δὲ τεράστιον ἄνθρωπον, τράγῳ τὰ κ
θηριοικότα, κομήτην τὰ σκέλη, κέρατα ἔχον
τα, βαθυπώγωνα, ὀργίλον, καὶ θυμικόν. θατέ
ρᾳ μὲν, σύριγγα φέροντα, τῇ δεξιᾷ δὲ, ῥάβδ

καμπ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐμπύλην ἐπηρμένον, καὶ περισκιρτῶντα ὅλον
στρατόπεδον, καὶ τὰ γύναια δὲ φοβεῖσθαι αὐ
τόν, καὶ σείειν ἀνεμωμένας τὰς κόμας, ὁπότε
...ποσίοι, καὶ βοᾶν εὐοῖ. τοῦτο δ' εἰκάζειν καλεῖ-
ν αὐτῶν τὸν δεσπότην. τὰς δ' οὖν ποίμνας,
ἡρπάσθαι ἤδη ὑπὸ τῶν γυναικῶν, καὶ διεσπά-
σθαι ἔτι ζῶντα τὰ θρέμματα. ὠμοφάγους γάρ
τινας αὐτὰς εἶναι. ταῦτα οἱ Ἰνδοί, καὶ ὁ βασιλεὺς
αὐτῶν ἀκούοντες, ἐγέλων ὡς τὸ εἰκός, καὶ οὐ-
δὲ ἀντεπεξάγειν, ἢ παρατάττεσθαι ἠξίουν. ἀλλ'
εἰ τόδε ἄρα τὰς γυναῖκας ἐπαφήσειν αὐτοῖς εἰ
πλησίον γένοιντο, σφίσι δὲ καὶ νικᾶν αἰσχρὸν ἐ-
δόκει, καὶ φονεύειν γύναια μεμηνότα, καὶ θηλύ
φριν ἄρχοντα, καὶ μεθύον σμικρὸν γερόντιον,
ἡμιστρατιώτην ἄλλον, καὶ γυμνήτας ὀρχηστὰς,
πάντας γελοίους. ἐπεὶ δὲ ἠγγέλλετο πυρπολῶν ὁ
θεὸς ἤδη τὴν χώραν, καὶ πόλεις αὐτάνδρους κα
ταφλέγων, καὶ ἀνάπτων τὰς ὕλας, καὶ ἐν βρα-
χεῖ πᾶσαν τὴν Ἰνδικὴν πυρὸς ἐμπεπληκώς, ὅ
πλον γάρ τοι Διονυσιακὸν τὸ πῦρ πατρῷον αὐ
τῷ, καὶ τοῦ κεραυνοῦ. ἐνταῦθα ἤδη σπουδῇ ἀνε
λάμβανον τὰ ὅπλα, καὶ τοὺς ἐλέφαντας ἐπισά-
ξαντες, καὶ ἐγχαλινώσαντες, καὶ τοὺς πύργους ἀνα
θέμενοι, ἐπ' αὐτοὺς ἀντεπεξῄεσαν, καταφρονοῦν
τες μὲν καὶ τότε, ὀργιζόμενοι δὲ ὅμως, καὶ συντρί

ται πιστεύοντες αὐτῷ στρατοπέδῳ, τὸν ἀγέ-
νειον ἐκεῖνον στρατηλάτην. ἐπεὶ δὲ πλησίον ἐ-
γένοντο, καὶ εἶδον ἀλλήλους, οἱ μὲν Ἰνδοὶ, προ-
τάξαντες τοὺς ἐλέφαντας, ἐπῆγον τὴν φά-
λαγγα. ὁ Διόνυσος δὲ, τὸ μέσον μὲν αὐτὸς εἶ-
χε. τοῦ κέρως δὲ αὐτοῦ, τοῦ δεξιοῦ μὲν, ὁ Σει-
ληνός. τοῦ εὐωνύμου δὲ, ὁ Πὰν ἡγεῖτο. λοχα-
γοὶ δὲ, καὶ ταξίαρχοι, σάτυροι ἐγκαθεστήκεσαν.
καὶ τὸ μὲν σύνθημα, ἦν ἅπασι τὸ εὐοῖ. εὐθὺς δὲ
τὰ τύμπανα ἐπαταγεῖτο, καὶ τὰ κύμβαλα
τὸ πολεμικὸν ἐσήμαινε. καὶ τῶν σατύρων τις
λαβὼν τὸ κέρας, ἐπηύλει τὸ ὄρθιον. καὶ ὁ τοῦ
σειληνοῦ ὄνος, ἐνυάλιόν τι ὠγκήσατο. καὶ αἱ
μαινάδες, σὺν ὀλολυγῇ ἐνεπήδησαν αὐτοῖς,
δράκοντας ὑπεζωσμέναι, κἀκ τῶν θύρσων ἄ-
κρων ἀπογυμνοῦσαι τὸν σίδηρον. οἱ Ἰνδοὶ δὲ, καὶ
ἐλέφαντες αὐτῶν, αὐτίκα ἐκκλίναντες, σὺν
οὐδενὶ κόσμῳ ἔφευγον, οὐδ' ἐντὸς βέλους γενέ-
σθαι ὑπομείναντες. καὶ τέλος, κατακρά-
τος ἑαλώκεσαν, καὶ αἰχμάλωτοι ἀπήγοντο
ὑπὸ τῶν τέως καταγελωμένων, ἔργῳ μα-
θόντες ὡς οὐκ ἐχρῆν ἀπὸ τῆς πρώτης ἀκοῆς
καταφρονεῖν ξένων στρατοπέδων. ἀλλὰ τί πρὸς
τὸν Διόνυσον, οὗτος ὁ Διόνυσος, εἴποι τις ἄν. ὅτι
μοι δοκοῦσι, καὶ πρὸς Χαρίτων μή με κορυβαντιᾶν,

ἤ τι

τελέως μεθύειν ὑπολάβητε, εἰ τὰ ἐμὰ εἰκάζω τοῖς
οις, ὅμοιόν τι πάσχειν οἱ πολλοὶ πρὸς τοὺς και-
ὺς τῶν λόγων τοῖς Ἰνδοῖς ἐκείνοις, οἱ καὶ πρὸς τοὺς
ούς. οἰόμενοι γὰρ σατυρικὰ, καὶ γελοῖά τινα, καὶ
μικὰ παρ' ἡμῶν ἀκούεσθαι, τοιαῦτα πε-
πιστεύκασιν, οὐκ οἶδ' ὅτι δόξαν αὐτοῖς ὑπὲρ ἐμοῦ.
μαι, οἱ δὲ τὴν ἀρχὴν ἀφικνοῦνται, ὡς οὐδὲν δέον
ρέχειν τὰ ὦτα κώμοις γυναικείοις, καὶ σκιρτήμα-
σατυρικοῖς, καταβάντας ἀπὸ τῶν ἐλεφάντων.
δὲ, ὡς τὸ τοιοῦτό τι ἥκοντες, ἀντὶ τοῦ κιττοῦ σίδη-
εὑρόντες, οὐδ' οὕτως ἐπαινεῖν τολμῶσι, διὰ τὸ πα-
ράδοξον τοῦ πράγματος, τεθορυβημένοι, ἀλλὰ θαρ-
ὼν ἐπαγγέλλομαι αὐτοῖς, ὅτι ἣν καὶ νῦν ὡς πρό-
τερόν ποτε τὴν τελετὴν ἐθελήσωσιν ἐπιδεῖν πολλά-
κις, ἀναμνησθῶσιν οἱ παλαιοὶ συμπόται κώ-
μων κοινῶν τῶν τότε καιρῶν, καὶ μὴ καταφρονήσωσι
σατύρων, καὶ σιληνῶν, πίωσι δὲ εἰς κόρον τοῦ κρατῆ-
ρος τούτου, ἐκβακχεῦσαι καὶ αὐτοὺς, καὶ πολλάκις
ἡμῶν ἐρεῖν τὸ εὐοῖ. οὗτοι μὲν οὖν, ἐλεύθεροι τὰ ἀ-
κοή, ποιούντων ὅ, τι καὶ φίλον. ἐγὼ δὲ ἐπειδήπερ ἐ-
ν τοῖς Ἰνδοῖς ἐσμεν, ἐθέλω καὶ ἄλλο ὑμῖν διηγήσα-
σθαί τι τῶν ἐκεῖθεν, οὐχ ἃ πρὸς τὸν Διόνυσον, οὐ-
αὐτὸ, οὐδ' ὧν ποιούμεθα ἀλλότριον. ἐν Ἰνδοῖς
τοῖς Μαχλαίοις, οἱ τὰ λαιὰ τοῦ Ἰνδοῦ ποταμοῦ,
εἰ κατὰ ῥοῦν αὐτοῦ βλέπεις, ἐπινεμόμενοι,

μέχρι πρὸς τὸν Ὠκεανὸν καθήκουσι. παρὰ δὲ Φύρις
ἄλσος ἐστὶν ἐν περιφράκτῳ, οὐ πάνυ μεγάλῳ
χωρίῳ, συνηρεφὲς δέ. κιττὸς γὰρ πολὺς, καὶ
ἄμπελοι. σύσκιον αὐτὸ ἀκριβῶς ποιοῦσιν. ἐν
ταῦθα πηγαί εἰσι τρεῖς, καλλίστου, καὶ διειδεστά
του ὕδατος. ἡ μὲν, Σατύρου. ἡ δὲ, Πανός. ἡ δὲ, Σειλη
νοῦ· καὶ εἰσέρχονται εἰς αὐτὸ οἱ Ἰνδοὶ ἅπαξ τοῦ ἔ
τους, ἑορτάζοντες τῷ θεῷ, καὶ πίνουσι τῶν πη
γῶν οὐχ ἁπασῶν ἅπαντες, ἀλλὰ καθ' ἡλι·
κίαν. τὰ μὲν μειράκια, τῆς τῶν Σατύρων. οἱ
ἄνδρες δὲ, τῆς πανικῆς. τῆς δὲ τοῦ σειληνοῦ, οἱ
κατ' ἐμέ. ἃ μὲν οὖν πάσχουσιν οἱ παῖδες ἐπει
δὰν πίωσιν, ἢ οἷα οἱ ἄνδρες τολμῶσι κατεχό
μενοι τῷ Πανὶ, μακρὸν ἂν εἴη λέγειν. ἃ δ' οἱ γέ
ροντες ποιοῦσιν ὅταν μεθυσθῶσι τοῦ ὕδατος, οὐκ
ἀλλότριον εἰπεῖν. ἐπειδὰν πίῃ ὁ γέρων, καὶ κα
τάσχῃ αὐτὸν ὁ σειληνὸς, αὐτίκα ἐπὶ πολὺ ἄφω
νός ἐστι, καὶ καρηβαροῦντι, καὶ βεβαπτισμένῳ ἔοι
κεν. εἶτα ἄφνω φωνή τε λαμπρὰ, καὶ φθέγμα το
ρὸν, καὶ πνεῦμα λιγυρὸν ἐγγίνεται αὐτῷ, καὶ λα
λίστατος ἐξ ἀφωνοτάτου ἐστίν. οὐδ' ἂν ἐπιστομί
σας, παύσειας αὐτὸν μὴ οὐχὶ συνεχῆ λαλεῖν, καὶ
ῥήσεις μακρὰς συνείρειν. συνετὰ μέντοι πάντα,
καὶ κόσμια, καὶ κατὰ τὸν Ὁμήρου ἐκεῖνον ῥήτορα.
νιφάδεσσιν ἐοικότα χειμερίῃσι, διεξέρχονται.

οὐδ'

ει᾽ ἀτεχνῶς ἐοικὼς τοῖς κύκνοις κατὰ τὴν ἡλικίαν ᾆσαι αὐτοῖς, ἀλλὰ τεττιγῶδές τι πυκνὸν, καὶ ἐπίσχον συναπτόντων, ἄχρι βαθείας ἑσπέρας. κἀντεῦθεν δὲ ἤδη ἀφεθείσης αὐτοῖς τῆς μέθης, σιωπῶσι, καὶ πρὸς τὸ ἀρχαῖον ἀνατρέχουσι. τὸ μέντοι παραδοξότατον, οὐδέπω εἶπον. ἢν γὰρ τελῇ ὁ γέρων μεταξὺ καταλιπὼν ὃν διεξῄει τὸν λόγον, δύντος ἡλίου κωλυθεὶς, τὸ πέρας αὐτὸν ἐπεξελθεῖν, ἐς νέωτα πιὼν, αὖθις ἐκεῖνα συνάπτει, ἃ πέρυσι λέγοντα ἡ μέθη αὐτὸν κατέλιπε. ταῦτά μοι κατὰ τὴν κωμῳδίαν εἰς ἐμαυτὸν ἀπεσκώφθω. καὶ μὰ τὸν Δία οὐκ ἂν ἔτι ἐπαγάγοιμι τὸ ἐπιμύθιον. ὁρᾶτε γὰρ ἤδη καθότι τῷ μύθῳ ἔοικα. ὥστε ἢν μέν τι παραπαίωμεν, ἡ μέθη αἰτία. εἰ δὲ πινυτὰ δόξειε τὰ λεγόμενα, ὁ Σιληνὸς ἄρα ἦν ἵλεως.

## ΠΡΟΣΛΑΛΙΑ, Η ΗΡΑΚΛΗΣ.

Τὸν Ἡρακλέα οἱ Κελτοὶ ὄγμιον ὀνομάζουσι φωνῇ τῇ ἐπιχωρίῳ. τὸ δὲ εἶδος τοῦ θεοῦ, πάνυ ἀλλόκοτον γράφουσι. γέρων ἐστὶν αὐτοῖς ἐς τὸ ἔσχατον, ἀναφαλαντίας, πολιὸς ἀκριβῶς, ὅσαι λοιπαὶ τῶν τριχῶν, ῥυσὸς τὸ δέρμα, καὶ διακεκαυμένος ἐς τὸ μελάντατον, οἷοί εἰσιν οἱ θαλαττουργοὶ γέροντες, μᾶλλον δὲ Χάρωνα, ἢ Ἰαπετόν τινα τῶν ὑπο

ταρταρίων, καὶ πάντα μᾶλλον, ἢ Ηρακλέα εἶ-
ναι ἂν εἰκάσειας. ἀλλὰ καὶ τοιοῦτος ὤν, ἔχει ὅμως
τὴν σκευὴν τοῦ Ηρακλέους. καὶ γὰρ τὴν διφθέραν
ἐνῆπται τὴν τοῦ λέοντος, καὶ τὸ ῥόπαλον ἔχει ἐν
τῇ δεξιᾷ, καὶ τὸν γωρυτὸν παρήρτηται, καὶ τὸ τό-
ξον ἐντεταμένον ἡ ἀριστερὰ προδείκνυσι. καὶ ὅ-
λως, Ηρακλῆς ἐστι. ταῦτά γε ᾤμην οὖν ἐφ' ὕ-
βρει τῶν Ελληνίων θεῶν τοιαῦτα παρανομεῖν
τοὺς Κελτοὺς ἐς τὴν μορφὴν τὴν τοῦ Ηρακλέους,
ἀμυνομένους αὐτὸν τῇ τοιαύτῃ γραφῇ, ὅτι τὴν
χώραν ποτὲ αὐτῶν ἐπῆλθε, λείαν ἐλαύνων,
ὁπότε τὰς Γηρυόνου ἀγέλας ζητῶν, κατέδρα-
με τὰ πολλὰ τῶν ἑσπερίων γενῶν. καίτοι τὸ
παραδοξότατον οὐδέπω ἔφην τῆς εἰκόνος. ὁ
γὰρ δὴ γέρων Ηρακλῆς ἐκεῖνος, ἀνθρώπων
πάμπολύ τι πλῆθος ἕλκει, ἐκ τῶν ὤτων ἅ-
παντας δεδεμένους. δεσμὰ δέ εἰσιν οἱ, σειραὶ
λεπταὶ χρυσοῦ, καὶ ἠλέκτρου εἰργασμέναι, ὅρ-
μοις ἐοικυῖαι τοῖς καλλίστοις. καὶ ὅμως ἀφ' οὕ-
τως ἀσθενῶν ἀγόμενοι, οὔτε δρασμὸν βουλεύου-
σι, δυνάμενοι ἂν εὐμαρῶς, οὔτε ὅλως ἀντιτεί-
νουσιν, ἢ τοῖς ποσὶν ἀντερείδουσι, πρὸς τὸ ἐναν-
τίον τῆς ἀγωγῆς ἐξυπτιάζοντες, ἀλλὰ φαι-
δροὶ ἕπονται, καὶ γεγηθότες, καὶ τὸν ἄγοντα ἐπαι-
νοῦντες ἐπειγόμενοι ἅπαντες, καὶ τῷ φθάνειν

ἐθ

ἵλκεν τὸν δεσμὸν ἐπιγελῶντας, ἐοικότας ἀ-
χθεσθησομένοις, εἰ λυθήσονται. ὃ δὲ πάντων
ἀτοπώτατον εἶναί μοι ἔδοξεν, οὐκ ὀκνήσω καὶ τοῦ-
το εἰπεῖν. οὐ γὰρ ἔχων ὁ ζωγράφος ὅθεν ἐξάψει
εἰς σειρᾶς τὰς τῶν δεσμῶν ἀρχάς, ἅτε τῆς δε-
ξιᾶς μὲν, ἤδη τὸ ῥόπαλον, τῆς λαιᾶς δὲ, τὸ τό-
ξον ἐχούσης, τρυπήσας τοῦ θεοῦ τὴν γλῶτταν
ἄκραν, ἐξ ἐκείνης ἑλκομένους αὐτοὺς ἐποίησε,
καὶ ἐπέστραπταί γε εἰς τοὺς ἀγομένους μειδι-
ῶν. ταῦτ᾽ ἐγὼ μὲν ἐπὶ πολὺ εἱστήκειν ὁρῶν,
καὶ θαυμάζων, καὶ ἀπορῶν, καὶ ἀγανακτῶν.
Κελτὸς δέ τις παρεστὼς, οὐκ ἀπαίδευτος τὰ
ἡμέτερα ὡς ἔδειξεν, ἀκριβῶς ἑλλάδα φωνὴν
ἀφιείς, φιλόσοφος οἶμαι τὰ ἐπιχώρια, ἐγώ
σοι ἔφη ὦ ξένε, λύσω τῆς γραφῆς τὸ αἴνιγμα.
πάνυ γὰρ ταραττομένῳ ἔοικας πρὸς αὐτήν. τὸν
λόγον ἡμεῖς οἱ Κελτοὶ, οὐχ ὥσπερ ὑμεῖς οἱ Ελ-
ληνες, Ερμῆν οἰόμεθα εἶναι, ἀλλ᾽ Ηρακλεῖ αὐτὸν εἰ-
κάζομεν, ὅτι παραπολὺ τοῦ Ερμοῦ ἰσχυρότερος οὗ-
τος. εἰ δὲ γέρων πεποίηται, μὴ θαυμάσῃς. μόνος
γὰρ ὁ λόγος ἐν γήρᾳ φιλεῖ ἐντελῆ ἐπιδείκνυσθαι
τὴν ἀκμὴν, εἴγε ἀληθῆ ὑμῶν οἱ ποιηταὶ λέγουσιν,
ὅτι αἱ μὲν τῶν ὁπλοτέρων φρένες, ἠερέθονται. „
τὸ δὲ γῆρας, ἔχει τι λέξαι τῶν νέων σοφώτερον. „
οὕτω γέ τοι καὶ τὸν Νέστορας ὑμῖν ἀποῤῥεῖ ἐκ τῆς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γλώττης τὸ μέλι. καὶ οἱ ἀγορηταὶ τῶν Τρώων τὴν
ὄπα τὴν λειριόεσσαν ἀφιᾶσιν εὐανθῆ τινα. λεί-
ρια γὰρ καλεῖται, εἴ γε μέμνημαι, τὰ ἄνθη. ὥσ-
τε εἰ τῶν ὤτων ἐκδεδεμένους τοὺς ἀνθρώπους πρὸς
τὴν γλῶτταν ὁ γέρων οὗτος Ἡρακλῆς, ὁ λό-
γος ἕλκει, μηδὲ τοῦτο θαυμάσῃς, εἰδὼς τὴν
τῶν ὤτων, καὶ γλώττης συγγένειαν. οὐδ' ὕβρις
εἰς αὐτὸν, εἰ ταύτῃ τετρύπηται. μέμνημαι γοῦν
ἔφη καὶ κωμικῶν τινων ἰαμβείων, παρ' ὑμῶν μα-
» θών. τοῖς γὰρ λάλοις, ἐξ ἄκρου ἡ γλῶττα πᾶ-
» σίν ἐστι τετρυπημένη. τὸ δ' ὅλον, καὶ αὐτὸν ἡ-
μεῖς τὸν Ἡρακλέα λόγῳ τὰ πάντα ἡγούμεθα
ἐξεργάσασθαι, σοφὸν γενόμενον, καὶ πειθοῖ τὰ
πλεῖστα βιάσασθαι. καὶ τά γε βέλη αὐτοῦ, οἱ
λόγοι εἰσὶν οἶμαι, ὀξεῖς, καὶ εὔστοχοι, καὶ ταχεῖς,
καὶ τὰς ψυχὰς τιτρώσκοντες. πτερόεντα γοῦν
τὰ ἔπη καὶ ὑμεῖς φατε εἶναι. τοσαῦτα μὲν, ὁ κελ-
τός. ἐμοὶ δὲ, ἡνίκα περὶ τῆς δεῦρο παρόδου ταύ-
της ἐσκοπούμην πρὸς ἐμαυτὸν εἴ μοι καλῶς
ἔχοι, τηλικῷδε ὄντι, καὶ πάλαι τῶν ἐπιδεί-
ξεων πεπαυμένῳ, αὖθις ὑπὲρ ἐμαυτοῦ ψῆ-
φον διδόναι τοσούτοις δικασταῖς, κατὰ καιρὸν
ἐπῆλθεν ἀναμνησθῆναι τῆς εἰκόνος. τέως μὲν
γὰρ ἐδεδίειν, μή τινι ὑμῶν δόξαιμι κομιδῇ μει-
ρακιώδη ταῦτα ποιεῖν, καὶ παρ' ἡλικίαν νεανι-
εύεσθαι

πη. κατά τις Ὁμηρικὸς νεανίσκος ἐπιπλή-
ξει μοι εἰπὼν τό, σὴ δὲ βίη λέλυται, καὶ χαλε-
πὸν γῆρας κατείληφέ σε, ἠπεδανὸς δέ νύ τοι
θεράπων, βραδέες δέ τοι ἵπποι, ἐς τοὺς πόδας
ἐμὲ ἀποσκώπτων. ἀλλ' ὅταν ἀναμνησθῶ τοῦ γέ-
ροντος ἐκείνου Ἡρακλέους, πάντα ποιεῖν προάγο-
μαι, καὶ οὐκ αἰδοῦμαι τοιαῦτα τολμῶν, ἡλικιώ-
της ὢν τῆς εἰκόνος. ὥστε ἰσχὺς μὲν, καὶ τάχος, καὶ
κάλλος, καὶ ὅσα σώματος ἀγαθά, χαιρέτω. καὶ
ἔρως ὁ σός ὦ Τήιε ποιητά, εἰσιδών με ὑποπό-
λιον γένειον, χρυσοφαέννων εἰ βούλεται παραπετέσθω, ἢ ἀερίοις παραπετέσθω. καὶ ὁ Ἱπποκλείδης
οὐ φροντιεῖ. τῷ λόγῳ δὲ, νῦν ἂν μάλιστα ἀνη-
βᾶν, καὶ ἀνθεῖν, καὶ ἀκμάζειν καθ' ὥραν εἴη, καὶ ἕλ-
κειν τῶν ὤτων, ὅσους ἂν πλείστους δύνηται, καὶ τοξεύ-
ειν πολλάκις, ὡς οὐδέν τι δέος μὴ κενωθεὶς
λάθοι ὁ φαρετρὸς αὐτῷ. ὁρᾷς ὅπως παραμυθοῦ-
μαι τὴν ἡλικίαν, καὶ τὸ γῆρας τὸ ἐμαυτοῦ. καὶ διὰ
τοῦτο ἐτόλμησα πάλαι νενεωλκημένον τὸ ἀκά-
τιον κατασπάσας, καὶ ἐκ τῶν ἐνόντων ἐπισκευά-
σας, αὖθις ἀφεῖναι ἐς μέσον τὸ πέλαγος. εἴη
δέ ὦ θεοὶ καὶ τὰ παρ' ὑμῶν ἐμπνεῦσαι δεξιά, ὡς
νῦν γε μάλιστα πλησιστίου τε, καὶ ἐσθλοῦ, καὶ ἑ-
ταίρου ἀνέμου δεόμεθα, ἵνα εἰ ἄξιοι φαινοίμεθα,
καὶ ἡμῖν τὸ Ὁμηρικὸν ἐκεῖνο ἐπιφθέγξηταί τις,

„ οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει.

## ΠΕΡΙ ΤΟΥ ΗΛΕΚΤΡΟΥ, Η ΤΩΝ ΚΥΚΝΩΝ.

Ηλέκτρου πέρι καὶ ὑμᾶς δηλαδὴ ὁ μῦθος πέπεικεν, αἰγείρους ἐν τῷ Ἠριδανῷ ποταμῷ δακρύειν αὐτό, θρηνούσας τὸν Φαέθοντα, καὶ ἀδελφάς γε εἶναι τὰς αἰγείρους ἐκείνας τοῦ Φαέθοντος. εἶτα ὀδυρομένας τὸ μειράκιον, ἀλλαγῆναι ἐς τὰ δένδρα, καὶ ἀποστάζειν ἔτι αὐτῶν δάκρυον δῆθεν τὸ ἤλεκτρον. τοιαῦτα γὰρ ἀμέλει καὶ αὐτὸς ἀκούων τῶν ποιητῶν ᾀδόντων, ἤλπιζον, εἴ ποτε γενοίμην ἐπὶ τῷ Ἠριδανῷ, ὑπελθὼν μίαν τῶν αἰγείρων, ἐκπετάσας τὸ προκόλπιον, ὑποδέξεσθαι τῶν δακρύων ὀλίγα, ὡς ἤλεκτρον ἔχοιμι. καὶ δὴ οὐ πρὸ πολλοῦ κατ᾽ ἄλλο μέντοι χρέος, ἧκον δὲ ὅμως ἐς τὰ χωρία ἐκεῖνα, καὶ ἔδει γὰρ ἀναπλεῖν κατὰ τὸν Ἠριδανόν, οὔτ᾽ αἰγείρους εἶδον, πάνυ περισκοπῶν, οὔτε τὸ ἤλεκτρον, ἀλλ᾽ οὐδὲ τοὔνομα τοῦ Φαέθοντος ᾔδεσαν οἱ ἐπιχώριοι. ἀναζητοῦντος γοῦν ἐμοῦ, καὶ διαπυνθανομένου, πότε δὲ ἐπὶ τὰς αἰγείρους ἀφιξόμεθα, τὰς τὸ ἤλεκτρον ἐκδιδούσας, ἐγέλων οἱ ναῦται, καὶ ἠξίουν σαφέστερον λέγειν ὅ, τι καὶ θέλοιμι. κἀγὼ τὸν μῦθον διηγούμην αὐτοῖς, Φαέθοντα γενέσθαι Ἡλίου παῖδα, καὶ τοῦτον ἐς ἡλι-

κίαν

...ον ἐλθόντα, αἰτῆσαι παρὰ τοῦ πατρὸς ἐλά-
σαι τὸ ἅρμα, ὡς ποιήσειε καὶ αὐτὸς μίαν ἡμέραν,
τὸν δὲ, δοῦναι. τὸν δὲ ἀπολέσθαι, ἐκδιφρευθέντα.
καὶ τὰς ἀδελφὰς αὐτοῦ πενθούσας ἐνταῦθά που
...ω παρ' ὑμῖν, ἵνα περ καὶ κατέπεσεν ἐπὶ τῷ
Ἠριδανῷ, αἰγείρους γενέσθαι, καὶ δακρύειν ἔτι αὐ-
τοὺς τὸ ἤλεκτρον. τίς ταῦτά σοι ἔφασκεν διηγή-
...ρ ἀπατεὼν, καὶ ψευδολόγος ἄνθρωπος; ἡμεῖς
δὲ οὔτε ἡνίοχόν τινα ἐκπίπτοντα εἴδομεν, οὔ-
τε τὰς αἰγείρους, ἃς φὴς ἔχομεν. εἰ δὲ ἦν τι
τοιοῦτον, οἴει ἡμᾶς δυοῖν ὀβολοῖν ἕνεκα ἐρέτ-
τειν ἂν, ἢ ἕλκειν τὰ πλοῖα πρὸς ἐναντίον τὸ ὕ-
δωρ, οἷς ἐξῆν πλουτεῖν, ἀναλέγοντας τῶν αἰ-
γείρων τὰ δάκρυα; τοῦτο λεχθὲν, οὐ μετρίως
με καθίκετο. καὶ ἐσιώπησα διαισχυνθεὶς, ὅτι παι-
δίου τινὸς ὡς ἀληθῶς ἔργον ἐπεπόνθειν, πιστεύ-
σας τοῖς ποιηταῖς ἀπίθανα οὕτω ψευδομένοις,
ὡς μηδὲν ὑγιὲς ἀρέσκεσθαι αὐτοῖς. μιᾶς μὲν δὴ
ταύτης ἐλπίδος οὐ μικρᾶς ἐψευσμένος, ἠνιώ-
μην, καθάπερ ἐκ τῶν χειρῶν τὸ ἤλεκτρον ἀπολω-
λεκώς. ὅς γε ἤδη ἀνέπλαττον ὅσα καὶ οἷα χρήσο-
μαι αὐτοῖς. ἐκεῖνο δὲ καὶ πάνυ ἀληθῶς ᾤμην εὑ-
ρήσειν παρ' αὐτοῖς, κύκνους πολλοὺς ᾄδοντας ἐπὶ
ταῖς ὄχθαις τοῦ ποταμοῦ. καὶ αὖθις ἠρώτων
τοὺς ναύτας, ἀνεπλέομεν γὰρ ἔτι, ἀλλ' οἵ γε κύ-
κνοι πότε ὑμῖν τὸ λιγυρὸν ἐκεῖνο ᾄδουσιν ἐ-

φιστώτων τῷ ποταμῷ, ἔνθεν καὶ ἔνθεν; φασὶ γοῦν Ἀπόλλωνος παρέδρους αὐτοὺς ὄντας, ᾠδικοὺς ἀνθρώπους, ἐνταῦθά που ἐς τὰ ὄρνεα μεταπεσεῖν, καὶ διὰ τοῦτο ᾄδειν ἔτι, οὐκ ἐκλαθομένους τῆς μουσικῆς. οἱ δὲ, σὺν γέλωτι, σὺ ἔφησαν ὦ ἄνθρωπε, οὐ παύσῃ τήμερον καταψευδόμενος τῆς χώρας ἡμῶν, καὶ τοῦ ποταμοῦ; ἡμεῖς δὲ ἀεὶ πλέοντες, καὶ σχεδὸν ἐκ παίδων ἐργαζόμενοι ἐν τῷ Ἠριδανῷ, ὀλίγους μὲν κύκνους ἐνίοτε ὁρῶμεν ἐν τοῖς ἕλεσι τοῦ ποταμοῦ, καὶ κρώζουσιν οὗτοι πάνυ ἄμουσον, καὶ ἀσθενὲς, ὡς τοὺς κόρακας, ἢ τοὺς κολοιοὺς, σειρῆνας μὲν εἶναι πρὸς αὐτούς. ᾀδόντων δὲ ἡδὺ, καὶ οἷον σὺ φὴς, οὐδὲ ὄναρ ἀκηκόαμεν. ὥστε θαυμάζομεν πόθεν ταῦτα εἰς ὑμᾶς ἀφίκετο περὶ ἡμῶν. πολλὰ τοιαῦτα ἐξαπατηθῆναι ἔνι, πιστεύοντας τοῖς πρὸς τὸ μεῖζον ἕκαστα ἐξηγουμένοις. ὥστε κἀγὼ νῦν δέδια ὑπὲρ ἐμαυτοῦ, μὴ ὑμεῖς ἄρτι ἀφιγμένοι, καὶ τοῦτο πρῶτον ἀκροασάμενοι ἡμῶν, ἤλεκτρά τινα, καὶ κύκνους ἐλπίσαντες εὑρήσειν παρ' ἡμῖν, ἔπειτα μετ' ὀλίγον ἀπέλθητε καταγελῶντες τῶν ὑποσχομένων ὑμῖν, τοιαῦτα πολλὰ κειμήλια ἐνεῖναι τοῖς λόγοις. ἀλλὰ μαρτύρομαι, ὡς ἐμοῦ τοιαῦτα μεγαλαυχουμένου περὶ τῶν ἐμῶν, οὔτε ὑμεῖς, οὔτε ἄλλος πω ἀκήκοεν, οὐδ' ἂν ἀκούσειέ ποτε.

ἄλλοις

ἄλλοις μὲν γὰρ οὐκ ὀλίγοις ἐντύχοις ἂν Ἠριδανοῖς τισι, καὶ οἷς οὐκ ἤλεκτρον, ἀλλὰ χρυσὸς αὐτὸς ἀποστάζει τῶν λόγων, πολὺ τῶν κύκνων τῶν ποιητικῶν λιγυρωτέροις. τὸ δὲ ἐμὸν ὁρᾶτε ἤδη ὁποῖον ἁπλοϊκόν, καὶ ἄμυθον, οὐδέ τις ᾠδὴ πρόσεστιν. ὥστε ὅρα μὴ τοιοῦτό τι πάθῃς, μείζω περὶ ἡμῶν ἐλπίσας, οἷόν τι πάσχουσιν οἱ τὰ ἐν τῷ ὕδατι ὁρῶντες. οἰόμενοι γὰρ τηλικαῦτα εἶναι αὐτὰ ὁποῖα διεφαίνετο αὐτοῖς ἄνωθεν, εὐρυνομένης τῆς σκιᾶς πρὸς τὴν αὐγήν, ἐπειδὰν ἀνασπάσωσι, πολλῷ μικρότερα εὑρίσκοντες ἀνιῶνται. ἤδη οὖν σοι προλέγω, ἐκχέας τὸ ὕδωρ, καὶ ἀποκαλύψας τὰ ἐμά, μηδὲν μέγα προσδοκήσῃς ἀνιμήσεσθαι, ἢ σαυτὸν αἰτιάσῃ τῆς ἐλπίδος.

## ΜΥΙΑΣ ΕΓΚΩΜΙΟΝ.

Ἡ Μυῖα, ἔστι μὲν οὐ τὸ σμικρότατον τῶν ὀρνέων, ὅσον ἐμπίσι καὶ κώνωψι, καὶ τοῖς ἔτι λεπτοτέροις παραβάλλειν, ἀλλὰ τοσοῦτον ἐκείνων μεγέθει προὔχει, ὅσον αὐτὴ μελίττης ἀπολείπεται. ἐπτέρωται δὲ οὐ κατὰ τὰ αὐτὰ τοῖς ἄλλοις, ὡς τοῖς μὲν, ἁπανταχόθεν κομᾶν τοῦ σώματος, τοῖς δὲ, ὠκυπτέροις χρῆσθαι, ἀλλὰ κατὰ τὰς ἀκρίδας, καὶ τέττιγας καὶ μελίττας. ἔστι μὲν ὑμενόπτερος, τοσοῦτον ἁπαλώτερα ἔχουσα τὰ πτερά, ὅσον τῶν ἑλλη-

νικῆς ἐσθῆτος ἢ ἰνδικὴ λεπτοτέρα, καὶ μαλακωτέρα. καὶ μὴν διήνθισται κατὰ τοὺς ταῶνας, εἴ τις ἀτενὲς βλέποι ἐς αὐτὴν, ὁπόταν ἐκπετάσασα πρὸς τὸν ἥλιον, ἐκπτερύσσηται. ἡ δὲ πτῆσις οὔτε κατὰ τὰς νυκτερίδας, εἰρεσίᾳ συνεχεῖ τῶν πτερῶν, οὔτε κατὰ τὰς ἀκρίδας μετὰ πηδήματος, οὐδὲ ὡς οἱ σφῆκες μετὰ ῥοιζήματος, ἀλλ' εὐκαμπὴς πρὸς ὅ, τι ἂν μέρος ὁρμήσῃ τοῦ ἀέρος. καὶ μὴν κἀκεῖνο πρόσεστιν αὐτῇ, τὸ μὴ καθ' ἡσυχίαν, ἀλλὰ μετ' ᾠδῆς πέτεσθαι, οὐκ ἀπηνῶς οἷα κωνώπων, καὶ ἐμπίδων, οὐδὲ τὸ βαρύβρομον τῶν μελιττῶν, ἢ τῶν σφηκῶν τὸ φοβερὸν, καὶ ἀπειλητικὸν ἐνδεικνυμένης, ἀλλὰ τοσοῦτόν ἐστι λιγυρωτέρα, ὅσον σάλπιγγος, καὶ κυμβάλων, αὐλοὶ μελιχρότεροι. τὸ δ' ἄλλο σῶμα, ἡ μὲν κεφαλὴ, λεπτοτάτῳ τῷ αὐχένι συνέχεται, καὶ ἔστιν εὐπεριάγωγος, οὐ συμπεφυκυῖα ὥσπερ ἡ τῶν ἀκρίδων. ὀφθαλμοὶ δὲ, προπετεῖς, πολὺ τοῦ κέρατος ἔχοντες, στέρνον εὐπαγές. καὶ ἐκπεφύκασιν αὐτῇ οἱ πόδες οὐ κατὰ τοὺς σφῆκας πάνυ ἐσφιγμένοι. ἡ γαστὴρ δὲ, ὠχύρωται καὶ αὐτὴ, καὶ θώρακι ἔοικε, ζώνας πλατείας, καὶ φολίδας ἔχουσα. ἀμύνεται μέντοι οὐ κατὰ τὸ ὀρροπύγιον ὡς σφὴξ, καὶ μέλιττα, ἀλλὰ τῷ στόματι, καὶ τῇ προβοσκίδι, ἣν κατὰ ταὐτὰ

τοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρίσ ἐλέφασι, ἡ δ' αὐτὴ ἔχουσα προβοσκίδα τε, ἢ ἐπιλαμβάνεται, καὶ προσφῦσα κατέχει, κατὰ χελιδόνι κατὰ τὸ ἄκρον ἐοικυῖα. ἐκ δὲ αὐτῆς, ὁ ὀδοὺς προκύπτει, ᾧ κεντοῦσα, πίνει τοῦ αἵματος. πίνει μὲν γὰρ καὶ γάλακτος. ἀλγύνει δὲ αὐτῇ ἡ τὸ δῆγμα, οὐ μετὰ μεγάλης ὀδύνης τῶν κεντουμένων. ἑξάπους δὲ οὖσα, τοῖς μὲν τέσσαρσι βαδίζει μόνοις, τοῖς δὲ προσθίοις δυσὶ, καὶ ὅσα χερσὶ χρῆται. ἴδοις ἂν οὖν αὐτὴν τοῖν πεττάροιν βεβηκυῖαν, ἔχουσάν τι ἐν ταῖν χεροῖν μετέωρον, εὐσχήμον ἀνθρωπίνως πάνυ, καὶ καθ' ἡμᾶς. γίνεται δὲ οὐκ εὐθὺς τοιαύτη, ἀλλὰ σκώληξ τὸ πρῶτον, ἤτοι ἐξ ἀνθρώπων, ἢ ἄλλων ζώων ἀποθανόντων. εἶτα κατ' ὀλίγον πόδας τε ἐκφέρει, καὶ φύει τὰ πτερά, καὶ ἐξ ἑρπετοῦ ὄρνεον γίνεται. καὶ κυοφορεῖ τε, καὶ ἀποτίκτει σκώληκα μικρὸν τὴν μυῖαν ὕστερον. σύντροφος δὲ ἀνθρώποις ὑπάρχουσα, ὁμοδίαιτος, καὶ ὁμοτράπεζος, ἁπάντων γεύεται πλὴν ἐλαίου. θάνατος γὰρ αὐτῇ τοῦτο πιεῖν. πλὴν ἀλλὰ μέν τοι ὠκύμορος οὖσα, πάνυ γὰρ ἐς στενὸν ὁ βίος αὐτῇ συμμεμέτρηται. τῷ φωτὶ χαίρει μάλιστα, κἀν τούτῳ πολιτεύεται. νύκτας δὲ, εἰρήνην ἄγει, καὶ οὔτε πέτεται, οὔτε ᾄδει, ἀλλ' ὑπέπτηχε, καὶ ἀτρεμεῖ. σύνεσιν δὲ οὐ μικρὰν αὐτῆς εἰπεῖν ἔχω, ὁπόταν τὸν ἐπίβουλον καὶ πολέ-

μιον αὐτῇ τὴν ἀράχνην διαδιδράσκῃ. λοχῶντ
τε γὰρ ἐπιτηρεῖ, καὶ ἀντίον αὐτοῦ ὁρᾷ, ἐκκλίνου
σα τὴν ὁρμὴν, ὡς μὴ ἁλίσκοιτο συμπιεσθεῖσα,
περιπεσοῦσα ταῖς τοῦ θηρίου πλεκτάναις. τι
μὲν γὰρ ἀνδρίαν, καὶ τὴν ἀλκὴν αὐτῶν, οὐχ ἡμᾶ
χρὴ λέγειν. ἀλλ' ὁ μεγαλοφωνότερος τῶν π
τῶν Ὅμηρος, τὸν γὰρ ἄριστον τῶν ἡρώων ἐπαι
σαι ζητῶν, οὐ λέοντι, ἢ παρδάλει, ἢ ὑῒ τὴν ἀλ
κὴν αὐτοῦ εἰκάζει, ἀλλὰ τῷ θάρσει τῆς μυίας,
τῷ ἀτρέστῳ, καὶ λιπαρεῖ τῆς ἐπιχειρήσεως. οὐδ
γὰρ θράσος, ἀλλὰ θάρσος φησὶν αὐτῇ προσεῖνα
καὶ γὰρ εἰργομένη φησὶν, ὅμως οὐκ ἀφίσταται, ἀ
λ' ἐφίεται τοῦ δήγματος. οὕτω δὲ πάνυ ἐπαινεῖ,
ἀσπάζεται τὴν μυῖαν, ὥστε οὐχ ἅπαξ, οὐδ
ἐν ὀλίγοις μέμνηται αὐτοῦ, ἀλλὰ πολλάκις.
τῷ κοσμεῖ τὰ ἔπη μνημονευομένη. ἄρτι μὲν, τ
τὴν ἀγελαίαν πτῆσιν αὐτῶν περὶ τὸ γάλα διέρχε
ἄρτι δὲ, τὴν Ἀθηνᾶν ὁπότε τοῦ Μενέλεω
βέλος ἀποκρούεται, ὡς μὴ περὶ τὰ καιριώ
τα ἐμπέσοι, εἰκάζων μητρὶ κηδομένῃ κοιμω
μένου αὐτῇ τοῦ βρέφους, τὴν μυῖαν αὖθις ἐπ
σάγει τῷ παραδείγματι. ἡ μὴν καὶ ἐπιθέτῳ κα
λίστῳ αὐτὰς ἐκόσμησεν, ἀδινὰς προσειπὼν,
τὴν ἀγέλην αὐτῶν ἔθνη καλῶν. οὕτω δὲ ἰσχ
ρὸν δὲ ἦν, ὥσθ' ὁπόταν τι δάκνῃ. τιτρώσκει, ο

ἀνθρώ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θρώπου δέρμα μόνον, ἀλλὰ καὶ βοὸς, καὶ ἵππου. καὶ ἐλέφαντα λυπεῖ, ἐς τὰς ῥυτίδας αὐτοῦ παρεισδυομένη, καὶ τῇ αὐτῆς προνομαίᾳ, κατὰ λόγον τοῦ μεγέθους ἀμύσσουσα. μίξεως δὲ, καὶ ἀφροδισίων, καὶ γάμων, πολλή τις αὐταῖς ἡ ἐλευθερία. καὶ ὁ ἄῤῥην οὐ κατὰ τοὺς ἀλεκτρυόνας ἀναβὰς εὐθὺς ἀποπήδησεν, ἀλλ᾽ ἐποχεῖται τῇ θηλείᾳ ἐπιπολὺ, κἀκείνη φέρει τὸν νυμφίον, συμπέτονται τὴν ἐναέριον ἐκείνην μίξιν τῇ πτήσει μὴ διαφθείρουσαι. ἀποτμηθεῖσα δὲ τὴν κεφαλὴν μυῖα, ἐπιπολὺ ζῇ τῷ ἄλλῳ σώματι, καὶ ἔμπνους ἐστίν. ὃ δὲ μέγιστον ἐν τῇ φύσει αὐτῆς ὑπάρχει, τοῦτο ἤδη βούλομαι εἰπεῖν. καί μοι δοκεῖ ὁ Πλάτων μόνον αὐτὸ παριδεῖν ἐν τῷ περὶ ψυχῆς, καὶ ἀθανασίας αὐτῆς λόγῳ. ἀποθανοῦσα γὰρ μυῖα, τέφρας ἐπιχυθείσης, ἀνίσταται, καὶ παλιγγενεσία τις αὐτῇ, καὶ βίος ἄλλος ἐξ ὑπαρχῆς γίνεται, ὡς ἀκριβῶς πεπεῖσθαι πάντας, ὅτι κἀκείνων ἀθάνατός ἐστιν ἡ ψυχὴ, εἴγε καὶ ἀπελθοῦσα, ἐπανέρχεται πάλιν, καὶ γνωρίζει, καὶ ἐπανίστησι τὸ σῶμα, καὶ πέτεσθαι τὴν μυῖαν ποιεῖ, καὶ ἐπαληθεύει τὸν περὶ Ἑρμοτίμου τοῦ Κλαζομενίου μῦθον, ὅτι πολλάκις ἀφιεῖσα αὐτὸν ἡ ψυχὴ, ἀπεδήμει καθ᾽ ἑαυτήν. εἶτ᾽ ἐπανελθοῦσα, ἐπλήρου αὖθις τὸ σῶμα, καὶ

ἀνίστη τὸν Ἑρμότιμον. ἀργὸς δ' αὐτὴ, καὶ ἄνετος οὖσα, τὰ ὑπὸ τῶν ἄλλων πονούμενα καρποῦται. καὶ πλήρης αὐτῇ πανταχοῦ τράπεζα. καὶ γὰρ αἶγες αὐτῇ ἀμέλγονται, καὶ ἡ μέλιττα οὐχ ἥκιστα μυίαις καὶ ἀνθρώποις ἐργάζεται. καὶ οἱ ὀψοποιοὶ ταύτῃ τὰ ὄψα ἡδύνουσι, καὶ βασιλέων αὐτῶν προγεύεται, καὶ ταῖς τραπέζαις ἐμπεριπατοῦσα, συνεστιᾶται αὐτοῖς, καὶ συναπολαύει πάντων. νεοττιὰν δὲ, ἢ καλιὰν, οὐχ ἑνὶ τόπῳ κατεστήσατο; ἀλλὰ πλάνητα τὴν πτῆσιν κατὰ τοὺς Σκύθας ἐπανῃρημένη. ὅπου ἂν τύχῃ ὑπὸ τῆς νυκτὸς καταληφθεῖσα, ἐκεῖ καὶ ἑστίαν, καὶ εὐνὴν ποιεῖται. ὑπὸ σκότῳ μέντοι ὡς ἔφην, οὐδὲν ἐργάζεται, οὔτε ἀξιοῖ λανθάνειν τι πράττουσα, οὐδὲ ἡγεῖται αἰσχρὸν ποιεῖν, ὃ ἐν φωτὶ δρώμενον αἰσχυνεῖ αὐτήν. φησὶ δὲ ὁ μῦθος καὶ ἄνθρωπόν τινα Μυῖαν τὸ ἀρχαῖον γενέσθαι, πάνυ καλὴν, λάλον μέντοι γε, καὶ στωμύλην, καὶ ᾠδικὴν, καὶ ἀντερασθῆναί γε τῇ σελήνῃ κατὰ τὸ αὐτὸ, ἀμφοτέρας τοῦ Ἐνδυμίωνος. εἶτ' ἐπειδὴ κοιμώμενον τὸ μειράκιον συνεχῶς ἐπήγειρεν ἐρεσχελοῦσα, καὶ ᾄδουσα, καὶ κωμάζουσα ἐπ' αὐτὸν, τὸν μὲν, ἀγανακτῆσαι. τὴν δὲ σελήνην ὀργισθεῖσαν, εἰς ταύτην τὴν μυῖαν μεταβαλεῖν. καὶ διὰ τοῦτο πᾶσι νῦν τοῖς κοιμωμένοις αὐτὴν τοῦ ὕπνου φθονεῖν,

ξεν, μεμνημένην ἔτι τοῦ Ἐνδυμίωνος. καὶ μά-
λιστα τοῖς νέοις, καὶ ἁπαλοῖς. τὸ δὲ δῆγμα δὲ
ἰυδ', καὶ ἡ τοῦ αἵματος ἐπιθυμία, οὐκ ἀγριότη-
τος, ἀλλ' ἔρωτός ἐστι σημεῖον, καὶ φιλανθρω-
πίας. ὡς γὰρ δυνατὸν ἀπολαύει, καὶ τοῦ καλοῦ
ἀπανθίζεται. γέγονε δὲ κατὰ τοὺς παλαι-
οὺς καὶ γυνή τις ὁμώνυμος αὐτῇ ποιήτρια, πάνυ
καλὴ, καὶ σοφὴ, καὶ ἄλλη ἑταίρα τῶν Ἀττικῶν ἐπι-
φανὴς, περὶ ἧς καὶ ὁ κωμικὸς ποιητὴς ἔφη, ἡ Μυῖα «
ἔδακνεν αὐτὸν ἄχρι τῆς καρδίας. οὕτως οὐδὲ ἡ «
κωμικὴ χάρις ἀπηξίωσεν, οὐδὲ ἀπέκλεισε τῆς
σκηνῆς τὸ τῆς μυίας ὄνομα, οὐδ' οἱ γονεῖς ᾐδοῦν-
το τὰς θυγατέρας οὕτω καλοῦντες. ἡ μὲν γὰρ
τραγῳδία, καὶ σὺν μεγάλῳ ἐπαίνῳ μέμνηται
τῆς μυίας, ὡς ἐν τούτοις,

δεινόν γε τὴν μὲν μυῖαν ἀλκίμῳ σθένει «
πηδᾶν ἐπ' ἀνδρῶν σώματ', ὡς πλησθῇ φόνου, «
ἄνδρας δ' ὁπλίτας πολέμιον ταρβεῖν δόρυ. «

Πολλὰ ἂν εἶχον εἰπεῖν καὶ περὶ μυίας τῆς Πυ-
θαγορικῆς, εἰ μὴ γνώριμος ἦν ἅπασιν ἡ κατ'
αὐτὴν ἱστορία. γίγνονται δὲ καὶ μέγισταί τινες
μυῖαι, ἃς στρατιώτιδας οἱ πολλοὶ καλοῦσιν,
οἱ δὲ, κύνας, τραχύταται τὸν βόμβον, καὶ τὴν
πτῆσιν ὠκύταται. αἳ δὲ καὶ μακροβιώταταί εἰ-
σι, καὶ τὸν χειμῶνα ὅλον ἄσιτοι διακαρτεροῦσιν,

ἀπεπῆχθαι τοῖς ὀρόφοις μάλιστα, ἐφ' ὧν κἀκεῖνο θαυμάζειν ἄξιον, ὅτι ἀμφότερα καὶ τὰ θηλειῶν, καὶ τὰ ἀρρένων δρῶσι, βαινόντων ἐν τῷ μέρει κατὰ τὸν Ἑρμοῦ καὶ Ἀφροδίτης παῖδα, τὸν μικτὸν τὴν φύσιν, καὶ διττὸν τὸ κάλλος. πολλὰ δ' ἔτι ἔχων εἰπεῖν καταπαύσω τὸν λόγον, μὴ καὶ δόξω κατὰ τὴν παροιμίαν, ἐλέφαντα ἐκ μυίας ποιεῖν.

## ΠΡΟΣ ΑΠΑΙΔΕΥΤΟΝ, ΚΑΙ ΠΟΛΛΑ ΒΙΒΛΙΑ ΩΝΟΥΜΕΝΟΝ.

Καὶ μὴν ἐναντίον ἐστὶν οὗ ἐθέλεις, ὃ νῦν ποιεῖς. οἴει μὲν γὰρ ἐν παιδείᾳ καὶ αὐτός τις εἶναι δόξειν, σπουδῇ συνωνούμενος τὰ κάλλιστα τῶν βιβλίων. τὸ δέ σοι περὶ τὰ κάτω χωρεῖ, καὶ ἔλεγχος γίνεται τῆς ἀπαιδευσίας πως τοῦτο, μάλιστα δὲ οὐδὲ τὰ κάλλιστα ὠνῇ, ἀλλὰ πιστεύεις τοῖς ὡς ἔτυχεν ἐπαινοῦσι, καὶ ἕρμαιον εἶ τῶν τὰ τοιαῦτα ἐπιψευδομένων τοῖς βιβλίοις, καὶ θησαυρὸς ἕτοιμος τοῖς καπήλοις αὐτῶν. ἢ πόθεν γάρ σοι διαγνῶναι δυνατὸν, τίνα μὲν παλαιὰ, καὶ πολλοῦ ἄξια, τίνα δὲ φαῦλα, καὶ ἄλλως σαπρὰ, εἰ μὴ τῷ διαβεβρῶσθαι, καὶ κατακεκόφθαι αὐτὰ τεκμαίροιο, καὶ συμβούλους τοὺς σέας ἐπὶ τὴν ἐξέτασιν παραλαμβάνεις; ἐπεὶ τοῦ ἀκριβοῦς, ἢ τοῦ ἀσφα-

λους

λους ἐν αὐτοῖς, τίς, ἡ ποία διάγνωσις; ἵνα δέ σοι δῶ αὐτὰ ἐκεῖνα κεκτηκέναι, ὅσα ὁ Καλλῖνος εἰς κάλλος, ἢ ὁ ἀοίδιμος ἀττικὸς σὺν ἐπιμελείᾳ τῇ πάσῃ γράψαιεν, σοὶ τί ὄφελος ὦ θαυμάσιε τοῦ κτήματος, οὔτε εἰδότι τὸ κάλλος αὐτῶν, οὔτε χρησομένῳ ποτὲ οὐδὲν μᾶλλον, ἢ τυφλὸς ἄν τις ἀπολαύσειε κάλλους παιδικῶν; σὺ δέ, ἀνεῳγμένοις μὲν τοῖς ὀφθαλμοῖς ὁρᾷς τὰ βιβλία, καὶ νὴ Δία κατακόρως, καὶ ἀναγιγνώσκεις ἔνια πάνυ ἐπιτρέχων, φθάνοντος τοῦ ὀφθαλμοῦ τὸ στόμα. οὐδέπω δὲ τοῦτό μοι ἱκανόν, ἢν μὴ εἰδῇς τὴν ἀρετήν, καὶ κακίαν ἑκάστου τῶν ἐγγεγραμμένων, καὶ συνιῇς ὅστις μὲν ὁ νοῦς σύμπασι, τίς δὲ ἡ τάξις τῶν ὀνομάτων, ὅσα τε πρὸς τὸν ὀρθὸν κανόνα τοῦ συγγραφέως ἀπηκρίβωται, καὶ ὅσα κίβδηλα, καὶ νόθα, καὶ παρακεκομμένα. τί οὖν φῄς, καὶ ταῦτα μὴ μαθὼν ἡμῖν εἰδέναι; πόθεν, εἰ μή ποτε τὸν παρὰ τῶν μουσῶν κλῶνα δάφνης, καθάπερ ὁ ποιμὴν ἐκεῖνος λαβών. Ἑλικῶνα μὲν γάρ, ἵνα διατρίβειν αἱ θεαὶ λέγονται, οὐδὲ ἀκήκοας οἶμαί ποτε, οὐδὲ διατριβὰς τοιαύτας ἡμῖν ἐν παισὶν ἐποιοῦ. σοὶ καὶ μεμνῆσθαι μουσῶν ἀνόσιον. ἐκείναις γὰρ τῷ ποιμένι μὲν οὐκ ἂν ὤκνησαν φανῆναι, σκληρῷ ἀνδρί, καὶ δασεῖ, καὶ πο-

λὺν τὸν ἥλιον τῷ τῷ στόματι ἐμφαίνοντι, οἶδα
δέ σοι. καί μοι πρὸς τῆς λιβανίτιδος, ἄφθεν ἐν
τῷ παρόντι τὸ μὴ σύμπαντα σαφῶς εἰπεῖν, οὐ
δὲ ἐγγὺς γενέσθαι πότ' ἂν εὖ οἶδ' ὅτι κατηξίω
σαν, ἀλλ' ἀντὶ τῆς δάφνης μυῤῥίνῃ ἄν, ἢ καὶ
μαλάχης φύλλοις μαστιοῦσθαι, ἀπήλλαξαν
ἂν τῶν τοιούτων, ὡς μὴ μιᾶναι μήτε τὸν Ὀλμει
όν, μήτε τὴν τοῦ ἵππου κρήνην, ἀφ' ἧς ἢ ποιμνί-
οις διψῶσιν, ἢ περιμαίνων στόμασι καθαροῖς πό-
τιμα. καὶ τοιοῦδε εἰ πάνυ ἀναίσχυντος εἶ,
καὶ ἀνδρεῖος τὰ τοιαῦτα, τολμήσειας ἄν ποτε εἰ-
πεῖν ὡς ἐπαιδεύθης, ἢ ἐμέλησέ σοι πώποτε τῆς
ἐν χρῷ πρὸς τὰ βιβλία συνουσίας, ἢ ὡς διδά-
σκαλός σοι ὁ δεῖνα, ἢ τῷ δεῖνι ξυνεφοίτας.
ἀλλ' ἐν τούτῳ μόνῳ πάντα ἐκεῖνα ἀναδρα-
μεῖσθαι νῦν ἐλπίζεις, τῷ κτᾶσθαι πολλὰ βι-
βλία. κατὰ δὴ ταῦτα, ἔχε ξυλλαβὼν ἐκεῖνα
τὰ τοῦ Δημοσθένους, ὅσα τῇ χειρὶ τῇ αὐτοῦ ὁ ῥή-
τωρ ἔγραψε, καὶ τὰ τοῦ Θουκυδίδου, ὅσα παρὰ
τοῦ Δημοσθένους, ἢ αὐτὰ ὀκτάκις μετεγγεγραμ-
μένα εὑρέθη καλῶς. εἰ ἅπαντα ἐκεῖνα κτήσῃ,
ὅσα ὁ Σύλλας Ἀθήνηθεν εἰς Ἰταλίαν ἐξέπεμ-
ψε, τί ἂν ἐκ τούτου πλέον εἰς παιδείαν κτήσαιο,
κἂν ὑπερβαλλόμενος αὐτὰ ἐπικαθεύδῃς, ἢ ξο-
γκολλήσας, καὶ περιβαλλόμενος πτερινὸς ᾖς. πί-

θηκος

ἰκος γὰρ ὁ πίθηκος ἡ παροιμία φησί, κἂν χρύσεα
χῃ σύμβολα. καὶ σὺ τοίνυν βιβλίον μὲν ἔχεις
ι τῇ χειρὶ, καὶ ἀναγιγνώσκεις ἀεί. τῶν δὲ ἀναγιγνω
κομένων οἶσθα οὐδέν, ἀλλ' ὄνος λύρας ἀκού
ς, κινῶν τὰ ὦτα. ὡς εἴ γε τὸ κεκτῆσθαι τὰ βι
λία, καὶ πεπαιδευμένον ἀπέφαινε τὸν ἔχον
α, πολλοῦ ἂν ὡς ἀληθῶς τὸ κτῆμα ἦν ἄξιον, καὶ
ιόνον ὑμῶν τῶν πλουσίων, εἰ ὥσπερ ἐξ ἀγορᾶς
ν πρίασθαι, τοὺς πένητας ἡμᾶς ὑπερβάλλοντας.
·ίς δὲ τοῖς ἐμπόροις, καὶ τοῖς βιβλιοκαπήλοις
ισεν ἂν περὶ παιδείας, τοσαῦτα βιβλία ἔ-
ουσι, καὶ πωλοῦσιν; ἀλλ' εἴ γε διελέγχειν ἐθέ-
λοις, ὄψει μηδ' ἐκείνους πολύ σου τὰ ἐς παιδεί
ν ἀμείνους, ἀλλὰ βαρβάρους μὲν τὴν φωνήν,
ὥσπερ σύ, ἀξυνέτους δὲ τῇ γνώμῃ, οἵους εἰκὸς
ἶναι τοὺς μηδὲν τῶν καλῶν καὶ αἰσχρῶν καθεωρα
κότας. καίτοι σὺ μὲν δύο ἢ τρία παρ' αὐτῶν
ἐκείνων πριάμενος ἔχεις. οἱ δὲ, νύκτωρ, καὶ με
θ' ἡμέραν διὰ χειρὸς ἔχουσιν αὐτά. τίνος οὖν ἀ
γαθοῦ ὠνῇ ταῦτα; εἰ καὶ μὴ τὰς ἀποθήκας αὐ-
τὰς τῶν βιβλίων ἡγῇ πεπαιδεῦσθαι, τοσαῦ-
τα περιεχούσας παλαιῶν ἀνδρῶν ξυγγράμ-
ματα. καί μοι εἰ δοκεῖ, ἀπόκριναι, μᾶλλον δ'
ἐπεὶ τοῦτό σοι ἀδύνατον, ἐπίνευσον γοῦν, ἢ ἀ
νάνευσον πρὸς τὰ ἐρωτώμενα. εἴ τις αὐλεῖν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὴ ἐπιστάμενος, κτήσαιτο τοὺς Τιμοθέου αὐλοὺς, ἢ τοὺς Ἰσμηνίου, οὓς ἑπτὰ ταλάντων ὁ Ἰσμηνίας ἐν Κορίνθῳ ἐπρίατο, ἆρα διὰ τοῦτο καὶ αὐλεῖν δύναιτο; ἢ οὐδὲν ὄφελος αὐτῷ τοῦ κτήματος, οὐκ ἐπισταμένῳ χρήσασθαι κατὰ τὴν τέχνην; εὖ γε ἀνένευσας. οὐδὲ γὰρ τοὺς Μαρσύου, ἢ Ὀλύμπου κτησάμενος, αὐλήσειεν ἂν, μὴ μαθών. τί δ' εἴ τις τὰ Ἡρακλέους τὰ τόξα κτήσαιτο, μὴ Φιλοκτήτης ὤν, ὡς δύνασθαι ἐντείνασθαί τε αὐτὰ, καὶ ἐπὶ σκοποῦ τοξεῦσαι, τί σοι καὶ οὗτος δοκεῖ; ἆρ' ἂν ἐπιδείξασθαί τι ἔργον τοξότου ἄξιον; ἀνένευσας καὶ τοῦτο. καὶ ταῦτα δὴ ἢ ὁ κυβερνᾶν οὐκ εἰδὼς, καὶ ἱππεύειν μὴ μεμελετηκὼς, εἰ ὁ μὲν, ναῦν καλλίστην παραλάβοι τοῖς ἅπασι, καὶ εἰς κάλλος, καὶ εἰς ἀσφάλειαν κάλλιστα διεσκευασμένην, ὁ δὲ, ἵππον κτήσαιτο Μῆδον, ἢ κενταυρίδην, ἢ κοππαφόρον, ἐλέγχοιτο ἂν οἶμαι ἑκάτερος, οὐκ εἰδὼς ὅ,τι χρήσαιτο ἑκατέρῳ. ἐπινεύεις καὶ τοῦτο; πείθου δὴ, καὶ τοῦτό μοι ἐπίνευσον, εἴ τις ὥσπερ σὺ ἀπαίδευτος ὢν, ὠνοῖτο πολλὰ βιβλία, οὐ σκώμματα οὗτος εἰς ἀπαιδευσίαν καθ' ἑαυτοῦ ἐκφέρει; τί ὀκνεῖς καὶ τοῦτο ἐπινεύειν; ἔλεγχος οἶμαι σαφὴς οὗτος, καὶ τῶν ὁρώντων ἕκαστος εὐθὺς κἂν προχειρότατον ἐκεῖνο ἐπιφθέγγεται, τί κυνὶ καὶ βαλανείῳ. Καὶ ἐγένετό τις οὐ πρὸ

πολλοῦ

πολλοῦ ἐν Ἀσίᾳ πλούσιος ἀνήρ, ἐκ συμφορᾶς ἀποτμηθεὶς ἀμφοτέρους τοὺς πόδας, ἀπὸ κρύους οἶμαι ἀποσαπέντας, ἐπειδή ποτε διὰ χιόνος ὁδοιπορῆσαι ξυνέβη αὐτῷ, οὗτος τοίνυν τὸ μὲν ἐλεεινὸν ἐπεπόνθει, καὶ θεραπεύων τὴν δυστυχίαν, ξυλίνους πόδας πεποίητο. καὶ τούτους ὑποδούμενος, ἐβάδιζεν, ἐπιστηριζόμενος ἅμα τοῖς οἰκέταις. ἐκεῖνο δὲ γελοῖον ἐποίει. κρηπῖδας γὰρ καλλίστας ἐωνεῖτο νεοτμήτους ἀεί, καὶ τὴν πλείστην πραγματείαν περὶ ταύτας εἶχεν, ὡς καλλίστοις ὑποδήμασι κεκοσμημένα εἴη αὐτῷ τὰ ξύλα, οἱ πόδες δή. οὐ ταῦτα οὖν καὶ σὺ ποιεῖς, χωλὴν μὲν ἔχων, καὶ συκίνην τὴν γνώμην, ὠνούμενος δὲ χρυσοῦς ἐμβάτας, οἷς μόλις ἄν τις καὶ ἀρτίπους ἐμπεριπατήσειεν; ἐπεὶ δὲ ἐν τοῖς ἄλλοις καὶ τὸν Ὅμηρον ἐπρίω πολλάκις, ἀναγνώτω σοί τις αὐτοῦ λαβὼν τὴν βῆτα τῆς Ἰλιάδος ῥαψῳδίαν, ἧς τὰ μὲν ἄλλα μὴ ἐξετάζειν, οὐδὲν γὰρ αὐτῶν πρὸς σέ. πεποίηται δέ τις αὐτῷ δημηγορῶν, παγγέλοιός τις ἄνθρωπος, διάστροφος τὸ σῶμα, καὶ λελωβημένος, ἐκεῖνος τοίνυν ὁ Θερσίτης ὁ τοιοῦτος, εἰ λάβοι τὴν Ἀχιλλέως πανοπλίαν, οἴει ὅτι αὐτίκα διὰ τοῦτο καὶ καλὸς ἅμα, καὶ ἰσχυρὸς ἂν γένοιτο, καὶ ὑπερπηδήσεται μὲν τὸν ποταμόν, ἐπιθολώσει δ' αὐ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ ῥεῖθρον τῷ φόνῳ τῶν Φρυγῶν, ἀπέκτεινε δὲ τὸν Ἕκτορα, καὶ πρὸ αὐτοῦ, τὸν Λυκάονα, καὶ τὸν Ἀστεροπαῖον, μὴ δὲ φέρειν ἐπὶ τῶν ὤμων τὴν μελίαν δυνάμενος; οὐκ ἂν εἴποις, ἀλλὰ καὶ γέλωτα ἂν ὀφλισκάνοι, χωλεύων ὑπὸ τῇ ἀσπίδι, καὶ ἐπὶ στόμα καταπίπτων ὑπὸ τοῦ βάρους, καὶ ὑπὸ τῷ κράνει, ὁπόταν ἀνανεύσῃ, δεικνὺς τοὺς παραβλῶπας ἐκείνους αὐτοῦ ὀφθαλμούς, καὶ τὸν θώρακα ἐπαίρων τῷ τοῦ μεταφρένου κυρτώματι, καὶ τὰς κνημῖδας ἐπισυρόμενος. καὶ ὅλως, αἰσχύνων ἀμφοτέρους, καὶ τὸν δημιουργὸν αὐτῶν, καὶ τὸν δεσπότην. τὸ αὐτὸ δὴ καὶ σὺ πάσχων, οὐχ ὁρᾷς, ὁπόταν τὸ μὲν βιβλίον, ἐν τῇ χειρὶ ἔχῃς πάγκαλον, πορφυρᾶν μὲν ἔχον τὴν διφθέραν, χρυσοῦν δὲ τὸν ὀμφαλόν. ἀναγιγνώσκεις δὲ αὐτὸ βαρβαρίζων, καὶ καταισχύνων, καὶ διαστρέφων. ὑπὸ μὲν τῶν πεπαιδευμένων, καταγελώμενος. ὑπὸ δὲ τῶν ξυνόντων σοι κολάκων, ἐπαινούμενος, οἳ καὶ αὐτοὶ πρὸς ἀλλήλους ἐπιστρεφόμενοι, γελῶσι τὰ πολλά. θέλω δέ σοι διηγήσασθαί τι Πυθοῖ γενόμενον. Ταραντῖνος, Εὐάγγελος τοὔνομα, τῶν οὐκ ἀφανῶν ἐν Τάραντι, ἐπεθύμησε νικῆσαι πύθια. τὰ μὲν οὖν τῆς γυμνῆς ἀγωνίας, αὐτίκα ἐδόκει αὐτῷ ἀδύνατα γενέσθαι, μήτε πρὸς ἰσχὺν, μήτε πρὸς ὠκύτητα

εὐ

ῦ πεφυκότι. κιθαρῳδίᾳ δὲ, καὶ ᾠδῇ, ῥαδίως κρατή-
σειν ἐπείσθη ὑπὸ τῶν καταράτων ἀνθρώπων, οὓς
εἶχε περὶ αὐτὸν, ἐπαινούντων, καὶ βοώντων, ὁπό-
τε καὶ τὸ σμικρότατον ἐκεῖνος ἀνακρούσαιτο. ἧκεν
οὖν εἰς τοὺς δελφοὺς, τά τε ἄλλα λαμπρὸς, καὶ
δὴ καὶ ἐσθῆτα χρυσόπαστον ποιησάμενος, καὶ στέ-
φανον δάφνης χρυσῆς κάλλιστον, ὡς ἀντὶ καρ-
ποῦ τῆς δάφνης, σμαράγδους εἶναι ἰσομεγέθεις
τῷ καρπῷ. τὴν μέν γε κιθάραν αὐτὴν, ὑπερφυ-
ές τι χρῆμα, εἰς κάλλος, καὶ πολυτέλειαν,
χρυσοῦ μὲν τοῦ ἀκράτου πᾶσαν, σφραγῖσι δὲ,
καὶ λίθοις ποικίλοις κατακεκοσμημένην, μου-
σῶν μεταξὺ, καὶ Ἀπόλλωνος, καὶ Ὀρφέως ἐντετορ-
νευμένων. θαῦμα μέγα τοῖς ὁρῶσιν. ἐπεὶ δ'
οὖν ποτε καὶ ἧκεν ἡ τοῦ ἀγῶνος ἡμέρα, τρεῖς μὲν ἦ-
σαν, ἔλαχε δὲ μέσος αὐτῶν ὁ Εὐάγγελος ᾄδειν.
καὶ μετὰ Θέσπιν τὸν Θηβαῖον οὐ φαύλως ἀγωνι-
σάμενον, εἰσέρχεται ὅλος ἀπολαμπόμενος
τῷ χρυσῷ, καὶ τοῖς σμαράγδοις, καὶ βηρύλλοις,
καὶ ὑακίνθοις. ἔτι ἡ πορφύρα δὲ ἐνέπρεπε τῆς ἐσθῆ-
τος ἡ μεταξὺ τοῦ χρυσοῦ διεφαίνετο. τούτοις ἅ-
πασι προεκπλήξας τὸ θέατρον, καὶ θαυμαστῆς
ἐλπίδος ἐμπλήσας τοὺς θεατὰς, ἐπειδή ποτε
ᾆσαι, καὶ κιθαρίσαι πάντως ἔδει, ἀνακρούε-
ται μὲν ἀνάρμοστόν τι, καὶ ἀσύντακτον. ἀπορρή-

γνυσι δὲ τρεῖς ἅμα χορδάς, σφοδρότερον τοῦ δέοντος ἐμπεσὼν τῇ κιθάρᾳ. ᾄδειν δὲ ἄρχεται ἀπόμουσόν τι, καὶ λεπτόν, ὥστε γέλωτα μὲν πάντων γενέσθαι τῶν θεατῶν. τοὺς ἀθλοθέτας δὲ ἀγανακτήσαντας ἐπὶ τῇ τόλμῃ, μαστιγώσαντας αὐτὸν, ἐκβαλεῖν τοῦ θεάτρου. ὅτε δὴ καὶ γελοιότατος ὤφθη, δακρύων ὁ χρυσοῦς Εὐάγγελος, καὶ ὑπὸ τῶν μαστιγοφόρων συρόμενος διὰ μέσης τῆς σκηνῆς, καὶ τὰ σκέλη καθῃμαγμένος ἐκ τῶν μαστίγων, καὶ συλλέγων χαμόθεν τῆς κιθάρας τὰς σφραγῖδας. ἐξεπεπτώκεισαν γὰρ, κἀκείνης συμμαστιγουμένης αὐτῷ. μικρὸν δὲ ἐπισχὼν μετ' αὐτὸν, Εὔμηλός τις Ἠλεῖος εἰσέρχεται, κιθάραν μὲν παλαιὰν ἔχων, ξυλίνους δὲ κόλλοπας ἐπικειμένην, ἐσθῆτα δὲ, καὶ μόγις σὺν τῷ στεφάνῳ δέκα δραχμῶν ἀξίαν. ἀλλ' οὗτός γε ᾄσας δεξιῶς, καὶ κιθαρίσας κατὰ τὸν νόμον τῆς τέχνης, ἐκράτει, καὶ ἀνεκηρύττετο, καὶ τοῦ Εὐαγγέλου κατεγέλα, μάτην ἐμπομπεύσαντος τῇ κιθάρᾳ, καὶ ταῖς σφραγῖσιν ἐκείναις. καὶ εἰπεῖν γέ τι λέγεται πρὸς αὐτόν. ὦ Εὐάγγελε, σὺ μὲν χρυσῆν δάφνην περίκεισαι, πλουτεῖς γὰρ, ἐγὼ δὲ ὁ πένης, τὴν Δελφικήν. πλὴν τοῦτό γε μόνον ὤνησο τῆς σκευῆς, ὅτι μηδ' ἐλεούμενος ἐπὶ τῇ ἥττῃ ἀπέρχῃ, ἀλλὰ μισούμενος προσέτι διὰ τὴν

ἄτεχνον

ἀποτυχόντος ταύτην, καὶ ἀπὸ ταύτης τὴν τρυφήν. ἀλλὰ τόδε δή σοι καὶ Εὐάγγελος οὗτος, πρὸς ὅσον σοὶ οὐδ' ὀλίγον μέλει τοῦ γέλωτος τοῦ θεατῶν. οὐκ ἄκαιρον δ' ἂν γένοιτο, καὶ Λέσβιον μῦθόν τινα διηγήσασθαί σοι, πάλαι γενόμενον. ὅτε τὸν Ὀρφέα διεσπάσαντο αἱ Θρᾷτται, φασὶ τὴν κεφαλὴν αὐτοῦ σὺν τῇ λύρᾳ εἰς τὸν Ἕβρον ἐμπεσοῦσαν, ἐμβληθῆναι εἰς τὸν μέλανα πόντον, καὶ ἐπιπλεῖν γε τὴν κεφαλὴν τῇ λύρᾳ, τὴν μὲν, ᾄδουσαν θρῆνόν τινα ἐπὶ τῷ Ὀρφεῖ ὡς λόγος, τὴν λύραν δὲ αὐτὴν ὑπηχεῖν, τῶν ἀνέμων ἐμπιπτόντων ταῖς χορδαῖς, καὶ οὕτω μετ' ᾠδῆς προσενεχθῆναι τῇ Λέσβῳ. κἀκείνους ἀνελομένους, τὴν μὲν κεφαλὴν καταθάψαι, ἵνα περ νῦν τὸ βακχεῖον αὐτοῖς ἐστι. τὴν λύραν δὲ, ἀναθεῖναι εἰς τοῦ Ἀπόλλωνος τὸ ἱερὸν, καὶ ἐπὶ πολύ γε σώζεσθαι αὐτήν. χρόνῳ δὲ ὕστερον Νέανθον τὸν τοῦ Πιττακοῦ τοῦ τυράννου ταῦτα ὑπὲρ τῆς λύρας πυνθανόμενον, ὡς ἐκήλει μὲν καὶ θηρία, καὶ φυτὰ, καὶ λίθους, ἐμελῴδει δὲ καὶ μετὰ τὴν τοῦ Ὀρφέως συμφορὰν, μηδενὸς ἁπτομένου, πρὸς ἔρωτα τοῦ κτήματος ἐμπεσεῖν. καὶ διαφθείραντα τὸν ἱερέα μεγάλοις χρήμασι, πεῖσαι ὑποθέντα ἑτέραν ὁμοίαν λύραν, δοῦναι αὐτῷ τὴν τοῦ Ὀρφέως. λαβόντα δὲ, μεθ' ἡμέραν μὲν ἐν τῇ πόλει χρῆσθαι,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐκ ἀσφαλὲς οἴεσθαι τὸ. νύκτωρ δ' ὑπὸ κόλπου ἔχοντα, μόνον προελθεῖν εἰς τὸ προάστειον, καὶ προχειρισάμενον κρούειν, καὶ συνταράττειν τὰς χορδάς, ἄτεχνον, καὶ ἄμουσον νεανίσκον, ἐλπίζοντα καὶ μέλη τινὰ θεσπέσια ὑπηχήσειν τὴν λύραν, ὑφ' ὧν πάντας καταθέλξειν, καὶ κηλήσειν. καὶ μακάριον ἔσεσθαι, κληρονομήσαντα τῆς Ὀρφέως μουσικῆς, ἄχρι δὴ ξυνελθόντας τοὺς κύνας πρὸς τὸν ἦχον, πολλοὶ δὲ ἦσαν αὐτόθι, διασπάσασθαι αὐτόν. ὡς τοῦτο γοῦν ὅμοιον τῷ Ὀρφεῖ παθεῖν, καὶ μόνους ἐφ' ἑαυτὸν ξυγκαλέσαι τοὺς κύνας, ὅτε περ καὶ σαφέστατα ὤφθη, ὡς οὐχ ἡ λύρα θέλγουσα ἦν, ἀλλὰ ἡ τέχνη, καὶ ἡ ᾠδή. ἃ μόνα ἐξαίρετα τῷ Ὀρφεῖ παρὰ τῆς μητρὸς ὑπῆρχεν. ἡ λύρα δὲ, ἄλλως κτῆμα ἦν, οὐδὲν ἄμεινον τῶν ἄλλων βαρβίτων. καὶ τί σοι τὸν Ὀρφέα, ἢ τὸν Νέανθον λέγω, ὅπου καὶ καθ' ἡμᾶς αὐτοὺς ἐγένετό τις, καὶ ἔτι ἐστὶν οἶμαι, ὃς τὸν Ἐπικτήτου λύχνον τοῦ Στωϊκοῦ κεραμεοῦν ὄντα, τρισχιλίων δραχμῶν ἐπρίατο. ἤλπιζε γὰρ οἶμαι κἀκεῖνος εἰ τῶν νυκτῶν ὑπ' ἐκείνῳ τῷ λύχνῳ ἀναγινώσκοι, αὐτίκα μάλα καὶ τὴν Ἐπικτήτου σοφίαν ὄναρ ἐπιστήσεσθαι, καὶ ὅμοιος ἔσεσθαι τῷ θαυμαστῷ ἐκείνῳ γέροντι. χθὲς δὲ, καὶ πρώην, ἄλλος τις τὴν Πρωτέως τοῦ κυνικοῦ βακτηρίαν, ἣν καταθέμενος,

ἥλα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λαβε εἰς τὸ πῦρ, ταλάντου κἀκεῖνος ἐπρίατο.
ἔχει μὲν τὸ κειμήλιον τοῦτο, καὶ δείκνυσιν, ὡς Τε
ᾶται τοῦ καλυδωνίου τὸ δέρμα, καὶ Θηβαῖοι τὰ
στᾶ τοῦ Γηρυόνου, καὶ Μεμφῖται τῆς Ἴσιδος τοὺς πλο
άμους. αὐτὸς δὲ ὁ τοῦ θαυμαστοῦ κτήματος
σπότης, καὶ αὐτὸν σὲ, τῇ ἀπαιδευσίᾳ καὶ βδε
υρίᾳ, ὑπερηκόντισεν. ὁρᾷς ὅπως κακοδαιμό
ως διάκεισαι, βακτηρίας ἐς τὴν κεφαλὴν
ς ἀληθῶς δεόμενος; λέγεται δὲ καὶ Διονύσιον τρα
γῳδίαν ποιεῖν φαύλως πάνυ, καὶ γελοίως, ὥσ
τε τὸν Φιλόξενον πολλάκις δι' αὐτὴν ἐς τὰς
ατομίας ἐμπεσεῖν, οὐ δυνάμενον κατέχειν τὸν
λωτα. οὗτος τοίνυν πυθόμενος ὡς ἐγγελᾶται, τὸ
ἰσχύλου πυξίον, εἰς ὃ ἐκεῖνος ἔγραφε, σὺν πολ
λῇ σπουδῇ κτησάμενος αὐτὸ, ὤετο ἔνθεος ἔσεσθαι,
κάτοχος ἐκ τοῦ πυξίου. ἀλλ' ὅμως ἐν αὐτῷ ἐκεί
νῳ μακρῷ γελοιότερα ἔγραφεν, οἷον κἀκεῖνο τὸ
ωρικὸν, ἧκεν ἡ Διονυσίου γυνή. καὶ πάλιν, οἴμοι,
ναῖκα χρησίμην ἀπώλεσα. καὶ τοῦτο ἐκ τοῦ πυξί
καὶ τὸ, αὐτοῖς γὰρ ἐμπαίζουσιν οἱ μωροὶ βροτῶν.
τοῦτο μέν γε πρὸς σὲ μάλιστα εὐστόχως ἂν εἰρη
κὼς εἴη, ὁ Διονύσιος. καὶ δι' αὐτὸ χρυσῶσαι
ἔδει ἐκεῖνο τὸ πυξίον. τίνα γὰρ ἐλπίδα καὶ
σὺ ἔχων εἰς τὰ βιβλία, καὶ ἀνελίττεις ἀεὶ,
διακολλᾷς, καὶ περικόπτεις, καὶ ἀλείφεις τῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κρόκῳ, καὶ τῇ κέδρῳ, καὶ διφθέρας περιβάλλεις,
καὶ ὀμφαλοὺς ἐντίθεις, ὡς δή τι ἀπολαύσων αὐ-
τῶν; πάνυ γοῦν ἤδη βελτίων γεγένησαι διὰ τὴν
ὠνήν, ὃς τοιαῦτα μὲν φθέγγῃ. μᾶλλον δὲ τῶν
ἰχθύων ἀφωνότερος εἶ. βιοῖς δέ, ὡς οὐδ' εἰ-
πεῖν καλόν. μῖσος δὲ ἄγριόν φασι παρὰ πάντων
ἔχεις ἐπὶ τῇ βδελυρίᾳ. ὥστ' εἰ τοιούτους ἀπειρ-
γάζετο τὰ βιβλία, φευκτέον ἂν ἦν ὅτι πορ-
ρωτάτω ἀπ' αὐτῶν. δυοῖν δὲ ὄντοιν, ἅτιν' ἄν τις πα-
ρὰ τῶν παλαιῶν τις κτήσαιτο, λέγειν τε δύ-
νασθαι, καὶ πράττειν τὰ δέοντα, ζήλῳ τῶν ἀρίστων,
καὶ φυγῇ τῶν χειρόνων, ὅταν μήτε ἐκεῖνα, μήτε
ταῦτα φαίνηται τις παρ' αὐτῶν ὠφελούμενος,
τί ἄλλο, ἢ τοῖς μυσὶ διατριβὰς ὠνεῖται, καὶ ταῖς
τίλφαις οἰκήσεις, καὶ πληγὰς ὡς ἀμελοῦσι
τοῖς οἰκέταις; πῶς δὲ οὐ κἀκεῖνο αἰσχρόν, εἴ
τις ἐν τῇ χειρὶ ἔχοντά σε βιβλίον ἰδών, ἀεὶ δὲ
πάντως ἔχεις, ἔροιτο οὗτινος, ἢ ῥήτορος, ἢ
ξυγγραφέως, ἢ ποιητοῦ ἐστι; σὺ δὲ ἐκ τῆς ἐπιγρα-
φῆς εἰδώς, πρᾴως εἴποις τοῦτό γε. εἶτα ὡς φι-
λεῖ τὰ τοιαῦτα ἐν ξυνουσίᾳ προχωρεῖν ἐς μῆκος
λόγων, ὁ μὲν, ἐπαινοῖ τι, ἢ αἰτιῷτο τῶν ἐγγε-
γραμμένων. σὺ δὲ ἀποροίης, καὶ μηδὲν ἔχοις
εἰπεῖν, οὐκ εὔξῃ τότε χανεῖν σοι τὴν γῆν κατὰ
σεαυτοῦ, ὡς ὁ Βελλεροφόντης, περιφέρων τὸ

βιβλί

βιβλίον; Δημήτριος δὲ ὁ κυνικὸς, ἰδὼν ἐν Κορίνθῳ ἀπαίδευτόν τινα βιβλίον κάλλιστον ἀναγιγνώσκοντα, τὰς Βάκχας οἶμαι τοῦ Εὐριπίδου, κατὰ τὸν ἄγγελον δ' ἦν τὸν διηγούμενον τὰ τοῦ Πενθέως πάθη, καὶ τὸ τῆς Ἀγαύης ἔργον, ἁρπάσας, διέσπασεν αὐτὸ, εἰπὼν, ἄμεινόν ἐστι τῷ Πενθεῖ ἅπαξ σπαραχθῆναι ὑπ' ἐμοῦ, ἢ ὑπὸ σοῦ πολλάκις. ζητῶν δὲ ἀεὶ πρὸς ἐμαυτὸν, οὔπω καὶ τήμερον εὑρεῖν δεδύνημαι τίνος ἕνεκα τὴν σπουδὴν ταύτην ἐσπούδακας περὶ τὴν ὠνὴν τῶν βιβλίων. ὠφελείας μὲν γὰρ, ἢ χρείας τῶν ἀπ' αὐτῶν, οὐδ' ἂν οἰηθείη τις τῶν ἐπ' ἐλάχιστόν σε εἰδότων. οὐ μᾶλλον, ἢ φαλακρὸς ἄν τις πρίαιτο κτένιον, ἢ κάτοπτρον ὁ τυφλὸς, ἢ ὁ κωφὸς αὐλητὴν, ἢ παλλακὴν ὁ εὐνοῦχος, ἢ ὁ ἠπειρώτης κώπην, ἢ κυβερνήτης ἄροτρον. ἀλλὰ μὴ ἐπίδειξιν πλούτου σοι τὸ πρᾶγμα ἔχει, καὶ βούλει τοῦτο ἐμφῆναι ἅπασιν, ὅτι καὶ εἰς τὰ μηδέν σοι χρήσιμα, ὅμως πολλὰ τῆς περιουσίας ἀναλίσκεις; καὶ μὴν ὅσα γε κἀμὲ Σύρον ὄντα εἰδέναι, εἰ μὴ σαυτὸν φέρων ταῖς τοῦ γέροντος ἐκείνου διαθήκαις παρενέγραψας, ἀπολώλεις ἂν ὑπὸ λιμοῦ ἤδη, καὶ ἀγορὰν προὐτίθεις τῶν βιβλίων. λοιπὸν οὖν δὴ ἐκεῖνο πεπεισμένον ὑπὸ τῶν κολάκων, ὡς οὐ μόνον καλὸς καὶ ἐράσμιος, ἀλλὰ σοφὸς, καὶ ῥήτωρ, καὶ συγγρα



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φεῦ, οἷος οὐχ ἕτερος, ὠνεῖσθαι τὰ βιβλία, ὡς ἀληθινοὺς τοὺς ἐπαίνους αὐτοῦ. φασὶ δέ σε καὶ λόγους ἐπιδείκνυσθαι αὐτοῖς ἐπὶ δείπνῳ, κἀκείνους χερσαίων βατράχων δίκην διψῶντας, ἐκκεκραγέναι, ἢ μὴ πίνειν, ἢν μὴ διαρραγῶσι βοῶντες. καὶ γὰρ οὐκ οἶδ' ὅπως ῥᾷστος εἶ, τῆς ῥινὸς ἕλκεσθαι, καὶ πιστεύεις αὐτοῖς ἅπαντα. ὅς γε κἀκεῖνο ἐπείσθης, ὡς βασιλεῖ τινι ὡμοιώθης τὴν ὄψιν, καθάπερ ὁ ψευδαλέξανδρος, καὶ ψευδοφίλιππος ἐκεῖνος κναφεύς, καὶ ὁ κατὰ τοὺς προπάππους ἡμῶν ψευδονέρων, καὶ εἴ τις ἄλλος τῶν ὑπὸ τὸ ψεῦδος τεταγμένων. καὶ τί θαυμαστόν, εἰ τοῦτο ἔπαθες, ἀνόητος, καὶ ἀπαίδευτος ἄνθρωπος, καὶ προῄεις διαπλιάζων, καὶ μιμούμενος βάδισμα, καὶ σχῆμα, καὶ βλέμμα ἐκείνου, ᾧ σεαυτὸν εἰκάζων ἔχαιρες, ὅπου καὶ Πύρρον φασὶ τὸν Ἠπειρώτην τὰ ἄλλα θαυμαστὸν ἄνδρα, οὕτως ὑπὸ κολάκων ἐπὶ τῷ ὁμοίῳ ποτὲ διαφθαρῆναι, ὡς πιστεύειν ὅτι ὅμοιος ἦν Ἀλεξάνδρῳ ἐκείνῳ. καίτοι τὸ τῶν μουσικῶν τοῦτο, δὶς διὰ πάντων τὸ πρᾶγμα ἦν. εἶδον γὰρ καὶ τὴν τοῦ Πύρρου εἰκόνα. καὶ ὅμως ἐπέπειστο ἐκμεμάχθαι τοῦ Ἀλεξάνδρου τὴν μορφήν. ἀλλ' ἕνεκα μὲν δὴ τούτων, ὕβρισταί μοι εἰς τὸν Πύρρον, ὅτι σε εἴκασα κατὰ τοῦτο αὐτῷ. τὸ δ' ἀπὸ τούτου, καὶ πάνυ σοι πρέπον ἂν εἴη. ἐπεὶ γὰρ οὕτω διέκειτο ὁ Πύρρος, καὶ ταῦτα ὑπὲρ ἑαυτοῦ ἐπέ-

πειστο

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

…τοῦ, οὐδεὶς ὅστις οὐ ξυνετίθετο, καὶ ξυνεπῆχει
…τῷ, ἄχρι δή τις ἐν Λαρίσῃ πρεσβῦτις ξέ-
…, ἀπὸ τοῦ τἀληθὲς εἰπεῖν, ἔπαυσεν αὐτὴν τῆς
…ρύζης. ὁ μὲν γὰρ Πύρρος ἐπιδείξας αὐτῇ εἰκό-
…Φιλίππου, καὶ Περδίκκου, καὶ Ἀλεξάνδρου,
…Κασάνδρου, καὶ ἄλλων βασιλέων, ἤρετο τίνι
…οιος εἴη, πάνυ πεπεισμένος τὸν Ἀλέξαν
…ον ἐρεῖν αὐτήν. ἡ δὲ, πολὺν χρόνον ἐπισχοῦσα,
…τραχίωνι ἔφη τῷ μαγείρῳ. καὶ γὰρ ἦν τις ἐν τῇ
…λλ Λαρίσῃ Βατραχίων ὄνομα μάγειρος τῷ
…ύρρῳ ὅμοιος. καὶ σὺ δὴ ᾧ τινι μὲν τῶν τοῖς ὀρχη-
…αῖς συνόντων κιναίδων ἔοικας, οὐκ ἂν εἴποιμι.
…ι δὲ μανίαν ἐρρωμένην ἔτι καὶ νῦν μαίνεσθαι
…εῖς ἅπασιν, ἐπ᾽ ἐκείνῃ τῇ εἰκόνι πάνυ σαφῶς
…α. οὔκουν θαυμαστὸν, εἰ ἀπίθανος ὢν ζω-
…άφος ὤν, καὶ τοῖς πεπαιδευμένοις ἐξομοιοῦσθαι ἐ
…ις, πιστεύων τοῖς τὰ τοιαῦτά σε ἐπαινοῦσι. καὶ
…αῦτα ληρῶ; πρόδηλος γὰρ ἡ αἰτία τῆς περὶ τὰ
…ῦτα βιβλία σπουδῆς, εἰ καὶ ὑπὸ νωθείας ἐγὼ
…πάλαι κατεῖδον. σοφὸν γὰρ ὡς σὺ οἴει, τοῦτ᾽ ἐ
…ενόηκας, καὶ ἐλπίδας οὐ μικρὰς ἔχεις περὶ
…πράγματος, εἰ βασιλεὺς μάθοι ταῦτα σοφὸς
…ὴρ, καὶ παιδείαν μάλιστα τιμῶν. εἰ δὲ ταῦτα
…ερ σοῦ ἐκεῖνος ἀκούσειεν, ὡς ὠνῇ βιβλία, καὶ
…ρεις πολλὰ, πάντα ἐν βραχεῖ παρ᾽ αὐτοῦ

ἔσεσθαί σοι νομίζεις. ἀλλ' ὦ κατάπτυστε, οἴει προ-
σοῦ ῥὺν μανδραγόραν καταχέχυσθαι αὐτοῖς, ὥστε ταῦ-
τα μὲν ἀκούειν, ἐκεῖνα δὲ μὴ εἰδέναι, οἷος μέν σου
ὁ μεθ' ἡμέραν βίος, οἷοι δέ σοι πότοι, ὁποῖαι δὲ νύκ-
τες, καὶ οἵοις, καὶ ἡλίκοις ξυγκαθεύδεις; οὐκ οἶσθα
ὡς ὦτα, καὶ ὀφθαλμοὶ πολλοὶ βασιλέως; τὰ δὲ σά,
οὕτω περιφανῆ ἐστιν, ὡς καὶ τυφλοῖς εἶναι καὶ κωφοῖς
γνώριμα. εἰ γὰρ καὶ φθέγξαιο μόνον, εἰ γὰρ καὶ λουόμε-
νος ἀποδύσαιο. μᾶλλον δὲ μὴ ἀποδύσῃ εἰ δοκεῖ,
οἱ δ' οἰκέται μόνον ἢν ἀποδύσωνταί σου, τί οἴει
μὴ αὐτίκα ἔσεσθαι πάντα σου πρόδηλα τὰ τῶν
νυκτῶν ἀπόρρητα; εἰπὲ γοῦν μοι καὶ τόδε, εἰ Βάσ-
σος ὁ ὑμέτερος ἐκεῖνος σοφιστής, ἢ Βάταλος ὁ
αὐλητής, ἢ ὁ κίναιδος Ἡμιθέων ὁ συβαρίτης, ὃς
τοὺς θαυμαστοὺς ὑμῖν νόμους συνέγραψεν, ὡς χρὴ
μαίνεσθαι, καὶ παρατίλλεσθαι, καὶ πάσχειν, ἢ περὶ
ἐκεῖνα, εἰ τούτων τις νυνὶ λεοντῆν περιβαλλό-
μενος, ἢ ῥόπαλον ἔχων βαδίζοι, τί οἴει φαίνε-
σθαι τοῖς ὁρῶσιν; Ἡρακλέα εἶναι αὐτόν; οὐκ, εἴ
γε καὶ χύτραις λημῶντες τυγχάνοιεν. μυρία
γάρ ἐστι τὰ ἀντιμαρτυροῦντα τῷ σχήματι, βά-
δισμα, τὸ βλέμμα, καὶ φωνή, ὁ τράχηλος ἐπι-
κεκλασμένος, καὶ ψιμύθιον, ἢ μαστίχη, καὶ φῦ-
κος, οἷς ὑμεῖς κοσμεῖσθε. ἢ ὅλως κατὰ τὴν
παροιμίαν, θᾶττον ἂν πέντε ἐλέφαντας ὑπὸ

μάλης

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

...ἄλλης κρύψειας, ἢ ἕνα κίναιδον. εἶτα ἡ λεοντῆ ...ῶν, τὸν πίθηκον οὐκ ἂν ἔκρυψε. σὺ δ' οἴει λήσειν ...κεπόμενος βιβλίῳ; ἀλλ' οὐ δυνατόν. προδώ...ει γάρ σε, καὶ ἀποκαλύψει τὰ ἄλλα ὑμῶν γνω...σματα. τὸ δ' ὅλον, ἀγνοεῖν μοι δοκεῖς, ὅτι ...ὰς ἀγαθὰς ἐλπίδας οὐ παρὰ τῶν βιβλιοκα...ήλων δεῖ ζητεῖν, ἀλλὰ παρ' αὐτοῦ, καὶ τοῦ καθ' ...μέραν βίου λαμβάνειν. σὺ δ' οἴει σύνηγορον κοι...ν, καὶ μάρτυρα ἔσεσθαί σοι τὸν Ἀττικὸν, καὶ ...κεῖνον τοὺς βιβλιογράφους. οὔκ, ἀλλ' ὠμούς ...νας ἀνθρώπους ἐπιτρίψοντάς σε, ἢν οἱ θεοὶ ...έλωσι, καὶ πρὸς ἐσχάτην πενίας ξυνελάσοντας, ...έον ἔτι νῦν σωφρονίσαντα ἀποδόσθαι μέν τινι ...ῶν πεπαιδευμένων τὰ βιβλία ταῦτα, καὶ σὺν ...τοῖς, τὴν νεόκτιστον ταύτην οἰκίαν. ἀπο...ῦναι δὲ τοῖς ἀνδραποδοκαπήλοις, μέρος ...ῦν ἀπὸ πολλῶν τῶν ὀφειλομένων. καὶ γὰρ κἀ...ῖνα περὶ δύο ταῦτα δεινῶς ἐσπούδακας, βι...λίων τε τῶν πολυτελῶν κτῆσιν, καὶ μειρακί... τῶν ἐξώρων, καὶ ἤδη καρτερῶν, ὠνήν. καὶ τὸ ...ρᾶγμά σοι πάνυ σπουδάζεται, καὶ θηρεύεται. ...δύνατον δὲ πένητα ὄντα, πρὸς ἄμφω διαρ...ῖν. σκόπει τοίνυν ὡς ἱερὸν χρῆμα συμβουλή. ...ιῶ γάρ σε ἀφέμενον τῶν μηδὲν προσηκόντων, ...ὴν ἑτέραν νόσον θεραπεύειν, καὶ τοὺς ὑπηρέτας

ἐκείνοις, ὧν ἢ δ' ὅμως μὴ ἐπιλιπόντων σε τῶν
οἴκοθεν, μεταστέλλοιο ζώνας τῶν ἐλευθέρων, οἳ
οὐδ' ἀκίνδυνον ἀπελθοῦσιν, ἢν μὴ λάβωσιν ἅ-
παντα διαγγελεῦσαι τὰ πραχθέντα ὑμῖν μετὰ
τὸν πότον, οἷα καὶ πρῴην αἴσχιστα περὶ σοῦ διηγεῖ-
το ἐξελθὼν ὁ πόρνος, ἔτι καὶ δήγματα ἐπιδει-
κνύς. ἀλλ' ἔγωγε καὶ μάρτυρας ἂν παρασχοίμην
τοὺς τότε παρόντας, ὡς ἠγανάκτησα, καὶ ὀλίγου
πληγὰς ἐνέτειψα αὐτῷ, χαλεπαίνων ὑπὲρ
σοῦ, καὶ μάλιστα ὅτε καὶ ἄλλον ἐπεκαλέσατο μάρ-
τυρα τῶν ὁμοίων, καὶ ἄλλον, ταυτὰ δὴ λόγοις δι-
ηγουμένους. πρὸς δὴ ταῦτα ὦ 'γαθὲ, ταμιεύου
τἀργύριον, καὶ φύλαττε, ὡς οἴκοι, καὶ κατὰ πολ-
λὴν ἀσφάλειαν ταῦτα ποιεῖν καὶ πάσχειν ἔχῃς.
ὥστε μὲν γὰρ μηκέτι ἐργάζεσθαι, τίς ἂν μεταπείσει-
ε; οὐδὲ γὰρ κύων ἅπαξ παύσαιτ' ἂν, σκυτοτρα-
γεῖν μαθοῦσα. τὸ δ' ἕτερον ῥᾴδιον, τὸ μηκέτι ὠνεῖ-
σθαι βιβλία, ἱκανῶς πεπαίδευσαι. ἅλις σοι τῆς
σοφίας. μόνον οὐκ ἐπ' ἄκρου τοῦ χείλους ἔχεις τὰ
παλαιὰ πάντα. πᾶσαν μὲν ἱστορίαν οἶσθα, πά-
σας δὲ λόγων τέχνας, καὶ κάλλη αὐτῶν, καὶ κακί-
ας, καὶ ὀνομάτων χρῆσιν τῶν ἀττικῶν. πάνσο-
φόν τι χρῆμα, καὶ ἄκρον ἐν παιδείᾳ γεγένησαι,
διὰ τὸ πλῆθος τῶν βιβλίων. κωλύει γὰρ οὐδὲν κἀ-
μέ σοι ἐνδιατρίβειν, ἐπειδὴ χαίρεις ἐξαπατώ-
μενος.

θῦος. ἡδέως δ' ἄν σε ἐροίμην σε, τὰ πολλὰ ταῦτα βιβλία ἔχων, τί μάλιστα ἀναγινώσκεις αὐτῶν. τὰ Πλάτωνος; τὰ Ἀντισθένους; τὰ Ἀρχιλόχου; τὰ Ἱππώνακτος; ἢ τούτων μὲν ὑπερφρονεῖς, ῥήτορες δὲ μάλιστά σοι τούτων διὰ χειρός; εἰπέ μοι, καὶ Αἰσχίνου τὸν κατὰ Τιμάρχου λόγον ἀναγινώσκεις; ἢ ἐκεῖνά γε πάντα οἶσθα, καὶ γινώσκεις αὐτῶν ἕκαστον; τὸν δὲ Ἀριστοφάνην, τὸν Εὔπολιν ὑποδέδυκας; ἀνέγνως καὶ τὰς Βάπτας τὸ δρᾶμα ὅλον; εἶτ' οὐδέν σου τὰ ἐκεῖ καθίκετο, οὐδ' ἠρυθρίασας γνωρίσας αὐτά; τοῦτο γοῦν καὶ μάλιστα θαυμάσειεν ἄν τις, τίνα ἀπὸ ψυχῆς ἔχων, ἅπτῃ τῶν βιβλίων, ὁποίαις αὐτὰ χερσὶν ἀνελίττεις. πότε δὲ ἀναγινώσκεις. μεθ' ἡμέραν; ἀλλ' οὐδεὶς ἑώρακε ποιοῦντα τοῦτο. ἀλλὰ νύκτωρ; πότερον, ἐπιτεταμένος ἤδη ἐκείνοις, ἢ πρὸ τῶν λόγων; ἀλλὰ καὶ πρὸ σκότους; μηκέτι μὴ τολμήσῃς τοιοῦτο μηδέν. ἄφες δὲ τὰ βιβλία, καὶ μόνα ἐργάζου τὰ σαυτοῦ. καίτοι ἐχρῆν μηκέτι μηδ' ἐκεῖνα. αἰδεσθῆναι δὲ τὴν τοῦ Εὐριπίδου Φαίδραν, καὶ ὑπὲρ τῶν γυναικῶν ἀγανακτοῦσαν, καὶ λέγουσαν,

οὐδὲ σκότον φρίσσουσι τὸν ξυνεργάτην, «
τέρεμνά τ' οἴκων μήποτε φθογγὴν ἀφῇ. «

Εἰ δὲ πάντως ἐμμένειν τῇ ὁμοίᾳ νόσῳ δέδοκται, ἴθι ὠνοῦ μὲν βιβλία. καὶ οἴκοι κατα-

κλείεσθαι, ἔχε, καὶ καρποῦ τὴν δόξαν τῶν κτημάτων. ἱκανόν σοι καὶ τοῦτο προσάπτη δὲ μηδέπω, μὴ δὲ ἀναγνῶσ, μὴ δὲ ἐπαγάγῃς τῇ γλώττῃ παλαιῶν ἀνδρῶν λόγους, καὶ ποιήματα, μὴ δὲν δεινόν σε εἰργασμένα. οἶδα ὡς μάτην ταῦτά μοι λελήρηται, καὶ κατὰ τὴν παροιμίαν, αἰθίοπα σμήχειν ἐπιχειρῶ.. σὺ γὰρ ὠνήσῃ, καὶ χρήσῃ ἐς οὐδὲν, καὶ καταγελασθήσῃ πρὸς τῶν πεπαιδευμένων, οἷσ ἀπόχρη ὠφελῆσθαι, οὐκ ἐκ τοῦ κάλλους τῶν βιβλίων, οὐδ᾽ ἐκ τῆς πολυτελείας αὐτῶν, ἀλλ᾽ ἐκ τῆς φωνῆσ, καὶ τῆς γνώμησ τῶν γεγραφότων. σὺ δὲ οἴει θεραπεύσειν τὴν ἀπαιδευσίαν, καὶ ἐπικαλύψειν τῇ δόξῃ ταύτῃ. καὶ ἐκπλήξειν τῷ πλήθει τῶν βιβλίων, οὐκ εἰδὼς ὅτι καὶ οἱ ἀμαθέστεροι τῶν ἰατρῶν τὸ αὐτό σοι ποιοῦσιν, ἐλεφαντίνους νάρθηκασ, καὶ σικύας ἀργυρᾶς ποιούμενοι, καὶ σμίλασ χρυσοκολλήτους. ὁπόταν δὲ καὶ χρήσασθαι τούτοισ δέῃ, οἱ μὲν, οὐδὲ ὅπως χρὴ μεταχειρίζεσθαι αὐτὰ ἴσασι. παρελθὼν δέ τις εἰς τὸ μέσον τῶν μεμαθηκότων, φλεβότομον εὖ μάλα ἠκονημένον ἔχων, ἰοῦ τἄλλα μεστὸν, ἀπήλλαξε τῆς ὀδύνης τὸν νοσοῦντα. ἵνα δὲ καὶ γελοιοτέρῳ τινὶ τὰ σὰ εἰκάσω, τοὺς κουρέας τούτους ἐπίσκεψαι. ὅσοι τοὺς μὲν τεχνίτας αὐτῶν, ξυρὸν, καὶ μαχαιρίδας

ἰδας, καὶ καρτερὸν σύμμεικτον ἔχοντας. τοὺς δὲ ἀμαθεῖς, καὶ ἰδιώτας, πλῆθος μαχαιριδίων προτιθέντας, καὶ κάτοπτρα μεγάλα. σὺ ἣν λύσειν τι διὰ ταῦτα οὐδὲν εἰδότας. ἀλλὰ γελοιότατον ἐκεῖνο πάσχουσιν, ὅτι κείρονται μὲν οἱ πολλοὶ παρὰ τοῖς πίττωσιν αὐτῶν. πρὸς δὲ τὰ ἐκείνων κάτοπτρα προσελθόντες, τὰς κόμας εὐθετίζουσι. καὶ σὺ ῥίνω, ἄλλῳ μὲν δεήσαντι, χρήσειας ἂν τὰ βιβλία. χρήσασθαι δὲ αὐτὸς οὐκ ἂν δύναιο. καίτοι οὐδὲ ἔχρησας οὐδὲ βιβλίον πώποτε, ἀλλὰ τὴν τοῦ κυνὸς ποιεῖς, τῆς ἐν τῇ φάτνῃ κατακειμένης. ἣ οὔτε αὐτὴ τῶν κριθῶν ἐσθίει, οὔτε τῷ ἵππῳ δυναμένῳ φαγεῖν ἐπιτρέπει. ταῦτα τόγε νῦν εἰπεῖν, ὑπὲρ μόνων τῶν βιβλίων παρρησιάζομαι πρὸς σέ. τὰ δὲ τῶν ἄλλων, ὅσα κατάπτυστα, καὶ ἐπονείδιστα ποιεῖς, εὐθὺς ἀκούσῃ πολλάκις.

## ΠΕΡΙ ΤΟΥ ΜΗ ΡΑΔΙΩΣ ΠΙΣΤΕΥΕΙΝ ΔΙΑΒΟΛΗ.

Δεινόν γε ἡ ἄγνοια, καὶ πολλῶν κακῶν ἀνθρώποις αἰτία, ὥσπερ ἀχλύν τινα καταχέουσα τῶν πραγμάτων, καὶ τὴν ἀλήθειαν ἀμαυροῦσα, καὶ τὸν ἑκάστου βίον ἐπισκιάζουσα. ἐν σκότῳ γοῦν πλανωμένοις πάντες ἐοίκαμεν, μᾶλλον δὲ τυφλοῖς ὅμοια πεπόνθα-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μεν, τῷ μὲν, προσπταίοντες ἀλόγως. τῷ δὲ, ὑπερβαίνοντες οὐδὲν δέον. καὶ τὸ μὲν πλησίον, καὶ παρὰ πόδας, οὐχ ὁρῶντες. τὸ δὲ πόρρω, καὶ πάμπολυ διεστηκὸς, ὡς ἐνοχλοῦν δεδιότες. καὶ ὅλως, ἐφ' ἑκάστου τῶν πραττομένων οὐ διαλείπομεν τὰ πολλὰ ὀλισθαίνοντες. τοιγάρτοι μυρίας ἤδη τοῖς τραγῳδοδιδασκάλοις ἀφορμὰς εἰς τὰ δράματα τὸ τοιοῦτον παρέσχηται, τοὺς Λαβδακίδας, καὶ τοὺς Πελοπίδας, καὶ τὰ τούτοις παραπλήσια. σχεδὸν γὰρ τὰ πλεῖστα τῶν ἐν τῇ σκηνῇ ἀναβαινόντων κακῶν, εὕροι τις ἂν ὑπὸ τῆς ἀγνοίας, καθάπερ ὑπὸ τραγικοῦ δαίμονός τινος κεχορηγημένα. λέγω δὲ καὶ ἐς τὰ ἄλλα μὲν ἀποβλέπων, μάλιστα δὲ εἰς τὰς οὐκ ἀληθεῖς κατὰ τῶν συνήθων καὶ φίλων διαβολάς. ὑφ' ὧν ἤδη καὶ οἶκοι ἀνάστατοι γεγόνασι, καὶ πόλεις ἄρδην ἀπολώλασι, πατέρες τε κατὰ παίδων ἐξεμάνησαν, καὶ ἀδελφοὶ κατὰ τῶν ὁμογενῶν, καὶ παῖδες κατὰ τῶν γειναμένων, καὶ ἐρασταὶ κατὰ τῶν ἐρωμένων. πολλαὶ δὲ καὶ φιλίαι συνεκόπησαν, καὶ οἶκοι συνεχύθησαν ὑπὸ τῆς κατὰ τὰς διαβολὰς πιθανότητος. ἵν' οὖν ὡς ἥκιστα περιπίπτωμεν αὐταῖς, ὑποδεῖξαι βούλομαι τῷ λόγῳ, καθάπερ ἐπί τινος γραφῆς, ὁποῖόν τί ἐστιν ἡ διαβολὴ, καὶ πόθεν ἄρχεται, καὶ ὁποῖα ἐργάζεται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐργάζεται. μᾶλλον δὲ Ἀπελλῆς ὁ Ἐφέσιος πά-
λαι ταύτην προὔλαβε τὴν εἰκόνα. καὶ γὰρ αὖ καὶ οὗ-
τος διαβληθεὶς πρὸς Πτολεμαῖον, ὡς μετεσχη-
κὼς Θεοδότᾳ τῆς συνωμοσίας ἐν Τύρῳ. ὁ δὲ
Ἀπελλῆς, οὐχ ἑωράκει ποτὲ τὴν Τύρον, οὐδὲ τὸν
Θεοδόταν, ὅστις ἦν ἐγίνωσκεν, ἢ καθόσον
ἤκουε Πτολεμαίου τινὰ ὕπαρχον εἶναι, τὰ κατὰ
τὴν Φοινίκην ἐπιτετραμμένον. ἀλλ' ὅμως τῶν ἀντι-
τέχνων τις, Ἀντίφιλος τοὔνομα, ὑπὸ φθόνου
τῆς παρὰ βασιλεῖ τιμῆς, καὶ τῆς κατὰ τὴν τέχ-
νην ζηλοτυπίας, κατεῖπεν αὐτοῦ πρὸς τὸν
Πτολεμαῖον, ὡς εἴη κεκοινωνηκὼς τῶν ὅλων,
καὶ ὡς θεάσαιτό τις αὐτὸν ἐν Φοινίκῃ συνεστιώ-
μενον Θεοδότᾳ, καὶ παρ' ὅλον τὸ δεῖπνον πρὸς
τὸ οὖς αὐτῷ κοινολογούμενον. καὶ τέλος, ἀπέ-
φηνε τὴν Τύρου ἀπόστασιν, καὶ τὴν Πηλουσίου κα-
τάληψιν ἐκ τῆς Ἀπελλοῦ συμβουλῆς γεγενῆ-
σθαι. ὁ δὲ Πτολεμαῖος, ὡς ἂν καὶ τἆλλα
οὐ πάνυ φρενήρης τις ὤν, ἀλλ' ἐν κολακείᾳ
δεσποτικῇ τεθραμμένος, οὕτως ἐξεκαύθη, καὶ
συνεταράχθη πρὸς τῆς παραδόξου ταύτης δια-
βολῆς, ὥστε μηδὲν τῶν εἰκότων λογισάμενος,
μηδ' ὅτι ἀντίτεχνος ἦν ὁ διαβάλλων, μηδ'
ὅτι μικρότερος, ἢ κατὰ τοιαύτην προδοσίαν
ὁ γραφεύς. καὶ ταῦτα, εὖ πεπονθὼς ὑπ' αὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

το, καὶ πρὸς ὁντινοῦν τῶν ὁμοτέχνων τετιμημένος, ἀλλ' οὐδὲ τὸ παράπαν, ὡς εἰ ἐξέπλευσεν Ἀπελλῆς εἰς Τύρον ἐξετάσας, εὐθὺς ἐξεμήνιεν καὶ βοῆς ἐνεπίμπλα τὰ βασίλεια, τὸν ἀχάριστον κεκραγὼς, καὶ τὸν ἐπίβουλον, καὶ συνωμότην. καὶ εἴ γε μὴ τῶν συνειλημμένων τις ἀγανακτήσας ἐπὶ τῇ τοῦ Ἀντιφίλου ἀναισχυντίᾳ, καὶ τὸν ἄθλιον Ἀπελλῆν κατελεήσας, ἔφη μηδὲν αὐτοῖς κεκοινωνηκέναι τὸν ἄνθρωπον, ἀπετέτμητο ἂν τὴν κεφαλὴν, καὶ παραπολελαύκει τῶν ἐν Τύρῳ κακῶν, οὐδὲν αὐτὸς αἴτιος γεγονώς. ὁ μὲν οὖν Πτολεμαῖος, οὕτω λέγεται μεταγνῶναι ἐπὶ τοῖς γεγονόσιν, ὥστε τὸν μὲν Ἀπελλῆν, ἑκατὸν ταλάντοις ἐδωρήσατο. τὸν δὲ Ἀντίφιλον, δουλεύειν αὐτῷ παρέδωκεν. ὁ δὲ Ἀπελλῆς, ὧν παρεκινδύνευσε μεμνημένος, τοιᾷδέ τινι εἰκόνι ἠμύνατο τὴν διαβολήν. ἐν δεξιᾷ τις ἀνὴρ κάθηται, τὰ ὦτα παμμεγέθη ἔχων, μικροῦ δεῖν τοῖς τοῦ Μίδου προσεοικότα, τὴν χεῖρα προτείνων, πόρρωθεν ἔτι προσιούσῃ τῇ διαβολῇ, περὶ δὲ αὐτὸν, ἑστᾶσι δύο γυναῖκες, ἄγνοιά μοι δοκεῖ, καὶ ὑπόληψις. ἑτέρωθεν δὲ, προσέρχεται ἡ διαβολὴ, γύναιον ἐς ὑπερβολὴν πάγκαλον, ὑπόθερμον δὲ, καὶ παρακεκινημένον, οἷον δὴ τὴν λύτταν, καὶ τὴν ὀργὴν δεικνῦσα. τῇ μὲν ἀ-

ἀριστερᾷ

ἀριστερᾷ, δᾷδα καιομένην ἔχουσα. τῇ ἑτέρᾳ δὲ νεανίαν τινὰ τῶν τριχῶν σύρουσα, τὰς χεῖρας ὀρέγοντα εἰς τὸν οὐρανὸν, καὶ μαρτυρόμενον τοὺς θεούς. ἡγεῖται δὲ ἀνὴρ ὠχρὸς, καὶ ἄμορφος, ὀξὺ δεδορκὼς, καὶ ἐοικὼς τοῖς ἐκ νόσου μακρᾶς κατεσκληκόσι. τοῦτον οὖν εἶναι τὸν φθόνον ἄν τις εἰκάσειε. καὶ μὴν καὶ ἄλλαι τινὲς δύο παρομαρτοῦσι, προτρέπουσαι, καὶ περιστέλλουσαι, καὶ κατακοσμοῦσαι τὴν διαβολήν. ὡς δέ μοι καὶ ταύτας ἐμήνυσεν ὁ περιηγητὴς τῆς εἰκόνος, ἡ μὲν, ἐπιβουλή τις ἦν, ἡ δὲ, ἀπάτη. κατόπιν δὲ ἠκολούθει πάνυ πενθικῶς τις ἐσκευασμένη. μελανείμων, καὶ κατεσπαραγμένη. μετάνοια δὲ καὶ αὕτη ἐλέγετο. ἐπεστρέφετο γοῦν ἐς τοὐπίσω δακρύουσα, καὶ μετ' αἰδοῦς πάνυ τὴν ἀλήθειαν προσιοῦσαν ὑπέβλεπεν. οὕτω μὲν οὖν Ἀπελλῆς τὸν ἑαυτοῦ κίνδυνον ἐπὶ τῆς γραφῆς ἐμιμήσατο. φέρε δὲ καὶ ἡμεῖς εἰ δοκεῖ, κατὰ τὴν τοῦ ἐφεσίου ζωγράφου τέχνην, διεξέλθωμεν τὰ προσόντα τῇ διαβολῇ, πρότερόν γε ὅρῳ τινὶ περιγράψαντες αὐτήν. οὕτω γὰρ ἂν ἡμῖν ἡ εἰκὼν γενήσεται. ἔστι τοίνυν διαβολὴ κατηγορία τις, ἐξ ἐρημίας γιγνομένη, τὸν κατηγορούμενον λεληθυῖα, ἐκ τοῦ μονομεροῦς ἀναντιλέκτως πεπιστευμένη. τοιαύτη μὲν ἡ ὑπόθεσις τοῦ λόγου. τριῶν δ' ὄντων προσώπων, καθάπερ ἐν

ταῖς κωμῳδίαις, τοῦ διαβάλλοντος, καὶ τοῦ διαβαλλομένου, καὶ τοῦ πρὸς ὃν ἡ διαβολὴ γίνεται, καθ' ἕκαστον αὐτῶν ἐπισκοπήσωμεν, οἷα εἰκὸς εἶναι τὰ γινόμενα. πρῶτον μὲν δή, εἰ δοκεῖ, παραγάγωμεν τὸν πρωταγωνιστὴν τοῦ δράματος, λέγω δὲ τὸν ποιητὴν τῆς διαβολῆς. οὗτος δὲ δή, ὡς μὲν οὐκ ἀγαθὸς ἄνθρωπός ἐστι, πᾶσιν οἶμαι γνώριμον. οὐδεὶς γὰρ ὢν ἀγαθός, κακῶν αἴτιος γένοιτο τῷ πλησίον. ἀλλ' ἔστιν ἀγαθῶν ἀνδρῶν, ἀφ' ὧν εὖ ποιοῦσιν αὐτοὶ τοὺς φίλους, οὐκ ἀφ' ὧν τοὺς ἄλλους ἀδικοῦντας αἰτιῶνται, καὶ μισουμένους παρασκευάζουσιν, εὐδοκιμεῖν, δόξαν εὐνοίας προσλαβόντας. ἔπειτα δὲ ὡς ἄδικος ὁ τοιοῦτος, καὶ παράνομός ἐστι, καὶ ἀσεβής, καὶ τοῖς χρωμένοις ἐπιζήμιος, ῥᾴδιον καταμαθεῖν. τίς γὰρ οὐκ ἂν ὁμολογήσειε τὴν μὲν ἰσότητα, ἐν ἅπαντι, καὶ τὸ μηδὲν πλέον δικαιοσύνης ἔργα εἶναι. τὸ δ' ἄνισόν τε, καὶ πλεονεκτικόν, ἀδικίας; ὁ δὲ τῇ διαβολῇ κατὰ τῶν ἀπόντων λάθρα χρώμενος, πῶς οὐ πλεονέκτης ἐστὶν ὅλον τὸν ἀκροατὴν σφετεριζόμενος, καὶ προκαταλαμβάνων αὐτοῦ τὰ ὦτα, καὶ ἀποφράττων, καὶ τῷ δευτέρῳ λόγῳ παντελῶς ἄβατα κατασκευάζων αὐτά, ὑπὸ τῆς διαβολῆς προεμπεπλησμένα; ἐσχάτης ἀδικίας τὸ τοιοῦτον, ὡς φαῖεν ἂν καὶ οἱ ἄριστοι τῶν νομοθετῶν,

νομοθετῶν, οἷον ὁ Σόλων, καὶ ὁ Δράκων, ἐνόρκον ποιησάμενοι τοῖς δικασταῖς τὸ ὁμοίως ἀμφοῖν ἀκροᾶσθαι, καὶ τὸ τὴν εὔνοιαν ἴσην τοῖς κρινομένοις ἀπονέμειν, ἄχρις ἂν ὁ τοῦ δευτέρου λόγος παρατεθεὶς, θατέρου χείρων ἢ ἀμείνων φανῇ. πρὶν δέ γε ἀντεξετάσθαι τὴν ἀπολογίαν τῇ κατηγορίᾳ, παντελῶς ἀσεβῆ, καὶ ἀνόσιον ἡγήσαντο ἔσεσθαι τὴν κρίσιν. καὶ γὰρ ἂν καὶ αὐτοὺς ἀγανακτῆσαι τοὺς θεοὺς νομίζοιμεν, εἰ τῷ μὲν κατηγόρῳ μετ' ἀδείας ἃ θέλει λέγειν ἐπιτρέποιμεν, ἀποφράξαντες δὲ τῷ κατηγορουμένῳ τὰ ὦτα, ἢ τῷ στόματι σιωπῶντες, καταψηφιζοίμεθα τῷ προτέρῳ λόγῳ κεχειρωμένοι. ὥστε οὐ κατὰ τὸ δίκαιον, καὶ τὸ νόμιμον, καὶ τὸν ὅρκον τὸν δικαστικόν, φαίη τις ἂν γίγνεσθαι τὰς διαβολάς. εἰ δέ τῳ μὴ ἀξιόπιστοι δοκοῦσιν οἱ νομοθέται, παραινοῦντες οὕτω δικαίας καὶ ἀμερεῖς ποιεῖσθαι τὰς κρίσεις, ποιητήν μοι δοκῶ τὸν ἄριστον ἐπαγαγεῖν τῷ λόγῳ, εὖ μάλα περὶ τούτων ἀποφηνάμενον, μᾶλλον δὲ νομοθετήσαντα. φησὶ δὲ μήτε δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς. ἠπίστατο γὰρ οἶμαι καὶ οὗτος, ὡς πολλῶν ὄντων ἐν τῷ βίῳ ἀδικημάτων, οὐδὲν ἂν τις εὕροι χεῖρον, οὐδὲ ἀδικώτερον, ἢ ἀκρίτους τινάς, καὶ ἀμοίρους λόγου καταδεδικάσθαι, ὅπερ ἐξ ἅπαντος ὁ διαβάλ

λων ἐπιχειρεῖ ποιεῖν, ἄκριτον ὑπάρχον τὸν
διαβαλλόμενον τῇ τοῦ ἀκούοντος ὀργῇ, καὶ τὴν
ἀπολογίαν ὑπὸ λαθραίου τῆς κατηγορίας περιαι-
ρούμενος. καὶ γὰρ ἀπαῤῥησίαστος, καὶ δειλὸς ἅ-
πας ὁ τοιοῦτος ἄνθρωπος, οὐδὲν ἐς τὸ ἐμφα-
νὲς ἄγων, ἀλλὰ ὥσπερ οἱ λοχῶντες, ἐξ ἀφα-
νοῦς ποθεν τοξεύων, ὡς μὴ δὲ ἀντιτάξασθαι δυνα-
τὸν εἶναι, μὴ δὲ ἀνταγωνίζεσθαι, ἀλλ' ἐν ἀπορίᾳ καὶ
ἀγνοίᾳ τοῦ πολέμου διαφθείρεσθαι. ὃ μέγιστόν ἐστι
σημεῖον, τοῦ μηδὲν ὑγιὲς τοὺς διαβάλλοντας λέ-
γειν. ἐπεὶ εἴ πως τε τἀληθῆ κατηγοροῦντι ἑαυ-
τῷ συνεπίσταται, οὗτος οἶμαι καὶ εἰς τὸ φανερὸν
διελέγχει, καὶ διευθύνει, καὶ ἀντεξετάζει τῷ λό-
γῳ. ὥσπερ οὐδεὶς ἂν ἐκ τοῦ προφανοῦς νικᾶν δυ-
νάμενος, ἐνέδρᾳ ποτὲ, καὶ ἀπάτῃ χρήσαιτο
κατὰ τῶν πολεμίων. ἴδοι δ' ἄν τις τοὺς τοιού-
τους μάλιστα ἔν τε βασιλέων αὐλαῖς, καὶ περὶ
τὰς τῶν ἀρχόντων, καὶ δυναστευόντων φιλί-
ας εὐδοκιμοῦντας. ἔνθα πολὺς μὲν ὁ φθόνος,
μυρίαι δὲ ὑπόνοιαι, πάμπολλαι δὲ κολακειῶν
καὶ διαβολῶν ὑποθέσεις. ὅπου γὰρ ἀεὶ μείζους ἐλ-
πίδες, ἐνταῦθα καὶ οἱ φθόνοι χαλεπώτεροι, καὶ
τὰ μίση ἐπισφαλέστερα, καὶ ζηλοτυπίαι κακο-
τεχνέστεραι. πάντες οὖν ἀλλήλους ὀξὺ δεδόρκα-
σι, καὶ ὥσπερ οἱ μονομαχοῦντες ἐπιτηροῦσιν εἴ

πού τι

ῦ τι γυμνωθὲν μέρος θεάσαιντο τοῦ σώματος. καὶ
ρῶτος αὐτὸς ἕκαστος εἶναι βουλόμενος, πα-
ωθεῖται, καὶ παραγκωνίζεται τὸν πλησίον, καὶ
ὸν πρὸ αὐτοῦ εἰ δύναιτο, ὑποσπᾷ, καὶ ὑποσκε
ίζει. ἔνθα ὁ μὲν χρηστὸς, ἀτεχνῶς εὐθὺς ἀνα
ραπεὶς καὶ παρασυρεὶς. καὶ τὸ τελευταῖ-
ι, ἀτίμως ἐξέωσται. ὁ δὲ κολακευτικώτερος,
ὶ πρὸς τὰς τοιαύτας κακοηθείας πιθανώ
ρος, εὐδοκιμεῖ. καὶ ὅλως, φθάσας κρατεῖ.
ὰ τὸ τοῦ Ὁμήρου πάνυ ἐπαληθεύουσιν, ὅτι ξυνὸς “
υάλιος, καὶ τὸν κτανέοντα κατέκτα. τοιγα “
ῦν ὡς οὐ περὶ μικρῶν τοῦ ἀγῶνος ὄντος, ποι
λας κατ᾽ ἀλλήλων ὁδοὺς ἐπινοοῦσιν, ὧν τα
στη καὶ ἐπισφαλεστάτη ἐστὶν ἡ διὰ διαβολῆς.
ν μὲν ἀρχὴν, ἀπὸ φθόνου ἢ μίσους εὐέλπιδας λαμ
νουσα, οἰκτρότερα δὲ, καὶ τραγικὰ ἐπάγουσα
τέλη, καὶ πολλῶν συμφορῶν ἀνάπλεα. οὐ μὲν
ι μικρὸν, οὐδὲ ἁπλοῦν ἐστι τοῦτο, ὡς ἄν τις ὑπο
άβοι, ἀλλὰ πολλῆς μὲν τέχνης, οὐκ ὀλίγης δὲ
γχινοίας, ἀκριβοῦς δέ τινος ἐπιμελείας δεό
ενον. οὐ γὰρ ἂν τοσαῦτα ἔβλαπτεν ἡ διαβολὴ,
μὴ πιθανόν τινα τρόπον ἐγίγνετο. οὐδ᾽ ἂν
ατίσχυε τὴν πάντων ἰσχυροτέραν ἀλήθειαν,
μὴ πολὺ τὸ ἐπαγωγὸν, καὶ πιθανὸν, καὶ μυρία
ἄλλα παρεσκεύαστο κατὰ τῶν ἀκουόντων. διαβάλ

λεται μὲν οὖν ὡς τὸ πολὺ μάλιστα ὁ τιμώμενος. καὶ διὰ τοῦτο, τοῖς ὑπολειπομένοις αὐτοῦ ἐπιφθόνος. ἅπαντες γὰρ τούτῳ ἐπιτοξάζονται, καθάπερ τι κώλυμα, καὶ ἐμπόδιον προορώμενοι. καὶ ἕκαστος οἴεται πρῶτος αὐτὸς ἔσεσθαι, τὸν κορυφαῖον ἐκεῖνον ἐκπολιορκήσας, καὶ τῆς φιλίας ἀποσκευασάμενος, οἷόν τι, καὶ ἐπὶ τοῖς γυμνικοῖς ἀγῶσιν, ἐπὶ τῶν δρομέων γίνεται. κἀκεῖ γὰρ ὁ μὲν ἀγαθὸς δρομεὺς, τῆς ὕσπληγγος εὐθὺς καταπεσούσης, μόνον τοῦ πρόσω ἐφιέμενος, καὶ τὴν διάνοιαν ἀποτείνας πρὸς τὸ τέρμα, κἀν τοῖς ποσὶ τὴν ἐλπίδα τῆς νίκης ἔχων, τὸν πλησίον οὐδὲν κακουργεῖ, οὐδέ τι τῶν κατὰ τοὺς ἀγωνιστὰς πολυπραγμονεῖ. ὁ δὲ κακὸς ἐκεῖνος, καὶ ἄναθλος ἀνταγωνιστὴς, ἀπογνοὺς τὴν ἐκ τοῦ τάχους ἐλπίδα, ἐπὶ τὴν κακοτεχνίαν ἐτράπετο. καὶ τοῦτο μόνον ἐξ ἅπαντος σκοπεῖ, ὅπως τὸν τρέχοντα ἐπισχὼν, ἢ ἐμποδίσας, ἐπιστομιεῖ. ὡς εἰ τούτου διαμάρτοι, οὐκ ἄν ποτε νικῆσαι δυνάμενος. ὁμοίως δὲ τούτοις, κἀν ταῖς φιλίαις τῶν εὐδαιμόνων γίνεται. ὁ γὰρ προέχων, αὐτίκα ἐπιβουλεύεται καὶ ἀφύλακτος ἐν μέσῳ ληφθεὶς τῶν δυσμενῶν, ἀνηρπάσθη. οἱ δὲ, ἀγαπῶνται, καὶ φίλοι δοκοῦσιν, ἐξ ὧν ἄλλους βλάπτειν ἔδοξαν. τό, τε ἀξιόπιστον τῆς διαβολῆς οὐχ ὡς ἔτυ-

καὶ ἐπινοοῦσιν, ἀλλ' ἐν τούτῳ τὸ πᾶν αὐτοῖς ἔργον, εἰδέναι ὅ τι προσάψαι ἁρμόδιον, μὴ ἀλλότριον. ὡς οὖν τὰ πολλὰ τὰ προσόντα τῷ διαβαλλομένῳ πρὸς τὸ χεῖρον μεταβάλλοντες οὐκ ἀπιθάνους ποιοῦνται τὰς κατηγορίας, οἷον τὸν μὲν ἰατρόν, διαβάλλουσιν ὡς φαρμακέα· τὸν πλούσιον δέ, ὡς τύραννον. τὸν τυραννικὸν δέ, ὡς προδοτικόν. ἐνίοτε μέντοι καὶ ὁ ἀκροώμενος αὐτὸς ὑποβάλλει τῆς διαβολῆς τὰς διαφοράς. καὶ πρὸς τὸν ἐκείνου τρόπον οἱ κακοήθεις οὗτοι ἁρμοζόμενοι, εὐστοχοῦσιν. ἢν μὲν γὰρ ζηλότυπον αὐτὸν ὄντα ἴδωσι, διένευσέ φησι τῇ γυναικί σου παρὰ τὸ δεῖπνον. καὶ ἀπιδὼν ἐς αὐτήν, ἀπεστέναξε· καὶ ἡ Στρατονίκη πρὸς αὐτόν, οὐ μάλα ἀηδῶς, καὶ ὅλως ἐρωτική. καί τινες καὶ μοιχικαὶ πως αὐτῶν αἱ διαβολαί. ἢν δὲ ποιητικὸς ᾖ, καὶ ἐπὶ τούτῳ μέγα φρονῇ, μὰ Δί' ἐχλεύασέ σου Φιλόξενος τὰ ἔπη, καὶ διέσυρε, καὶ ἄμετρα εἶπεν αὐτά, καὶ κακοσύνθετα. πρὸς δὲ τὸν εὐσεβῆ, καὶ φιλόθεον, ἄθεος, καὶ ἀνόσιος ὁ φίλος διαβάλλεται, καὶ ὡς τὸ θεῖον παρωθούμενος, καὶ τὴν πρόνοιαν ἀναινόμενος. ὁ δὲ ἀκούσας, εὐθὺς μύωπι διὰ τοῦ ὠτὸς τυπείς, διακέκαυται ὡς τὸ εἰκός, καὶ ἀπέστραπται τὸν φίλον, οὐ περιμείνας τὸν ἀκριβῆ ἔλεγχον. ὅλως γὰρ τὰ τοιαῦτα ἐπινοοῦσι,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ λέγουσιν, ἃ μάλιστα ἴσασιν ἐς ὀργὴν δυνάμενα προκαλέσασθαι τὸν ἀκροώμενον. καὶ ἔνθα πρῶτός ἐστιν ἕκαστος ὠθισάμενοι, ἐπ' ἐκεῖνον τοξεύουσι, καὶ ἀκοντίζουσιν ἐς αὐτόν. ὥστε τῇ παραυτίκα ὀργῇ τεταραγμένον, μηκέτι σχολὴν ἄγειν τῇ ἐξετάσει τῆς ἀληθείας. ἀλλὰ κἂν θέλῃ τις ἀπολογεῖσθαι, μὴ προσίεσθαι, τῷ παραλόγῳ τῆς ἀκροάσεως, ὡς ἀληθεῖ προκατειλημμένον. ἀνυσιμώτατον γὰρ ὂν τὸ εἶδος τῆς διαβολῆς, τὸ ὑπεναντίον τῆς τοῦ ἀκούοντος ἐπιθυμίας, ὁπότε καὶ παρὰ Πτολεμαίῳ τῷ Διονύσῳ ἐπικληθέντι, ἐγένετό τις, ὃς διέβαλε τὸν πλατωνικὸν Δημήτριον, ὅτι ὕδωρ τε πίνει, καὶ μόνος τῶν ἄλλων γυναικεῖα οὐκ ἐνεδύσατο ἐν τοῖς Διονυσίοις. καὶ εἴ γε μὴ κληθεὶς, ἕωθεν ἔπιέ τε πάντων ὁρώντων, καὶ λαβὼν ταραντινίδιον, ἐκυμβάλισέ τε, καὶ προσωρχήσατο, ἀπωλώλει ἄν, ὡς οὐχ ἡδόμενος τῷ βίῳ τοῦ βασιλέως, ἀλλ' ἀντισοφιστὴς ὤν, καὶ ἀντίτεχνος τῆς Πτολεμαίου τρυφῆς. παρὰ δὲ Ἀλεξάνδρῳ, μέγιστόν τε ἂν ἁπασῶν διαβολὴ λέγοιτο, εἰ ἔλοιτό τις μὴ σέβειν, μηδὲ προσκυνεῖν τὸν Ἡφαιστίωνα. ἐπεὶ γὰρ ἀπέθανεν Ἡφαιστίων, ὑπὸ τοῦ ἔρωτος Ἀλέξανδρος ἐβουλήθη προσθεῖναι καὶ τοῦτο τῇ λοιπῇ μεγαλουργίᾳ, καὶ θεὸν χειροτονῆσαι τὸν

τετε

τετελευτηκότα. εὐθὺς γοῦν νεώς τε ἀνέστησαν αὐτῷ ἐν
πόλεσι, καὶ τεμένη καθιδρύετο, καὶ βωμοί, καὶ
θυσίαι, καὶ ἑορταὶ τῷ καινῷ τούτῳ θεῷ ἐπετε-
λοῦντο. καὶ ὁ μέγιστος ὅρκος ἦν ἅπασιν, Ἡφαι-
στίωνα. εἰ δέ τις ἢ μειδιάσειε πρὸς τὰ γιγνόμενα,
ἢ μὴ φαίνοιτο πάνυ εὐσεβῶν, θάνατος ἐπέκει-
το ἡ ζημία. ὑπολαμβάνοντες δὲ οἱ κόλακες
τὴν μειρακιώδη ταύτην τοῦ Ἀλεξάνδρου ἐπιθυ-
μίαν, προσεξέκαιον εὐθὺς, καὶ ἀνεζωπύρουν, ὀνεί-
ρατα διηγούμενοι τοῦ Ἡφαιστίωνος, ἐπιφανείας
τινὰς, καὶ ἰάματα προσάπτοντες αὐτῷ, καὶ
μαντείας ἐπιφημίζοντες. καὶ τέλος, ἔθυον
παρέδρῳ, καὶ ἀλεξικάκῳ θεῷ. ὁ δὲ Ἀλέξανδρος,
ἥδετό τε ἀκούων, καὶ τὰ τελευταῖα, ἐπίστευε,
καὶ μέγα ἐφρόνει, ὡσανεὶ οὐ θεοῦ παῖς ὢν μόνον,
ἀλλὰ καὶ θεοὺς ποιεῖν δυνάμενος. πόσους τοίνυν
οἰόμεθα τῶν Ἀλεξάνδρου φίλων παρὰ τὸν καιρὸν
ἐκεῖνον ἀπολαῦσαι τῆς Ἡφαιστίωνος θειότητος,
διαβληθέντας, ὡς οὐ τιμῶσι τὸν κοινὸν ἁπάν-
των θεὸν, καὶ διὰ τοῦτο ἐξελαθέντας, καὶ τῆς τοῦ
βασιλέως εὐνοίας ἐκπεσόντας; τότε καὶ Ἀγα-
θοκλῆς ὁ Σάμιος, ταξιαρχῶν παρ' Ἀλεξάν-
δρῳ, καὶ τιμώμενος παρ' αὐτῷ, μικροῦ δεῖν
συγκαθείρχθη λέοντι, διαβληθεὶς ὅτι δα-
κρύσειε παριὼν τὸν Ἡφαιστίωνος τάφον. ἀλλ'



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκείνῳ μὲν λέγεται βοηθῆσαι Περδίκκας, ἐπο-
μοσάμενος κατὰ πάντων τῶν θεῶν, καὶ κατὰ
Ἡφαιστίωνος, ὅτι δὴ κυνηγετοῦντί οἱ, φανέντα
ἐναργῆ τὸν θεόν, ἐπισκῆψαι εἰπεῖν Ἀλεξάνδρῳ
φείσασθαι Ἀγαθοκλέους. οὐ γὰρ ὡς ἀπιστοῦντα, οὐ-
δὲ ὡς ἔτι νεκρῷ δακρῦσαι, ἀλλὰ τῆς πάλαι συ-
νηθείας μνημονεύοντα. ἡ γοῦν κολακεία, καὶ ἡ δια-
βολή, τότε μάλιστα χώραν ἔσχε πρὸς τὸ Ἀλεξ-
άνδρου πάθος συντιθεμένη. καθάπερ γὰρ ἐν πολι-
ορκίᾳ οὐκ ἔτι τὰ ὑψηλά, καὶ ἀπόκρημνα, καὶ ἀ-
σφαλῆ τοῦ τείχους προσίασιν οἱ πολέμιοι, ἀλλ'
ἐν ᾧ ἀφύλακτόν τι μέρος, ἢ σαθρὸν αἰσθάνονται,
ἢ ταπεινόν, ἐπὶ τοῦτο πάσῃ δυνάμει χωροῦσιν, ὡς
ῥᾷστα παρεισδῦναι, καὶ ἑλεῖν δυνάμενοι, οὕτω καὶ
οἱ διαβάλλοντες, ὅ, τι ἂν ἀσθενὲς ἴδωσι τῆς ψυ-
χῆς, καὶ ὑπόσαθρον, καὶ εὐεπίβατον, τούτῳ προ-
σβάλλουσι, καὶ προσάγουσι τὰς μηχανάς. καὶ
τέλος, ἐκπολιορκοῦσι, μηδενὸς ἀντιτασσο-
μένου, μηδὲ τὴν ἔφοδον αἰσθομένου. εἶτ' ἐπει-
δὰν ἐντὸς ἅπαξ τειχῶν γένωνται, πυρπολοῦ-
σι πάντα, καὶ καίουσι, καὶ σφάττουσι, καὶ ἐξε-
λαύνουσιν, οἷα εἰκὸς ἁλισκομένης ψυχῆς, καὶ ἐξ-
ανδραποδισμένης ἔργα ταῦτα. μηχανήματα δ' αὐ-
τοῖς κατὰ τοῦ ἀπόντος ἥ τε ἀπάτη, καὶ τὸ ψεῦ-
δος, καὶ ἡ ἐπιορκία, καὶ προσλιπάρησις, καὶ

αὐτα

ναισχυντία, καὶ ἄλλα μυρία ῥᾳδιουργήμα-
τα. ἡ δὲ μεγίστη πασῶν, ἡ κολακεία ἐστί, συγ-
γενής, μᾶλλον δὲ ἀδελφή τις οὖσα τῆς διαβο-
λῆς. οὐδεὶς γοῦν οὕτω γεννάδας ἐστί, καὶ ἀδαμάν-
τινον τεῖχος τῆς ψυχῆς προβεβλημένος, ὃς οὐκ
ἂν ἐνδοίη πρὸς τὰς τῆς κολακείας ὑποβολάς.
καὶ ταῦτα, ὑπορυττούσης, καὶ τοὺς θεμελίους ὑφαι-
ρούσης τῆς διαβολῆς. καὶ τὰ μὲν ἐκτὸς, ταῦ-
τα. ἔνδοθεν δὲ, πολλαὶ προδοσίαι συναγωνί-
ζονται, τὰς χεῖρας ὀρέγουσαι, καὶ τὰς πύ-
λας ἀναπετῶσαι, καὶ πάντα τρόπον τῇ ἁλώσει
τοῦ ἀκούοντος συμπροθυμούμεναι. πρῶτον μὲν,
τὸ φιλόκαινον, ὃ φύσει πᾶσιν ἀνθρώποις ὑπάρ-
χει, καὶ τὸ ἁψίκορον. ἔπειτα δὲ, τὸ πρὸς τὰ πα-
ράδοξα τῶν ἀκουσμάτων ἐπαγωγόν. οὐ γὰρ οἶδ᾽ ὅ-
πως ἡδόμεθα πάντες λαθρηδὰ, καὶ πρὸς τὰ οὖς
λεγομένοις, καὶ μεστοῖς ὑπονοίας ἀκούοντες.
οἶδα γοῦν τινας οὕτως ἡδέως γαργαλιζομένους
τὰ ὦτα ὑπὸ τῶν διαβολῶν, ὥσπερ τοὺς πτεροῖς
κνωμένους. ἐπειδὰν τοίνυν ὑπὸ τούτων ἁπάν-
των συμμαχούμενοι προσπέσωσι, κατὰ κρά-
τος αἱροῦσιν οἶμαι, καὶ οὐδὲ δυσχερὴς ἡ νίκη γέ-
νοιτο, μηδενὸς ἀντιπαραταττομένου, μηδὲ ἀ-
μυνομένου τὰς προσβολάς. ἀλλὰ τοῦ μὲν ἀ-
κούοντος, ἑκόντος ἑαυτὸν ἐνδιδόντος. τοῦ δὲ

βαλλομένου δέ, τὴν ἐπιβουλὴν ἀγνοοῦντος. ὥσπερ γὰρ ἐν νυκτὶ πόλεως ἁλούσης, καθεύδοντες οἱ διαβαλλόμενοι φονεύονται, καὶ τὸ πάντων οἴκτιστον, ὁ μὲν οὐκ εἰδὼς τὰ πεπραγμένα, προσέρχεται τῷ φίλῳ φαιδρὸς, ἅτε μηδὲν φαῦλον ἑαυτῷ συνεπιστάμενος, καὶ τὰ συνήθη λέγει, καὶ ποιεῖ, παντὶ τρόπῳ ὁ ἄθλιος ἐνεδρευμένος. ὁ δὲ, ἢν μὲν ἔχῃ τι γενναῖον, καὶ ἐλευθέριον, καὶ παῤῥησιαστικὸν, εὐθὺς διεῤῥηξε τὴν ὀργὴν, καὶ τὸν θυμὸν διέχεε. καὶ τέλος, τὴν ἀπολογίαν προαισθόμενος, ἔγνω μάτην κατὰ τοῦ φίλου παρωξυμένος. ἢν δὲ ἀγεννέστερος, καὶ ταπεινότερος, προσίεται μὲν, καὶ προσμειδᾷ τοῖς χείλεσιν ἄκροις, μισεῖ δὲ, καὶ λάθρα τοὺς ὀδόντας διαπρίει. καὶ ὡς ὁ ποιητὴς φησι, βυσσοδομεύει τὴν ὀργήν. σὺ δὲ ἐγὼ οὐδὲν οἶμαι ἀλκώτερον, οὐδὲ δουλοπρεπέστερον, ἐνδακόντα τὸ χεῖλος, ὑποτρέφειν τὴν χολὴν, καὶ τὸ μῖσος ἐν αὐτῷ κατάκλειστον αὔξειν, ἕτερα μὲν κεύθοντα ἐνὶ φρεσὶν, ἄλλα δὲ λέγοντα, καὶ ὑποκινούμενον ἱλαρῷ καὶ κωμικῷ προσώπῳ, μάλα πολυπαθῆ τινα, καὶ γέμουσαν τραγῳδίας. μάλιστα δὲ τοῦτο πάσχουσιν, ἐπειδὰν πάλαι φίλος ὁ ἐν διαβάλλων δοκῶν εἶναι τῷ ἐνδιαβαλλομένῳ, ποιῆται ὁμοίως. τότε γὰρ οὔτε φωνὴν ἀκούειν

ἔτι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ θέλουσι τῶν διαβαλλομένων, ἢ τῶν ἀπολο-
γουμένων, τὸ ἀξιόπιστον διὰ κατηγορίας ἐκ τῆς
πάλαι δοκούσης φιλίας προειληφότων, οὐ-
δὲ τοῦτο λογιζόμενοι, ὅτι πολλαὶ πολλάκις ἐμ-
ιροῖς φιλτάτοις μίσους παραπίπτουσιν αἰτίαι,
τοὺς ἄλλους λανθάνουσαι. καὶ ἐνίοτε ὅτε αὐτός
τις ἔνοχός ἐστι, ταυτὶ φθάσας κατηγόρησε τοῦ
πλησίον ἐκφυγεῖν, οὕτω πειρώμενος τὴν διαβο-
λήν. καὶ ὅλως, ἐχθρὸν μὲν οὐδεὶς ἂν τολμήσειε
διαβάλλειν. ἄπιστος γὰρ αὐτόθεν ἡ κατηγορία,
πρόδηλον ἔχουσα τὴν αἰτίαν. τοῖς δοκοῦσι δὲ
μάλιστα φίλοις ἐπιχειροῦσι, τὴν πρὸς τοὺς ἀκού-
οντας εὔνοιαν ἐμφῆναι προαιρούμενοι, ὅτι ὑπὲρ
τοῦ ἐκείνων συμφέροντι οὐδὲ τῶν οἰκειοτάτων
ἀπέχονται. εἰσὶ δέ τινες, οἳ κἂν μάθωσιν ὕστε-
ρον ἀδίκως διαβεβλημένους παρ' αὐτοῖς τοὺς φί-
λους, ὅμως ὑπ' αἰσχύνης ὧν ἐπίστευσαν, οὐδέ τι
προσίενται, οὐδὲ τολμῶσι προσβλέπειν αὐτοὺς,
ὥσπερ ἠδικημένοι, ὅτι μηδὲν ἀδικοῦντας ἐπέ-
γνωσαν. ρι γὰρ οὖν πολλῶν κακῶν ὁ βίος ἐπλή-
σθη ὑπὸ τῶν οὕτω ῥᾳδίως, καὶ ἀνεξετάστως πε-
πιστευμένων διαβολῶν. ἡ μὲν γὰρ Ἄντεια, τεθ- "
ναίης φησὶν ὦ Προῖτε, ἢ κάκτανε Βελλεροφόν- "
την, ὅς μ' ἔθελε φιλότητι μιγήμεναι οὐκ ἐθε- "
λούσῃ, αὐτὴ προτέρα ἐπιχειρήσασα, καὶ ὑπερο- "



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πόθεν ἀλλοτρίᾳ κεῖσθαι, μᾶλλον ἢ μισεῖν τῶν κατηγορούντων, ἀλλ' ἑαυτοῖς τὴν ἐξέτασιν φυλακτέον, τῆς ἀληθείας ἀποδόντας, καὶ τὸν διαβάλλοντα τὸν φθόνον, καὶ ἐν φανερῷ ποιησαμένους τὸν ἔλεγχον τῆς ἑκατέρου διανοίας, καὶ μισεῖν οὕτω, καὶ ἀγαπᾶν τὸν δεδοκιμασμένον. πρὶν δὲ τοῦτο ποιῆσαι ἐκ τῆς πρώτης διαβολῆς κεκινημένον, Ἡράκλεις ὡς μειρακιῶδες, καὶ ταπεινὸν, καὶ πάντων οὐχ ἥκιστα ἄδικον. ἀλλὰ τούτων ἁπάντων αἴτιον, ὅπερ ἐν ἀρχῇ ἔφημεν, ἡ ἄγνοια, καὶ τὸ ἐν σκότῳ που εἶναι τὸν ἑκάστου τρόπον. ὡς εἴγε θεῶν τις ἀποκαλύψειεν ἡμῶν τοὺς βίους, οἴχοιτ' ἂν φεύγουσα ἐς τὸ βάραθρον ἡ διαβολὴ, χώραν οὐκ ἔχουσα, ὡς ἂν πεφωτισμένων τῶν πραγμάτων ὑπὸ τῆς ἀληθείας.

## ΨΕΥΔΟΛΟΓΙΣΤΗΣ, Η ΠΕΡΙ ΤΗΣ ΑΠΟΦΡΑΔΟΣ.

Ἀλλ' ὅτι μὲν ἠγνόεις τοὔνομα τὴν ἀποφράδα, παντί που δῆλον. πῶς γὰρ ἂν ᾐτιῶ βάρβαρον εἶναί με τὴν φωνὴν ἐπ' αὐτῷ εἰπόντα ὑπὲρ σοῦ, ὡς ἀποφράδι ὅμοιος εἴης; τῶν δὲ τρόπων σου νὴ Δία μέμνημαι, εἰκάσας τῇ τοιαύτῃ ἡμέρᾳ, εἰ μὴ καὶ παντάπασιν ἀνήκοος ἦσθα τοῦ ὀνόματος. ἐγὼ δὲ τὴν μὲν ἀποφράδα ὅ,τι καὶ βούλεται εἶναι, διδάξω σε

μικρὸν

ικρὸν ὕστερον. τὸ δὲ τοῦ Ἀρχιλόχου ἐκεῖνο, ἤδη
ι λέγω, ὅτι τέττιγα τοῦ πτεροῦ συνείληφας,
περ τινὰ ποιητὴν ἰάμβων ἀκούεις Ἀρχίλοχον,
ιάριον τὸ γένος, ἄνδρα κομιδῇ ἐλεύθερον, καὶ
παῤῥησίᾳ συνόντα, μηδὲν ὀκνοῦντα ὀνειδίζειν,
καὶ ὅτι μάλιστα λυπήσειν ἔμελλε τοὺς περιπε
τεῖς ἐσομένους τῇ χολῇ τῶν ἰάμβων αὐτοῦ. ἐκεῖ
νος τοίνυν πρός τινος τῶν τοιούτων ἀκούσας
κακῶς, τέττιγα ἔφη τὸν ἄνδρα εἰληφέναι τοῦ πτε
ροῦ, εἰκάζων ἑαυτὸν τῷ τέττιγι ὁ Ἀρχίλοχος,
φύσει μὲν λάλῳ ὄντι, καὶ ἄνευ τινὸς ἀνάγκης.
ὁπόταν δὲ καὶ τοῦ πτεροῦ ληφθῇ, γεγωνότερον βο
ῶντι. καὶ σὺ δὴ ἔφη ὦ κακόδαιμον ἄνθρωπε, τί
βουλόμενος, ποιητὴν λάλον παροξύνεις ἐπὶ σε
αυτὸν, αἰτίας ζητοῦντα, καὶ ὑποθέσεις τοῖς ἰάμ
βοις; ταῦτά σοι καὶ αὐτὸς ἀπειλῶ, οὐ μὰ τὸν Δία
τῷ Ἀρχιλόχῳ εἰκάζων ἐμαυτόν. πόθεν; πολ
λοῦ γε καὶ δέω. σοὶ δὲ μυρία συνειδὼς ἰάμβων ἄ
ξια βεβιωμένα, πρὸς ἅ μοι δοκεῖ, οὐδ᾽ ἂν ὁ Ἀρχί
λοχος αὐτὸς διαρκέσαι, προσπαρακαλέσας
καὶ τὸν Σιμωνίδην, καὶ τὸν Ἱππώνακτα συμποιεῖν
μετ᾽ αὐτοῦ κἂν ἕν τι τῶν προσόντων σοι κακῶν.
οὕτω σύ γε παῖδας ἀπέφηνας ἐν πάσῃ βδελυ
ρίᾳ, τὸν Ὀροδοκίδην, καὶ τὸν Λυκάμβην, καὶ τὸν
Βούπαλον, τοὺς ἐκείνων ἰάμβους. καὶ ἔοικε θεῶν τις

τὸ χεῖλος ἀγαπᾶν σοι τότε τὸν γέλων ὅτι τὰ ἀπόρρητα λεχθείσῃ, ὡς αὐτὸς μὲν, Σκυθῶν καταφανέστερος γένοιο, κομιδῆ ἀπαιδευτῶν, καὶ τὰ κοινὰ ταῦτα, καὶ τὰ ἐν ποσὶν ἀγνοῶν, ἀρχὴν ἢ εὔλογον παράσχοις τοῦ κατὰ σοῦ λόγου ἀνδρὶ ἐλευθέρῳ, καὶ οἴκοθεν σε ἀκριβῶς εἰδότι, καὶ μηδὲν ὑποστελλομένῳ, τὸ μὴ οὐχὶ πάντα διεξειπεῖν. μᾶλλον δὲ κηρύξαι ἃ πράττεις νύκτωρ καὶ μεθ' ἡμέραν ἔτι καὶ νῦν, μετὰ πολλοῖς τοῖς πρὶν ἐκείνοις. καίτοι μάταιον ἴσως, καὶ περιττὸν, ἐν παιδείας νόμῳ παρρησιάζεσθαι πρὸς σέ. οὔτε γὰρ ἂν αὐτὸς ποτε βελτίων γένοιο πρὸς τὴν μετὰ τίμησιν, οὐ μᾶλλον ἢ κάνθαρος μεταπεισθείη ἄν, μηκέτι τοιαῦτα κυλινδεῖν, ἅπαξ αὐτοῖς συνήθης γενόμενος, οὔτ' εἶναί τινα νομίζω τὸν ἀγνοοῦντα ἔτι τὰ ὑπὸ σοῦ τολμώμενα, καὶ ἃ γέρων ἄνθρωπος ἐς ἑαυτὸν παρανομεῖς, οὐχ οὕτως ἀσφαλὴς, οὐδὲ ἀφανὴς βδελυρὸς εἶ. οὐδὲ δεῖ τινος τοῦ ἀποδύσοντος τὴν λεοντῆν, ὡς φανερὸς γένοιο, κανθήλιος ὤν, εἰ μή τις ἄρα διὰ τῶν ὑπερβορέων ἄρτι ἐς ἡμᾶς ἥκοι, ἢ ἐς τοσοῦτον Κυμαῖος εἴη, ὡς μὴ ἰδὼν, εὐθὺς εἰδέναι ὄνων ἁπάντων ὑβριστότατόν σε ὄντα, μὴ περιμείνας ὀγκωμένου προσεπακούειν. οὕτω πάλαι καὶ πρὸς ἐμοῦ, καὶ παρὰ πᾶσι καὶ πολλάκις, κεκήρυκται τὰ σά, καὶ δόξαι

οὐ μι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρὰν ἔχεις ἐπ' αὐτοῖς ὑπὲρ τὸν Λειψάλλην, ὑ-
πὲρ τὸν συβαρίτην Μίθωνα, ὑπὲρ τὸν χῖον ξέ-
ξνον Βάσαν, τὸν ἐν τοῖς ὁμοίοις σοφόν. ἐκτείνων δὲ
μως εἰ καὶ ἕωλα δόξω λέγειν, ὡς μὴ αἰτίαν ἔ-
χοιμι μόνος αὐτὰ ἀγνοεῖν, μᾶλλον δὲ παρακλητέ-
ον ἡμῖν τῶν Μενάνδρου προλόγων εἷς, ὁ Ἔλεγχος,
φίλος ἀληθείᾳ, καὶ παρρησίᾳ θεός. οὐχ ὁ ἀσημό-
τατος τῶν ἐπὶ τὴν σκηνὴν ἀναβαινόντων, μόνοις
ὑμῖν ἐχθρὸς τοῖς δεδιόσι τὴν γλῶτταν αὐτοῦ,
πάντα εἰδώς, καὶ σαφῶς διεξιών, ὁπό-
σα ὑμῖν σύνοιδε. χάριεν γοῦν τοῦτο γένοιτ' ἄν,
εἰ ἐθελήσειεν ἡμῖν προσελθὼν οὗτος διηγή-
σασθαι τοῖς θεαταῖς σύμπαντα τοῦ δράματος
τὸν λόγον. ἄγε τοίνυν ὦ προλόγων καὶ δαιμό-
νων ἄριστε ἔλεγχε, ὅρα ὅπως σαφῶς προσδιδά-
ξῃς τοὺς ἀκούοντας, ὡς οὐ μάτην, οὐδὲ φιλα-
πεχθημόνως, οὐδ' ἀνίπτοις ποσὶ κατὰ τὴν πα-
ροιμίαν, ἐπὶ τόνδε τὸν λόγον ἀπηντήκαμεν,
ἀλλὰ καὶ ἴδιόν τι ἀμυνόμενοι, καὶ τὰ κοινὰ μι-
σοῦντες τῶν ἀνθρώπων ἐπὶ τῇ βδελυρίᾳ. ταῦ-
τα μόνα εἰπών, καὶ σαφῶς προδιηγησάμενος,
ἵλεως ἄπιθι ἐκποδών. τὰ δὲ ἄλλα, ἡμῖν κα-
τάλιπε. μιμησόμεθα γάρ σε, καὶ διελέγξομεν
τὰ πολλά, ὡς παρρησίας τε, καὶ ἀληθείας ἕ-
νεκα, μηδὲν αἰτιάσασθαί σε. μήτε δὲ ἐμὲ

τοὺς αὐτοῦ ἐπαινέσῃς ὦ φίλτατε Ἔλεγχε· μή-
τε τὰ ἐκείνῳ προσόντα προεκχέῃς αὐτῶς. οὐ
γὰρ ἂν φθονοῦντι, τὸν στόμα σοι ἐλέγξειν τοῦ πολ-
λοῦ οὕτω καταπλύστων λόγων. ὁ γὰρ σοφιστὴς οὗ-
τος τῶν λέγων, ὁ πρόλογος ἤδη φησὶ ταῦτα, ἐς Ὀ-
λυμπίαν ποτὲ ἥκε, λόγον τινὰ πρὸ πολλοῦ
συγγεγραμμένον ἐπιδειξόμενος τοῖς πανηγυρι-
σταῖς. ἦν δὲ ὑπόθεσις τῷ συγγράμματι, ὁ Πυ-
θαγόρας κωλυόμενος ὑπό τινος Ἀθηναίων,
οἶμαι μετέχειν τῶν ἐν Ἐλευσῖνι τελετῶν ὡς βάρ-
βαρος, ὅτι ἔλεγεν αὐτὸς ὁ Πυθαγόρας πρὸ τού-
του ποτὲ, καὶ Εὔφορβος γεγενῆσθαι. ἐτύγχανε
δὲ ὁ λόγος αὐτὸς κατὰ τὸν Αἰσώπου κολοιὸν,
συμφορητὸς ὢν ἐκ ποικίλων ἀλλοτρίων πτε-
ρῶν. βουλόμενος δὴ μὴ ἕωλα δόξαι λέγειν, ἀλ-
λ' αὐτοσχεδιάζειν τὰ ἐκ τοῦ βιβλίου, δεῖται τῶν
συνήθων τινός. ἦν δὲ ἐκ Πατρῶν ἐκεῖνος, ἀμφὶ
δίκας ἔχων τὰ πολλὰ, ἐπειδὰν αἰτήσῃ τι-
νὰς ὑποθέσεις τοῖς λόγοις, τὸν Πυθαγόραν αὐ-
τῷ προελέσθαι. καὶ οὕτως ἀνὴρ ἐποίησε, καὶ συνέ-
πεισε τὸ θέατρον ἀκούειν τῶν ὑπὲρ τοῦ Πυθαγόρου
ἐκεῖνον λόγον. ἦν δὲ τὸ ἐπὶ τούτῳ, ὁ μὲν, πάνυ
ἀπίθανος ἐν τῇ ὑποκρίσει, συνείρων οἷον εἰκὸς
ἐκ πολλοῦ ἐσκεμμένα, καὶ μεμελετημένα, εἰ
καὶ ὅτι μάλιστα ἡ ἀναισχυντία οὐ γε, ἐπήμυνε,

χεῖρα ὤρεγε, καὶ συνηγωνίζετο αὐτῷ. γέλως πολὺς παρὰ τῶν ἀκουόντων. καὶ οἱ μὲν, ἐς τὸν τρέα ἐκεῖνον μεταξὺ ἀποβλέποντες, ὑπεδήλουν ὡς οὐ λέληθε συμπράξας αὐτῷ τὴν ῥᾳδιουργίαν. οἱ δὲ, καὶ αὐτὰ γνωρίζοντες τὰ λεγόμενα, παρ' ὅλην τὴν ἀκρόασιν διετέλεσαν, ἐν τοῦτο μόνον ἔργον ἔχοντες, ἀλλήλων πειρώμενοι, ὅπως μνήμης ἔχωσι πρὸς τὸ διαγινώσκειν ὅτου ἕκαστον ἦν τῶν ὀλίγον πρὸ ἡμῶν εὐδοκιμησάντων ἐν ταῖς καλουμέναις μελέταις σοφιστῶν. ἐν δὲ τούτοις ἅπασι, καὶ ὁ τὸν λόγον τόνδε συγγράψας, ἦν τοῖς πλείοσι καὶ αὐτός. τί δ' οὐκ ἔμελλε γελᾶν οὕτω περιφανεῖ, καὶ ἀπιθάνῳ, καὶ ἀναισχύντῳ τολμήματι; καί πως, ἔστι δὲ ἀκρατὴς γέλωτος. ὁ δὲ, τὴν φωνὴν ἐντρέψας εἰς μέλος, ὡς ᾤετο, ᾠδόν τινα ἐπεκύλει τοῦ Πυθαγόρα. ὁ δὲ, τοῦτο δὴ τοῦ λόγου, ὄνον κιθαρίζειν πειρώμενον ὁρῶν, ἀνεκάγχασε μάλα ἡδὺ ὁ ποιητὴς οὗτος ὁ ἐμός. ὁ δ' εἶδεν ἐπιστραφείς. τοῦτ' ἐξεπολέμωσε τότε αὐτοὺς ἔναγχος. ἐνθένδε ἦν μὲν καὶ τῆς ἔχθρας ἀρχὴ, μᾶλλον δὲ ἡ ἀπὸ τῆς μεγάλης νουμηνίας τρίτη, ἣν οἱ Ῥωμαῖοι κατά τι ἀρχαῖον, εὔχονταί τε αὐτοὶ ὑπὲρ ἅπαντος τοῦ ἔτους εὐχάς τινας, καὶ θύουσι, Νουμᾶ τοῦ βασιλέως καταστησαμένου τὰς ἱερουργίας αὐτοῖς. καὶ πεπιστεύκασι τοὺς θεοὺς

ἐν ἐκείνῃ μάλιστα τῇ ἡμέρᾳ χρηματίζειν τοῖς εὐ-
χομένοις. ἐν τοιαύτῃ δ' οὖν ἑορτῇ, καὶ ἱερομηνίᾳ,
ὁ τότε πλάσας ἐν Ὀλυμπίᾳ ἐκεῖνος, ὑπὲρ τοῦ ὑ-
περβολιμαίου Πυθαγόρα, ἰδὼν προσιόντα τὸν κα-
τάπτυστον, καὶ ἀλαζόνα, τὸν τῶν ἀλλοτρίων λόγων
ὑποκριτὴν, ἐτύγχανε δὲ καὶ τὸν τρόπον ἀκριβῶς
εἰδὼς αὐτοῦ, καὶ τὴν ἄλλην ἀσέλγειαν, καὶ μιαρίαν
τοῦ βίου, καὶ ἃ ποιεῖν ἐλέγετο, καὶ ἃ ποιῶν κατείληπτο,
ὥρα ἡμῖν ἔφη πρός τινα τῶν ἑταίρων, ἐκτρέπεσθαι
τὸ δυσάντητον τοῦτο θέαμα ὃς φανεὶς, ἔοικε τὴν
ἡδίστην ἡμέραν, ἀποφράδα ἡμῖν ποιήσειν. τοῦτ'
ἀκούσας ὁ σοφιστὴς τὴν ἀποφράδα, ὥσπερ ξένον
καὶ ἀλλότριον τῶν Ἑλλήνων ὄνομα, ἐγέλα εὐθὺς,
καὶ τὸν ἄνδρα τὸν πάλαι ἐκείνου γέλωτος ἠμύνετο·
ὡς γοῦν ᾤετο, καὶ πρὸς ἅπαντας ἔλεγεν, ἀπο-
φράς. τί δὲ τοῦτό ἐστι; καρπός τις, ἢ βοτάνη τις,
ἢ σκεῦος; ἆρα τῶν ἐσθιομένων, ἢ πινομένων τί ἐ-
στιν ἀποφράς; ἐγὼ μὲν οὔτε ἤκουσα πώποτε, οὔ-
τ' ἂν συνείην ποτὲ ὅ, τι καὶ λέγει. ταῦθ' ὁ μὲν,
ᾤετο κατὰ τούτου δεξιὸν εἶναι, καὶ πολὺν ἐπῆγε τῇ
ἀποφράδι τὸν γέλων. ἐλελήθει δὲ κατ' αὐτοῦ τὸ
ὕστατον τεκμήριον ἀπαιδευσίας ἐκφέρων. ἐπὶ τού-
τῳ, τόνδε τὸν λόγον συνέγραψεν, ἐμὲ προσωπέμ-
ψας ὑμῖν, ὡς δείξειε τὸν ἀοίδιμον σοφιστὴν, τὰ κοι-
νὰ τῶν Ἑλλήνων ἀγνοοῦντα, καὶ ὁπόσα κἂν οἱ

ἐπὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκ τῶν ἐργαστηρίων καὶ τῶν καπηλείων εἰδεῖεν.
τοῦτα μὲν ὁ ἔλεγχος. ἐγὼ δὲ, ἤδη γὰρ αὐτὸς πα
ρείληφα τοῦ δράματος τὰ λοιπὰ, δίκαιος ἂν
εἴην, τὰ ἐκ τοῦ διαλογικοῦ τρίποδος ἤδη λέγειν, οἷα
μὲν σοῦ τὰ ἐν τῇ πατρίδι, οἷα δὲ τὰ ἐν τῇ Πα-
λαιστίνῃ, οἷα δὲ τὰ ἐν Αἰγύπτῳ, οἷα δὲ τὰ
ἐν Φοινίκῃ, καὶ Συρίᾳ. εἶτα ἑξῆς, τὰ ἐν Ἑλλάδι, καὶ
Ἰταλίᾳ. καὶ ἐπὶ πᾶσι, τὰ ἐν Ἐφέσῳ νῦν, ἅπερ κε-
φαλαιωδέστατα τῆς ἀπονοίας τῆς σῆς, καὶ κορυφὴ,
καὶ κορωνὶς τοῦ βίου. ἐπεὶ γὰρ κατὰ τὴν παροιμί-
αν Ἰλιεὺς ὢν, τραγῳδοὺς ἐμισθώσω, καιρὸς ἤδη
σοι ἀκούειν τὰ σαυτοῦ κακά. μᾶλλον δὲ, ταῦ-
τα μὲν, μηδέπω. τοῦτο δὲ τὸ ἀποφράδος, πρό-
τερον. εἰπὲ γάρ μοι πρὸς πανδήμου, καὶ Γενετυλ-
λίδος, καὶ Κυβήβης, τί σοι μεμπτὸν, ἢ γελω-
τὸς ἄξιον τοὔνομα εἶναι ἔδοξεν ἡ ἀποφράς. νὴ Δί'
οὐκ ἦν τῶν Ἑλλήνων ἴδιον, ἀλλά ποθεν ἐπεισκω-
μάσαν αὐτοῖς ἀπὸ τῆς πρὸς Κελτοὺς, ἢ Θρᾷκας, ἢ
Σκύθας ἐπιμιξίας. σὺ δὲ, ἅπαντα ᾗ οἶσθα τὰ
τῶν Ἀθηναίων, ἐξεκλείσας εὐθὺς, καὶ ἐξεκή-
ρυξας τοῦ ἑλληνικοῦ. καὶ ὁ γέλως ἦν τοῦτο, ὅτι
βαρβαρίζω, καὶ ξενίζω, καὶ ὑπερβαίνω τοὺς ὅρους
τοὺς ἀττικούς. καὶ μὴν τί ἄλλο οὕτως Ἀθηναίοις
ἐπιχώριον, ὡς τοῦτο τοὔνομα φαῖεν ἄν, οἵ γε
οὐ μᾶλλον τὰ τοιαῦτα εἰδότες. ὥστε θᾶττ

τὸν ἂν Ἐρεχθέα, καὶ τὸν Κέκροπα, ξένους ἀποφήναις, καὶ ἐπήλυδας εἶναι τῶν Ἀθηνῶν, ἢ τὴν ἀποφράδα δείξαις οὐκ οἰκείαν, ἀλλ' αὐτόχθονα τῆς Ἀττικῆς. πολλὰ μὲν γάρ ἐστιν, ἃ καὶ αὐτοὶ κατὰ ταὐτὰ τοῖς πᾶσιν ἀνθρώποις ὀνομάζουσιν. ἀποφράδα δὲ μόνοι ἐκεῖνοι, τὴν μιαράν, καὶ ἀπευκτήν, καὶ ἀπαίσιον, καὶ ἄπρακτον, καὶ σοὶ ὁμοίαν ἡμέραν. ἰδοὺ ἢ μεμάθηκας ἤδη ὁδοῦ πάρεργον, τί βούλεται αὐτοῖς ἡ ἀποφρὰς ἡμέρα. ὅταν μήτε αἱ ἀρχαὶ χρηματίζωσι, μήτε εἰσαγώγιμοι αἱ δίκαι ὦσι, μήτε τὰ ἱερὰ ἱερουργῆται, μήθ' ὅλως τι τῶν αἰσίων τελῆται, αὕτη ἀποφρὰς ἡμέρα. ἐνομίσθη δὲ τοῦτο ἄλλοις ἐπ' ἄλλαις αἰτίαις. ἢ γὰρ ἂν ἡττηθέντες μάχαις μεγάλαις, ἔπειτα ἔταξαν ἐκείνας τὰς ἡμέρας, ἐν αἷς τὰ τοιαῦτα ἐπεπόνθεισαν, ἀπράκτους, καὶ ἀκύρους τῶν ἐννόμων πράξεων εἶναι, ἢ καὶ νὴ Δία, καί τοι ἄκαιρον ἴσως, καὶ ἔξωρόν γε ἤδη, γέροντα ἄνδρα μεταπαιδεύειν, καὶ ἀναδιδάσκειν τὰ τοιαῦτα, μὴ τὰ πρὸ τούτων εἰδότα. πάνυ γοῦν τοῦτ' ἐστὶ τὸ λοιπόν. κἂν ἐκμάθῃς αὐτό, πᾶν ἡμῖν εἰδὼς ἔσῃ. πόθεν γὰρ ὦ οὗτος; τὰ μὲν γὰρ ἄλλα κἂν ἀγνοῇς, συγγνώμη, ὁπόσα ἔξω τοῦ πολλοῦ πάτου, καὶ ἄδηλα τοῖς ἰδιώταις. τὴν ἀποφράδα δέ, οὐδὲ βουληθεὶς ἄν,

ἄλλως

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄλλως εἴποις. ἓν γὰρ τοῦτο μόνον ἁπάντων
τοὔνομα ἔστω φησί τις. ἀλλὰ καὶ τῶν παλαιῶν
ὀνομάτων, τὰ μὲν λεκτέα, τὰ δ' οὐ, ὁπόσα ἂν
ᾖ μὴ συνήθη τοῖς πολλοῖς, ὡς μὴ ταράττοι-
μι τὰς ἀκοάς, ἢ τιτρώσκοιμι τῶν συνόντων
τὰ ὦτα. ἐγὼ δὲ ὦ βέλτιστε, πρὸς μὲν σέ, ἴσως
εἴ τι παρὰ σοῦ εἰπὼν, ἥμαρτον. ἐχρῆν γὰρ ἐ-
γὼ ἢ κατὰ τὰ Παφλαγόνων, ἢ Καππαδοκῶν,
ἢ Βακτρίων πάτρια διαλέγεσθαί σοι, ἕως ἐκ-
μάθῃς τὰ λεγόμενα, καὶ σοὶ ἀκούειν ἡδέα. τοῖς
δ' ἄλλοις Ἕλλησιν, οἶμαι καθ' Ἑλλάδα γλῶτ-
τη συνεῖναι χρή. εἶτα καὶ τῶν Ἀττικῶν κατὰ
χρόνους τινὰς πολλὰ ἐντρεψάντων περὶ αὐτῶν
φωνῆς, τοῦτ' ἐν τοῖς μάλιστα τοὔνομα μετέλε-
γε, οὕτως ἀεὶ, καὶ πρὸς ἁπάντων αὐτῶν λεγό-
μενον. εἶπεν ἂν καὶ τοὺς πρὸ ἡμῶν κεχρημένους
τῷ ὀνόματι, εἰ μὴ καὶ ταύτῃ σε διαταράξειν ἔ-
μελλον, ξένα σοι καὶ ἄγνωστα ποιητῶν, καὶ ῥητό-
ρων, καὶ συγγραφέων ὀνόματα δεικνύων. μᾶλλον
δὲ, οὐδ' ἐγώ σοι τοὺς εἰπόντας ἐρῶ. πάντες γὰρ
ἴσασιν. ἀλλὰ σύ μοι ἕνα τῶν πάλαι δείξας οὐ
κεχρημένον τῷ ὀνόματι, χρυσοῦς φασιν ἐν ὀ-
λυμπίᾳ σταθήτι. καί τοι ὅστις γέρων ὤν, καὶ ἁ-
λιξ, τὰ τοιαῦτα ἀγνοεῖ, δοκεῖ μοι ὅτι καὶ Ἀ-
θῆναι πόλις ἐστὶν ἐν τῇ Ἀττικῇ, καὶ Κόρινθος ἐπὶ

περὶ ἰσθμῷ, καὶ Σπάρτην ἐν τῇ Πελοποννήσῳ, μὴ εἰδέναι. λοιπὸν ἴσως ἐκεῖνό σοι λέγειν, ὡς τὸ μὲν ὄνομα ᾔδεις, τὴν δὲ χρῆσιν αὐτοῦ, ἄκαιρον ᾐτιάσω. φέρε δή, καὶ ὑπὲρ τούτου πρὸς σὲ ἀπολογήσομαι τὰ εἰκότα. σὺ δὲ πρόσεχε τὸν νοῦν, εἰ μὴ πάνυ ὀλίγον σοι μέλει τοῦ μηδὲν εἰδέναι, εἰ οἱ π[illegible]αι πολλὰ τοιαῦτα πρὸ ἡμῶν ἀπέρρι-ψαν [illegible] σοὶ ὁμοίους ἕκαστοι τοὺς τότε. ἦσαν γὰρ καὶ τότε ὡς τὸ εἰκός, βδελυροί τινες τὰ ἤθη, καὶ μιαροί, καὶ κακοήθεις τὸν τρόπον. καὶ ὁ μὲν, κόθορνον ἵνα εἴπῃ, εἰκάζων αὐτοῦ τὸν βίον, ἀμφίβολον ὄντα τοῖς τρισσοῖς ὑποδήμασιν. ὁ δέ, Λυπάλω, ὅτι τὰς ἐκκλησίας θορυβώδης ῥήτωρ ὤν, ἐπετάραττεν. ὁ δέ, Ἑβδόμην, ὅτι ὥσπερ οἱ παῖδες ἐν ταῖς ἑβδόμαις, κἀκεῖνος ἐν ταῖς ἐκκλησίαις ἔπαιζε, καὶ διεγέλα, καὶ παιδιὰν ἐποιεῖτο τὴν σπουδὴν τοῦ δήμου. μὴ δῶς οὖν κἀμοὶ πρὸς Ἀδώνιδος, εἰκάσαι παμπόνηρον ἄνθρωπον, ἁπάσῃ κακίᾳ σύντροφον, ἡμέρᾳ δυσφήμῳ, καὶ ἀπαισίῳ. ἡμεῖς καὶ τοὺς χωλούς, περὶ δεξιῷ ἐκτρεπόμεθα. καὶ μάλιστα εἰ ἕωθεν ἴδοιμεν αὐτούς. κἂν εἴ τις βάκηλον, ἢ εὐνοῦχον ἴδοι, ἢ πίθηκον, εὐθὺς ἐξιὼν τῆς οἰκίας, ἐπὶ πόδα ἀναστρέφει, καὶ ἐπανέρχεται, οὐκ ἀγαθὰς μαντευόμενος τὰς ἐφημέρους ἐκείνας πράξεις ἔσεσθαι αὐτῷ.

τοῦ, ὑπὸ πονηροῦ τοῦ πρώτου, καὶ δυσφήμου
ι.κδονίσματι. ἐν ἀρχῇ δέ, καὶ ἐν θύραις, καὶ
ἐπὶ τῇ πρώτῃ ἐξόδῳ, καὶ ἕωθεν τοῦ ἅπαντος ἔ
τους, εἴ τις ἴδοι κίναιδον, καὶ ἀπόῤῥητα ποιοῦντα,
καὶ πάσχοντα, ἐπίσημον ἀπὸ τούτων, καὶ ἀπεῤῥωγό
τα, καὶ μονονουχὶ τοὔνομα τῶν ἔργων αὐτῶν ὀνομαζό
μενον, ἀπατεῶνα, γόητα, ἐπίορκον, ὄλεθρον, κύ
φωνα, βάραθρον, μὴ φύγῃ, μηδ' εἰκάσῃ τοῦτον
τῇ ἀποφράδι ἡμέρᾳ; ἀλλ' οὐχὶ σὺ τοιοῦτος; οὐκ ἂν
γένοιο, εἰ ἐγὼ τὴν αὔριον οἶδα τὴν σήν,
τε καὶ μέγα φρονεῖν ἐπὶ τούτῳ μοι δοκεῖς, ὅτι μὴ
πολλυταί σοι ἡ δόξα τῶν ἔργων, ἀλλὰ πᾶσι δῆλ
ος εἶ, καὶ πολυβόητος. εἰ δὲ καὶ ὁμόσε χωρήσας, καὶ
ἀγνοῆσαι μὴ τοιοῦτος ὤν, τίσι ταῦτα ἐρεῖς; τοῖς πο
λίταις τοῖς σοῖς; ἐκεῖθεν γὰρ ἄρχεσθαι δίκαιον.
ἀλλ' ἴσασιν ἐκεῖνοι τὰς πρώτας σου τροφάς,
καὶ ὡς παραδοὺς σεαυτὸν τῷ ὀλέθρῳ ἐκείνῳ στρα
τιώτῃ, συμπολιεφθείρου πάντα ὑπηρετῶν, ἄ
χρι δὴ καὶ τοῦ λόγου χάριν, ῥάκος πολυσχιδὲς
ἐργασάμενος, ἀπέωσε. κἀκεῖνα μέμνηνται ὡς
εἰκός, ἃ πρὸς τὸ θέατρον ἐνεανιεύου, τοῖς ὀρχη
σταῖς ὑποκεινόμενος, καὶ συνταγματάρχης ἀξι
ῶν εἶναι. οὐδεὶς γοῦν πρὸ σοῦ ἂν εἰσῆλθεν εἰς τὸ
θέατρον, οὐδ' ἂν ἐμήνυσεν ὅ, τι τοὔνομα τοῦ δρά
ματι. ἀλλὰ σὺ κοσμίως πάνυ, χρυσᾶς ἐμβά



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δας ἔχων, καὶ ἐσθῆτα τυραννικὴν, περιεσπασμέ
νου, εὐμένειαν αἰτήσων παρὰ τοῦ θεάτρου, στεφά
νοις κομίζων, καὶ κρότῳ ἀπιὼν, ἤδη τιμώμενος
πρὸς αὐτῶν, ἀλλὰ νῦν ῥητῶς, καὶ σαφῶς. εἰ δὲ
ὅταν ἢν πύθωνταί ποτε τὰ τοιαῦτα ὑπὲρ σοῦ
ἐκεῖνοι, ὅτε δὴ τὸ ἐκ τῆς τραγῳδίας, δύο μὲν
ἡλίους ὁρᾶν δοκοῦσι, διττὰς δὲ Θήβας. καὶ πρό-
χειρον ἅπασιν εὐθὺς τὸ, ἐκεῖνος, ὁ τότε, καὶ με-
τ' ἐκεῖνα. τοιγάρτοι καὶ αὐτὸς εὖ ποιῶν, οὐκ ἐπι
βαίνεις τὸ παράπαν, οὐδ' ἐπιχωριάζεις αὐτοῖς,
ἀλλὰ φεύγεις ἑκὼν πατρίδα, οὔτε χεῖμα κα
κὴν, οὔτε θέρει ἀργαλέην, ἀλλὰ καλλίστην, καὶ
μεγίστην τῶν ἐν Φοινίκῃ ἁπασῶν. τὸ γὰρ ἐλέγ
χεσθαι, καὶ τοῖς εἰδόσι, καὶ μεμνημένοις τῶν πά
λαι ἐκείνων συνεῖναι, βρόχος ὡς ἀληθῶς ἐστὶ
σοι. καίτοι τί ταῦτα ληρῶ; τίνα γὰρ ἂν αἰδε-
σθείης σύ; τί δ' ἂν αἰσχρὸν ἡγήσαιο τῶν ὑστά-
των; πυνθάνομαι δὲ καὶ κτήματα εἶναί σοι
μεγάλα παρ' αὐτοῖς, τὸ δύστηνον ἐκεῖνο πυργίον,
ὡς τὸν τοῦ Σινωπέως πίθον, τὴν Διὸς αὐλὴν
εἶναι πρὸς αὐτό. τοὺς μὲν δὴ πολίτας, οὐδαμῆ
οὐδαμῶς μεταπείσειας ἂν, μὴ οὐχὶ τῶν ἁπάν-
των βδελυρώτατόν σε ἡγεῖσθαι, ὄνειδος κοινὸν
ἁπάσῃ τῇ πόλει. τάχα δ' ἂν τοὺς ἄλλους τοὺς ἐν
τῇ Συρίᾳ προσλάβοις ὁμοψήφους, εἰ λέγοις

μηδέν

ηδὲν πονηρὸν, μὴ δὲ ἐπαίτιον βεβιῶσθαί σοι. Ἡ-
ρακλῆς. ἡ μὲν Ἀντιόχεια, καὶ πύργον αὐτοῦ εἶδεν,
ὅτε τὸν Ταρσόθεν ἥκοντα ἐκεῖνον νεανίσκον ἀ-
παραγὼν, ἀλλὰ καὶ ἀναλέγειν αὐτὰ, αἰσχρὸν ἴ-
σως ἐμοί. πλὴν, ἀλλὰ ἴσασί γε, καὶ μέμνηνται
οἱ τότε ὑμῖν ἐπιστάντες. καὶ σὲ μὲν, ἐς γόνυ συγ-
καθήμενον ἰδόντες. ἐκεῖνον δὲ, οἶδα ὅτι καὶ πρι-
οῦντα, εἰ μὴ παντάπασιν ἐπιλήσμων τις εἶ. ἀλ-
λ' οἱ ἐν Αἰγύπτῳ ἴσως ἀγνοοῦσί σε, οἱ μετὰ τὴν
ἐν Συρίᾳ θαυμαστοὺς ἄθλους ἐκείνους ὑποδεξά-
μενοι φεύγοντα, ἐφ' οἷς εἶπεν, ὑπὸ τοῦ ἱματιοκα-
πήλων διωκόμενον. περὶ ὧν ἐσθῆτας πολυτελεῖς
πριάμενος, ἐφόδια εἶχες. ἀλλ' οὐκ ἐλάττω
σοι ἡ Ἀλεξάνδρεια σύνοιδεν, οὐδὲ μὰ Δί' ἔχειν
δευτέραν παρὰ Ἀντιοχείας κεκρίσθαι αὐτήν. ἀλ-
λ' ἥ τε ἀκολασία, γυμνοτέρα, καὶ ἡ αἰσχρουργία
σοι ἐκεῖ ἐπιμανεστέρα, καὶ τοὔνομα τοῦ ζύριος,
ἔξον, καὶ ὤθει πᾶσιν, ἀκάλυπτος ἡ κεφαλή. εἷς
μόνος ἂν ἐπίστευσέ σοι δ' ἐξάρνῳ γινομένῳ μη-
δὲν τοιοῦτον ἐργάσασθαι. καὶ βοηθὸς ἂν κατέστη ὅ τε
ἐνταῦθα μισθοδότης ἀνὴρ ἐν τοῖς ἀρίστοις Ῥω-
μαίων. τοὔνομα δὲ αὐτοῦ, δώσεις ἀποσιωπῆσαί
μοι, καὶ ταῦτα, πρὸς πάντας εἰδότας ὃν λέγω.
ἐκεῖνος τοίνυν τὰ μὲν ἄλλα, ὁπόσα ἔτλη ἐν τῇ
συνουσίᾳ τολμηθέντα ὑπὸ σοῦ, τί χρὴ λέγειν,

ἀλλ' ἡνίκα σε κατέλαβε τοῦ μειρακίου τοῦ οἰνοχόου τοῦ Οἰνοπίωνος ἐν γόνασι κείμενον, τί οἴει; ἐπίστευσεν ἄν σοι μὴ εἶναι τοιοῦτον, αὐτὸς τὸ ἔργον ὁρῶν; οὐκ, εἴ γε μὴ παντάπασι τυφλὸς ἦν. ἀλλ' ἐδήλωσε τὴν γνώμην, αὐτίκα ἐξελάσας τῆς οἰκίας, καὶ καθάρσιόν γε ὥς φασι περιενεγκὼν ἐπὶ τῇ σῇ ἐξόδῳ. Ἀχαΐα μὲν γὰρ, καὶ Ἰταλία πᾶσα, ἐμπέπλησται τῶν σῶν ἔργων, καὶ τῆς ἐπ' αὐτοῖς δόξης. καὶ ὄνομά τε τῆς εὐκλείας. ὥστε πρὸς τοὺς θαυμάζοντας, ἔγωγε τὰ ἐν Ἐφέσῳ νῦν πραττόμενα ὑπὸ σοῦ, ἐκεῖνο λέγω, ὅπερ ἀληθέστατον, πῶς οὐκ ἂν ἐθαύμαζον, εἰ τὰ πρῶτά σου ᾔδεισαν. καίτοι καινὸν ἐνταῦθα καὶ τὸ πρὸς τὰς γυναῖκας προσέμαθες. οὐ πάλαι πόθεν ἐστὶ τῷ τοιούτῳ εἰπέ μοι ἀποφράδα ὀνομάζεσθαι; ἀλλὰ τί πρὸς Διός, καὶ φιλῆσαι τῷ στόματι προσέτι ἀξιώσειας ἡμᾶς ἐπ' ἐκείνοις τοῖς ἔργοις; τοῦτο γοῦν τὸ ὑβριστότατον τριῶν. καὶ μάλιστα πρὸς οὓς ἥκιστα ἐχρῆν, καὶ τοὺς ὁμιλητάς, οἷς ἱκανὰ ἦν ἐκεῖνα μόνα τὰ κακὰ τοῦ σοῦ στόματος ἀπολαύειν, τὸ βάρβαρον τῶν ὀνομάτων, τὸ τραχὺ τῆς φωνῆς, τὸ ἄκριτον, τὸ ἄτακτον, τὸ πάντῃ ἄμουσον, καὶ τὰ τοιαῦτα. φιλῆσαι δέ σε τὸν κύριον, μὴ γένοιτο ὦ ἀλεξίκακε. ἀσπίδα μᾶλλον, ἢ ἔχιδναν φιλῆσαι ἄμεινον. δῆγμα ἐκεῖ τὸ κινδύνευμα, καὶ ἄλγημα. καὶ ὁ ἰα-

τρὸς

ζός εἰσκληθεὶς, ἐπήμωνεν. ἀπὸ δὲ τοῦ φι-
λήματος, ὦ τοῦ ἰοῦ ἐκείνου, τίς ἄν, ἢ ἱεροῖς,
ἢ βωμοῖς προσέλθοι; τίς δ' ἂν θεὸς ἐπακού-
σειεν ἐπευχομένου; πόσων περιρραντηρίων,
πόσων ποταμῶν δεῖ; καὶ τοιοῦτος αὐτὸς ὤν, κατε-
γελᾷς τῶν ἄλλων ἐπ' ὀνόμασι, καὶ ῥήμασιν, ἔργα
τοιαῦτα, καὶ τηλικαῦτα ἐργαζόμενος. καί τοι ἔ-
γωγε μὲν ἀποφράδα μὴ εἰδὼς, ἠγνώμην ἂν μᾶλ-
λον, οὐχ ὅπως εἰπὼν ἀρνηθείην ἄν. σὲ δὲ οὐδεὶς
πώποτε ἡμῶν βρωμολογοῦντα λέγοντα, καὶ φο-
πιμαθηλητας, καὶ ῥησιμεξεῖν, καὶ ἀθλιῶ, τοῦ Ἀ-
θηνῶν ἐπιθυμῶ, ὦ αἰθοκρατεῖν, καὶ σφενδικί-
ζειν, καὶ χειροβλημᾶσθαι. κακὸν κακῶς σε ὁ
λόγιος Ἑρμῆς ἐπιτρίψειεν αὐτοῖς λόγοις. ποῦ
γὰρ ταῦτα τῶν βιβλίων εὑρίσκεις; ἐν γωνίᾳ που
τάχα τῶν ἰαλέμων τινὸς ποιητῶν, κατερρωγυ-
πμεία, εὐρῶτος, καὶ ἀραχνίων μεστά, ἢ που ἐκ
τῶν Φιλαινίδος δέλτων, ἃς διὰ χειρὸς ἔχεις.
σοῦ μέντοι, καὶ τοι σοῦ στόματος ἄξια. ἐπεὶ δὲ
τοῦ στόματος ἐμνήσθην, τί φαίης ἄν, εἴ σε ἡ γλῶτ-
τα εἰς δικαστήριον προκαλεσαμένη; θῶμεν γὰρ
οὕτως. ἀδικήματος, ἢ τοῦ μεξιώτατον, ὕβρεως
δίωκοι λέγουσα. ἐγώ σε ὦ ἀχάριστε, πένητα, καὶ
ἄπορον παραλαβοῦσα, ὦ βίου δεόμενον, τὰ
μὲν πρῶτα, ἐν τοῖς θεάτροις εὐδοκιμεῖν ἐποίη-

σα, νῦν μὲν, Νῖνον, νῦν δὲ, Μητίοχον, εἶτα μετὰ μικρὸν Ἀχιλλέα πεισθεῖσα. μετὰ ταῦτα δὲ, παῖδας συλλαβίζειν διδάσκοντα, μακρῷ χρόνῳ ἔβοσκον. ἤδη δὲ καὶ τοὺς ἀλλοτρίους τούτους λόγους ὑποκρινόμενον, σοφιστὴν τῷ δοκεῖν ἐποίησα, καὶ τὴν μηδὲν προσήκουσαν δόξαν περιῆψα. τί τοίνυν τηλικοῦτον ἔχων ἐγκαλεῖν, τοιαῦτά με διατίθης, ὦ ἐπιτάττεις ἐπιτάγματα αἴσχιστα, καὶ ὑπουργίας καταπλύστους; οὐχ ἱκανά μοι τὰ τῆς ἡμέρας ἔργα, ψεύδεσθαι, καὶ ἐπιορκεῖν, καὶ τοὺς τοσούτους ὕθλους, καὶ λήρους διαντλεῖν, μᾶλλον δὲ τὸν βόρβορον τῶν λόγων ἐκείνων ἐμεῖν; ἀλλ' οὐδὲ νυκτὸς τὴν κακοδαίμονα σχολὴν ἄγειν ἐᾷς, ἀλλὰ μόνη σοι πάντα ποιῶ, καὶ παροῦμαι, καὶ μαίνομαι. καὶ ἀντὶ γλώσσης, ὅσα καὶ χειρὶ χρῆσθαι δέγνωκας. καὶ ὥσπερ ἀλλοτρίαν ὑβρίζεις, καὶ ἐπικλύζεις τοσούτοις κακοῖς. λαλεῖν μοι ἔργον ἐστὶ μόνον. τὰ δὲ τοιαῦτα ποιεῖν, ὦ πάσχειν, ἄλλοις μέρεσι προστέτακται. ὡς ὤφελε κἀμέ τις, ὥσπερ τὴν τῆς Φιλομήλας ἐκτεμεῖν. μακαριώτεραι γοῦν μοι αἱ γλῶτται, τῶν τὰ τέκνα κατεδηδοκότων. πρὸς θεῶν, ἢν λέγῃ ταῦτα ἡ γλῶττα, ἰδίαν αὐτῇ φωνὴν λαβοῦσα, καὶ τὸν πώγωνα συνήγορον ἐπικαλεσαμένη, τί ἂν ἀποκρίναιο αὐτῇ; ἐκεῖνα δηλονότι, ἃ καὶ πρὸς τὸν Γλαῦκον ἔ-

ναγχος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ναγχος εἴρηταί σοι, ὅτι πεπραγμένα ἤδη τὰ ἔργῳ αἰτιώμενον, ὡς ἐπὶ τούτῳ ἔνδοξος ἐν βραχεῖ, καὶ γνώριμος ἅπασι γεγένησαι. πόθεν ἄν, οὕτω πολυβόητος ἐπὶ τοῖς λόγοις γενόμενος, ἀπαιτήσειν δὲ ὁπωσοῦν κλεινὸν, καὶ ὀνομαστὸν εἶναι. εἶτα καταριθμήσειν αὐτῇ τὰς πολλάς σου προσηγορίας, ὁπόσας κατὰ ἔθνη προσείληφας. ὃ καὶ θαυμάζω, ὅτι τὴν μὲν ἀποφράδα ἐδυσχέραινας ἀκούσας, ἐπ' ἐκείνοις δὲ τοῖς ὀνόμασιν οὐκ ἠγανάκτεις, ἐν Συρίᾳ μὲν, ῥοδοδάφνη κληθεὶς, ἐφ' ᾧ δὲ, νὴ τὴν Ἀθηνᾶν αἰσχύνομαι λέγειν. ὥστε τό γε ἐπ' ἐμοὶ, ἀσαφὲς ἔτι ἔστω. ἐν Παλαιστίνῃ δὲ, φραγμὸς ἐς τὰς ἀκάνθας τοῦ πώγωνος οἶμαι, ὅτι ἔνυττε μεταξύ. ἔτι γὰρ ἐξύρου αὐτόν. ἐν Αἰγύπτῳ δὲ, συνάγχη. πρόδηλον τοῦτο. μικροῦ γοῦν φασιν ἀποπνιγῆναί σε ναύτῃ τινὶ τῶν ξιρουμένων ἐντυχόντα. ὃς ἐμπεσὼν, ἀπέφαξέ σοι τὸ στόμα. Ἀθηναῖοι μὲν γὰρ βέλτιστοι, αἴνιγμα τωδὲς οὐδὲν, ἀλλὰ γράμματος ἑνὸς προσθήκῃ τιμήσαντές σε, Ἀτίμαρχον ὠνόμαζον. ἔδει γὰρ κἀκεῖνο τι περιττότερον προσεῖναί σοι. ἐν Ἰταλίᾳ δὲ, βαβαὶ ἡρωϊκὸν ἐκεῖνο ἐπίκλησις, ὁ Κύκλωψ, ἐπειδήπερ ποτὲ πρὸς ἀρχαίαν διάθεσιν ἣν ποτ' αὐτὰ τὰ τοῦ Ὁμήρου ῥαψῳδῆσαι καὶ σὺ τὴν αἰσχρουργίαν ἐπεθύμησας. καὶ αὐτὸς μὲν ἔκεισο με-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θύων ἤδη, κισσύβιον ἔχων ἐν τῇ χειρὶ βινητιῶν Πολύφημος, νεανίας δὲ ὑπόμισθος, ὀρθὸν ἔχων τὸν μοχλὸν, εὖ μάλα ἠκονημένον. τῷ δὲ Ὀδυσσεύς τις ἐπῄει, ὡς ἐκκόψων τὸν ὀφθαλμόν.

» Κἀκεῖνος μὲν ἅμαρτε, παραὶ δέ οἱ ἔτραπτ' ἔγχος,
» Αἰχμὴ δ' ἐξελύθη παρὰ νείαρον ἀνθερεῶνα.

Καὶ γὰρ οὐδὲν ἄτοπον ὑπὲρ σοῦ λέγοντα, ψυχρολογεῖν. σὺ δὲ ὁ Κύκλωψ, ἀναπετάσας τὸ στόμα, καὶ ὡς ἔνι πλατύτατον κεχηνὼς ἠνείχου περιφλούμενος ὑπ' αὐτοῦ τὴν γνάθον. μᾶλλον δὲ ὥσπερ ἡ Χάρυβδις, αὐτοῖς ναύταις, καὶ πηδαλίοις, καὶ ἱστίοις, ὅλον ζητῶν καταπιεῖν τὸν συμπότην. καὶ ταῦτα ἑώρων καὶ ἄλλοι παρόντες. εἶτά σοι ἐς τὴν ὑστεραίαν μία ἦν ἀπολογία, ἡ μέθη. καὶ εἰς τὸν ἄκρατον ἐνέφερες. Τοιούτοις δὴ καὶ τοσούτοις ὀνόμασι πλουτῶν, αἰσχύνῃ τὴν ἀποφράδα; πρὸς θεῶν εἰπέ μοι τί πάσχεις, ἐπειδὰν κἀκεῖνα λέγωσιν οἱ πολλοὶ λεσβιάζειν σε, καὶ φοινικίζειν; ἆρα καὶ ταῦτα ὥσπερ τὴν ἀποφράδα ἀγνοεῖς, καὶ οἴει τάχα που ἐπαινεῖσθαι πρὸς αὐτῶν; ἢ ταῦτα μὲν δὴ τὸ σύνηθες οἶσθα, τὴν ἀποφράδα δὲ ὡς ἀγνῶτα μόνην ἀτιμάζεις, καὶ ἀποκλείεις τοῦ καταλόγου τῶν ὀνομάτων; τοιγαροῦν οὐ μεμπτὰς ἡμῖν τίνεις τὰς δίκας, ἀλλὰ μέχρι καὶ τῆς γυναικωνίτιδος περιβόητος εἶ. πρῴην γοῦν ἐπειδή τινα

γάμον

γάμον ἐν Κυζίκῳ μνᾶσθαι ἐτόλμησας, εὖ μάλα
ἐκπεπυσμένη πάντα ἡ βελτίστη ἐκείνη γυνὴ, οὐκ
ἂν προσίεμην ἔφη ἄνδρα, καὶ αὐτὸν ἀνδρὸς δεό-
μενον. εἶτα ἐν τοιούτοις ὄντι σοι, ὀνομάτων μέ-
λει, καὶ γελᾷς, καὶ τῶν ἄλλων καταπτύεις. εἰκό-
τως. οὐ γὰρ ἂν ἅπαντες ὅμοιά σοι λέγειν δύναι-
ντο. πόθεν; τίς οὕτως ἐν λόγοις μεγαλότολ-
μος, ὡς τρισὶ μὲν τοὺς τρεῖς μοι χοῦς, ἀντὶ ξίφους,
τρίαιναν αἰτεῖν. τὸν δὲ Θεόπομπον ἐπὶ τῷ Τρι-
καράνῳ κρίνοντα, φάναι, τριγλώχινι λό-
γῳ καθῃρηκέναι αὐτὸν τὰς προὐχούσας πό-
λεις. καὶ πάλιν, ἐκτριαινῶσαι αὐτὸν τὴν Ἑλ-
λάδα, καὶ εἶναι κέρβερον ἐν τοῖς λόγοις· πρώην
δὲ καὶ λύχνον ἅψας, ἐζήτεις ἀδελφόν τινα
οἶμαι ἀπολωλότα. καὶ ἄλλα μυρία, ὧν οὐδὲ
μεμνῆσθαι ἄξιον, ἢ μόνου ἐκείνου, ὅπερ οἱ ἀκού-
σαντες ἀπομνημονεύουσιν. πλούσιός τις οἶμαι,
καὶ δύο πένητες ἦσαν ἐχθροί. εἶτα μεταξὺ
περὶ τοῦ πλουσίου λέγων, ἀπέκτεινεν ἔφης
θάτερον τῶν πενήτων. γελασάντων δὲ ὡς τὸ εἰ-
κὸς τῶν παρόντων, ἐπανορθούμενος δὴ σὺ,
καὶ ἀνατιθέμενος τὸ δῆμα τὸ ἡμαρτημένον, οὐ μὲν οὖν
ἔφης, ἀλλὰ ἅτερον αὐτῶν ἀπέκτεινεν. ἐῶ τὰ
ἀρχαῖα, τὸ τριῶν μηνοῖν, καὶ τὸ ἀνηνεμία, καὶ τὸ
πέταμαι, καὶ τὸ ἐκχύνειν, καὶ ὅσα ἄλλα καλὰ

τοῖς σοῖς λόγοις ἐπανθεῖ. ἃ μὲν γὰρ ὑπὸ τῆς πενίας ἐλαυνόμενος ποιεῖς, Ἀδράστεια φίλη, οὐκ ἄν τινι ὀνειδίσαιμι. συγγνωστὰ γοῦν, εἴ τις λιμῷ πιεζόμενος, παρακαταθήκας παρ' ἀνδρὸς πολίτου λαβὼν, εἶτα ἐπιώρκησεν, ἢ μὴν μὴ παρειληφέναι. ἢ εἴ τις ἀναισχύντως αἰτεῖ, μᾶλλον δὲ προσαιτεῖ, ἢ λωποδυτεῖ, ἢ τελωνεῖ, οὐ δὴ λέγω ταῦτα. φθόνος γὰρ οὐδεὶς διάπαντος ἀμύνασθαι τὴν ἀπορίαν. ἐκεῖνο δὲ οὐκέτι φορητὸν, πένητά σε ὄντα, ἐς μόνας τὰς τοιαύτας ἡδονὰς ἐκχεῖν τὰ ἐκ τῆς ἀναισχυντίας περιγινόμενα, πλὴν εἴγε τοῦτο ἐπαινέσαι μοι δώσεις πάνυ ἀστείως ὑπὸ σοῦ πεπραγμένον, ὁπότε τοῦ Τισίου τὴν τέχνην οἶσθα, ὡς τὸ Διοσκόρακος ἔργον αὐτὸς ἐποίησας, διαρπάσας τοῦ ἀνοήτου ἐκείνου πρεσβύτου χρυσοῦς τριάκοντα. ὁ δὲ, διὰ τὸν Τισίαν, ἀντὶ τοῦ βιβλίου, πεντήκοντα καὶ ἑπτακοσίας διέλυσε, κατασοφισθείς. πολλὰ ἔτι ἔχων εἰπεῖν, τὰ μὲν ἄλλα ἑκὼν ἀφίημί σοι. ἐκεῖνο δὲ μόνον προσλέγω, πρᾶττε μὲν ταῦτα, ὅπως σοι φίλον, καὶ μὴ παύσαιο τὰ τοιαῦτα ἐς ἑαυτὸν παροινῶν. ἐκεῖνο δὲ μηκέτι. ἄπαγε. οὐ γὰρ ὅσιον ἐπὶ τὴν αὐτὴν ἑστίαν τοὺς ταῦτα διαπαθέντας καλεῖν, ἢ φιλοτησίας προπίνειν, καὶ ὄψων τῶν αὐτῶν ἅπτεσθαι. ἀλλὰ μὴ τὸ

ἐκεῖνο

ἐκεῖνο ἔστω τὸ ἐπὶ τοῖς λόγοις, φιλήματα. καὶ ταῦτα πρὸς θεῶν σὺ πρὸ πολλοῦ ἀποφράδα σοι ἐργαζομένοις τὸ στόμα. κἀπειδὴ ἤπερ ἅπαξ φιλικῆς παραινέσεως ἠρξάμην, κἀκεῖνα εἰ δοκεῖ, ἄφελε, τὸ μύρῳ χρίεσθαι τὰς πολιάς, καὶ τὸ πιττοῦσθαι μόνα ἐκεῖνα. εἰ μὲν γὰρ νόσος τις ἐπείγει, ἅπαν τὸ σῶμα θεραπευτέον. εἰ δὲ μηδὲν νοσεῖς τοιοῦτον, τί σοι βούλεται καθαρὰ, καὶ λεῖα, καὶ ὀλισθηρὰ ἐργάζεσθαι, ἃ μηδὲ ὁρᾶσθαι θέμις. ἐκεῖνό σοι μόνον σοφὸν, αἱ πολιαὶ, καὶ τὸ μηκέτι μελαίνεσθαι, ὡς προκάλυμμα εἶεν τῆς βδελυρίας. φείδου δὴ αὐτῶν πρὸς Διὸς κἀν τούτῳ. καὶ μάλιστα τοῦ πώγωνος αὐτοῦ, μηδὲ μιάνῃς ἔτι, μηδὲ ὑβρίσῃς. εἰ δὲ μὴ, ἐν νυκτί γε, καὶ σὺν σκότῳ. τὸ δὲ μεθ' ἡμέραν, ἄπαγε κομιδῇ ἄγριον, καὶ θηριῶδες. ὁρᾷς; ὡς ἄμεινον ἦν σοι ἀκίνητον τὴν Καμαρίναν ἐᾶν, μηδὲ καταπλᾶν τὰς ἀποφράδας, ἥ σοι ἀποφράδα τὸν βίον ὅλον εἰργάσατο. ἢ ἔτι προσδεῖ τινος, ὡς τό γε ἐμὸν οὐ παρ' ἐλλείψει. οὐδέπω γοῦν οἶσθα ὡς ὅλην τὴν ἄμαξαν ἐπεσπάσω, δέον ὦ παιπάλημα, καὶ κίναιδος, ὑποπτήσσειν εἴ τις ἀνὴρ δασὺς, καὶ τοῦτο δὴ τὸ ἀρχαῖον, μελάμπυγος, δριμὺ μόνον εἰς σὲ ἀποβλέψειεν. ἴσως ἤδη καὶ ταῦτα γελάσῃ, τὸ παιπάλημα, καὶ τὸ κίναιδος, ὥσπερ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τινὰ αἰνίγματα, καὶ γρίφους ἀκούσας. ἄγνωστα γάρ
σοι τῶν σῶν ἔργων τὰ ὀνόματα. ὥστε ὥρα ἤδη
καὶ ταῦτα συκοφαντεῖν, εἰ μὴ τριπλῆ, καὶ τετρα-
πλῆ σοι ἡ ἀποφρὰς ἐκτέτικεν. αἰτιῶ δ' οὖν σεαυ-
τὸν ἐπὶ πᾶσιν. ὡς γὰρ ὁ καλὸς Εὐριπίδης λέγειν
„ εἴωθεν, Ἀχαλίνων στομάτων, καὶ ἀφροσύνης, καὶ
„ ἀνομίας, τὸ τέλος δυστυχία γίνεται.

## ΠΕΡΙ ΤΟΥ ΟΙΚΟΥ.

Εἶτα Ἀλέξανδρος μὲν ἐπεθύμησεν ἐν τῷ
Κύδνῳ λούσασθαι, καλόν τε καὶ διαυγῆ τὸν
τὸν ποταμὸν ἰδών, καὶ ἀσφαλῶς βαθὺν,
καὶ προσηνῶς ὀξὺν, καὶ νήξασθαι ἡδὺν, καὶ θέρους ὥ-
ρᾳ ψυχρὸν, ὥστε καὶ ἐπιθυμῆσαι τῇ νόσῳ, ἣν
ἐνόσησεν ἀπ' αὐτοῦ, δοκεῖ μοι οὐκ ἂν τοῦ λουτροῦ
ἀποσχέσθαι, οἶκον δέ τις ἰδὼν μεγέθει μέγιστον, καὶ
κάλλει κάλλιστον, καὶ φωτὶ φαιδρότατον, καὶ χρυ-
σῷ στιλπνότατον, καὶ γραφαῖς ἀνθηρότατον, οὐκ
ἂν ἐπιθυμήσειε λόγους ἐν αὐτῷ διαθέσθαι, εἰ τύ-
χοι περὶ τούτους διατρίβων, καὶ ἐνευδοκιμῆσαι, καὶ
ἐλλαμπρύνασθαι, καὶ βοῆς ἐμπλῆσαι, καὶ ὡς ἔνι
μάλιστα καὶ αὐτὸς μέρος τοῦ κάλλους αὐτοῦ γενέσθαι,
ἀλλὰ περισκοπήσας ἀκριβῶς, καὶ θαυμάσας
μόνον, ἄπεισι, κωφὸν αὐτὸν, καὶ ἄλογον κα-
ταλιπὼν, μήτε προσειπὼν, μήτε προσομι-
λήσας, ὥσπερ τις ἄναυδος, ἢ φθόνῳ σιωπᾶν ἐ-

γνω

γνωκώς; Ἡράκλεις, οὐ φιλοκάλου τινός, οὐδὲ περὶ τὰ εὐμορφότατα ἐρωτικοῦ τὸ ἔργον, ἀγροικία δὲ πολλὴ, καὶ ἀπειροκαλία, καὶ προσέτι ἀμουσία, τῶν ἡδίστων αὐτὸν ἀπαξιοῦν, καὶ τῶν καλλίστων ἀποξενοῦν, καὶ μὴ συνιέναι ὡς οὐχ ὁ αὐτὸς περὶ τὰ θεάματα νόμος ἰδιώταις τε, καὶ πεπαιδευμένοις ἀνδράσιν, ἀλλὰ τοῖς μὲν, ἀπόχρη τὸ κοινὸν τοῦτο ἰδεῖν μόνον, καὶ περιβλέψαι, καὶ τὼ ὀφθαλμὼ περιενεγκεῖν, καὶ πρὸς τὴν ὀροφὴν ἀνακύψαι, καὶ τὴν χεῖρα ἐπισεῖσαι, καὶ καθ' ἡσυχίαν ἡσθῆναι, δέει τοῦ μὴ ἂν δυνηθῆναι ἄξιόν τι τῶν βλεπομένων εἰπεῖν. ὅστις δὲ μετὰ παιδείας ὁρᾷ τὰ καλὰ, οὐκ ἂν οἶμαι ἀγαπήσειεν, ὄψει μόνῃ καρπωσάμενος τὸ τερπνὸν, οὐδ' ἂν ὑπομεῖναι ἄφωνος θεατὴς τοῦ κάλλους γενέσθαι. πειράσεται δὲ ὡς οἷόν τε, καὶ ἐνδιατρίψαι, καὶ λόγῳ ἀμείψασθαι τὴν θέαν. ἡ δὲ ἀμοιβὴ, οὐκ ἔπαινος τοῦ οἴκου μόνον. τοῦτο μὲν γὰρ ἴσως ἐκείνῳ τῷ νησιώτῃ μειρακίῳ ἔπρεπε, τὴν Μενέλεω οἰκίαν ὑπερεκπεπλῆχθαι, καὶ πρὸς τὰ ἐν οὐρανῷ καλὰ, τὸν ἐλέφαντα, καὶ τὸν χρυσὸν αὐτοῦ ἀπεικάζειν, ἅτε μηδὲν ἐν γῇ καλόν τι ἄλλο ἑωρακότι. ἀλλὰ καὶ τὸ εἰπεῖν ἐν αὐτῷ, καὶ τοὺς βελτίστους συγκαλέσαντα λόγων ἐπίδειξιν ποιήσασθαι, μέρος τοῦ ἐπαίνου καὶ τοῦτο γένοιτ' ἂν, καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ πρᾶγμα ὑπερήδιστον οἶμαι, οἶκων ὁ κάλλιστος εἰς ὑποδοχὴν λόγου ἀναπεπταμένος, καὶ ἐπαίνου, καὶ εὐφημίας μεστὸς ὤν, ἠρέμα καὶ αὐτὸς ὥσπερ τὰ ἄντρα συνεπηχῶν, καὶ τοῖς λεγομένοις παρακολουθῶν, καὶ παρατείνων τὰ τελευταῖα τῆς φωνῆς, καὶ τοῖς ὑστάτοις τῶν λόγων ἐμβραδύνων. μᾶλλον δὲ ὡς ἄν τις εὐμαθὴς ἀκροατὴς διαμνημονεύων τὰ εἰρημένα, καὶ τὸν λέγοντα ἐπαινῶν, καὶ ἀντίδοσιν οὐκ ἄμουσον ποιούμενος πρὸς αὐτά, οἷόν τι πάσχουσι πρὸς τὰ αὐλήματα τῶν ποιμένων αἱ σκοπιαὶ ἐπαυλοῦσαι, τῆς φωνῆς ἐπανιούσης κατὰ τὸ ἀντίτυπον, καὶ πρὸς αὐτὴν ἀναστρεφούσης. οἱ δὲ ἰδιῶται, νομίζουσι παρθένον τινὰ εἶναι τὴν ἀμειβομένην τοὺς ᾄδοντας, ἢ βοῶντας ἐν μέσοις που τοῖς κρημνοῖς κατοικοῦσαν, καὶ λαλοῦσαν ἐκ τῶν πετρῶν ἔνδοθεν. ἐμοὶ γοῦν δοκεῖ καὶ συνεξαίρεσθαι οἴκου πολυτελείᾳ ἡ τοῦ λέγοντος γνώμη, καὶ πρὸς τοὺς λόγους ἐπεγείρεσθαι, καθάπερ τι καὶ ὑποβαλλούσης τῆς θέας. σχεδὸν γὰρ εἰσρεῖ τι διὰ τῶν ὀφθαλμῶν ἐπὶ τὴν ψυχὴν καλόν. εἶτα πρὸς αὐτὸ κοσμήσαν ἐκπέμπει τοὺς λόγους. ἢ τῷ μὲν Ἀχιλλεῖ πιστεύομεν τὴν ὄψιν τῶν ὅπλων ἐπιτεῖναι κατὰ τῶν Φρυγῶν τὴν ὁρμήν, καὶ ἐπειδὴ ἐνέδυ αὐτά πειρώμενος, ἐπαρθῆναι, καὶ πτερωθῆναι πρὸς τὴν

τοῦ

τοῦ πολέμου ἐπιθυμίαν, λόγου δὲ οὐδὲν μὴ ἐπιτείνεσθαι πρὸς κάλλη χωρίων; καίτοι Σωκράτει μὲν ἀπέχρησε πλάτανος εὐφυὴς, καὶ πόα εὐθαλὴς, καὶ πηγὴ διαυγὴς, μικρὸν ἀπὸ τοῦ Ἰλισσοῦ. κἀνταῦθα καθεζόμενος, Φαίδρου τε τοῦ μυρρινουσίου κατειρωνεύετο, καὶ τὸν Λυσίου τοῦ Κεφάλου λόγον διήλεγχε, καὶ τὰς Μούσας ἐκάλει, καὶ ἐπίστευεν ἥξειν αὐτὰς εἰς τὴν ἐρημίαν, συμπαραληψομένας τῶν περὶ τοῦ ἔρωτος λόγων. καὶ οὐκ ᾐσχύνετο γέρων ἄνθρωπος, παρὰ καλῶν παρθένους, συνεσομένας τὰ παιδεραστικά, εἰς δὲ οὕτω καλὸν χωρίον, οὐκ ἂν οἰώμεθα καὶ ἀκλήτους αὐτὰς ἐλθεῖν; καὶ μὴν οὐ κατά γε σκιὰν μόνην, οὐδὲ κατὰ πλατάνου κάλλος ἡ ὑποδοχή. οὐδ' ἂν τὴν περὶ τὸν Ἰλισσὸν καταλιπὼν, τὴν βασιλέως λέσχης τῆς χρυσῆν. ἐκείνης μὲν γὰρ, ἐν τῇ πολυτελείᾳ μόνῃ τὸ θαῦμα. τέχνη δὲ, ἢ κάλλος, ἢ τέρψις, ἢ τὸ σύμμετρον, ἢ τὸ εὔρυθμον, οὐ συνείργαστο, οὐδὲ κατεμέμικτο τῷ χρυσῷ, ἀλλ' ἦν βαρβαρικὸν τὸ θέαμα, πλοῦτος μόνον, καὶ φθόνος τῶν ἰδόντων, καὶ εὐδαιμονισμὸς τῶν ἐχόντων. ἔπαινος δὲ, οὐδαμοῦ προσῆν. οὐδὲ γὰρ ἔμελλε τοῖς Ἀρσακίδαις τῶν καλῶν, οὐδὲ πρὸς τὸ τερπνὸν ἐποιοῦντο τὰς ἐπιδείξεις, οὐδὲ ἐφρόντιζον, εἰ ἐπαινέ-

σονται οἱ θεαταί, ἀλλ' ὅπως ἐκπλαγήσονται. οὐ φιλόκαλοι γάρ, ἀλλὰ φιλόπλουτοί εἰσιν οἱ βάρβαροι. τουτουὶ δὲ τοῦ οἴκου τὸ κάλλος, οὐ κατὰ βαρβαρικούς τινας ὀφθαλμούς, οὐδὲ κατὰ περσικὴν ἀλαζονίαν, ἢ βασιλικὴν μεγαλαυχίαν, οὐδὲ πένητος μόνον, ἀλλὰ εὐφυοῦς θεατοῦ δεόμενον. καὶ ὅτῳ μὴ ἐν τῇ ὄψει ἡ κρίσις, ἀλλά τις καὶ λογισμὸς ἐπακολουθεῖ τοῖς λεγομένοις. τὸ γὰρ ἐπὶ τὰς ἡμέρας πρὸς τὸ κάλλιστον ἀποβλέπειν, κάλλιστον γὰρ αὐτῆς καὶ ποθεινότατον ἡ ἀρχή. καὶ τὸν ἥλιον ὑπερκύψαντα εὐθὺς ὑποδέχεσθαι, καὶ τοῦ φωτὸς ἐμπίπλασθαι ἐς κόρον, ἀναπεπταμένων τῶν θυρῶν. καθ' ὃ καὶ τὰ ἱερὰ βλέποντα ἐποίουν οἱ παλαιοί, καὶ τὸ τοῦ μήκους πρὸς τὸ πλάτος, καὶ ἀμφοῖν πρὸς τὸ ὕψος εὔρυθμον, καὶ τῶν φωταγωγῶν τὸ ἐλεύθερον, καὶ πρὸς ὥραν ἑκάστην εὖ ἔχον, πῶς οὐχ ἡδέα ταῦτα πάντα, καὶ ἐπαίνων ἄξια; ἔτι δὲ θαυμάσειεν ἄν τις καὶ τῆς ὀροφῆς ἐν τῷ εὐμόρφῳ τὸ ἀπέριττον, καὶ τῷ εὐκόσμῳ τὸ ἀνεπίληπτον, καὶ τὸ τοῦ χρυσοῦ ἐς τὸ εὐπρεπὲς σύμμετρον, ἀλλὰ μὴ περὶ τὰς χρείας ἐπίφθονον, ἀλλ' ὁπόσον ἂν καὶ γυναικὶ σώφρονι καὶ καλῇ, ἀρκέσῃ ἐπισημότερον ἐργάσασθαι τὸ κάλλος, ἢ περὶ τῇ δέρῃ λεπτός τις ὅρμος, ἢ περὶ τῷ δακτύλῳ σφενδόνη εὔφορος,

ρος, ἢ ἐν τοῖν ὤτοιν ἐλλόβια, ἢ πόρπη τις, ἢ ταινία τὸ ἄφετον τῆς κόμης συνδέουσα, τοσοῦτον τῇ εὐμορφίᾳ προσθήσουσα, ὅσον τῇ ἐσθῆτι ἡ πορφύρα. αἱ δέ γε ἑταῖραι, καὶ μάλιστα αἱ ἀμορφότεραι αὐτῶν, καὶ τὴν ἐσθῆτα ὅλην πορφυρᾶν, καὶ τὴν δειρὴν χρυσῆν ποιοῦνται, τῷ πολυτελεῖ θηρώμεναι τὸ ἐπαγωγόν, καὶ τὸ ἐνδέον τῷ καλῷ, προσθέσει τοῦ ἔξωθεν τερπνοῦ παραμυθούμεναι. ἡγοῦνται γὰρ καὶ τὴν ὠλένην αὐτῶν στιλπνοτέραν φαίνεσθαι, συναπολάμπουσαν τῷ χρυσῷ, καὶ τοῦ ποδὸς τὸ μὴ εὐπερίγραφον, λήσειν ὑπὸ χρυσῷ σανδάλῳ, καὶ τὸ πρόσωπον αὐτὸ ἐρασμιώτερον γενήσεσθαι, τῷ φαεινοτάτῳ συνορώμενον. ἀλλ' ἐκεῖναι μὲν οὕτως. ἡ δέ γε σώφρων γυνή, χρυσῷ μὲν τὰ ἀρκοῦντα, καὶ μόνον τὰ ἀναγκαῖα προσχρῆται. τὸ δ' αὑτῆς κάλλος, οὐκ ἂν αἰσχύνοιτο οἶμαι καὶ γυμνὸν δεικνύουσα. ἡ ῥίνη ἢ τοῦδε τοῦ οἴκου ὀροφή, μᾶλλον δὲ κεφαλή, εὐπρόσωπος μὲν καὶ καθ' ἑαυτήν, τῷ χρυσῷ δὲ ἐς τοσοῦτον κεκόσμηται, ἐς ὅσον καὶ οὐρανὸς ἐν νυκτὶ ὑπὸ τῶν ἀστέρων, ἐκ διαστήματος περιλαμπόμενος, καὶ ἐκ διαλείμματος ἀνθῶν τῷ πυρί. εἰ δέ γε πῦρ ἦν τὸ πᾶν, οὐ καλὸς ἄν, ἀλλὰ φοβερὸς ἡμῖν ἔδοξεν. ἴδοι δ' ἄν τις οὐδ' ἀργὸν ἐνταῦθα τὸν χρυσόν, οὐδὲ μό-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νου τοῦ τέρποντος ἕνεκα τῷ λοιπῷ κόσμῳ συνεσπασμένον, ἀλλὰ καὶ αὐγήν τινα ἡδεῖαν ἀπολάμπει, καὶ τὸν οἶκον ὅλον ἐπιχρώννυσι τῷ ἐρυθήματι. ὁπόταν γὰρ τὸ φῶς προσπεσὸν ἐφάψηται, καὶ ἀναμιχθῇ τῷ χρυσῷ, κοινόν τι ἀπαστράπτουσι, καὶ διπλασίαν τοῦ ἐρυθήματος ἐκφαίνουσι τὴν αἰθρίαν. τὰ μὲν δὴ ὑψηλά, καὶ κορυφαῖα τοῦ οἴκου, τοιάδε, Ὁμήρου τινὸς δεόμενα ἐπαινέτου, ἵνα αὐτὸν ἢ ὑψόροφον ὡς τὸν Ἑλένης θάλαμον, ἢ αἰγλήεντα, ὡς τὸν ὄλυμπον εἴποι. τὸν δὲ ἄλλον κόσμον, καὶ τὰ τῶν τοίχων γράμματα, καὶ τῶν χρωμάτων τὰ κάλλη, καὶ τὸ ἐναργὲς ἑκάστου, καὶ τὸ ἀκριβὲς, καὶ τὸ ἀληθὲς, ἔαρος ὄψει, καὶ λειμῶνι δὲ εὐανθεῖ, καλῶς ἂν ἔχοι παραβαλεῖν. πλὴν παρ' ὅσον ἐκεῖνα μὲν ἀπανθεῖ, καὶ μαραίνεται, καὶ ἀλλάττεται, καὶ ἀποβάλλει τὸ κάλλος, τουτὶ δὲ τὸ ἔαρ ἀΐδιον, καὶ ὁ λειμὼν ἀμάραντος, καὶ τὸ ἄνθος ἀθάνατον, ἅτε μόνης τῆς ὄψεως ἐφαπτομένης, καὶ δρεπομένης τὸ ἡδὺ τῶν δρεπομένων. τὰ δὴ τοσαῦτα, καὶ τοιαῦτα, τίς οὐκ ἂν ἡσθείη βλέπων; ἢ τίς οὐκ ἂν προθυμηθείη καὶ παρὰ τὴν δύναμιν ἐν αὐτοῖς λέγειν, εἰδὼς αἴσχιστον ὂν ἀπολειφθῆναι τῶν ὁρωμένων; ἐπαγωγότατον γάρ τι ἡ ὄψις τῶν καλῶν, οὐκ ἐπ' ἀνθρώπων μόνον.

μόνον, ἀλλὰ καὶ ἵππος ἥδιον ἂν οἶμαι δράμοι κατὰ πρανοῦς πεδίου, καὶ μαλακοῦ, προσηνῶς δεχομένου τὴν βάσιν, καὶ ἠρέμα ὑπείκοντος τῷ ποδὶ, καὶ μὴ ἀντιτυποῦντος τῇ ὁπλῇ. ἅπαντι γοῦν τότε χρῆται τῷ δρόμῳ. καὶ ὅλον ἐπιδοὺς ἑαυτὸν τῷ τάχει, ἁμιλλᾶται καὶ πρὸς τὸ τοῦ πεδίου κάλλος. ὁ δὲ ταὼς, ἦρος ἀρχομένου, πρὸς λειμῶνά τινα ἐλθὼν, ὁπότε καὶ τὰ ἄνθη πρόεισιν οὐκ ἀνθεινότερα μόνον, ἀλλὰ καὶ ὡς ἂν εἴποι τις ἀνθηρότερα, καὶ τὰς βαφὰς καθαρώτερα, τότε καὶ οὗτος ἐκπετάσας τὰ πτερὰ, καὶ ἀναδείξας τῷ ἡλίῳ, καὶ τὴν οὐρὰν ἐπάρας, καὶ πάντοθεν αὑτῷ περιστήσας, ἐπιδείκνυται τὰ ἄνθη τὰ αὑτοῦ, καὶ τὸ ἔαρ τῶν πτερῶν, ὥσπερ αὐτὸν προκαλοῦντος τοῦ λειμῶνος ἐς τὴν ἅμιλλαν. ἐπιστρέφει γοῦν ἑαυτὸν, καὶ περιάγει, καὶ ἐκπομπεύει τῷ κάλλει. ὅτε δὴ καὶ θαυμασιώτερος φαίνεται πρὸς τὴν αὐγὴν, ἀλλαττομένων αὐτῷ τῶν χρωμάτων, καὶ μεταβαινόντων ἠρέμα, καὶ πρὸς ἕτερον εὐμορφίας εἶδος τρεπομένων, πάσχει δὲ αὐτὸ μάλιστα ἐπὶ τῶν κύκλων, οὓς ἐπ' ἄκροις ἔχει τοῖς πτεροῖς, ἴριδός τινος ἕκαστον περιθεούσης. ὃ γὰρ πως χαλκὸς ἦν, τοῦτο ἐγκλίναντος ὀλίγον, χρυσὸς ὤφθη. καὶ τὸ ὑπὸ τῷ ἡλίῳ κυαναυγὲς εἰ σκιασθείη, χλο-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐγές ἐστιν. οὕτω μετακοσμεῖται πρὸς τὸ φῶς ἡ πτέρωσις. ὅτι μὲν γὰρ καὶ ἡ θάλαττα ἱκανὴ προσκαλέσασθαι, καὶ εἰς ἐπιθυμίαν ἐπισπάσασθαι ἐν γαλήνῃ φανεῖσα, ἴστε, κἂν μὴ εἴπω. ὅτε εἰ καὶ παντάπασιν ἠπειρώτης, καὶ ἀπειρόπλους τις εἴη, πάντως ἂν ἐθελήσειε καὶ αὐτὸς ἐμβῆναι, καὶ περιπλεῦσαι, καὶ πολὺ ἀπὸ τῆς γῆς ἀποσπάσαι, καὶ μάλιστα εἰ βλέποι τὴν μὲν αὔραν, κούφως ἐπουριάζουσαν τῶν ὀθονῶν, τὴν δὲ ναῦν, προσηνῶς τε, καὶ λείως ἐπ᾽ ἄκρων ἠρέμα διολισθαίνουσαν τῶν κυμάτων. καὶ τοίνυν καὶ τοῦδε τοῦ οἴκου τὸ κάλλος ἱκανὸν καὶ παρορμῆσαι εἰς λόγους, καὶ λέγοντα ἐπεγεῖραι, καὶ πάντα τρόπον εὐδοκιμῆσαι παρασκευάσαι. ἐγὼ μὲν δὴ κύριος πείθομαι, καὶ ἤδη πέπεισμαι, καὶ ἐς τὸν οἶκον ἐπὶ λόγοις παρελήλυθα, ὥσπερ ἀπὸ ἴυγγος, ἢ σειρῆνος τῷ κάλλει ἑλκόμενος, ἐλπίδα οὐ μικρὰν ἔχων, εἰ καὶ τέως ἡμῖν ἄμορφοι ἦσαν οἱ λόγοι, καλοὺς αὐτοὺς φανεῖσθαι, καθάπερ ἐσθῆτι καλῇ κεκοσμημένους. ἕτερος δέ τις οὐκ ἀγεννὴς λόγος, ἀλλὰ καὶ πάνυ γενναῖος, ὥς φησι, καὶ μεταξύ μου λέγοντος ὑπέκρουε, καὶ διακόπτειν ἐπειρᾶτο τὴν ῥῆσιν. καὶ ἐπειδὴ πέπαυμαι, οὐκ ἀληθῆ ταῦτα λέγειν φησί με, ἀλλὰ θαυμάζειν, εἰ φάσκοιμι ἐπιτηδειότερον εἶναι πρὸς λόγων ἐπί-

δειξιν

...δειξιν οἴκου κάλλος, γραφῇ, καὶ χρυσῷ κεκοσμη-
μένον. αὐτὸ γάρ που τοὐναντίον ἀποβαίνειν. μᾶλ-
λον δ' εἰ δοκεῖ, αὐτὸς παρελθὼν ὁ λόγος ὑπὲρ
...καθάπερ ἐν δικασταῖς ὑμῖν, εἰπάτω ὅπῃ
...λυσιτελέστερον ἡγεῖται τῷ λέγοντι εὐτέλειαν
...καὶ ἀμορφίαν. ἐμοῦ μὲν ἀκηκόατε ἤδη λέ-
γοντος. ὥστε οὐδὲν δέομαι δὶς περὶ τῶν αὐτῶν
εἰπεῖν. ὁ δέ, παρελθὼν ἤδη λεγέτω, κἀγὼ σι-
ωπήσομαι, καὶ πρὸς ὀλίγον αὐτῷ μεταστήσο-
μαι. ἄνδρες τοίνυν δικασταί φησιν ὁ λόγος, ὁ
μὲν προειπὼν ῥήτωρ, πολλὰ καὶ μεγάλα τόνδε
τὸν οἶκον ἐπῄνεσε, καὶ τῷ ἑαυτοῦ λόγῳ ἐκόσμη-
σεν. ἐγὼ δὲ τοσοῦτου δέω ψόγον αὐτοῦ διεξε-
λεύσεσθαι, ὥστε καὶ τὰ ὑπ' ἐκείνου παραλε-
λειμμένα προσθήσειν μοι δοκῶ. ὅσῳ γὰρ ἂν ὑμῖν
καλλίων φαίνηται, τοσῷδε ὑπεναντίως τῆς τοῦ
λέγοντος χρεία δειχθήσεται. καὶ πρῶτόν γε
ἐπειδὴ γυναικῶν, καὶ κόσμου, καὶ χρυσοῦ ἐκεῖνος
ἐμνημόνευσε, κἀμοὶ ἐπιτρέψατε χρήσασθαι τῷ
παραδείγματι. φημὶ γὰρ οὖν ταῖς γυναιξὶ καλαῖς
οὐχ ὅπως συλλαμβάνειν ἐς τὸ εὐμορφότερον,
ἀλλὰ καὶ ἐναντιοῦσθαι τὸν κόσμον τὸν πολύν,
ὁπόταν τῶν ἐντυγχανόντων ἕκαστος ὑπὸ τοῦ χρυ-
σοῦ, καὶ τῶν λίθων τῶν πολυτελῶν ἐκπλαγείς, ἀν-
τὶ τοῦ ἐπαινεῖν ἢ χρόαν, ἢ βλέμμα, ἢ δειρήν, ἢ

πῆχυν, ἢ δάκτυλον. ὁ δὲ, ταῦτ' ἀφεὶς, ἐς τὴν
ὀροφὴν, ἢ τὸν σμάραγδον, ἢ τὸν ὅρμον, ἢ τὸ ψέλλι-
ον ἀποβλέπει, ὥστε ἄχθοιτ' ἂν εἰκότως πα-
ρορωμένη, διὰ τὸν κόσμον, οὐκ ἀγόντων σχο-
λὴν ἐπαινεῖν αὐτὴν τῶν θεατῶν. ἀλλὰ πάρεργον
αὐτὴν ποιουμένων τὴν θέαν. ὅπερ ἀνάγκη οἶ-
μαι παθεῖν καὶ τὸν ἐν οὕτω καλοῖς ἔργοις λόγους
δεικνύοντα. λανθάνει γὰρ ἐν τῷ μεγέθει τῶν
καλῶν τὰ λεχθὲν, καὶ ἀμαυροῦται, καὶ συναρ-
πάζεται, καθάπερ εἰ λύχνον τις εἰς πυρκα-
ϊὰν μεγάλην φέρων ἐμβάλοι, ἢ μύρμηκα ἐπ' ἐ-
λέφαντος, ἢ καμήλου δεικνύοι. τοῦτο γοῦν φυ-
λακτέον τῷ λέγοντι. καὶ προσέτι γε μὴν καὶ
τὴν φωνὴν αὐτὴν ἐπιταράττει, ἐν οὕτως
εὐφώνῳ καὶ ἠχήεντι οἴκῳ λέγων. ἀντιφθέγγε-
ται γὰρ, καὶ ἀντιφωνεῖ, καὶ ἀντιλέγει. μᾶλλον
δὲ ἐπικαλύπτει τὴν βοὴν, οἷόν τι καὶ σάλπιγξ
δρᾷ τὸν αὐλὸν, εἰ συναυλοῖεν, ἢ τοὺς κελευστὰς
ἡ θάλαττα, ὁπόταν πρὸς κύματος ἦχον ἐ-
πᾴδειν τῇ εἰρεσίᾳ θέλωσιν. ἐπικρατεῖ γὰρ ἡ με-
γαλοφωνία, καὶ κατασιωπᾷ τὸ ἧττον. καὶ μὴν
κἀκεῖνο ὅπερ ἔφη ὁ ἀντίδικος, ὡς ἄρα ἐπεγεί-
ρει ὁ καλὸς οἶκος τὸν λέγοντα, καὶ προθυμότε-
ρον παρασκευάζει, ἐμοὶ δοκεῖν, τὸ ἐναντίον ποιεῖν.
ἐκπλήττει γὰρ, καὶ φοβεῖ, καὶ τὸν λογισμὸν δια-

ταράτ

πάττει, καὶ δειλότερον ἐργάζεται ἐνθυμού-
μενον ὡς ἁπάντων ἐστὶν ἥκιστον ἐν εὐμόρφῳ χρώ-
ματι μὴ ὁμοίους φαίνεσθαι τοὺς λόγους. ἐλέγχων αὐ-
τός γε ὁ φανερώτατος, ὥσπερ ἂν εἴ τις
πανοπλίαν καλὴν ἐνδύς, ἔπειτα φεύγοι πρὸ
τῶν ἄλλων, ἐπισημότερος ὢν δειλὸς ἀπὸ τῶν ὅ-
πλων. τοῦτο δέ μοι δοκεῖ λογισάμενος καὶ ὁ τοῦ Ὁ-
μήρου ῥήτωρ ἐκεῖνος, εὐμορφίας ἐλάχιστον φρον-
τίσαι, μᾶλλον δὲ καὶ παντελῶς αἴσχει φωτὶ ἑ-
αυτὸν ἀπεικάσαι, ἵνα αὐτῶν παραδοξότερον φαί-
νηται τῶν λόγων τὸ κάλλος, ἐκ τοῦ πρὸς τὸ ἀμορ-
φότερον ἐξετάσεως. ἄλλως τε, ἀνάγκη πᾶσαν
τὴν τοῦ λέγοντος αὐτοῦ διάνοιαν ἀπολεῖσθαι
πρὸς τὴν θέαν, καὶ τῆς φροντίδος τοῦ ἀκριβὲς ἐκλύ-
εσθαι ὑπὸ τῆς ὄψεως ἐπικρατούσης, καὶ πρὸς αὐτὴν κα-
…ύσης. καὶ τῷ λόγῳ προσέχειν οὐκ ἐώσης. ὥστε
τὶς μηχανὴ μὴ οὐχὶ πάντως ἔλαττον ἐρεῖν αὐ-
…ι τῆς ψυχῆς διατριβούσης περὶ τὸν τῶν ὁρωμέ-
νων ἔπαινον. ἐῶ γὰρ λέγειν ὅτι καὶ οἱ παρόντες
…ρί, καὶ πρὸς τὴν ἀκρόασιν παρειλημμένοι, ἐ-
πειδὰν εἰς τὸν τοιοῦτον οἶκον παρέλθωσιν, ἀντὶ ἀ-
κροατῶν θεαταὶ καθίστανται. ἢ οὐχ οὕτω Δη-
μόδοκος, ἢ Φήμιος, ἢ Θάμυρις, ἢ Ἀμφίων, ἢ Ὀρ-
φεύς τις λέγων ἐστίν, ὥστε ἀποσπάσαι τὴν διά-
νοιαν αὐτῶν ἀπὸ τῆς θέας. ἀλλ' ἣν ἕκαστος ἐπι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δάμενον ὑπερβῆναι τὸν οὐδὸν, ἀθρόῳ γὰρ κάλλει περιχυθεὶς, λόγων μὲν ἐκείνων, ἢ ἀκροάσεως, ἀλλ' οὐδὲ τὴν ἀρχὴν ἀΐοντι ἔοικεν. ὅλος δὲ πρὸς τοῖς ὁρωμένοις ἐστὶν, εἰ μὴ τύχοι τις παντελῶς τυφλὸς ὢν, ἢ ἐν νυκτὶ ὥσπερ ἡ ἐξ Ἀρείου πάγου βουλὴ ποιοῖτο τὴν ἀκρόασιν. ὅτι γὰρ οὐκ ἀξιόμαχον λόγων ἰσχὺς ὄψει ἀνταγωνίσασθαι, καὶ ὁ Σειρήνων μῦθος παρατεθεὶς, τῷ περὶ τῶν Γοργόνων διδάξειεν ἄν. ἐκεῖναι μὲν γὰρ ἐκήλουν τοὺς παραπλέοντας, μελῳδοῦσαι, καὶ κολακεύουσαι τοῖς ᾄσμασι. καὶ καταπλεύσαντας, ἐπὶ πολὺ κατεῖχον. καὶ ὅλως, τὸ ἔργον αὐτῶν ἐδεῖτό τινος διατριβῆς. καί που τις αὐτὰς καὶ παρέπλευσε, καὶ τοῦ μέλους παρήκουσε. τὸ δὲ τῶν Γοργόνων κάλλος, ἅτε βιαιότατόν τε ὂν, καὶ τοῖς καιριωτάτοις τῆς ψυχῆς ὁμιλοῦν, εὐθὺς ἐξίστη τοὺς ἰδόντας, καὶ ἀφώνους ἐποίει. ὡς δὲ ὁ μῦθος βούλεται, καὶ λέγεται, λίθινοι ἐγίγνοντο ἀπὸ τοῦ θαύματος. ὥστε καὶ ὃν ὑπὲρ τοῦ ταὼ λόγον εἶπε πρὸς ὑμᾶς μικρὸν ἔμπροσθεν, ὑπὲρ ἐμαυτοῦ εἰρῆσθαι νομίζω καὶ γὰρ ἐκείνου ἐν τῇ ὄψει, οὐκ ἐν τῇ φωνῇ τὸ τερπνόν. καὶ εἴ γέ τις παραστησάμενος τὴν ἀηδόνα, ἢ τὸν κύκνον ᾄδειν κελεύοι, μεταξὺ δὲ ᾀδόντων παραδείξειε τὸν ταὼ σιωπῶντα, εὖ οἶδ' ὅτι ἐπ' ἐκεῖνον μεταβήσεται ἡ ψυχὴ, μακρὰ χαί-

ρει

ὸν φάσμασι τοῖς ἐκείνων ἄσμασιν. οὕτως ἀ-
μαχόν τι ἔοικεν εἶναι ἡ δι' ὤτων ἡδονή. καὶ ἐγὼ
γε, εἰ βούλεσθε, μάρτυρα ὑμῖν παραστήσομαι
σοφὸν ἄνδρα, ὃς αὐτίκα μοι μαρτυρήσει ὡς πο-
λὺ ἐπικρατέστερά ἐστι τῶν ἀκουομένων τὰ ὁρώμε-
να. καί μοι σὺ ἤδη ὁ κῆρυξ, προσκάλει αὐτὸν Ἡρό-
δοτον τοῦ Λύξου Ἁλικαρνασσόθεν. κἀπειδὴ καλῶς
ποιῶν ὑπήκουσε, μαρτυρείτω παρελθών. ἀνα-
δέξασθε δὲ αὐτὸν, ἰαστὶ πρὸς ὑμᾶς λέγοντα,
ὥσπερ αὐτῷ ἔθος. ἀληθέα τάδε ὁ λόγος ««
ὑμῖν ἄνδρες δικασταὶ μυθέεται, καὶ οἱ πείθε- ««
σθε ὅσα ἂν λέγῃ τουτέων πέρι, ὅτι ἀκοῆς προ- ««
τιμέων, ὦτα γὰρ τυγχάνει ἐόντα ἀπιστότερα ««
ὀφθαλμῶν. ἀκούετε τοῦ μάρτυρος ἅ φησιν, ὡς ««
τὰ πρωτεῖα τῇ ὄψει ἀποδέδωκεν; εἰκότως·
τὰ μὲν γὰρ ἔπεα, πτερόεντά ἐστι, καὶ οἴχεται ἅ-
μα τῷ προελθεῖν ἀποπτάμενα. ἡ δὲ τῶν ὁρω-
μένων τέρψις, ἀεὶ παροῦσα, καὶ παραμένουσα,
πάντως τὸν θεατὴν ὑπάγεται. πῶς οὖν οὐ
φοβερὸς τῷ λέγοντι ἀνταγωνιστὴς οἶκος οὕ-
τω καλὸς, καὶ περίβλεπτος ὤν. μᾶλλον δὲ τὸ
μέγιστον οὐδέπω φημί. ὑμεῖς γὰρ αὐτοὶ οἱ δικα-
σταὶ, καὶ μεταξὺ λεγόντων ἡμῶν, ἐς τὴν ὀροφὴν
ἀπεβλέπετε, καὶ τοὺς τοίχους ἐθαυμάζετε, καὶ τὰς
γραφὰς ἐξητάζετε, πρὸς ἑκάστην ἀποστρεφό-

μένοι. καὶ μηδὲν αἰσχυνθῆτε. συγγνώμη γάρ, εἴ
τι ἀνθρώπινον πεπόνθατε. ἄλλως τε, καὶ πρὸς
οὕτω καλάς, καὶ ποικίλας τὰς ὑποθέσεις. τὸ
γὰρ τέχνης τὸ ἀκριβές, καὶ τὸ τῆς ἱστορίας μετὰ τοῦ
ἀρχαίου τὸ ὠφέλιμον, ἐπαγωγὸν ὡς ἀληθῶς,
καὶ πεπαιδευμένων θεατῶν δεόμενον. ἵνα μὴ
πάντα ἐκεῖσε ἀποβλέπητε, ἡμᾶς ἀπολιπόν
τες, φέρε ὡς οἷόν τε γράψωμαι αὐτὰ ὑμῖν τῷ
λόγῳ. ἥδιστα γὰρ οἶμαι ἀκούοντες, ἃ καὶ ὁ
ρῶντες θαυμάζετε. καὶ ἴσως ἄν με καὶ δι' αὐτὸ
ἐπαινέσαιτε, καὶ τοῦ ἀντιδίκου προτιμήσαι
τε, ὡς καὶ αὐτὸν ἐπιδείξαντα, καὶ διπλασιά
σαντα ὑμῖν τὴν ἡδονήν. τὸ χαλεπὸν δὲ τοῦ τολ
μήματος ὁρᾶτε, ἄνευ χρωμάτων, καὶ σχημά
των, καὶ τόπου, συστήσασθαι τοιαύτας εἰκόνας.
ψιλὴ γάρ τις ἡ γραφὴ τῶν λόγων. Ἐν δεξιᾷ
μὲν τῷ εἰσιόντι, ἀγγελικῷ μύθῳ, ἀναμέμικται
πάθος αἰθιοπικόν. ὁ Περσεύς, τὸ κῆτος φονεύει,
καὶ τὴν Ἀνδρομέδαν καθαιρεῖ. καὶ μετὰ μικρόν,
γαμήσει, καὶ ἄπεισιν, αὐτὴν ἄγων. πάρεργον δὲ
τὸ ἐπὶ Γοργόνας πλήσιας. ἐν βραχεῖ δέ, πολ
λὰ ὁ τεχνίτης ἐμιμήσατο, αἰδῶ παρθένου, καὶ
φόβον. ἐπισκοπεῖ τε τὴν μάχην ἄνωθεν ἐκ πέ
τρας, καὶ νεανίου τόλμαν ἐρωτικήν, καὶ θηρίου
ὄψιν ἀπρόσμαχον. καὶ τὸ μέν, ἔπεισι περιφερικὸς

ταῖς

ταῖς ἀκάνθαις, καὶ δεδιττόμενον τῷ χάσματι.
καὶ ὁ Περσεὺς δέ, τῇ λαιᾷ μέν, προδείκνυσι τὴν
Γοργόνα. τῇ δεξιᾷ δέ, καθικνεῖται τῷ ξίφει. καὶ
τὸ μέν, ὅσον τοῦ κήτους εἶδε τὴν Μέδουσαν, ἤδη
λίθος ἐστί. τὸ δ' ὅσον ἔμψυχον μένει, τῇ ἅρπῃ
κόπτεται. Ἑξῆς δὲ μετὰ τήνδε τὴν εἰκόνα, ἕ-
τερον γράμμα γέγραπται δικαιότατον, οὗ τὸ ἀρ-
χέτυπον ὁ γραφεὺς παρ' Εὐριπίδου, ἢ Σοφο-
κλέους δοκεῖ μοι λαβεῖν. ἐκεῖνοι γὰρ ὁμοίαν ἔγρα-
ψάτην εἰκόνα, τὼ νεανία τὼ ἑταίρω, Πυλάδης
τε ὁ Φωκεὺς, καὶ Ὀρέστης, δοκοῦντε ἤδη τεθνάναι,
λαθόντε τὰ βασίλεια, καὶ παρελθόντε, φονεύου-
σιν ἄμφω τὸν Αἴγισθον. ἡ δὲ Κλυταιμνήστρα ἤδη
ἀνῄρηται, καὶ ἐπ' εὐνῆς τινος ἡμίγυμνος πρόκειται,
καὶ θεραπεία πᾶσα, ἐκπεπληγμένοι τὸ ἔργον. οἱ
μὲν ὥσπερ βοῶσιν. οἱ δέ τινες, ὅπῃ φύγωσι, περι-
βλέπουσι. σεμνὸν δέ τι ὁ γραφεὺς ἐπενόησε,
τὸ μὲν ἀσεβὲς τοῦ ἐπιχειρήματος δείξας μόνον, καὶ
ὡς ἤδη πεπραγμένον παραδραμὼν, ἐμβραδύ-
νοντας δὲ τοὺς νεανίσκους ἐργασάμενος τῷ τοῦ μοι-
χοῦ φόνῳ. Μετὰ δὲ τοῦτο, θεός ἐστιν εὔμορφος,
καὶ μειράκιον ὡραῖον, ἐρωτική τις παιδιά. ὁ Βράγ-
χος ἐπὶ πέτρας καθήμενος, ἀνέχει λαγὼν, καὶ
προσπαίζει τὸν κύνα. ὁ δὲ, πηδησομένῳ ἔοικεν ἐπ'
αὐτὸν εἰς τὸ ὕψος. καὶ Ἀπόλλων παρεστὼς, μει-

διὰ, περιπτόμενος ἀμφοῖν, καὶ τῷ παιδὶ παίζοντι, καὶ πειρωμένῳ τῷ κυνί. πλὴν δὲ κύριος, ὁ Περσεὺς πάλιν τὰ πρὸ τοῦ κήτους ἐκεῖνα τολμῶν, καὶ ἡ Μέδουσα τεμνομένη τὴν κεφαλὴν, καὶ Ἀθηνᾶ σκέπουσα τὸν Περσέα. ὁ δὲ, τὴν μὲν τόλμαν εἴργασται, τὸ δὲ ἔργον οὐχ ἑώρακέ πω πλὴν τῆς ἀσπίδος, τῆς γοργόνος τὴν εἰκόνα. οἶδε γὰρ τὸ πρόστιμον τῆς ἀληθοῦς ὄψεως. κατὰ δὲ τὸν μέσον τοῖχον, ἄνω τοῦ αὐτίθυρος, Ἀθηνᾶς ναὸς πεποίηται. ἡ θεός, λίθου λευκοῦ. τὸ σχῆμα, οὐ πολεμιστήριον, ἀλλ' οἷον ἂν γένοιτο εἰρήνην ἀγούσης θεοῦ πολεμικῆς. εἶτα μετὰ ταύτην, ἄλλη Ἀθηνᾶ, οὐ λίθος αὕτη γε, ἀλλὰ γραφή. πάλιν Ἥφαιστος αὐτὴν διώκει ἐρῶν. ἡ δὲ, φεύγει. κἀκ τῆς διώξεως, Ἐριχθόνιος γίνεται. Ταύτῃ ἔπεται παλαιά τις ἄλλη γραφή. Ὠρίων φέρει τὸν Κηδαλίωνα, τυφλὸς ὤν. ὁ δὲ αὐτῷ σημαίνει τὴν πρὸς τὸ φῶς ὁδὸν, ἐποχούμενος. καὶ ὁ ἥλιος φανείς, ἰᾶται τὴν πήρωσιν. καὶ ὁ Ἥφαιστος Λημνόθεν ἐπισκοπεῖ τὸ ἔργον. Ὀδυσσεὺς δὲ μετὰ τοῦτο, δῆθεν μεμηνώς, ὅτε συστρατεύειν τοῖς Ἀτρείδαις μὴ θέλων. πάρεισι δὲ οἱ πρέσβεις ἤδη καλοῦντες. καὶ τὰ μὲν τῆς ὑποκρίσεως πιθανὰ πάντα ἡ ἀπήνη, τὸ τῶν ὑπεζευγμένων ἀσύμφωνον, ἄγνοια τῶν δρωμένων. ἐλέγχεται δὲ ὅμως τῷ βρέφει. Παλαμήδης γὰρ

ὁ τοῦ Ναυπλίου, συνεὶς δὲ γινόμενον, ἁρπά-
σαντα τὸν Τηλέμαχον, ἀπειλεῖ φονεύσειν, πρό-
κωπον ἔχων τὸ ξίφος. καὶ πρὸς τὴν τῆς μανίας
ὑπόκρισιν, ὀργὴν καὶ οὗτος αὐθυποκρίνεται. ὁ
δὲ Ὀδυσσεὺς, πρὸς τὸν φόβον τοῦτον σωφρονεῖ, καὶ
πατὴρ γίνεται, καὶ λύει τὴν ὑπόκρισιν. τοι-
αύτη δὲ ἡ Μήδεια γέγραπται, τοῖς ζήλου δια-
καὴς, τὼ παῖδε ὑποβλέπουσα, καί τι δεινὸν
ἐννοοῦσα. ἔχει γοῦν ἤδη τὸ ξίφος. τὼ δ' ἀθλίω,
καθῆστον γελῶντε, μηδὲν τῶν μελλόντων εἰ-
δότε. ἢ ταῦτα, ὁρῶντε τὸ ξίφος ἐν ταῖν χεροῖν.
ταῦτα πάντα ὦ ἄνδρες δικασταὶ, οὐχ ὁρᾶτε
ὅπως ἀπάγει μὲν τὸν ἀκροατὴν, καὶ πρὸς τὴν
θέαν ἀποστρέφει, μόνον δὲ καταλείπει τὸν λέ-
γοντα; καὶ ἔγωγε διεξῆλθον αὐτὰ, οὐχ ἵνα τὴν αὐ
τίδικον ἁλμηρὸν ὑπολαβόντες, καὶ θρασὺν,
εἰ τοῖς οὕτω δυσκόλοις ἑαυτὸν ἑκὼν φέρων ἐπέ
βαλε, καταγνῶτε, καὶ μισήσητε, καὶ ἐπὶ τῶν
λόγων ἐγκαταλίπητε, ἀλλ' ἵνα μᾶλλον αὐ-
τοῖς συναγωνίσησθε, καὶ ὡς οἷόν τε καταμύοντες,
ἀκούητε τῶν λεγομένων, λιπιζόμενοι τοῦ πρά
γματος τὴν δυσχέρειαν. μόλις γὰρ ἂν οὕτω δυ
νηθείη οὐ δικασταῖς, ἀλλὰ συναγωνισταῖς ὑμῖν
χρησάμενος, μὴ παντάπασιν ἀνάξιος τῆς τοῦ
οἴκου πολυτελείας νομισθῆναι. εἰ δὲ ὑπὲρ αὐ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πηλίκου ταῦτα δέομαι, μὴ θαυμάσητε. ἀπὸ γὰρ τοῦ, τὸν οἶκον φιλεῖν, καὶ τὸν ἐν αὐτῷ λέγοντα, ὅστις ἂν ᾖ, βουλοίμην ἂν εὐδοκιμεῖν.

## ΜΑΚΡΟΒΙΟΙ.

Ὄναρ τί τοῦτο λαμπρότατε Κυϊντίλλε κελευσθεὶς, προσφέρω σοι δῶρον τοὺς μακροβίους, πάλαι μὲν τὸ ὄναρ ἰδὼν, καὶ ἱστορήσας τοῖς φίλοις, ὅτε ἐτίθεσο τῷ δευτέρῳ σου παιδὶ τοὔνομα. συμβαλεῖν δὲ οὐκ ἔχων τίνας ὁ θεὸς κελεύει μοι προσφέρειν σοι τοὺς μακροβίους, τότε μὲν ηὐξάμην τοῖς θεοῖς ἐπὶ μήκιστον ὑμᾶς βιῶναι, σέ τε αὐτὸν, καὶ παῖδας τοὺς σοὺς, τοῦτο συμφέρειν νομίζων, καὶ σύμπαντι μὲν τῷ τῶν ἀνθρώπων γένει. πρὸ δὲ τῶν ἁπάντων, αὐτῷ τε ἐμοὶ, καὶ πᾶσι τοῖς ἐμοῖς. καὶ γὰρ κἀμοί τι ἀγαθὸν ἐδόκει προσημαίνειν ὁ θεός. σκεπτόμενος δὲ κατ᾽ ἐμαυτὸν, εἰς σύννοιαν ἦλθον, εἰκὸς εἶναι τοὺς θεοὺς ἀνδρὶ παιδείαν ἔχοντι, ταῦτα προστάσσοντας κελεύειν τι προσφέρειν σοι τῶν ἀπὸ τῆς τέχνης. ταύτην οὖν αἰσίαν τὴν νομίζων τήνγε τῶν σῶν γενεθλίων ἡμέραν, δίδωμί σοι τοὺς ἱστορημένους εἰς μακρὸν γῆρας ἀφικέσθαι ἐν ὑγιαινούσῃ τῇ ψυχῇ, καὶ ὁλοκλήρῳ τῷ σώματι. ἐπεὶ γὰρ ἂν καὶ ὄφελος γένοιτό σοι ἐκ τοῦ συγγράμματος διττόν. τὸ μὲν, εὐ

θυμία

θυμία τις, καὶ ἐλπὶς ἀγαθὴ, καὶ αὐτὸν ἐπὶ μήκιστον δύνασθαι βιῶναι. τοῦτο δὲ, διδασκαλία τις ἐκ παραδειγμάτων, εἰ ἐπιγνοίης ὅτι οἱ μάλιστα ἑαυτῶν τὴν ἐπιμέλειαν ποιησάμενοι κατά τε σῶμα, καὶ κατὰ ψυχὴν, οὗτοι δὴ εἰς μακρότατον γῆρας ἦλθον, σὺν ὑγιείᾳ παντελεῖ. Νέστορα μὲν οὖν τὸν σοφώτατον τῶν Ἀχαιῶν ὑπὲρ τρεῖς παρατεῖναι γενεὰς Ὅμηρος λέγει. ὃν συνίστησιν ἡμῖν ἐγγυμνασμένον ἄριστα καὶ ψυχῇ καὶ σώματι. καὶ Τειρεσίαν δὲ τὸν μάντιν, ἡ τραγῳδία μέχρις ἓξ γενεῶν παρατεῖναι λέγει. πιθανὸν δ᾽ ἂν εἴη ἄνδρα θεοῖς ἀνακείμενον, καὶ καθαρωτέρᾳ διαίτῃ χρώμενον τὸν Τειρεσίαν, ἐπὶ μήκιστον βιῶναι. καὶ γένη δὲ ὅλα μακρόβια ἱστορεῖται διὰ τὴν δίαιταν, ὥσπερ Αἰγυπτίων οἱ καλούμενοι ἱερογραμματεῖς. Ἀσυρίων δὲ, καὶ Ἀράβων, οἱ ἐξηγηταὶ τῶν μύθων. Ἰνδῶν δὲ, οἱ καλούμενοι βραχμᾶνες, ἄνδρες ἀκριβῶς φιλοσοφίᾳ σχολάζοντες. καὶ οἱ καλούμενοι δὲ μάγοι, γένος τοῦτο μαντικὸν, καὶ θεοῖς ἀνακείμενον, παρά τε Πέρσαις, καὶ Πάρθοις, καὶ Βάκτροις, καὶ Χωρασμίοις, καὶ Ἀρείοις, καὶ Σάκαις, καὶ Μήδοις, καὶ παρὰ πολλοῖς ἄλλοις βαρβάροις ἐρρωμένοι τέ εἰσι, καὶ πολυχρόνιοι, διὰ τὸ μαγεύειν διαιτώμενοι καὶ αὐτοὶ ἀκριβέστερον. ἤδη δὲ καὶ ἔθνη ὅλα μακροβιώτατα, ὥσπερ Σῆ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρας μὲν ἱστοροῦσι μέχρι τριακοσίων ζῆν ἐτῶν, οἱ
μὲν, τῷ ἀέρι, οἱ δὲ, τῇ γῇ τὴν αἰτίαν τοῦ μα-
κροῦ γήρως προστιθέντες. οἱ δὲ, καὶ τῇ διαίτῃ.
ὑδροποτεῖν γάρ φασι τὸ ἔθνος τοῦτο σύμπαν. καὶ
ἀθῶτας δὲ μέχρι τριάκοντα καὶ ἑκατὸν ἐτῶν βι-
οῦν ἱστόρηται. καὶ τοὺς Χαλδαίους ὑπὲρ τὰ ἑκατὸν
ἔτη βιοῦν λόγος. τούτους μὲν καὶ κριθίνῳ ἄρτῳ
χρωμένους, ὡς ὀξυδορκίας τοῦτο φάρμακον. οἷς γε
φασὶ διὰ τὴν τοιαύτην δίαιταν, καὶ τὰς ἄλ-
λας αἰσθήσεις ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους ἐῤῥω-
μένας εἶναι. ἀλλὰ ταῦτα μὲν περί τε τῶν μακρο-
βίων τινῶν, καὶ τῶν ἐθνῶν, ἅ τινά φασιν ὡς ἐπὶ πλεῖ-
στον ἐγγίνεσθαι χρόνον. οἱ μὲν, διὰ τὴν γῆν, καὶ τὸν
ἀέρα. οἱ δὲ, διὰ τὴν δίαιταν. οἱ δὲ, καὶ δι' ἄμφω. ἐ-
γὼ δ' ἄν σοι δικαίως τὴν ἐλπίδα ῥαδίως πα-
ράσχοιμι, ἱστορήσας ὅτι καὶ κατὰ πᾶσαν τὴν γῆν,
καὶ κατὰ πάντα ἀέρα, μακρόβιοι γεγόνασιν ἄν-
δρες, οἱ γυμνασίοις τοῖς καθήκουσι, καὶ διαίτῃ τῇ
ἐπιτηδειοτάτῃ πρὸς ὑγίειαν χρώμενοι. διαίρε-
σιν δὲ τοῦ λόγου ποιήσομαι, τὴν πρώτην, κατά γε
τὰ ἐπιτηδεύματα τῶν ἀνδρῶν. καὶ πρῶτόν γέ
σοι τοὺς βασιλικοὺς, καὶ στρατηγικοὺς ἄνδρας ἱστο-
ρήσω, ὧν ἕνα, ὁ εὐσεβεστάτη μεγάλου θειοτά-
του αὐτοκράτορος τύχη εἰς τὴν τελεωτάτην
ἀγαγοῦσα τάξιν, εὐηργέτηκε τὰ μέγιστα τὴν οἰ-

κουμέ

κα[illegible] ἐνίων τὴν ἑαυτοῦ. οὕτω γὰρ ἂν ἀπολαύων καὶ σύ, τῶν μακροβίων ἀνδρῶν πρὸς τὸ ὅμοιον τῆς ἕξεως καὶ τῆς τύχης ἐρρωμενέστερον ἐλπίσειας γῆρας ὑγιεινόν, καὶ μακρόν. καὶ ἅμα ζηλώσας, ἐργάσαιο σεαυτὸν τῇ διαίτῃ μέγιστόν τε ἅμα, καὶ ὑγιεινότατον βίον. Πομπίλιος Νουμᾶς ὁ εὐδαιμονέστατος τῶν Ῥωμαίων βασιλέων, καὶ μάλιστα περὶ τὴν θεραπείαν τῶν θεῶν ἀσχοληθείς, ὑπὲρ ὀγδοήκοντα ἔτη βεβιωκέναι ἱστορεῖται. Σέρβιος δὲ Τούλλιος Ῥωμαίων καὶ οὗτος βασιλεύς, ὑπὲρ τὰ ὀγδοήκοντα ἔτη καὶ αὐτὸς βιώσας ἱστορεῖται. Ταρκύνιος δὲ ὁ τελευταῖος Ῥωμαίων βασιλεύς, φυγαδευθείς, καὶ ἐπὶ Κύμης διατρίβων, ὑπὲρ τὰ ἐνενήκοντα ἔτη λέγεται στερρότατα βιῶναι. οὗτοι μὲν οἱ Ῥωμαίων βασιλεῖς, οἷς συνάψω καὶ τοὺς λοιποὺς βασιλέας, τοὺς εἰς μακρὸν γῆρας ἀφικομένους, καὶ τὰ ἐπιτηδεύματα ἑκάστου. ἐπὶ τέλει δέ σοι καὶ τοὺς λοιποὺς Ῥωμαίων, τοὺς εἰς μήκιστον γῆρας ἀφικομένους προσαναγράψω, προσθεὶς ἅμα καὶ τοὺς κατὰ τὴν λοιπὴν Ἰταλίαν ἐπὶ πλεῖστον βιώσαντας. ἀξιόλογος γὰρ ἔλεγχος ἡ ἱστορία τῶν διαβάλλειν πειρωμένων τὸν ἐνταῦθα ἀέρα, ὥστε καὶ ἡμᾶς χρηστοτέρας ἔχειν τὰς ἐλπίδας, τελείους ἡμῖν τὰς εὐχὰς ἔσεσθαι πρὸς τὸ εἰς μήκιστόν τε,

καὶ λιπὼν τὴν πάσης γῆς, καὶ θαλάττης ἀπότην, γῆρας ἀφικέσθαι, τῇ ἑαυτοῦ οἰκουμένῃ βασιλεύοντα ἤδη, καὶ γέροντα. Ἀργανθώνιος μὲν ὁ Ταρτησίων βασιλεὺς, πεντήκοντα, καὶ ἑκατὸν ἔτη βιῶναι λέγεται, ὡς Ἡρόδοτος ὁ λογοποιὸς, καὶ ὁ μελοποιὸς Ἀνακρέων. ἀλλὰ τοῦτο μὲν, μῦθος τισὶ δοκεῖ. Ἀγαθοκλῆς δὲ ὁ Σικελίας τύραννος, ἐτῶν ἐνενήκοντα πέντε τελευτᾷ, καθάπερ Δημοχάρης, καὶ Τίμαιος ἱστοροῦσιν. Ἱέρων τε ὁ Συρακουσίων τύραννος, δύο καὶ ἐνενήκοντα ἔτη γενόμενος, ἐτελεύτα νοσῶν, βασιλεύσας ἑβδομήκοντα ἔτη, ὥσπερ Δημήτριός τε ὁ καλλισιανὸς, καὶ ἄλλοι λέγουσιν. Ἀντίας δὲ Σκυθῶν βασιλεὺς, μαχόμενος πρὸς Φίλιππον περὶ τὸν Ἴστρον ποταμὸν, ἔπεσεν ὑπὲρ τὰ ἐνενήκοντα ἔτη γεγονώς. Βάρδυλις δὲ ὁ Ἰλλυριῶν βασιλεὺς, ἀφ᾽ ἵππου λέγεται μάχεσθαι ἐν τῷ πρὸς Φίλιππον πολέμῳ, εἰς ἐνενήκοντα τελῶν ἔτη. Τήρης δὲ ὁ Δρυσῶν βασιλεὺς, καθά φησι Θεόπομπος, δύο καὶ ἐνενήκοντα ἐτῶν ἐτελεύτησεν. Ἀντίγονος δὲ ὁ Φιλίππου ὁ μονόφθαλμος, βασιλεύων Μακεδόνων, περὶ Φρυγίαν μαχόμενος Σελεύκῳ, καὶ Λυσιμάχῳ, τραύμασι πολλοῖς περιπεσὼν, ἐτελεύτησεν ἐτῶν ἑνὸς, καὶ ὀγδοήκοντα, ὥσπερ ὁ συ-

στρατευό

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στρατευόμενος αὐτοῦ Ιερώνυμος ἱστορεῖ. καὶ Λυσίμαχος δὲ Μακεδόνων βασιλεύς, ἐν τῇ πρὸς Σέλευκον ἀπώλετο μάχῃ, ἔτος ὀγδοηκοστὸν τελῶν, ὡς ὁ αὐτὸς φησὶν Ιερώνυμος. Αντίγονος δὲ υἱὸς μὲν ἦν Δημητρίου, ἔγγονος δὲ Αντιγόνου τοῦ μονοφθάλμου, οὗτος τέσσαρα, καὶ τεσσαράκοντα Μακεδόνων ἐβασίλευσεν ἔτη. ἐβίωσε δὲ ὀγδοήκοντα, ὡς Μήδιός τε ἱστορεῖ, καὶ ἄλλοι συγγραφεῖς. ὁμοίως δὲ καὶ Αντίπατρος ὁ Ιολάου μέγιστον δυνηθείς, καὶ ἐπιτροπεύσας πολλοὺς Μακεδόνων βασιλέας, ὑπὲρ ὀγδοήκοντα ἔτη οὗτος ζήσας, ἐτελεύτα τὸν βίον. Πτολεμαῖος δὲ ὁ Λάγου. ὁ τῶν καθ' ἑαυτὸν εὐδαιμονέστατος βασιλέων, Αἰγύπτου μὲν ἐβασίλευσε τέσσαρα, καὶ ὀγδοήκοντα βιώσας ἔτη. ζῶν δέ, παρέδωκε τὴν ἀρχὴν πρὸ δυεῖν ἐτοῖν τῆς τελευτῆς τοῦ Πτολεμαίῳ τοῦ υἱῷ, Φιλαδέλφῳ δὲ ἐπίκλησιν, ὅστις διεδέξατο τὴν πατρῴαν βασιλείαν ἀδελφῶν. Φιλαίτερος δέ, πρῶτος μὲν ἐκτήσατο τὴν περὶ Πέργαμον ἀρχήν, καὶ κατέχεν, εὐνοῦχος ὤν. κατέστρεψε δὲ τὸν βίον, ὀγδοήκοντα ἐτῶν γενόμενος. Ατταλος δέ, ὁ ἐπικληθεὶς Φιλάδελφος, τῶν Περγαμηνῶν καὶ οὗτος βασιλεύων, πρὸς ὃν καὶ Σκηπίων ὁ τῶν Ρωμαίων στρατηγὸς ἀφίκετο, δύο καὶ ὀγδοήκοντα ἐτῶν ἐξέ

λιπε τὸν βίον. Μιθριδάτης δὲ ὁ πόντου βασι
λεὺς, ὁ προσαγορευθεὶς Κτίστης, Αντίγονον τὸν
μονόφθαλμον φεύγων, ἐπὶ πόντου ἐτελεύτη
σε, βιώσας ἔτη τέσσαρα, καὶ ὀγδοήκοντα, ὥσπερ Ι
ερώνυμος ἱστορεῖ, καὶ ἄλλοι συγγραφεῖς. Αριαρά
θης δὲ ὁ Καππαδοκῶν βασιλεὺς, δύο μὲν καὶ ὀγδο
ήκοντα ἔζησεν ἔτη, ὡς Ιερώνυμος ἱστορεῖ. ἐδυνήθη
δὲ ἴσως καὶ ἐπὶ πλέον διαγενέσθαι. ἀλλ' ἐν τῇ
πρὸς Περδίκκαν μάχῃ ζωγρηθεὶς, ἀνεσκολο
πίσθη. Κῦρος δὲ ὁ Περσῶν βασιλεὺς, ὁ παλαι
ὸς, ὡς δηλοῦσιν οἱ Περσῶν καὶ Ασσυρίων ὅροι, οἷς
καὶ Ονησίκριτος ὁ τὰ περὶ Αλεξάνδρου συγγρά
ψας, συμφωνεῖν δοκεῖ, ἑκατοντούτης γενόμενος,
ἐζήτει μὲν ἕνα ἕκαστον τῶν φίλων. μαθὼν δὲ τοὺς
πλείστους διεφθαρμένους ὑπὸ Καμβύσου τοῦ υἱέ
ος, καὶ φάσκοντος Καμβύσου κατὰ πρόσταγμα
τὸ ἐκείνου ταῦτα πεποιηκέναι, τὸ μέν τι, πρὸς
τὴν ὠμότητα τοῦ υἱοῦ διαβληθεὶς, τὸ δέ τι, ὡς
παρανομοῦντα αὐτὸν αἰτιασάμενος, ἀθυμή
σας, ἐτελεύτα τὸν βίον. Αρταξέρξης, ὁ Μνή
μων ἐπικληθεὶς, ἐφ' ὃν Κῦρος ὁ ἀδελφὸς ἐστρα
τεύσατο, βασιλεύων ἐν Πέρσαις ἐτελεύτησε
νόσῳ, ἓξ, καὶ ὀγδοήκοντα ἐτῶν γενόμενος. ὡς
δὲ Δείνων ἱστορεῖ, τεσσάρων, καὶ ἐνενήκοντα.
Αρταξέρξης ἕτερος Περσῶν βασιλεὺς, ὅν φησιν
ἐπὶ

ΜΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑπὸ τῶν πατέρων τῶν ἑαυτοῦ Ἰσίδωρος ὁ Χαρακηνὸς συγγραφεὺς βασιλεύειν, ἔτη τρία, καὶ ἐνενήκοντα βιοὺς, ὑπὸ δόλου τοῦ ἀδελφοῦ Γωσίθρου ἐδολοφονήθη. Σιναρθοκλῆς δὲ ὁ Παρθυαίων βασιλεὺς, ἔτος ὀγδοηκοστὸν ἤδη γεγονὼς, ἀπὸ Σακαυράκων σκυθῶν καταχθεὶς, βασιλεύειν ἤρξατο. καὶ ἐβασίλευσεν ἔτη ἑπτά. Τιγράνης δὲ ὁ Ἀρμενίων βασιλεὺς, πρὸς ὃν Λούκουλλος ἐπολέμησε, πέντε, καὶ ὀγδοήκοντα ἐτῶν ἐτελεύτα νόσῳ. Ὑσπασίνης δὲ ὁ Χάρακος, καὶ τῶν κατ' ἐρυθρὰν τόπων βασιλεὺς, πέντε, καὶ ὀγδοήκοντα ἐτῶν νοσήσας, ἐτελεύτησε. Τήραιος δὲ ὁ μετὰ Ὑσπασίνην τρίτος βασιλεύσας, δύο, καὶ ἐνενήκοντα βιοὺς, ἐτελεύτα νόσῳ. Ἀρτάβαζος δὲ ὁ μετὰ Τήραιον ἕβδομος βασιλεύσας Χάρακος, ἕξ, καὶ ὀγδοήκοντα ἐτῶν καταχθεὶς ἀπὸ Πάρθων, ἐβασίλευσε. καὶ Μνασκίρης δὲ βασιλεὺς Παρθυαίων, ἓξ καὶ ἐνενήκοντα ἔζησεν ἔτη. Μασσινισσᾶς δὲ Μαυρουσίων βασιλεὺς, ἐνενήκοντα ἐβίωσεν ἔτη. Ἄσανδρος δὲ ὁ ὑπὸ τοῦ θεοῦ Σεβαστοῦ ἀντὶ ἐθνάρχου, βασιλεὺς ἀναγορευθεὶς Βοσπόρου, περὶ ἔτη ὢν ἐνενήκοντα, ἱππομάχων, καὶ πεζομάχων οὐδενὸς ἥττων ἐφάνη. ὡς δὲ ἑώρα τοὺς ὑπὸ τὴν μάχην Σκριβωνίῳ προστιθεμένους, ἀποσχόμενος σιτίων, ἐτελεύτησε, βιοὺς

ἔτη τρία καὶ ἐνενήκοντα. Γόαισος δὲ, ὥς φησιν Ἰσίδωρος ὁ Χαρακηνὸς, ὁ ἐπὶ ἑαυτοῦ ἡλικίας ὁ Μάνων τῆς ἀρωματοφόρου βασιλεύσας, πεντεκαίδεκα, καὶ ἑκατὸν γεγονὼς ἐτῶν, ἐτελεύτησε νόσῳ. Βασιλέας μὲν τοὺς προειρημένους ἱστορήκασι μακροβίους οἱ πρὸ ἡμῶν. ἐπεὶ δὲ καὶ φιλόσοφοι, καὶ πάντες οἱ περὶ παιδείαν ἔχοντες, ἐπιμελείας πως καὶ οὗτοι ποιούμενοι ἑαυτῶν, εἰς μακρὸν γῆρας ἦλθον, ἀναγράψομεν καὶ τούτων τοὺς ἱστορημένους, καὶ πρώτους τοὺς φιλοσόφους. Δημόκριτος μὲν ὁ ἀβδηρίτης, ἐτῶν γεγονὼς τεσσάρων, καὶ ἑκατὸν, ἀποσχόμενος τροφῆς, ἐτελεύτα. Ξενόφιλος δὲ ὁ μουσικὸς, ὥς φησιν Ἀριστόξενος, προσχὼν τῇ Πυθαγόρου φιλοσοφίᾳ, ὑπὲρ τὰ πέντε, καὶ ἑκατὸν ἔτη Ἀθήνησιν ἐβίωσε. Σόλων δὲ, καὶ Θαλῆς καὶ Πιττακὸς, οἵτινες τῶν κληθέντων ἑπτὰ σοφῶν ἐγένοντο, ἑκατὸν ἕκαστος ἔζησεν ἔτη. Ζήνων δὲ ὁ τῆς στωϊκῆς φιλοσοφίας ἀρχηγὸς, ὀκτὼ, καὶ ἐνενήκοντα. ὅν φασιν εἰσερχόμενον εἰς τὴν ἐκκλησίαν, καὶ προσπταίσαντα, ἀναφθέγξασθαι, τί με βοᾷς; καὶ ὑποστρέψαντα οἴκαδε, καὶ ἀποσχόμενον τροφῆς, τελευτῆσαι τὸν βίον. Κλεάνθης δὲ ὁ Ζήνωνος μαθητὴς, καὶ διάδοχος, ἐννέα, καὶ ἐνενήκοντα οὗτος γεγονὼς ἔτη, φῦμα

ἔσχεν

ἐξελιπὼθη τοι χείλους. καὶ ἀποκαρτερῶν, ἐπελθόντων αὐτῷ παρ' ἑταίρων τινῶν γραμμάτων, προσενεγκάμενος τροφὴν, καὶ πράξας περὶ ὧν ἠξίουν οἱ φίλοι, ἀποσχόμενος αὖθις τροφῆς, ἐξέλιπε τὸν βίον. Ξενοφάνης δὲ ὁ Δεξίνου μὲν υἱὸς, Ἀρχελάου δὲ τοῦ φυσικοῦ μαθητὴς, ἐβίωσεν ἔτη ἓν, καὶ ἐνενήκοντα. Ξενοκράτης δὲ, Πλάτωνος μαθητὴς γενόμενος, τέσσαρα, καὶ ὀγδοήκοντα. Καρνεάδης δὲ ὁ τῆς νεωτέρας ἀκαδημίας ἀρχηγὸς, ἔτη πέντε, καὶ ὀγδοήκοντα. Χρύσιππος, ἓν, καὶ ὀγδοήκοντα. Διογένης δὲ ὁ σελευκεὺς ἀπὸ Τίγριος, στωϊκὸς φιλόσοφος, ὀκτὼ, καὶ ὀγδοήκοντα. Ποσειδώνιος ὁ ἀπαμεὺς τῆς Συρίας, νόμῳ δὲ ῥόδιος, φιλόσοφός τε ἅμα, καὶ ἱστορίας συγγραφεὺς, τέσσαρα, καὶ ὀγδοήκοντα. Κριτόλαος ὁ περιπατητικὸς, ὑπὲρ δύο, καὶ ὀγδοήκοντα. Πλάτων δὲ ὁ ἱερώτατος, ἓν, καὶ ὀγδοήκοντα. Ἀθηνόδωρος, Σάνδωνος, ταρσεὺς, στωϊκὸς, ὃς καὶ διδάσκαλος ἐγένετο Καίσαρος Σεβαστοῦ θεοῦ, ὑφ' οὗ ἡ Ταρσέων πόλις καὶ φόρων ἐκουφίσθη, δύο, καὶ ὀγδοήκοντα ἔτη βιοὺς, ἐτελεύτησεν ἐν τῇ πατρίδι. καὶ τιμὰς ὁ Ταρσέων δῆμος αὐτῷ κατ' ἔτος ἕκαστον ἀπονέμει ὡς ἥρωϊ. Νέστωρ δὲ στωϊκὸς ἀπὸ Ταρσοῦ, διδάσκαλος Καίσαρος Τιβερίου, ἔτη δύο, καὶ ἐνενήκοντα. Ξε

νοφῶν δὲ ὁ Γρύλλου, ὑπὲρ τὰ ἐνενήκοντα ἐβίωσεν ἔτη. οὗτοι μὲν φιλοσόφων οἱ ἔνδοξοι. συγγραφέων δέ, Κτησίβιος μὲν, ἑκατὸν εἰκοσιτεσσάρων ἐτῶν ἐν περιπάτῳ ἐτελεύτησεν, ὡς Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς ἱστορεῖ. Ἱερώνυμος δὲ, ἐν πολέμοις γενόμενος, καὶ πολλοὺς καμάτους ὑπομείνας, καὶ τραύματα, ἔζησεν ἔτη τέσσαρα, καὶ ἑκατὸν, ὡς Ἀγαθαρχίδης ἐν τῇ ἐννάτῃ τῶν περὶ τῆς Ἀσίας ἱστοριῶν λέγει, καὶ θαυμάζει γε τὸν ἄνδρα, ὡς μέχρι τῆς τελευταίας ἡμέρας ἄρτιον ὄντα ἐν ταῖς συνουσίαις, καὶ πᾶσι τοῖς αἰσθητηρίοις μηδενὸς γενόμενον τῶν πρὸς ὑγίειαν ἐλλιπῆ. Ἑλλάνικος ὁ λέσβιος, ὀγδοήκοντα, καὶ πέντε. καὶ Φερεκύδης ὁ σύρος, ὁμοίως ὀγδοήκοντα, καὶ πέντε. Τίμαιος ὁ Ταυρομενείτης, ἕξ, καὶ ἐνενήκοντα. Ἀριστόβουλος δὲ ὁ κασανδρεὺς ὑπὲρ τὰ ἐνενήκοντα ἔτη λέγεται βεβιωκέναι. τὴν ἱστορίαν δέ, τέταρτον, καὶ ὀγδοηκοστὸν ἔτος γεγονώς, ἤρξατο συγγράφειν, ὡς αὐτὸς ἐν ἀρχῇ τῆς πραγματείας λέγει. Πολύβιος δὲ ὁ Λυκόρτα, μεγαλοπολίτης, ἀγρόθεν ἀνελθών, ἀφ' ἵππου κατέπεσε. καὶ ἐκ τούτου νοσήσας ἀπέθανεν ἐτῶν δύο, καὶ ὀγδοήκοντα. Ὑψικράτης δὲ ὁ ἀμισηνὸς συγγραφεύς, διὰ πολλῶν μαθημάτων γενόμενος, ἔτη δύο, καὶ ἐνενήκοντα. Ῥητό

ρων δὲ, Γοργίας, ὅν τινες σοφιστὴν καλοῦσιν, ἔτη ἑκατὸν ὀκτώ. τροφῆς δὲ ἀποσχόμενος, ἐτελεύτησεν. ὅν φασιν ἐρωτηθέντα τὴν αἰτίαν τοῦ μακροῦ γήρως, καὶ ὑγιεινοῦ ἐν πάσαις ταῖς αἰσθήσεσιν εἰπεῖν, διὰ τὸ μηδέποτε συμπεριενεχθῆναι ταῖς ἄλλων εὐωχίαις. Ἰσοκράτης ἐνενήκοντα, καὶ ἓξ ἐτῶν γεγονώς, τὸν πανηγυρικὸν ἔγραφε λόγον. περὶ ἔτη δὲ ἑνὸς ἀποδέοντα ἑκατὸν, γεγονώς, ὡς ᾔσθετο Ἀθηναίους ὑπὸ Φιλίππου ἐν τῇ περὶ Χαιρώνειαν μάχῃ νενικημένους, ποτνιώμενος, τὸν Εὐριπίδειον στίχον προηνέγκατο, εἰς ἑαυτὸν ἀναφέρων.

Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπών. «

καὶ ἐπειπὼν ὡς δουλεύσει ἡ Ἑλλάς, ἐξέλιπε τὸν βίον. Ἀπολλόδωρος δὲ ὁ Περγαμηνὸς ῥήτωρ θεοῦ Καίσαρος Σεβαστοῦ διδάσκαλος γενόμενος, καὶ σὺν Ἀθηνοδώρῳ τῷ Ταρσεῖ φιλοσόφῳ παιδεύσας αὐτὸν, ἔζησε ταὐτὰ τῷ Ἀθηνοδώρῳ, ἔτη ὀγδοήκοντα δύο. Ποτάμων δὲ, οὐκ ἄδοξος ῥήτωρ, ἔτη ἐνενήκοντα. Σοφοκλῆς ὁ τραγῳδοποιός, ῥᾶγα σταφυλῆς καταπιὼν ἀπεπνίγη, πέντε, καὶ ἐνενήκοντα ζήσας ἔτη. οὗτος ὑπὸ Ἰοφῶντος τοῦ υἱέος ἐπὶ τέλει τοῦ βίου παρανοίας κρινόμενος, ἀνέγνω τοῖς δικασταῖς Οἰδίπουν τὸν ἐπὶ Κολωνῷ, ἐπιδεικνύ-

μὲν διὰ τοῦ δράματος, ὅπως τὸν νοῦν ὑγιαίνει, ὡς τοὺς δικαστάς, τὸν μὲν ὑπερθαυμάσαι, καταψηφίσασθαι δὲ τοῦ υἱοῦ αὐτοῦ μανίαν. Κρατῖνος δὲ ὁ τῆς κωμῳδίας ποιητής, ἑπτὰ πρὸς τοῖς ἐνενήκοντα ἔτεσιν ἐβίωσε. καὶ πρὸς τῷ τέλει τοῦ βίου διδάξας τὴν πυτίνην, καὶ νικήσας, μετ' οὐ πολὺ ἐτελεύτα. καὶ Φιλήμων δὲ ὁ κωμικός, ὁμοίως τῷ Κρατίνῳ, ἑπτά, καὶ ἐνενήκοντα ἔτη βιούς, κατέκειτο μὲν ἐπὶ κλίνης ἠρεμῶν. θεασάμενος δὲ ὄνον τὰ παρεσκευασμένα αὐτῷ σῦκα κατεσθίοντα, ὥρμησε μὲν εἰς γέλωτα. καλέσας δὲ τὸν οἰκέτην, καὶ σὺν πολλῷ, καὶ ἀθρόῳ γέλωτι εἰπὼν προσδοῦναι τῷ ὄνῳ ἀκράτου ῥοφεῖν, ἀποπνιγεὶς ὑπὸ τοῦ γέλωτος, ἀπέθανε. καὶ Ἐπίχαρμος δὲ ὁ τῆς κωμῳδίας ποιητής, καὶ αὐτὸς ἐνενήκοντα, καὶ ἑπτὰ ἔτη λέγεται βιῶναι. Ἀνακρέων δὲ ὁ τῶν μελῶν ποιητής, ἔζησεν ἔτη πέντε, καὶ ὀγδοήκοντα. καὶ Στησίχορος δὲ ὁ μελοποιός, ταὐτά. Σιμωνίδης δὲ ὁ Κεῖος, ὑπὲρ τὰ ἐνενήκοντα. Γραμματικῶν δέ, Ἐρατοσθένης μὲν ὁ Ἀγλαοῦ Κυρηναῖος, ὃν οὐ μόνον γραμματικόν, ἀλλὰ καὶ ποιητὴν ἄν τις ὀνομάσειε, καὶ φιλόσοφον, καὶ γεωμέτρην, δύο, καὶ ὀγδοήκοντα οὗτος ἔζησεν ἔτη. καὶ Λυκοῦργος δὲ ὁ νομοθέτης τῶν Λακεδαιμονίων,

πέντε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πέντε, καὶ ὀγδοήκοντα ἔτη ζῆσαι ἱστόρειται. τοσού-
τους ἐδυνήθημεν βασιλέας, καὶ πεπαιδευμένους ἀ-
θροῖσαι. ἐπεὶ δὲ ὑπεσχόμην καὶ Ῥωμαίων τινάς,
καὶ τῶν τὴν Ἰταλίαν οἰκησάντων μακροβίων ἀνα-
γράψαι, τούτους σοι, θεῶν βουλομένων, ἱερώτατε
Κυϊντίλλε, ἐν ἄλλῳ δηλώσομεν λόγῳ.

## ΠΑΤΡΙΔΟΣ ΕΓΚΩΜΙΟΝ.

Ὅτι μὲν οὐδὲν γλύκιον ἧς πατρίδος φθά-
νει προτεθρυλλημένον, ἆρ' οὖν ἥδιον μὲν
οὐδέν, σεμνότερον δέ τι, καὶ θειότερον
ἄλλο; καὶ μὴν ὅσα σεμνά, καὶ θεῖα νομίζουσιν ἄνθρω-
ποι, τούτων πατρὶς αἰτία, καὶ διδάσκαλος, γεν-
νησαμένη, καὶ ἀναθρεψαμένη, καὶ παιδευσαμένη.
πόλεων μὲν οὖν μεγέθη, καὶ λαμπρότητας, καὶ
πολυτελείας κατασκευῶν, θαυμάζουσι πολ-
λοί, πατρίδας δὲ στέργουσι πάντες. καὶ οὐδεὶς
οὐδεὶς ἐξηπατήθη τῶν καὶ πάνυ κεκρατημένων
ὑπὸ τῆς κατὰ τὴν θέαν ἡδονῆς, ὡς ὑπὸ τῆς ὑπερβολῆς
τῶν ἐν ἄλλοις θαυμάτων λήθην ποιήσασθαι τῆς
πατρίδος. ὅστις μὲν οὖν σεμνύνεται πολίτης ὢν εὐ-
δαίμονος πόλεως, ἀγνοεῖν μοι δοκεῖ τίνα χρὴ τι-
μὴν ἀπονέμειν τῇ πατρίδι. καὶ ὁ τοιοῦτος, δῆ-
λός ἐστιν ἀχθόμενος ἄν, εἰ μετριωτέρας ἔλα-
χε τῆς πατρίδος. ἐμοὶ δὲ ἥδιον αὐτὸ τιμᾶν
τὸ τῆς πατρίδος ὄνομα. πόλεις μὲν γὰρ πα-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βαλεῖν πειρωμένῳ, προσήκει μέγεθος ἐξετάζειν, καὶ κάλλος, καὶ τὴν τῶν ὠνίων ἀφθονίαν. ὅπου δ' αἵρεσίς ἐστι πόλεων, οὐδεὶς ἂν ἕλοιτο τὴν λαμπροτέραν, ἐάσας τὴν πατρίδα, ἀλλ' εὐξαίμην μὲν ἂν εἶναι καὶ τὴν πατρίδα ταῖς εὐδαίμοσι παραπλησίαν, ἕλοιτο δ' ἂν τὴν ὁποιανοῦν. τὸ δ' αὐτὸ τοῦτο καὶ οἱ δίκαιοι τῶν παίδων πράττουσι, καὶ οἱ χρηστοὶ τῶν πατέρων. οὔτε γὰρ νέος καλὸς κἀγαθὸς, ἄλλον ἂν προτιμήσαι τοῦ πατρὸς, οὔτε πατὴρ καταμελήσας τοῦ παιδὸς, ἕτερον ἂν στέρξαι νέον. ἀλλὰ τοσοῦτόν γε οἱ πατέρες νικώμενοι, προσνέμουσι τοῖς παισὶν, ὥστε καὶ κάλλιστοι, καὶ μέγιστοι, καὶ τοῖς πᾶσιν ἄριστοι φαίνονται κεκοσμημένοι οἱ παῖδες αὐτοῖς. ὅστις δὲ μὴ τοιοῦτός ἐστι δικαστὴς πρὸς τὸν υἱὸν, οὐ δοκεῖ μοι πατρὸς ὀφθαλμοὺς ἔχειν. πατρίδος τοίνυν τὸ ὄνομα, πρῶτον, καὶ οἰκειότατον πάντων. οὐδὲν γὰρ ὅτι τοῦ πατρὸς οἰκειότερον, εἰ δέ τις ἀπονέμει τῷ πατρὶ τὴν δικαίαν τιμὴν, ὥσπερ καὶ ὁ νόμος, καὶ ἡ φύσις κελεύει, προσηκόντως ἂν τὴν πατρίδα προτιμήσει. καὶ γὰρ ὁ πατὴρ αὐτὸς, τῆς πατρίδος κτῆμα, καὶ ὁ τοῦ πατρὸς πατὴρ, καὶ οἱ ἐκ τούτων οἰκεῖοι πάντες ἀνωτέρω. καὶ μέχρι θεῶν πατρῴων πρόεισιν ἀναβιβαζόμενον τὸ ὄνομα. χαίρουσι καὶ θεοὶ πατρίσι, καὶ πάντα μὲν ὡς

εἰκὸς

εἰκὸς ἐφορῶσι τὰ τῶν ἀνθρώπων, αὐτῶν ἡγούμενοι
κτήματα, πᾶσαν γῆν, καὶ θάλασσαν. ἐφ' ἧς δ' ἕκα-
στος αὐτῶν ἐγένετο, προτιμᾶ τῶν ἄλλων ἁπασῶν
πόλεων. καὶ πόλεις σεμνότεραι θεῶν πατρίδες,
καὶ νῆσοι θειότεραι, παρ' αἷς ὑμνεῖται γένεσις
θεῶν. ἱερὰ γοῦν κεχαρισμένα ταῦτα νομίζεται
τοῖς θεοῖς, ἐπειδὰν εἰς τοὺς οἰκείους ἕκαστος ἀ-
φικόμενος, ἱερουργῇ τόπους. εἰ δὲ θεοῖς τίμι-
ον τὸ τῆς πατρίδος ὄνομα, πῶς οὐκ ἀνθρώποις
πολύ γε μᾶλλον; καὶ γὰρ εἶδε τὸν ἥλιον πρῶτον
ἕκαστος ἀπὸ τῆς πατρίδος, ὡς καὶ τοῦτον τὸν θε-
ὸν, εἰ καὶ κοινός ἐστιν, ἀλλ' οὖν ἑκάστῳ νομίζεσθαι
πατρῷον, διὰ τὴν πρώτην ἀπὸ τοῦ τόπου θέαν.
καὶ τῆς φωνῆς ἐνταῦθα ἤρξατο, ἐπιχώρια πρῶτα
λαλεῖν μανθάνων, καὶ θεοὺς ἐγνώρισεν. εἰ δέ
τις τοιαύτης ἔλαχε πατρίδος, ὡς ἑτέρας
δεηθῆναι πρὸς τὴν τῶν μειζόνων παιδείαν, ἀλ-
λ' οὖν ἐχέτω καὶ τούτων τῶν παιδευμάτων τῇ
πατρίδι τὴν χάριν. οὐ γὰρ ἂν ἐγνώρισεν οὐδὲ
πόλεως ὄνομα, μὴ διὰ τῆς πατρίδος, πόλιν ἐκ-
μαθών. πάντα δὲ οἶμαι παιδεύματα, καὶ μα-
θήματα συλλέγουσιν ἄνθρωποι, χρησιμωτέ-
ρους αὐτοὺς ἀπὸ τούτων ταῖς πατρίσι παρασκευά-
ζοντες. κτῶνται δὲ καὶ χρήματα, φιλοτιμίας
ἕνεκεν τῆς εἰς τὰ κοινὰ τῆς πατρίδος δαπανή-

ματα. καὶ εἰκότως οἶμαι. δεῖ γὰρ οὐκ ἀχαρίστους
εἶναι τοὺς τῶν μεγίστων τυχόντας εὐεργεσιῶν. ἀλ-
λ' εἰ καὶ τοῖς καθ' ἕνα τις ἀπονέμοι χάριν, ὥσ
περ ἐστὶ δίκαιον, ἐπειδὰν εὖ πάθῃ πρός τινος,
πολὺ μᾶλλον προσήκει τὴν πατρίδα τοῖς κα-
θήκουσιν ἀμείβεσθαι. κακώσεως μὲν γὰρ γονέων
εἰσὶ νόμοι παρὰ ταῖς πόλεσι. κοινὴν δὲ προσή-
κει πάντων μητέρα τὴν πατρίδα νομίζειν, καὶ
χαριστήρια τροφῶν ἀποδιδόναι, καὶ τῆς τῶν νό
μων αὐτῶν γνώσεως. ὤφθη δὲ οὐδεὶς οὕτως ἀ-
μνήμων τῆς πατρίδος, ὡς ἐν ἄλλῃ πόλει γενό
μενος, ἀμελεῖν. ἀλλ' οἵ τε κακοπραγοῦντες
ἐν ταῖς ἀποδημίαις, συνεχῶς ἀνακαλοῦσιν ὡς
μέγιστον τῶν ἀγαθῶν ἡ πατρίς, οἵ τε εὐδαιμο-
νοῦντες ἄν, καὶ τὰ ἄλλα εὖ πράττωσι. τοῦτο
γοῦν αὐτοῖς μέγιστον ἐνδεῖν νομίζουσι, τὸ μὴ τὴν
πατρίδα οἰκεῖν, ἀλλὰ ξενιτεύειν. ὄνειδος γὰρ
τὸ τῆς ξενιτείας. καὶ τοὺς κατὰ τὸν τῆς ἀποδημί-
ας χρόνον λαμπροὺς γενομένους, ἢ διὰ χρημά
των κτῆσιν, ἢ διὰ τιμῆς δόξαν, ἢ διὰ παιδεί-
ας μαρτυρίαν, ἢ δι' ἀνδρίας ἔπαινον, ἔστιν ἰ-
δεῖν ἐς τὴν πατρίδα πάντας ἐπειγομένους,
ὡς οὐκ ἂν ἐν ἄλλοις βελτίοσιν ἐπιδειξομένους
τὰ αὐτῶν καλά. καὶ τοσούτῳ γε μᾶλλον ἕκα
στος σπεύδει λαβέσθαι τῆς πατρίδος, ὅσῳ περ
ἂν

ἂν φαίνηται μειζόνων παρ' ἄλλοις ἠξιωμένος. ποθεινὴ μὲν οὖν καὶ νέοις πατρίς. τοῖς δὲ ἤδη γεγηρακόσιν, ὅσῳ πλέον τοῦ φρονεῖν ἢ τοῖς νέοις μέτεστι, τοσούτῳ καὶ πλείων ἐγγίνεται πόθος ὁ τῆς πατρίδος. ἕκαστος γοῦν τῶν γεγηρακότων, ἢ βούλεται, καὶ εὔχεται καταλῦσαι τὸν βίον ἐπὶ τῆς πατρίδος, ἵν' ὅθεν ἤρξατο βιοῦν, ἐνταῦθα πάλιν, καὶ τὸ σῶμα παρακαταθῆται τῇ θρεψαμένῃ γῇ, καὶ τῶν πατρῴων κοινωνήσῃ τάφων. δεινὸν γὰρ ἑκάστῳ δοκεῖ ξενίας ἁλίσκεσθαι, καὶ μετὰ θάνατον ἐν ἀλλοτρίᾳ κειμένῳ γῇ. ὅσην δὲ τὴν εὔνοιαν τῆς πρὸς τὰς πατρίδας μέτεστι τοῖς ὡς ἀληθῶς γνησίοις πολίταις, μάθοι τις ἐκ τῶν αὐτοχθόνων. οἱ μὲν γὰρ ἐπήλυδες, καθάπερ νόθοι, ῥαδίας ποιοῦνται τὰς μεταναστάσεις, τὸ μὲν τῆς πατρίδος ὄνομα μήτε εἰδότες, μήτε στέργοντες. ἡγούμενοι δ' ἁπανταχῆ τῶν ἐπιτηδείων εὐπορήσειν, μέτρον εὐδαιμονίας τὰς τῆς γαστρὸς ἡδονὰς τιθέμενοι. οἷς δὲ καὶ μήτηρ ἡ πατρίς, ἀγαπῶσι τὴν γῆν, ἐφ' ἧς ἐγένοντο, καὶ ἐτράφησαν, κἂν ὀλίγην ἔχωσι, κἂν τραχεῖαν, καὶ λεπτόγεων. κἂν ἀπορῶσι τῆς γῆς ἐπαινέσαι τὴν ἀρετήν, τῶν γε ὑπὲρ τῆς πατρίδος οὐκ ἀπορήσουσιν ἐγκωμίων. ἀλλὰ κἂν ἴδωσιν ἑτέρους σεμνυνομένους, πεδί-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οις ἀνειμένοις, καὶ λειμῶσι φυτοῖς παντοδαποῖς διειλημμένοις, καὶ αὐτοὶ τῶν τῆς πατρίδος ἐγκωμίων οὐκ ἐπιλανθάνονται. τὴν δὲ ἱπποτρόφον ἀποστρέφοντες, καὶ κουροτρόφον ἐπαινοῦσι. καὶ σπεύδει τις ἐς τὴν πατρίδα, κἂν νησιώτης ᾖ, κἂν παρ' ἄλλοις εὐδαιμονεῖν δύνηται, καὶ διδομένην ἀθανασίαν οὐ προσήσεται, προτιμῶν τὸν ἐν τῇ πατρίδι τάφον. καὶ ὁ τῆς πατρίδος αὐτῷ καπνὸς, λαμπρότερος ὀφθήσεται τοῦ παρ' ἄλλοις πυρός. οὕτω δὲ ἄρα τίμιον εἶναι δοκεῖ παρὰ πᾶσιν ἡ πατρὶς, ὥστε καὶ τοὺς πανταχοῦ νομοθέτας ἴδοι τις ἂν ἐπὶ τοῖς μεγίστοις ἀδικήμασιν ὡς χαλεπωτάτην ἐπιβεβληκότας τὴν φυγὴν, τιμωρίαν. καὶ οὐχ οἱ νομοθέται μὲν οὕτως ἔχουσιν, οἱ δὲ πιστευόμενοι τὰς στρατηγίας ἑτέρως, ἀλλ' ἐν ταῖς μάχαις τὸ μέγιστόν ἐστι τῶν παραγγελμάτων τοῖς παρατεταγμένοις, ὡς ὑπὲρ πατρίδος αὐτοῖς ὁ πόλεμος. καὶ οὐδεὶς ὅστις ἂν ἀκούσας τοῦτο, κακὸς εἶναι θέλῃ. ποιεῖ γὰρ καὶ τὸν δειλὸν ἀνδρεῖον, τὸ τῆς πατρίδος ὄνομα.

## ΠΕΡΙ ΤΩΝ ΔΙΨΑΔΩΝ.

Της Λιβύης τὰ νότια, ψάμμος ἐστὶ βαθεῖα, καὶ γῆ διακεκαυμένη, ἔρημος ὡς ἐπὶ πολὺ, ἀκριβῶς ἄκαρπος, πεδινὴ ἅπα-

σα, οὐ

σα, οὐ χλόην, οὐ πόαν, οὐ φυτὸν, οὐχ ὕδωρ ἔχουσα, ἢ εἴ που ἄρα ἐν κοίλοις ὑφεστηκὸς ὑετοῦ ὀλίγου λείψανον, παχὺ καὶ ἰλυῶδες, καὶ δυσῶδες, οὐδὲ πάνυ διψῶντι ἀνθρώπῳ πότιμον. ἀοίκητος γοῦν ἐστι διὰ ταῦτα· ἢ πῶς γὰρ ἂν οἰκοῖτο, ἀνόμβρος οὕτω, καὶ ξηρὰ καὶ ἄφορος οὖσα, καὶ πολλῷ τῷ αὐχμῷ πιεζομένη, καὶ τὸ θάλπος αὐτὸ, καὶ ὁ ἀὴρ, κομιδῇ πυρώδης, καὶ φλογερὸς ὤν; καὶ ἡ ψάμμος ὑποζέουσα, παντελῶς ἄβατον τὴν χώραν τίθησι. Γαράμαντες μόνοι πρόσοικοι ὄντες, εὐσταλὲς, καὶ κοῦφον ἔθνος, ἄνθρωποι σκηνῖται, ἀπὸ θήρας τὰ πολλὰ ζῶντες, ἐνίοτε οὗτοι ἐσβάλλουσι, θηρεύοντες ἀμφὶ τροπὰς τὰς χειμερινὰς, μάλιστα ὕσαντα τὸν θεὸν τηρήσαντες, ὁπότε τὸ πολὺ τοῦ καύματος σβεσθείη, καὶ ἡ ψάμμος νοτισθείη, καὶ ἀμηγέπη βατὰ γένοιτο. ἡ θήρα δέ ἐστιν, ὄνων τε τῶν ἀγρίων, καὶ στρουθῶν τῶν μεγάλων χαμαιπετῶν, καὶ πιθήκων μάλιστα, καὶ ἐλεφάντων ἐνίοτε, ταῦτα γὰρ μόνα διαρκεῖ πρὸς τὸ δίψος, καὶ ἀνέχεται ἐπὶ πολὺ ταλαιπωρούμενα ὑπὸ πολλῷ, καὶ ὀξεῖ τῷ ἡλίῳ. καὶ ὅμως οἱ Γαράμαντες ἐπειδὰν τὰ σιτία καταναλώσωσιν, ἅπερ ἔχοντες ἀφίκοντο, ἀπελαύνουσιν εὐθὺς ὀπίσω, δεδιότες μὴ σφίσιν ἡ ψάμμος ἀναφλεγεῖσα, λύσσα

τος, ἢ ἄπορος γένηται. εἶτα ὥσπερ ἐν τοῖς ἀρκύων ληφθέντες, καὶ αὐτοὶ ἀπόλλωνται μετὰ τῆς ἄγρας. ἄφυκτα γάρ ἐστιν, ἣν ὁ ἥλιος ἀνασπάσας τὴν ἰκμάδα, καὶ τάχιστα ξηράνας τὴν χώραν, ὑπερζέσῃ, ἀκμαιοτέραν τὴν ἀκτῖνα προσβαλὼν, ἅτε πρὸς τὴν νοτίδα παρατεθηγμένην. τροφὴ γὰρ αὕτη τοῦ πυρός. καίτοι ταῦτα πάντα ὁπόσα εἶπον, τὸ θάλπος, τὸ δίψος, ἡ ἐρημία, τὸ μηδὲν ἔχειν ἐκ τῆς γῆς λαβεῖν, ἧττον ὑμῖν δυσχερῆ ἂν δόξει τοῦ λεχθησομένου, καὶ δι' ὅπερ φευκτέα πάντως ἡ χώρα ἐκείνη. ἑρπετὰ γὰρ ποικίλα, μεγέθει τε μέγιστα, καὶ πλήθει πάμπολλα, καὶ τὰς μορφὰς ἀλλόκοτα, καὶ τὸν ἰὸν ἄμαχα, ἐπινέμεται τὴν γῆν. τὰ μὲν, ὑποβρύχια, φωλεύοντα ἐν μυχῷ τῆς ψάμμου. τὰ δὲ, ἄνω ἐπιπολάζοντα, φύσαλοι, καὶ ἀσπίδες, καὶ ἔχιδναι, καὶ κεράσται, καὶ βουπρηστεις, καὶ ἀκοντίαι, καὶ ἀμφίσβαιναι, καὶ δράκοντες, καὶ σκορπίων γένος διττόν. τὸ μὲν ἕτερον, ἐπίγειόν τε, καὶ πεζὸν, ὑπέρμεγα, καὶ πολύσφονδυλον. θάτερον δὲ, ἐναέριον, καὶ πτηνόν. ὑμενόπτερον δὲ, οἷα ταῖς ἰκτῖσι, καὶ τέττιξι, καὶ νυκτερίσι τὰ πτερά. τοιαῦτα ὄρνεα πολλὰ ἐπιπτώμενα, οὐκ εὐπρόσιτον ἀπεργάζεται τὴν Λιβύην ἐκείνην. τὸ δὲ δὴ πάντων ἑρπετῶν δει-

νότατον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γνότατον, ὧν ἡ ψάμμος φέρει, ἡ διψάς ἐστιν, ὄφις οὐ πάνυ μέγας, ἐχίδνῃ ὅμοιος, τὸ δῆγμα βίαιος, τὸν ἰὸν παχύς, ὀδύνας μὲν ἀλήκτους ἐπάγων εὐθύς. ἐκκαίει τε γάρ, καὶ σήπει, καὶ ἐμπίπρασθαι ποιεῖ. καὶ βοῶσιν, ὥσπερ οἱ ἐν πυρὶ κείμενοι. τὸ δὲ μάλιστα καταπονοῦν, καὶ κατατρύχον αὐτούς, ἐκεῖνό ἐστιν, ὁμώνυμον πάθος τοῦ ἑρπετοῦ. διψῶσι γὰρ εἰς ὑπερβολήν. καὶ τὸ παραδοξότατον, ὅσῳ περ ἂν πίνωσι, τοσούτῳ μᾶλλον ὀρέγονται τοῦ ποτοῦ, καὶ ἡ ἐπιθυμία πολὺ πλέον ἐπιτείνεται αὐτοῖς. οὐδ' ἂν σβέσειάς ποτε τὸ δίψος, οὐδ' ἢν τὸν Νεῖλον αὐτὸν, ἢ τὸν Ἴστρον ὅλον ἐκπιεῖν παράσχῃς, ἀλλὰ προσεκκαύσεις ἐπάρδων τὴν νόσον. ὥσπερ ἂν εἴ τις ἐλαίῳ πῦρ κατασβεννύοι. λέγουσιν ἰατρῶν παῖδες ἐκείνην τὴν αἰτίαν εἶναι, παχὺν τὸν ἰὸν ὄντα, ἔπειτα δ' ὀνέμε-ιον τῷ ποτῷ, ὀξυκίνητον γίγνεσθαι, ὑγρότερον ὡς τὸ εἰκὸς καθιστάμενον, καὶ ἐπὶ πλεῖστον διαχεόμενον. ἐγὼ μὲν οὖν οὐδένα τοῦτο πεπονθότα εἶδον. μὴ δὲ ὦ θεοί, ἴδοιμι οὕτω κολαζόμενον ἄνθρωπον. ἀλλ' οὐδὲ ἐπέβην ἐπὶ Λιβύης τὸ παράπαν, εὖ ποιῶν. ἐπίγραμμα δέ τι ἤκουσα, ὅ μοι τῶν ἑταίρων τις ἔλεγεν, αὐτὸς ἐπὶ στήλης ἀνεγνωκέναι, ἀνδρὸς οὕτως ἀποθανόντος. ὃς ἐκ Λιβύης ἔφη, ἀπιὼν ἐς Αἴγυπτον, παρὰ τὴν

μεγάλῳ σύρτιν ἐποιεῖτο τὴν πορείαν. οὐ γὰρ ἦν ἄλλως. ἔνθα δὴ τάφῳ ἐντυχεῖν, παρὰ τὴν ἠϊόνα, ἐπ' αὐτοῦ τοῦ κλύσματι, καὶ στήλην ἐφεστάναι, δηλοῦσαν τὸν ὀλέθρου τὸν τρόπον. κεκολάφθαι γὰρ ἐπ' αὐτῇ ἀνθρώπινον μέν τινα, οἷον τὸν Τάνταλον γράφουσιν ἐν λίμνῃ ἑστῶτα, καὶ ἀρυόμενον τοῦ ὕδατος, ὡς πίοι δῆθεν. τὸ θεῖον δὲ, τὴν δίψαν ἐμπεφυκὸς αὐτοῦ περιεσπειρᾶσθαι τοῦ ποδί, καί τινας γυναῖκας ὑδροφορούσας ἅμα πολλὰς καταχεῖν τὸ ὕδωρ αὐτοῦ. πλησίον δὲ ὠὰ κεῖσθαι οἷα τῶν στρουθῶν ἐκείνων, οὓς ἔφην θηρᾶν τοὺς Γαράμαντας. γεγράφθαι δὲ πρὸς τοὐπίγραμμα, οὐ χεῖρον δὲ, τὸ αὐτὸ εἰπεῖν.

,, Τοῖα παθόντ' οἶμαι, τὸν Τάνταλον αὐθόπος ἰοῦ
,, Μηδαμὰ κοιμίσαι διψαλέην ὀδύνην,
,, Καὶ Δαναοῖο κόρας ῥίον πίθον οὐκ ἀναπλῆσαι,
,, Αἰὲν ἐπαντλούσας ὑδροφόρῳ καμάτῳ.

ἔτι καὶ ἄλλα ἔπη τέτταρα ἐπὶ τῶν ὠῶν, τὰ ὡς ἀναιρούμενος αὐτὰ, ἐλήχθη. ἀλλ' οὐκ ἔτι μέμνημαι ἐκείνων. συλλέγουσι δὲ ἄρα τὰ ὠά, τὰ ἐσπουδάκασι περὶ αὐτὰ οἱ περίοικοι, οὐχ ὡς φαγεῖν μόνον, ἀλλὰ τὰ σκεύεσι χρῶνται κενώσαντες, τὰ ἐκπώματα ποιοῦνται ἀπ' αὐτῶν. οὐ γὰρ ἔχουσι κεραμεύειν διὰ τὸ ψάμμον εἶναι τὴν γῆν. εἰ δὲ τὰ μεγάλα εὑρεθείη, τὰ πῖλοι γίγνονται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γίνονται δύο ἐκ τοῦ ὠοῦ ἑκάστου. τὸ γὰρ ἡμίτμον ἑκάτερον ἀπέχων τῇ κεφαλῇ, πῖλός ἐστιν. ἐκεῖ γοῦν λοχῶσιν αἱ διψάδες παρὰ τὰ ᾠά. καὶ ἐπειδὰν προσέλθῃ ὁ ἄνθρωπος, ἐκ τῆς ψάμμου ἐξερπύσασαι, δάκνουσι τὸν κακοδαίμονα. ὁ δὲ, πάσχει ἐκεῖνα τὰ μικρὸν ἔμπροσθεν εἰρημένα, πίνων ἀεὶ, καὶ μᾶλλον διψῶν, καὶ πιμπλάμενος οὐδέποτε. ταῦτα οὐ μὰ Δία πρὸς Νίκανδρον τὸν ποιητὴν φιλοτιμούμενος διεξῆλθον, οὐδ' ὅπως ὑμεῖς μάθοιτε ὡς οὐκ ἀμελές γεγένηταί μοι, φύσεις τῶν λιβυκῶν ἑρπετῶν εἰδέναι. ἰατρῶν γὰρ ἂν μᾶλλον ὁ ἔπαινος εἴη, οἷς ἀνάγκη εἰδέναι ταῦτα, ὡς καὶ ἀμύνασθαι αὐτὰ μετὰ τῆς τέχνης ἔχοιεν. ἀλλά μοι δοκῶ, καὶ πρὸς φιλίου μὴ δυσχεράνητε τὴν εἰκόνα θηριώδη οὖσαν, ὅμοιόν τι καὶ αὐτὸς πάσχειν πρὸς ὑμᾶς, οἷον ἐκεῖνοι πάσχουσι πρὸς τὸ ποτὸν οἱ δηχθέντες ὑπὸ τῆς διψάδος. ὅσῳ γὰρ ἂν τὸ πλέον παρέλθω ἐς ὑμᾶς, τοσούτῳ μᾶλλον ὀρέγομαι τοῦ πράγματος, καὶ τὸ δίψος ἀχανὲς ὑποκαίεταί μοι. καὶ ἔοικα οὐδ' ἐμπλησθήσεσθαί ποτε τοῦ τοιούτου ποτοῦ. καὶ μάλα εἰκότως. ποῦ γὰρ ἂν οὕτω διαυγεῖ, καὶ καθαρῷ ὕδατι ἐντύχοιμι. ὥστε σύγγνωτε, εἰ δηχθεὶς καὶ αὐτὸς τὴν ψυχὴν ἡδίστῳ τούτῳ, καὶ ὑγιεινοτάτῳ τῷ δήγματι, ἐμφοροῦ

μαι χανδόν, ὑποθεὶς τῷ κρουνῷ τὴν κεφαλήν. εἴη μόνον μὴ ἐπιλείπειν τὰ παρ' ὑμῶν ἐπιρρέοντα, μηδὲ χυθεῖσαν τὴν σπουδὴν τῆς ἀκροάσεως, κεχηνότα, ἔτι καὶ διψῶντα καταλιπεῖν, ὥσδ' ἴσως γε ἕνεκα ῥύμου πρὸς ὑμᾶς, οὐδὲν ἂν ἐκώλυε πίνειν ἀεί. κατὰ γὰρ τὸν σοφὸν Πλάτωνα, κόρος οὐδεὶς τῶν καλῶν.

## ΔΙΑΛΕΞΙΣ ΠΡΟΣ ΗΣΙΟΔΟΝ.

Ἀλλὰ ποιητὴν μὲν ἄριστον εἶναί σε Ἡσίοδε, καὶ αὐτὰ παρὰ μουσῶν λαβεῖν μετὰ τῆς δάφνης, αὐτός τε δεικνύεις ἐν τοῖς ἔπεσι. ἔνθα γὰρ, καὶ σεμνὰ πάντα. καὶ ἡμεῖς πιστεύομεν οὕτως ἔχειν. ἐκεῖνο δὲ ἀπορῆσαι ἄξιον, τί δή ποτε προειπὼν ὑπὲρ ἑαυτοῦ, ὡς δὴ αὐτὸ λάβοις τὴν θεσπέσιον ἐκείνην ᾠδὴν παρὰ τῶν θεῶν, ὅπως κλείοις καὶ ὑμνοίης τὰ παρεληλυθότα, καὶ θεσπίζοις τὰ ἐσόμενα, θάτερον μὲν καὶ πάνυ ἐντελῶς διεξενήνοχας, θεῶν τε γενέσεις διηγούμενος, ἄχρι καὶ τῶν πρώτων ἐκείνων, χάους, καὶ γῆς, καὶ οὐρανοῦ, καὶ ἔρωτος. ἔτι δὲ, γυναικῶν ἀρετὰς, καὶ παραινέσεις γεωργικὰς, καὶ ὅσα περὶ πλειάδων, καὶ ὅσα περὶ καιρῶν ἀρότου, καὶ ἀμήτου, καὶ πλοῦ, καὶ ὅλως, τῶν ἄλλων ἁπάντων. θάτερον δὲ, καὶ ὃ χρησιμώτερον ἦν τῷ βίῳ παραπολὺ, καὶ θεῶν δωρεαῖς μᾶλλον ἐοικὸς, λέγω



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ τὴν τῶν μελλόντων προαγόρευσιν, οὐδὲ τὴν ἀρχὴν ἐξαπέφηνας, ἀλλὰ τὸ μέρος τοῦτο πᾶν, λήθῃ παραδέδωκας, οὐδαμοῦ τῆς ποιήσεως ἢ τὸν Κάλχαντα, ἢ τὸν Τήλεφον, ἢ τὸν Πολύϊδον, ἢ καὶ Φινέα μιμησάμενος. οἱ μὴ δὲ παρὰ μουσῶν τούτου τυχόντες, ὅμως προεθέσπιζον, καὶ οὐκ ὤκνουν χρᾶν τοῖς δεομένοις. ὥστε ἀνάγκη σοι τῶν τριῶν τούτων αἰτιῶν, μιᾷ γε πάντως ἐνέχεσθαι. ἢ γὰρ ἐψεύσω εἰ καὶ πικρὸν εἰπεῖν, οὐχ ὡς ὑποσχομένων σοι τῶν μουσῶν καὶ τὰ μέλλοντα προλέγειν δύνασθαι, ἢ αἱ μὲν, ἔδοσαν ὥσπερ ὑπέσχοντο, σὺ δὲ ὑπὸ φθόνου ἀποκρύπτεις, καὶ ὑπὸ κόλπον φυλάττεις τὴν δωρεὰν, οὐ μεταδιδοὺς αὐτῆς τοῖς δεομένοις. ἢ γέγραπται μέν σοι καὶ τὰ τοιαῦτα πολλὰ, οὐδέπω δὲ αὐτὰ τῷ βίῳ παραδέδωκας, οὐκ οἶδα εἰς ὅν καιρόν τινα ἄλλον ταμιευόμενος τὴν χρῆσιν αὐτῶν. ἐκεῖνο μὲν γὰρ οὐδὲ τολμήσαιμ' ἂν εἰπεῖν, ὡς αἱ μοῦσαι δύο σοι προέξειν ὑποσχόμεναι, τὸ μὲν, ἔδοσαν. ἐξ ἡμισείας δὲ ἀνεκαλέσαντο τὴν ὑπόσχεσιν. λέγω δὲ τὴν τῶν μελλόντων γνῶσιν. καὶ ταῦτα, προτέραν αὐτὴν ἐν τῷ ἔπει ὑπεσχημέναι. ταῦτα οὖν παρὰ τίνος ἄλλου Ἡσίοδε, ἢ παρὰ σοῦ αὐτοῦ μάθοι τίς ἄν; πρέπον γὰρ ἄν, ὥσπερ οἱ θεοὶ δοτῆρες ἐάων εἰσὶν, οὕτω δὲ καὶ ὑμῖν τοῖς φίλοις, καὶ μα

θηταῖς αὐτοῦ, μετὰ πάσης ἀληθείας ἐξηγεῖσθαι περὶ ὧν ἴστε, καὶ λύειν ἡμῖν τὰς ἀπορίας.

ΗΣΙ. Ἐνῆν μέν μοι ὦ βέλτιστε, ῥᾳδίαν ἀπόκρισιν ἀποκρίνεσθαί σοι περὶ ἁπάντων, ὅτι μηδὲν ἦν τῶν ἐρραψῳδημένων ὑπ' ἐμοῦ, ἴδιον ἐμόν, ἀλλὰ τῶν μουσῶν. καὶ ἐχρῆν σε παρ' ἐκείνων τοὺς λογισμοὺς τῶν τε εἰρημένων, καὶ τῶν παραλελειμμένων ἀπαιτεῖν. ἐγὼ δὲ ὑπὲρ μὲν ὧν ἰδίᾳ ἠπιστάμην, λέγω δὲ τὸ νέμειν, ποιμαίνειν, καὶ ἐξελαύνειν, καὶ βδάλλειν, καὶ τῶν ἄλλων, ὅσα ποιμένων ἔργα, καὶ μαθήματα, δίκαιος ἂν εἴην ἀπολογεῖσθαι. αἱ θεαὶ δέ, τὰς αὐτῶν δωρεὰς οἷς τε ἂν ἐθέλωσι, καὶ ἐφ' ὅσον ἂν οἴωνται καλῶς ἔχειν, μεταδιδόασιν. ὅμως δέ, οὐκ ἀπορήσω πρὸς σὲ καὶ ποιητικῆς ἀπολογίας. οὐ γὰρ οἶμαι χρὴ παρὰ τῶν ποιητῶν ἐς τὸ λεπτότατον ἀκριβολογουμένους, ἀπαιτεῖν κατὰ τὴν συλλαβὴν ἑκάστην ἐντελῆ πάντως τὰ εἰρημένα, κἂν εἴ τι ἐν τῷ τῆς ποιήσεως δρόμῳ παραρρυὲν λάθῃ, πικρῶς τοῦτο ἐξετάζειν, ἀλλ' εἰδέναι ὅτι πολλὰ ἡμεῖς, καὶ τῶν μέτρων ἕνεκα, καὶ τῆς εὐφωνίας, ἐπεμβάλλομεν. τὸ δέ, καὶ τὸ ἔπος αὐτὸ πολλάκις λεῖα ὄντα, οὐκ οἶδ' ὅπως παρεδέξατο. σὺ δέ, τὸ μέγιστον ὧν ἔχομεν ἀγαθῶν, ἀφαιρῇ ἡμᾶς. λέγω δὲ τὴν ἐλευ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κείαν, καὶ τὴν ἐν τῷ ποιεῖν ἐξουσίαν. καὶ τὰ μὲν ἄλλα, οὐχ ὁρᾷς ὅσα περιττῶς καλά. σκινδαλάμους δέ, καὶ ἀκάνθας τινὰς ἐκλέγεις, καὶ λαβὰς τῇ συκοφαντίᾳ ζητεῖς. ἀλλ' οὐ μόνος ταῦτα σύ, οὐδὲ κατ' ἐμοῦ μόνου, ἀλλὰ πολλοὶ καὶ ἄλλοι τὰ τοῦ ὁμοτέχνου τοῦ ἐμοῦ Ὁμήρου κατακνίζουσι, λεπτὰ οὕτω κομιδῇ, καὶ μάλιστα μικρὰ ἄττα διεξιόντες. εἰ δὲ καὶ χρὴ ὁμόσε χωρήσαντα τῇ αἰτίᾳ τὴν ὀρθοτάτην ἀπολογίαν ἀπολογήσασθαι, ἀνάγνωθι ὦ οὗτος τὰ ἔργα μου, καὶ τὰς ἡμέρας. εἴσῃ γὰρ ὅσα ἐν τῷ ποιήματι τούτῳ, μαντικῶς ἅμα, καὶ προφητικῶς προεθέσπισά μοι, τὰς ἀποβάσεις προδηλοῦντα τῶν γε ὀρθῶς, καὶ κατὰ καιρὸν πραττομένων, καὶ τῶν παραλελειμμένων τὰς ζημίας. καὶ ὡς ὅ γ' ἔρξεις δ' ἐν φορμῷ, παῦροι δέ σε θηήσονται, καὶ πάλιν ὅσα ἀγαθὰ περιέσται τοῖς ὀρθῶς γεωργοῦντι, χρησιμωτάτη ἐν τῷ βίῳ μαντικὴ νομίζοιτο.

ΛΥ. ἔστι μὲν οὖν ὦ θαυμάσιε Ἡσίοδε, καὶ πάνυ ποιμενικὸν εἴρηταί σοι, καὶ ἐπαληθεύειν ἔοικας τὴν τῶν μουσῶν ἐπίπνοιαν, αὐτὸς οὐδ' ἀπολογεῖσθαι ὑπὲρ τῶν ἐπῶν δυνάμενος. ἡμεῖς δέ, οὐ ταύτην τὴν μαντικὴν παρὰ σοῦ, καὶ τῶν μουσῶν περιεμένομεν· ἐπεὶ τά γε τοιαῦτα, πολὺ μαντικώτεροι ὑμῶν οἱ γεωργοί, καὶ ἄριστα μαν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πύσαιντ' ἂν ἡμῖν περὶ αὐτῶν, ὅτι ὕσαντος μὲν τοῦ θεοῦ, εὐθαλῆ ἔσται τὰ δράγματα. ἦν δὲ αὐχμὸς ἐπιλάβῃ, καὶ διψήσωσιν αἱ ἄρουραι, οὐδεμία μηχανὴ μὴ οὐχὶ λιμὸν ἐπακολουθῆσαι τῷ δίψει αὐτῶν. καὶ ὅτι οὐ μεσοῦντος θέρους, χρὴ ἀροῦν, ἢ οὐκ ἄν τι ὄφελος γένοιτο, εἰκῇ ἐκχυθέντων τῶν σπερμάτων, οὐδὲ ἀμήσειν χλωρὸν ἔτι τὸν στάχυν, ἢ κενὸν εὑρεθήσεσθαι τὸν καρπόν. οὐ μὴν οὐδ' ἐκεῖνο μαντείας δεῖται, ὡς ἢν μὴ καλύψῃς τὰ σπέρματα, καὶ θεράπων μακέλλαν ἔχων ἐπιφοροίη τῆς γῆς αὐτοῖς, καταπτήσεται τὰ ὄρνεα, καὶ προκατεδεῖται τὴν ἅπασαν τοῦ θέρους ἐλπίδα. τὰ γὰρ τοιαῦτα, παραινέσεις μέν, καὶ ὑποθήκας λέγων, οὐκ ἄν τις ἁμαρτάνοι. μαντικῆς δέ, πάμπολυ ἀπολείπειν μοι δοκεῖ, ἧς τὸ ἔργον, τὰ ἄδηλα, καὶ οὐδαμῇ οὐδαμῶς φανερὰ προγινώσκειν. ὥσπερ τὸ τῷ Μίνωϊ προειπεῖν, ὅτι ἐν τῷ τοῦ μέλιτος πίθῳ ὁ παῖς ὄλοιτο αὐτῷ ἀποπνιγόμενος, καὶ τὸ τοῖς Ἀχαιοῖς προμηνῦσαι τῆς Ἀπόλλωνος ὀργῆς τὴν αἰτίαν, καὶ τῷ δεκάτῳ ἔτει ἁλώσεσθαι τὸ Ἴλιον. ταῦτα γὰρ ἡ μαντική. ἐπεὶ καὶ τὰ τοιαῦτα εἴ τις αὐτῇ ἀναθείη, οὐκ ἂν φθάνοι κἀμὲ μάντιν λέγων. προερῶ γε, καὶ προθεσπιῶ, καὶ ἄνευ Κασταλίας, καὶ δάφνης, καὶ τρίποδος Δελφικοῦ, ὅτι ἂν γυμνὸς τοῖς κρύοις ἐμμένοι τις, ὕοντος

προσ

προσέτι, ἢ χαλαζῶντος τοῦ θεοῦ, ὑετίαλος οὐ μικρὸς εἶναι πιστεύεται παρὰ τοιούτῳ. καὶ τὸ ἔτι γε εἶναι τὸ μαντικώτερον, ὅτι καὶ θέρμη μετὰ ταῦτα ὡς τὸ εἰκὸς εἶναι γενήσεται, καὶ ἄλλα πολλὰ τοιαῦτα ὧν γελοῖον ἂν εἴη μεμνῆσθαι. ὥστε τὰς μὲν τοιαύτας ἀπολογίας, ἢ μαντείας, ἄφες. ἐκεῖνο δέ, ὃ εἴρηκας ἐν ἀρχῇ, ἴσως παραδέχεσθαι ἄξιον, ὡς οὐδ' αὐτὸς ᾔδεις τῶν λεγομένων, ἀλλά τις ἐμπνοία δαιμόνιος ἐνεποίει σοι τὰ μέτρα, οὐ πάνυ οὐδ' ἐκείνη βέβαιος οὖσα. οὐ γὰρ ἂν τὰ μὲν ἐπετέλει τῶν ὑπεσχημένων, τὰ δ' ἀτελῆ ἐπιλιμπάνειν.

## ΠΛΟΙΟΝ, Η ΕΥΧΑΙ. ΛΥΚΙΝΟΣ.

Οὐκ ἐγὼ ἔλεγον ὅτι θᾶττον ἂν γῦπας ἕωλος νεκρὸς ἐν φανερῷ κείμενος, ἢ θέαμά τι τῶν παραδόξων Τιμόλαον διαλάθοι, κἂν εἰς Κόρινθον δέοι ἀπνευστὶ θέοντα ἀπιέναι δι' αὐτό; οὕτω φιλοθεάμων σύ γε καὶ ἄοκνος τὰ τοιαῦτα. Τιμό. τί γὰρ ἔδει με ποιεῖν ὦ Λυκῖνε, σχολὴν ἄγοντα, πυθόμενον οὕτως ὑπερμεγέθη ναῦν, καὶ πέρα τοῦ μέτρου ἐς τὸν Πειραιᾶ καταπεπλευκέναι, μίαν τῶν ἀπ' Αἰγύπτου εἰς Ἰταλίαν σιταγωγῶν; οἶμαι δὲ καὶ σφῶ, σέ τε καὶ Σάμιππον τουτονί, μὴ κατ' ἄλλο τι ἐξ ἄστεος ἥκειν, ἢ ὀψομένους τὸ πλοῖον,

Λυ. νὴ Δία καὶ Ἀδείμαντος ὁ μυῤῥινούσιος εἵπετο μεθ' ἡμῶν. ἀλλ' οὐκ οἶδ' ὅπου νῦν ἐκεῖνός ἐστιν, ἀποπλανηθεὶς ἐν τῷ πλήθει τῶν θεατῶν. ἄχρι μὲν γὰρ τοῦ νεὼς, ἅμα ἤλθομεν. καὶ ἀνιόντες ἐς αὐτὴν, σὺ μὲν οἶμαι Σάμιππε, προῄεις. μετὰ σὲ δὲ, ὁ Ἀδείμαντος ἦν. εἶτ' ἐγὼ μετ' ἐκεῖνον, ἐχόμενος αὐτοῦ ἀμφοτέραις. καί με διὰ τῆς ἀποβάθρας ὅλης παρέπεμπε χειραγωγῶν, ὑποδεδεμένον, ἀνυπόδητος αὐτὸς ὤν. τὸ δ' ἀπὸ τούτου δὲ, οὐκέτι αὐτὸν εἶδον, οὔτε ἔνδον, οὔτε ἐπεὶ κατεληλύθειμεν. Σάμ. οἶσθα ὦ Λυκῖνε ὅπου ἡμᾶς ἀπέλιπεν, ὁπότε οἶμαι τὸ ὡραῖον ἐκεῖνο μειράκιον ἐκ τοῦ θαλάμου προῆλθε, τὸ τὴν καθαρὰν ὀθόνην ἐνδεδυκὸς, ἀναδεδεμένον ἐς τοὐπίσω τὴν κόμην, ἐπ' ἀμφότερα τοῦ μετώπου ἀπηγμένην. εἰ τοίνυν ἐγὼ Ἀδείμαντον οἶδα, οἶμαι γλαφυρὸν οὕτω ἐκεῖνος θέαμα ἰδὼν, μακρὰ χαίρειν φράσας τῷ αἰγυπτίῳ ναυπηγῷ, περιηγουμένῳ τὸ πλοῖον παρέστηκε δακρύων, ὥσπερ εἴωθε. ταχύδακρυς γὰρ ὁ ἀνὴρ ἐς τὰ ἐρωτικά. Λυ. καὶ μὴν οὐ πάνυ καλὸς ὦ Σάμιππε, ὁ μειρακίσκος ἔδοξέ μοι, ὡς ἂν καὶ Ἀδείμαντον ἐκπλῆξαι, ᾧ τοσοῦτοι Ἀθήνησι καλοὶ ἕπονται, πάντες ἐλεύθεροι, στωμύλοι τὸ φθέγμα, παλαίστρας ἀποπνι

οντες

ἐντεῦθεν. οἷς καὶ παρακρούεσθαι οὐκ ἀγεννές. οὗτος δὲ πρὸς τῷ μελάγχρους εἶναι, καὶ πρόχειλός ἐστι, καὶ λεπτὸς ἄγαν τοῖν σκελοῖν, καὶ ἐφθέγγετο ἐπισεσυρμένον τί, καὶ συνεχὲς, καὶ ἐπίτροχον, ἑλληνιστὶ μὲν, ἐς τὸ πάτριον δὲ τῷ ψόφῳ, καὶ τῷ τῆς φωνῆς τόνῳ. ἡ κόμη δὲ, καὶ ἐς τοὐπίσω ὁ πλόκαμος συνεσπειραμένος, οὐκ ἐλευθέριόν φησιν αὐτὸν εἶναι. Τιμό. τοῦτο μὲν εὐγενείας ὦ Λυκῖνε σημεῖόν ἐστιν αἰγυπτίας, ἡ κόμη. ἅπαντες γὰρ αὐτοῖς οἱ ἐλεύθεροι παῖδες ἀναπλέκονται. ἔστε πρὸς τὸ ἐφηβικὸν ἐν Παλλήνῃ οἱ πρόγονοι ἡμῶν, οἷς ἐδόκει καλὸν εἶναι κομᾶν τοὺς γέροντας, ἀναδουμένους κρώβυλον ὑπὸ τέττιγι χρυσῷ ἀνειλημμένον. Σάμι. εὖγε ὦ Τιμόλαε, ὅτι ἡμᾶς ἀναμιμνήσκεις τῶν Θουκυδίδου συγγραμμάτων, ἃ ἐν τῷ προοιμίῳ περὶ τῆς ἀρχαίας ἡμῶν τρυφῆς εἶπεν ἐν τοῖς Ἴωσιν, ὁπότε οἱ τότε συναπῳκίσθησαν. Τιμ. ἀτὰρ ὦ Σάμιππε, νῦν ἀνεμνήσθην ὁπόθεν ἡμῶν ἀπελείφθη Ἀδείμαντος, ὅτε παρὰ τὸν ἱστὸν ἐπὶ πολὺ ἔστημεν ἀναβλέποντες, ἀριθμοῦντες τῶν βυρσῶν τὰς ἐπιβολὰς, καὶ θαυμάζοντες ἀνιόντα τὸν ναύτην διὰ τῶν κάλων, εἶτα ἐπὶ τῆς κεραίας ἄνω ἀσφαλῶς διαθέοντα, τῶν κροιάκων ἐπειλημμένον. Σάμι. εὖ γε λέγεις. τί δ' οὖν χρὴ

ποιεῖν ἡμᾶς ἐνταῦθα; καραδοκεῖν αὐτόν, ἢ ἐθέλεις ἐγὼ αὖθις ἐπάνειμι ἐς τὸ πλοῖον; Τιμ. μηδαμῶς, ἀλλὰ προΐωμεν. εἰκὸς γὰρ ἤδη παρεληλυθέναι ἐκεῖνον ἀποσοβοῦντα ἐς τὸ ἄστυ, ἐπεὶ μηκέθ' ἡμᾶς εὑρεῖν ἐδύνατο. εἰ δὲ μή, ἀλλ' οἶδε τὴν ὁδὸν Ἀδείμαντος, καὶ δέος οὐδέν, μὴ ἀπολειφθεὶς ἡμῶν ἀποβουκοληθῇ. Λυ. ὁρᾶτε μὴ σκαιὸν ᾖ φίλον ἀπολιπόντας αὐτοὺς ἀπιέναι. βαδίζωμεν δ' ὅμως, εἰ καὶ Σαμίππῳ τοῦτο δοκεῖ. Σαμι. καὶ μάλα δοκεῖ, ἤν πως ἀνεῳγυῖαν τὴν παλαίστραν ἔτι καταλάβωμεν. ἀλλὰ μεταξὺ τῶν λόγων, ἡλίκη ναῦς, εἴκοσι καὶ ἑκατὸν πήχεων ἔλεγεν ὁ ναυπηγὸς τὸ μῆκος, εὖρος δὲ, ὑπὲρ τὸ τέταρτον μάλιστα τούτου. καὶ ἀπὸ τοῦ καταστρώματος, ἐς τὸν πυθμένα, ᾗ βαθύτατον κατὰ τὸν ἄντλον, ἐννέα πρὸς τοῖς εἴκοσι. τὰ δ' ἄλλα, ἡλίκος μὲν ὁ ἱστὸς, ὅσην δὲ ἀνέχει τὴν κεραίαν, οἵῳ δὲ προτόνῳ κέχρηται, καὶ συνέχεται, ὡς δὲ ἡ πρύμνα μὲν ἐπανέστηκεν ἠρέμα καμπύλη, χρυσοῦν χηνίσκον ἐπικειμένη, κατ' ἀντικρὺ δέ, ἀνάλογον ἡ πρῷρα ὑπερβέβηκεν, ἐς τὸ πρόσω ἀπομηκυνομένη, τὴν ἐπώνυμον τῆς νεὼς θεὸν ἔχουσα τὴν Ἶσιν ἑκατέρωθεν. ὁ μὲν γὰρ ἄλλος κόσμος αἱ γραφαί, καὶ τοῦ ἱστίου τὸ παράσημον πυραυγές, καὶ πρὸ τούτων, αἱ

ἀγκ

ἄγκυραι, καὶ στροφεῖα, καὶ περιαγωγεῖς, καὶ αἱ κατὰ τὴν πρύμναν οἰκήσεις, θαυμάσια πάντα μοι ἔδοξε. καὶ τὸ τῶν ναυτῶν πλῆθος, στρατοπέδῳ ἄν τις εἰκάσειεν. ἐλέγετο δὲ καὶ τοσοῦτον ἄγειν σῖτον, ὡς ἱκανὸν εἶναι πᾶσι τοῖς ἐν τῇ Ἀττικῇ ἐνιαύσιον πρὸς τροφήν. κἀκεῖνα πάντα μικρός τις ἀνθρωπίσκος, γέρων ἤδη, ἔσωζεν ὑπὸ λεπτῇ κάμακι τὰ τηλικαῦτα πηδάλια περιστρέφων. ἐδείχθη γάρ μοι ἀναφαλαντίας οὖλος, Ἥρων οἶμαι τοὔνομα. Τιμ. θαυμάσιος τὴν τέχνην, ὡς ἔφασκον οἱ ἐμπλέοντες, καὶ τὰ θαλάττια σοφὸς, ὑπὲρ τὸν Πρωτέα. ἠκούσατε δὲ ὅπως δεῦρο κατήγαγε τὸ πλοῖον, οἷα ἔπαθον πλέοντες, ἢ ὡς ὁ ἀστὴρ αὐτοὺς ἔσωσεν; Λυ. οὐκ ὦ Τιμόλαε, ἀλλὰ νῦν ἡδέως ἂν ἀκούσαιμεν. Τιμ. ὁ ναύκληρος αὐτὸς διηγεῖτό μοι, χρηστὸς ἀνὴρ, καὶ προσομιλῆσαι δεξιός. ἔφη δὲ ἀπὸ τοῦ Φάρου ἀπάραντας οὐ πάνυ βιαίῳ πνεύματι, ἑβδομαίους ἰδεῖν τὸν Ἀκάμαντα. εἶτα ζεφύρου ἀντιπνεύσαντος, ἀπενεχθῆναι πλαγίους ἄχρι Σιδῶνος. ἐκεῖθεν δὲ, χειμῶνι μεγάλῳ δεκάτῃ ἐς Χελιδονέας διὰ τοῦ Αὐλῶνος ἐλθεῖν. ἔνθα δὴ παρὰ μικρὸν ὑποβρυχίους δῦναι ἅπαντας. οἶδα δέ ποτε παραπλεύσας καὶ αὐτὸς Χελιδονέας, ἡλίκον ἐν τῷ τόπῳ ἀνίσταται τὸ κῦ-

μα. καὶ μάλιστα περὶ τὸν λίβα, ὁπόταν ἐπιλά
βῃ τι τοῦ νότου. μετ' ἐκεῖνο γὰρ δὴ συμβαίνει
μερίζεσθαι τὸ Παμφύλιον ἀπὸ τῆς Λυκιακῆς
θαλάσσης. καὶ ὁ κλύδων ἅτε ἀπὸ πολλῶν ῥευ-
μάτων περὶ τῷ ἀκρωτηρίῳ σχιζόμενος. ἀπό
ξυροι δέ εἰσι πέτραι, καὶ ὀξεῖαι, παραθηγόμεναι
τῷ κλύσματι. καὶ φοβερωτάτην ποιεῖ τὴν κυ
ματωγὴν, καὶ τὸν ἦχον μέγαν. καὶ τὸ κῦμα πολ
λάκις αὐτῷ ἰσομέγεθες τῷ σκοπέλῳ. τοιαῦ
τα καὶ σφᾶς καταλαβεῖν ἔφασκεν ὁ ναύκλη
ρος, ἔτι καὶ νυκτὸς οὔσης, καὶ ζόφου ἀκριβοῦς. ἀλ
λὰ πρὸς τὴν οἰμωγὴν αὐτῶν ἐπικλασθέντας
τοὺς θεοὺς, πῦρ τε ἀναδεῖξαι ἀπὸ τῆς Λυκίας, ὡς
γνωρίσαι τὸν τόπον ἐκεῖνον, καί τινα λαμπρὸν
ἀστέρα, Διοσκούρων τὸν ἕτερον, ἐπικαθίσαι τῷ
καρχησίῳ, καὶ κατευθῦναι τὴν ναῦν ἐπὶ τὰ λαιὰ
ἐς τὸ πέλαγος, ἤδη τῷ κρημνῷ προσφερομέ
νην. τοὐντεῦθεν δὲ ἅπαξ τοῦ ὀρθοῦ ἐκπεσόντας, διὰ
τοῦ Αἰγαίου πλεύσαντας, ἑβδομηκοστῇ ἀπ' Αἰ
γύπτου ἡμέρᾳ πρὸς αὐτοὺς τοὺς ἐτησίας πλα
γιάζοντας, ἐς Πειραιᾶ χθὲς καθορμίσασθαι, το
σοῦτον ἀποσυρέντας ἐς τὸ κάτω, οὓς ἔδει τὴν
Κρήτην δεξιὰν λαβόντας, ὑπὲρ τὸν Μαλέαν
πλεύσαντας ἤδη εἶναι ἐν Ἰταλίᾳ. Λυ. νὴ
Δία θαυμάσιόν τινα φῂς κυβερνήτην τὸν Ἥρα
να,

να, ἤ τοι Νηρέως ἡλικιώτην, ὃς τοσοῦτον ἀπεσφάλη τῆς ὁδοῦ. ἀλλὰ τί οὖν; οὐκ Ἀδείμαντος ἐκεῖνός ἐστι; Τιμό. πάνυ μὲν οὖν Ἀδείμαντος αὐτός. ἐκβοήσωμεν οὖν. Ἀδείμαντε, σέ φημι τὸν μυῤῥινούσιον, τὸν Στροβίχου. Λυ. δυοῖν θάτερον, ἢ δυσχεραίνει καθ' ἡμῶν, ἢ ἐκκεκώφωται. Ἀδείμαντος γάρ, οὐκ ἄλλος τίς ἐστι. πάνυ ἤδη σαφῶς ὁρῶ. καὶ θοιμάτιον αὐτοῦ, καὶ τὸ βάδισμα ἐκείνου, καὶ ἐν χρῷ ἡ κουρά. ἐπιτείνωμεν δὲ ὅμως τὸν περίπατον, ὡς καταλάβωμεν αὐτόν. ἢν μὴ τοῦ ἱματίου λαβόμενοί σε ἐπιστρέψωμεν ὦ Ἀδείμαντε, οὐκ ὑπακούσεις ἡμῖν ἐμβοῶσιν; ἀλλὰ καὶ φροντίζοντι ἔοικας ἐπὶ συννοίας τινὸς, οὐ μικρὸν, οὐδ' εὐκαταφρόνητον πρᾶγμα ὡς δοκεῖς ἀνακυκλῶν. Ἀδεί. οὐδὲν ὦ Λυκῖνε χαλεπὸν, ἀλλά με καινή τις ἔννοια μεταξὺ βαδίζοντα ὑπελθοῦσα, παρακοῦσαι ὑμῶν ἐποίησεν, ἀτενὲς πρὸς αὐτὴν ἅπαντι τῷ λογισμῷ ἀποβλέποντα. Λυκῖ. τίς αὕτη; μὴ γὰρ ὀκνήσῃς εἰπεῖν, εἰ μή τις ἐστὶ τῶν πάνυ ἀποῤῥήτων. καί τι ἐτελέσθημεν ὡς οἶσθα, καὶ στέγειν μεμαθήκαμεν. Ἀδεί. ἀλλ' αἰσχύνομαι ἔγωγε εἰπεῖν πρὸς ὑμᾶς. οὕτω γὰρ μειρακιῶδές τι ὑμῖν δόξει τὸ φρόντισμα. Λυ. μῶν ἐρωτικόν τί ἐστιν; οὐδὲ γὰρ οὐδ' ἐπ' ἀμυήτοις ἂν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὴν ἐξαργυρεύσεις, ἀλλ' ὑπὸ λαμπρᾷ τῇ δᾳδί, καὶ αὐτοῖς τετελεσμένοις. ΑΔΕΙ. οὐδέν, ὦ θαυμάσιε φορτίον. ἀλλά τινα πλοῦτον ἐμαυτῷ ἀνεπλαττόμην, ἣν κενὴν μακαρίαν οἱ πολλοὶ καλοῦσι. καί μοι ἐν ἀκμῇ τῆς περιουσίας καὶ τρυφῆς, ἐπέστητε. ΛΥ. οὐκοῦν τὸ προχειρότατον τοῦτο, κοινὸς ἑρμᾶς φασι, καὶ ἐς μέσον κατατίθει φέρων τὸν πλοῦτον. ἄξιον γὰρ ἀπολαῦσαι τὸ μέρος φίλους ὄντας, τῆς Ἀδειμάντου τρυφῆς. ΑΔΕΙ. ἀπελείφθην μὲν ὑμῶν εὐθὺς ἐν τῇ πρώτῃ ἐς τὴν ναῦν ἀναβάσει, ἐπεί σε ὦ Λυκῖνε κατέστησα ἐς τὸ ἀσφαλές. ἀνεμέτρουν γάρ μου τῆς ἀγκύρας τὸ μέγεθος, οὐκ οἶδ' ὅπου ὑμεῖς ἀπέστητε. ἰδὼν δ' ὅμως τὰ πάντα, ἠρόμην τινὰ τῶν ναυτῶν ὁπόσον ἀποφέρει ἡ ναῦς τῷ δεσπότῃ ὡς ἐπὶ τὸ πολὺ κατ' ἔτος ἕκαστον τὴν μισθοφορίαν. ὁ δέ μοι δώδεκα ἔφη Ἀττικὰ τάλαντα, εἰ πρὸς τοὐλάχιστόν τις λογίζοιτο. κἀντεῦθεν δὴ ἐπανιών, ἐλογιζόμην, εἴ τις θεῶν τὴν ναῦν ἄφνω ἐμὴν ποιήσειεν ταύτην, οἷον ἂν ὡς εὐδαίμονα βίον ἐβίωσα, εὖ ποιῶν τοὺς φίλους, καὶ ἐπιπλέων ἐνίοτε μὲν αὐτός, ἐνίοτε δὲ οἰκέτας ἐκπέμπων. εἶτα ἐκ τῶν δώδεκα ἐκείνων ταλάντων, οἰκίαν τε ἤδη ᾠκοδομησάμην ἐν ἐπικαίρῳ μικρὸν ὑπὲρ τὴν Ποικίλην, τὴν πα-

τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν Ἰλισσὸν ἐκείνην τὴν πατρῴαν ἀφεὶς, καὶ οἰκέ-
τας ὠνούμενον, καὶ ἐσθῆτας, καὶ ζεύγη, καὶ ἵππους.
ναῦν δὲ ἤδη καὶ ἔπλεον, ὑφ' ἁπάντων εὐδαιμονι-
ζόμενος τῶν ἐπιβατῶν, φοβερὸς τοῖς ναύταις,
καὶ μονονουχὶ βασιλεὺς νομιζόμενος. ἔτι δέ μοι
τὰ κατὰ τὴν ναῦν εὐθετίζοντι, καὶ ἐς λιμένα
πόῤῥωθεν ἀποβλέποντι, ἐπιστὰς ὦ Λυκῖνε, κα-
τέδυσας τὸν πλοῦτον, καὶ ἀνέτρεψας εὐφερόμε-
νον τὸ σκάφος οὐρίῳ τῷ τῆς εὐχῆς πνεύματι.
Λυ. οὐκοῦν ὦ γενναῖε, λαβόμενός με, ἄπαγε
πρὸς τὸν στρατηγὸν, ὥσπερ τινὰ πειρατὴν, ἢ κα-
ταποντιστὴν, ὃς τηλικοῦτον ναυάγιον εἰργα-
σμαι. καὶ ταῦτα, ἐν γῇ κατὰ τὴν ἐκ Πειραι-
ῶς ἐς τὸ ἄστυ. ἀλλ' ὅρα ὅπως παραμυθήσο-
μαί σου τὸ πταῖσμα. πέντε γὰρ εἰ βούλει, καλ-
λίω, καὶ μείζω τοῦ αἰγυπτίου πλοῖα ἤδη ἔχε. καὶ
τὸ μέγιστον, οὐδὲ καταδῦναι δυνάμενα. καὶ τά-
χα σοι πεντάκις ἐξ Αἰγύπτου κατ' ἔτος ἕκα-
στον σιταγωγείτω σιταγωγίαν. καὶ ὦ ναυκλή-
ρων ἄριστε, δῆλος εἶ ἀφόρητος ἡμῖν τότε γενη-
σόμενος. ὅς γ' ἐπὶ ἑνὸς πλοίου τουτουῒ δεσπό-
της ὢν, παρήκουες βοώντων, εἰ πέντε κτή-
σαιο πρὸς τούτῳ τριάρμενα πάντα, καὶ ἀνώ-
λεθρα, οὐδὲ ὅτι δηλαδὴ τοὺς φίλους. σὺ μὲν οὖν
εὐπλόει ὦ βέλτιστε. ἡμεῖς δὲ, ἐν Πειραιεῖ καθε-

δύμεθα. καὶ τοὺς ἐξ Αἰγύπτου, ἢ Ἰταλίας καταπλέοντας ἀνακρίνοντες, εἴ που τὸ μέγα Ἀδειμάντου πλοῖον τὴν Ἴσιν τίς οἶδεν. ΑΔΕΙ. ὁρᾷς, διὰ τοῦτο ὤκνουν εἰπεῖν ἃ ἐνενόουν, εἰδὼς ὅτι ἐν γέλωτι, καὶ σκώμματι θήσεσθέ μου τὴν εὐχήν. ὥστε ἐπιστὰς μικρόν, ἔστ' ἂν ὑμεῖς προχωρήσητε, ἀποπλευσοῦμαι πάλιν ἐπὶ τῆς νεώς. πολὺ γὰρ ἄμεινον τοῖς ναύταις προσλαλεῖν, ἢ ὑφ' ὑμῶν καταγελᾶσθαι. ΛΥ. μηδαμῶς, ἐπεὶ συνεμβησόμεθά σοι καὶ αὐτοὶ ἀποσάντες. ΑΔΕΙ. ἀλλὰ ὑφαιρήσω τὴν ἀποβάθραν, προεισελθών. ΛΥ. οὐκοῦν ἡμεῖς γε προσνηξόμεθ' ὑμῖν. μὴ γὰρ οἴου σοὶ μὲν εἶναι ῥᾴδιον τηλικαῦτα πλοῖα κτᾶσθαι, μήτε πριαμένῳ, μήτε ναυπηγησαμένῳ. ἡμεῖς δέ, οὐκ αἰτήσομεν παρὰ τῶν θεῶν ἐπὶ πολλοὺς σταδίους ἀκμῆτες δύνασθαι νεῖν. καίτοι πρῴην καὶ ἐς Αἴγιναν ἐπὶ τὴν τῆς ἐνοδίας τελετήν, οἶσθα ἐν ἡλίκῳ σκαφιδίῳ πάντες ἅμα οἱ φίλοι τεττάρων ἕκαστος ὀβολῶν διεπλεύσαμεν. καὶ οὐδ' ἐδυσχέραινες ἡμᾶς συμπλέοντας. νῦν δὲ ἀγανακτεῖς εἰ συνεμβησόμεθά σοι, καὶ τὴν ἀποβάθραν προεισελθὼν ἀφαιρεῖς. ὑπερμαζᾷς γε ὦ Ἀδείμαντε, καὶ ἐς τὸν κόλπον οὐ πτύεις, οὐδὲ οἶσθα ὅστις ὢν ναυκληρεῖς. οὕτως ἐπῆρέ σε καὶ ἡ οἰκία, ἐν καλῷ τῆς πόλεως οἰκοδο-

μηθεῖ

μηθεὶς, καὶ τῶν ἀκολούθων τὸ πλῆθος. ἀλλ' ὦ 'γαθὲ πρὸς τῆς Ἴσιδος, κἂν τὰ νειλῷα ταῦτα ταρίχη τὰ λεπτὰ, μέμνησο ἡμῖν ἄγειν ἀπ' Αἰγύπτου, ἢ μύρον ἀπὸ τοῦ Κανώπου, ἢ ἶβιν ἐκ Μέμφιδος. εἰ δὲ καὶ ἡ ναῦς ἐδύνατο, καὶ τῶν πυραμίδων μίαν. Τιμό. ἅλις παιδιᾶς ὦ Λυκῖνε. ὁρᾷς ὡς ἐρυθριᾶν Ἀδείμαντον ἐποίησας, πολλῷ τῷ γέλωτι ἐπικλύσας τὸ πλοῖον, ὡς ὑπέραντλον εἶναι, καὶ μηκέτι ἀντέχειν πρὸς τὸ ἐπιῤῥέον; καὶ ἐπείπερ ἔτι πολὺ ἡμῖν τὸ λοιπὸν ἐπὶ τὸ ἄστυ, διελόμενοι τετραχῆ τὴν ὁδὸν κατὰ τοὺς ἐπιβάλλοντας ἕκαστος σταδίους, αἰτῶμεν ἅπερ ἂν δοκῇ παρὰ τῶν θεῶν. οὕτω γὰρ ἂν ἡμᾶς ὅ,τε κάματος λάθοι, καὶ ἅμα εὐφρανούμεθα, ὥσπερ ἠδίστῳ ὀνείρατι ἑκουσίῳ παραπεσόντες, ἐφ' ὅσον βουλόμεθα εὐπορήσοντι ἡμᾶς. παρ' αὐτοῦ γὰρ ἑκάστῳ τὸ μέτρον τῆς εὐχῆς, καὶ οἱ θεοὶ πάντα ὑποκείσθωσαν παρέξοντες, εἰ καὶ τῇ φύσει ἀπίθανα ἔσται. τὸ δὲ μέγιστον ἐπίδειξις ἔσται τὸ πρᾶγμα, ὅστις ἂν ἄριστα χρήσαιτο τῷ πλούτῳ, καὶ τῇ εὐχῇ. δηλώσει γὰρ οἷος ἂν καὶ πλουτήσας ἐγένετο. Σάμι. καλῶς ὦ Τιμόλαε, καὶ πείθομαί σοι. καὶ ὅταν ὁ καιρὸς καλῇ, εὔξομαι ἅπερ ἂν δοκῇ. εἰ μὲν γὰρ Ἀδείμαν-

ρος βούλεται, σὺ δὲ ἐρωτᾶν οἶμαι, ὅσ γε δὴ ἐν τῇ νηῒ τὸν ἕτερον πόσα ἔχει. χρὴ δὲ καὶ Λυκίνῳ δοκεῖν. Λυ. ἀλλὰ πλουτῶμεν, εἰ τοῦτ' ἄμεινον, μὴ καὶ βασκαίνειν τοῖς ταῖς κοιναῖς εὐτυχίαις δοκῶ. Αδει. τίς γοῦν πρῶτος ἄρξεται; Λυ. σὺ ὦ Ἀδείμαντε. εἶτα μετὰ σὲ, οὑτοσὶ Σάμιππος. εἶτα, Τιμόλαος. ἐγὼ δὲ, ὀλίγον ὅσον ἡμιστάδιον τὸ πρὸ τοῦ διαύλου ἐπιλήψομαι τῇ εὐχῇ, καὶ τοῦτο ὡς οἷόν τε παραδραμών. Αδει. οὐκοῦν ἐγὼ μὲν οὐδὲ νῦν ἀποστήσομαι τῆς νεώς. ἀλλ' ἐπείπερ ἔξεστιν, ἐπιμετρήσω τῇ εὐχῇ. ὁ δὲ Ἑρμῆς ὁ κερδῷος, ἐπινευσάτω ἅπασιν. ἔστω μὲν τὸ πλοῖον, καὶ τὰ ἐν αὐτῷ πάντα, ἐμά, καὶ ὁ φόρτος, οἱ ἔμποροι, αἱ γυναῖκες, οἱ ναῦται, καὶ ἄλλο εἴ τι ἥδιστον κτημάτων ἁπάντων. Σα. λέληθας σεαυτὸν ἔχων ἐν τῇ νηΐ. Αδει. τὸν παῖδα φῂς ὦ Σάμιππε, τὸν κομήτην; κἀκεῖνος οὖν ἔστω ἐμός. ὁπόσος δὲ ὁ πυρός ἐστιν, οὗτος ὁ ἀριθμὸς ἅπας, χρυσίον ἐπίσημον γενέσθω, τοσοῦτοι δαρεικοί. Λυ. τί τοῦτο ὦ Ἀδείμαντε, καταδύσεταί σοι τὸ πλοῖον. οὐ γὰρ ἴσον βάρος πυροῦ, καὶ τοῦ ἴσου ἀριθμοῦ χρυσίου. Αδει. μὴ φθόνει ὦ Λυκῖνε. ἀλλ' ἐπειδὰν εἰς σὲ περιέλθῃ ἡ εὐχή, τὴν Πάρνηθα ἐκείνην εἰ θέλοις, ὅλην χρυσῆν ποιήσας ἔχε. κἀγὼ σιωπήσομαί σοι. Λυ. ἀλλ' ὑπὲρ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀσφαλείας ὅτι ἔζωσε τὸ σῶμα ἐπικησάμην, ὡς
μὴ ἀπολέσθαι ἅπαντας μετὰ τοῦ χρυσίου. καὶ τὰ μὲν
ὑμέτερα, μέτρια. τὸ μειράκιον δὲ τὸ ὡραῖον, ἀπέπνι-
γες τῷ ἄθλιον, νεῖν οὐκ ἐπιστάμενον. Τιμό. θάῤ-
ῥει ὦ Λυκῖνε. οἱ δελφῖνες γὰρ αὐτὸ ὑπολαβόντες, ἐξ-
οίσουσιν ἐπὶ τὴν γῆν. ἢ νομίζεις κιθαρῳδὸν μέν τι-
να σωθῆναι παρ' αὐτῶν, καὶ ἀπολαβεῖν τὸν μισθὸν
ἀντὶ τῆς ᾠδῆς, καὶ νεκρὸν παῖδα ἄλλο παιδίον εἰς τὸν
ἰσθμὸν ὑπὸ δελφῖνος ὁμοίως προκομισθῆναι, τὸν
δὲ Αδειμάντου οἰκέτην τὸν νεώνητον, ἀπορήσειν
δελφῖνος ἐρωτικοῦ; Αδ. καὶ σὺ γὰρ Τιμόλαε, μι-
μῇ Λυκῖνον, καὶ ὑπάρχεις τῶν σκωμμάτων. καὶ ταῦ-
τα, εἰσηγητὴς αὐτὸς γενόμενος. Τιμ. ἄμεινον
ἦν πιθανώτερον αὐτὸ ποιεῖν, καί τινα θησαυρὸν
ὑπὸ τῇ κλίνῃ ἀνευρεῖν, ὡς μὴ πράγματα ἔχοις
ἐκ τοῦ πλοίου, μετατιθεὶς χρυσίον ἐς τὸ ἄστυ. Α-
δει. εὖ λέγεις. ἀνορωρύχθω δὴ θησαυρὸς ὑπὸ τὸν
ἑρμῆν τὸν λίθινον, ὅς ἐστιν ἡμῖν ἐν τῇ αὐλῇ, μέδι-
μνοι χίλιοι ἐπισήμου χρυσίου. οἶκος δὲ κατὰ τὸν
ἡσίοδον, οἶκος τὸ πρῶτον, ὡς ἂν ἐπισημότατα
οἰκοίην. καὶ τὰ περὶ τὸ ἄστυ πάντα ὠνησάμην ἤ-
δη, πλὴν ὅσα ἰσθμοῖ, καὶ Πυθοῖ, καὶ ἐν Ἐλευσῖνι, κα-
ὶ περὶ θαλάττῃ, καὶ περὶ τὸν ἰσθμὸν ὀλίγα,
τῶν ἀγώνων εἵνεκα. εἴ ποτε δὴ τὰ ἴσθμια ἐπι-
δημήσαιμι, καὶ τὸ σικυώνιον πεδίον, καὶ ὅλως, εἰ

που τῆς ἐπηρεφὲς, ἢ ἔνυδρον, ἢ εὔκαρπον ἐν τῇ Ἑλλάδι, πάντα ἐν ὀλίγῳ Ἀδειμάντου ἔστω. ὁ χρυσὸς δὲ, κοῖλος ἡμῖν ἐμφαγεῖν. τὰ δὲ ἐκπώματα, οὐ κοῦφα, ὡς τὰ Ἐχεκράτους, ἀλλὰ διτάλαντον ἕκαστον τὴν ὁλκήν. ΛΥΚΙ. εἶτα πῶς ὁ οἰνοχόος ὀρέξει πλῆρες οὕτω βαρὺ ἔκπωμα; ἢ σὺ δέξῃ παρ' αὐτοῦ ἀμογητὶ οὐ σκύφον, ἀλλὰ σισύφιόν τι, βάρος ἀναδιδόντος; ΑΔΕΙ. ἄνθρωπε, μή μ' ἀνάλυε τὴν εὐχήν. ἐγὼ δὲ καὶ τραπέζας ὅλας χρυσᾶς ποιήσομαι, καὶ τὰς κλίνας χρυσᾶς. εἰ δὲ μὴ σιωπήσῃ, καὶ τοὺς διακόνους αὐτούς. ΛΥ. ὅρα μόνον μὴ ὥσπερ τοῦ Μίδα, καὶ ὁ ἄρτος σοι, καὶ τὸ ποτὸν, χρυσὸς γένηται. καὶ πλουτῶν, ἄθλιος ἀπόλῃ, λιμῷ διαφθαρεὶς πολυτελεῖ. ΑΔΕΙ. τὰ σὰ ῥυθμιεῖς πιθανώτερον ὦ Λυκῖνε μετ' ὀλίγον, ἐπειδὰν αὐτὸς αἰτῇς. ἐσθὴς ἐσθὴς πορφυρίς, ἁλουργίς, καὶ ὁ βίος οἷος ἁβρότατος. ὕπνος, ἐφ' ὅσον ἥδιστος. φίλων πρόσοδοι, καὶ δεήσεις, καὶ τὸ ἅπαντας ὑποπτήσσειν καὶ προσκυνεῖν. καὶ οἱ μὲν, ἕωθεν πρὸς ταῖς θύραις ἄνω καὶ κάτω περιπατήσουσιν, ἐν αὐτοῖς δὲ, καὶ Κλεαίνετος, καὶ Δημοκράτης οἱ πάνυ. καὶ προσελθοῦσι τε αὐτοῖς, καὶ πρὸ τῶν ἄλλων εἰσδεχθῆναι ἀξιοῦσι, θυρωροὶ ἑπτὰ ἐφεστῶτες, εὐμεγέθεις βάρβαροι προσαράξάτωσαι

ἐς τὸ μέτωπον εὐθὺ τὴν θύραν, οἷα νῦν αὐτοὶ
ποιοῦσιν. ἐγὼ δέ, ὁπόταν δόξῃ, προκύψας ὥ-
σπερ ὁ ἥλιος, ἐκείνων μὲν οὐδ᾽ ἐπιβλέψαιμι
ἐνίους. εἰ δέ τις πένης, οἷος ἦν ἐγὼ πρὸ τοῦ θη-
σαυροῦ, φιλοφρονήσομαι τοῦτον, καὶ λουσάμενον,
ἥκειν κελεύσω τὴν ὥραν ἐπὶ τὸ δεῖπνον. οἱ δέ,
ἀποπνιγήσονται οἱ πλούσιοι, ὁρῶντες ὀχήμα-
τα, ἵππους, καὶ παῖδας ὡραίους, ἴσον δισχιλίους,
ἐξ ἁπάσης ἡλικίας ὅ,τι περ τὸ αὐθηρότατον.
εἶτα δεῖπνα ἐπὶ χρυσοῦ. εὐτελὴς γὰρ ὁ ἄργυρος,
οὐ κατ᾽ ἐμέ. τάριχος μὲν, ἐξ Ἰβηρίας. οἶνος δέ,
ἐξ Ἰταλίας. ἔλαιον δέ, ἐξ Ἰβηρίας καὶ τοῦτο. μέλι
καὶ ἡμέτερον τὸ ἄπυρον, καὶ ὄψα πανταχόθεν,
σύες, καὶ λαγὼς, καὶ ὅσα πτηνά. ὄρνις, ἐκ Φά-
σιδος. καὶ ταὼς, ἐξ Ἰνδίας. καὶ ἀλεκτρυὼν, νομα-
δικός. οἱ δὲ σκευάζοντες ἕκαστα, σοφισταί τι-
νες, περὶ πέμματα καὶ χυμοὺς ἔχοντες. εἰ δέ
τινι προπίοιμι, σκύφον, ἢ φιάλην αἰτήσας ὁ
ἐκπιὼν, ἀποφερέτω καὶ τὸ ἔκπωμα. οἱ δὲ νῦν πλού-
σιοι, πρὸς ἐμὲ Ἶροι. καὶ προσαιτοῦσι δηλαδὴ ἅπαν-
τες. καὶ οὐκέτι τὸ ἀργυροῦν πινάκιον, ἢ τὸν σκύφον
ἐπιδείξει Διόνικος ἐν τῇ πομπῇ. καὶ μάλιστα
ἐπειδὰν ὁρᾷ τοὺς οἰκέτας τοὺς ἐμοὺς ἀργυρῷ το-
σούτῳ χρωμένους. τῇ πόλει δὲ ταῦτα παρ᾽ ἐμοῦ
ἐξαίρετα ὑπῆρξεν ἄν. αἱ μὲν διανομαί, κατὰ μῆ-

να ἕκαστον δραχμαί, τοῖς μὲν ἀστοῖς, ἑκατόν. τοῖς δὲ μετοίκοις, ἥμισυ τούτων. δημόσια δὲ εἰς κάλλος θέατρα, καὶ βαλανεῖα. καὶ τὴν θάλατταν ἄχρι πρὸς τὸ Δίπυλον ἥκειν. καὶ ταῦθα περὶ λιμένα εἶναι, ἐπαχθέντος ὀρύγματι μεγάλῳ τοῦ ὕδατος, ὡς τὸ πλοῖόν μου πλησίον ὁρμεῖν, καταφανὲς ὂν ἐκ τοῦ Κεραμεικοῦ. τοῖς φίλοις δὲ ὑμῖν, Σαμίππῳ μὲν, εἴκοσι μεδίμνους τοῦ ἐπισήμου χρυσίου προσαπομετρῆσαι τὸν οἰκονόμον ἐκέλευσα ἄν. Τιμολάῳ δὲ, πέντε χοίνικας. Λυκίνῳ δὲ, χοίνικα, ἀπομεμαγμένην καὶ ταύτην, ὅτι λάλος ἐστὶ, καὶ ἐπισκώπτει μου τὴν εὐχήν. τοῦτον ἐβουλόμην βιῶναι τὸν βίον πλουτῶν ἐς ὑπερβολήν, καὶ τρυφῶν, καὶ πάσαις ἡδοναῖς ἀφθόνως χρώμενος. εἴρηκα. καί μοι ὁ Ἑρμῆς τελεσιουργήσειεν αὐτά. ΛΥ. οἶσθα οὖν ὦ Ἀδείμαντε, ὡς πάνυ σοι ἀπὸ λεπτῆς κρόκης ὁ πᾶς οὗτος πλοῦτος ἀπήρτηται, καὶ ἢν ἐκείνη ἀπορραγῇ, πάντα οἴχεται, καὶ ἄνθρακές σοι ὁ θησαυρὸς ἔσται; ΑΔ. πῶς λέγεις ὦ Λυκῖνε; ΛΥ. ὅτι ὦ ἄριστε, ἄδηλον ὁπόσον χρόνον βιώσεις πλουτῶν. τίς γὰρ οἶδεν εἰ ἔτι παρακειμένης σοι τῆς χρυσῆς τραπέζης, πρὶν ἐπιβαλεῖν τὴν χεῖρα, καὶ ἀπογεύσασθαι τοῦ ταὼ, ἢ τοῦ νομάδος ἀλεκτρυόνος, ἀποφυσήσεις τὸ ψυχίδιον, ἄπει, γυψὶ, καὶ κόραξι πάντα ἐκεῖνα καταλιπών;

λιτῶν; ἢ ἐθέλεις καταριθμήσωμαί σοι τοὺς μέν, αὐτίκα πρὶν ἀπολαῦσαι τοῦ πλούτου ἀποθανόντας, ἐνίους δέ, καὶ ζῶντας ἀποστερηθέντας ὧν εἶχον, ὑπό τινος βασκάνου πρὸς τὰ τοιαῦτα δαίμονος; ἀκούεις γάρ που τὸν Κροῖσον, καὶ τὸν Πολυκράτην, πολὺ σοῦ πλουσιωτέρους γενομένους, ἐκπεσόντας ἐν βραχεῖ τῶν ἀγαθῶν ἁπάντων; ἵνα δέ σοι καὶ τοῦτο ἀφῶ, τό, τὴν ὑγείαν ἐχέγγυον οἴει σοι γενήσεσθαι, καὶ βέβαιον; ἢ οὐχ ὁρᾷς πολλοὺς τῶν πλουσίων κακοδαιμόνως διάγοντας ὑπὸ τῶν ἀλγηδόνων, τοὺς μέν, οὐδὲ βαδίζειν δυναμένους, ἐνίους δέ, τυφλούς, ἢ τῶν ἐντοσθιδίων τι ἀλγοῦντας; ὅτι μὲν γὰρ οὐκ ἂν ἐθελήσαιο πλουτῶν δὶς τοσοῦτον πλοῦτον, ὅμοια πάσχειν Φανομάχῳ τῷ πλουσίῳ, καὶ θηλύνεσθαι ὥσπερ ἐκεῖνος, εὖ οἶδα κἂν μὴ εἴπῃς. ἐῶ λέγειν ὅσας ἐπιβουλὰς οἶδε μετὰ τοῦ πλούτου, καὶ ληστείας, καὶ φθόνον, καὶ μῖσος παρὰ τῶν πολλῶν. ὁρᾷς ὅσων σοι πραγμάτων αἴτιος ὁ θησαυρὸς γίγνεται; Αδει. ἀεὶ σύ μοι ὦ Λυκῖνε, ὑπεναντίος. ὥστε οὔτε τὴν χοινικίδα ἔτι λήψῃ, ἐς τέλος μου τῇ εὐχῇ ἐπηρεάζων. Λυ. τοῦτο μὲν ἤδη κατὰ τοὺς πολλοὺς τῶν πλουσίων ἀναδύῃ, καὶ ἀνακαλεῖς τὴν ὑπόσχεσιν. ἀλλὰ σὺ ἤδη ὁ Σάμιππος, εὔχου. Σάμι. ἐγὼ δέ, ἠπειρώτης

γάρ εἰμι, ἀρκάς, ἐκ Μαντινείας ὥσπερ ἴστε, ναῦν μὲν οὐκ αἰτήσομαι γενέσθαι, ἥν τε τοῖς πολίταις ἐπιδείξασθαι ἀδύνατον. οὐδὲ μικρολογήσομαι πρὸς τοὺς θεοὺς, θησαυρὸν αἰτῶν, καὶ μεμετρημένον χρυσίον. ἀλλὰ, δύνανται γὰρ ἅπαντα οἱ θεοὶ, καὶ τὰ μέγιστα εἶναι δοκοῦντα, καὶ ὁ νόμος τῆς εὐχῆς, ὃν Τιμόλαος ἔθηκε, φησὶ μηδὲν ὀκνεῖν αἰτεῖν, ὡς ἐκείνων πρὸς οὐδὲν ἀνανευόντων, αἰτῶ δὴ βασιλεὺς γενέσθαι, οὐχ οἷος Ἀλέξανδρος ὁ Φιλίππου, ἢ Πτολεμαῖος, ἢ Μιθριδάτης, ἢ εἴ τις ἄλλος ἐκδεξάμενος τὴν βασιλείαν παρὰ πατρὸς ἦρξεν. ἀλλά μοι πρῶτον ἀπὸ λῃστείας ἀρξαμένῳ, ἑταῖροι, καὶ συνωμόται ὅσον τριάκοντα, πιστοὶ μάλα, καὶ πρόθυμοι γενέσθωσαν. εἶτα κατ' ὀλίγον, τριακόσιοι προσιόντες ἡμῖν, ἄλλοι ἐπ' ἄλλοις. εἶτα, χίλιοι. καὶ μετ' οὐ πολὺ, μύριοι. καὶ τὸ πᾶν, εἰς πέντε μυριάδας τὸ ὁπλιτικόν. ἱππεῖς δὲ, ἀμφὶ τοὺς πεντακισχιλίους. ἐγὼ δὲ, χειροτονητὸς ὑφ' ἁπάντων προκριθεὶς, ἄρχειν ἄριστος εἶναι δόξας, ἀνθρώπων ἡγεῖσθαι, καὶ πράγμασι χρῆσθαι, ὡς τοῦτό γε αὐτὸ ἤδη μεῖζον εἶναι τῶν ἄλλων βασιλέων, ἅτε ἀρετῇ προχειρισθέντα ὑπὸ στρατιᾶς ἄρχειν, οὐ κληρονόμον γενόμενον, ἄλλου πονήσαντος εἰς τὴν βασιλείαν. ἐπεὶ τοῦ Ἀδειμάντου θησαυροῦ, παραπλήσιον τὸ τοιοῦτο

κα

καὶ τὸ πρᾶγμα εὐχῇ ὅμοιον ἦν, ὥσπερ ὅταν ἴδῃ
τις αὐτὸς δὴ αὐτοῦ κτησάμενος τὴν δυναστείαν.
ΛΥ. Παπαὶ ὦ Σάμιππε, οὐδὲν μικρὸν, ἀλ-
λὰ τὸ κεφάλαιον αὐτὸ τῶν ἀγαθῶν ἁπάντων
εὐχῇ ᾔτησας, ἀρχὴν ἀσπίδος τοσαύτης, ἀρι-
στος δὴ προκριθεὶς ὑπὸ τῶν πεντακισμυρίων.
τοιοῦτον ἡμῖν ἡ Μαντίνεια θαυμαστὸν βασιλέα,
καὶ στρατηγὸν ἐλελήθει ἀναθρέφουσα. πλὴν ἀλ-
λὰ βασίλευε, καὶ ἡγοῦ τῶν στρατιωτῶν, καὶ δια-
ρίσμει τό, τε ἱππικὸν, καὶ τοὺς ἀνέρας τοὺς ἀσπι-
διώτας. ἐθέλω δὲ εἰδέναι οἷ βαδιεῖσθε τοσοῦτοι
ὄντες ἐξ Ἀρκαδίας, ἢ ἐπὶ τίνας ἀθλίους πρώ-
τους ἀφίξεσθε. ΣΑΜ. Ἄκουε ὦ Λυκῖνε. μᾶλ-
λον δὲ εἴ σοι φίλον, ἀκολούθει μεθ' ἡμῶν. ἵπ-
παρχον γάρ σε τῶν πεντακισχιλίων ἀποφανῶ.
ΛΥ. Ἀλλὰ τῆς μὲν τιμῆς ὦ βασιλεῦ, χάριν
οἶδά σοι. καὶ ὑποκύψας ἐς τὸ περσικὸν, προσκυ-
νῶ σε, περιαγαγὼν ἐς τοὐπίσω τὼ χεῖρε, τι-
μῶν τὴν τιάραν, ὀρθὴν οὖσαν, καὶ τὸ διάδημα.
σὺ δὲ τῶν ἐρρωμένων τούτων τινὰ ποίησον ἵπ-
παρχον. ἐγὼ γάρ σοι δεινῶς ἀφιππός εἰμι, καὶ
ὅλως οὐδὲ ἐπέβην ἵππου ἐν τῷ πρὸ τοῦ χρό-
νῳ. δέδια τοίνυν μὴ τοῦ σαλπιγκτοῦ ἐπιξύνου-
ντος, καταπεσὼν ἔπειτα, συμπατηθῶ ἐν τῇ τύρ-
βῃ ὑπὸ τοσαύταις ὁπλαῖς. ἢ καὶ θυμοειδὴς ὁ ἵπ-

περ ὤν, ἐξενέγκῃ με, τὸν χαλινὸν ἐνδακὼν, ἐς μέσους τοὺς πολεμίους, ἢ δεήσει καταδεθῆναί με πρὸς τὸ ἐφίππιον, εἰ μέλλω μένειν περ ἄνω, καὶ ἔχεσθαι τοῦ χαλινοῦ. Ἀδεί. ἐγώ σοι ὦ Σάμιππε, ἡγήσομαι τῶν ἱππέων. Λυκῖνος δὲ, τὸ δεξιὸν κέρας ἐχέτω. δίκαιος δ' ἂν εἴην τυχεῖν παρὰ σοῦ τῶν μεγίστων, καὶ οὗτός σε μεδίμνοις δωρησάμενος ἐπισήμου χρυσίου. Σάμι. καὶ αὐτοὺς ἐρώμεθα ὦ Ἀδείμαντε τοὺς ἱππέας, εἰ δέξονταί σε ἄρχοντα σφῶν γενέσθαι. ὅτῳ δὴ δοκεῖ ὦ ἱππεῖς Ἀδείμαντον ἱππαρχεῖν, ἀνατεινάτω τὴν χεῖρα. πάντες ὡς ὁρᾷς ὦ Ἀδείμαντε, ἐχειροτόνησαν. ἀλλὰ σὺ μὲν ἄρχε τῆς ἵππου. Λυκῖνος δὲ, ἐχέτω τὸ δεξιόν. οὑτοσὶ δὲ Τιμόλαος, ἐπὶ τοῦ εὐωνύμου τετάξεται. ἐγὼ δὲ, κατὰ μέσον, ὡς νόμος βασιλεῦσι τῶν περσῶν, ἐπειδὰν αὐτοὶ συμπαρεδρεύειν αὐτοῖς βούλωνταί τινας. προΐωμεν δὲ ἤδη τὴν ἐπὶ Κορίνθου διὰ τῆς ὀρεινῆς, ἐπευξάμενοι τῷ βασιλείῳ Διΐ. κἀπειδὰν τὰ ἐν τῇ Ἑλλάδι πάντα χειρωσώμεθα, οὐδεὶς γὰρ ὁ ἐναντιωθησόμενος ἡμῖν τὰ ὅπλα τοσούτοις οὖσιν, ἀλλ' ἀκονιτὶ κρατήσομεν, ἐπιβάντες ἐπὶ τὰς τριήρεις, καὶ τοὺς ἵππους εἰς τὰς ἱππαγωγοὺς ἐμβιβάσαντες, παρεσκεύασται δ' ἐν Κεγχρεαῖς καὶ σῖτος ἱκανὸς, καὶ τὰ

πλοῖα

πλοῖα διαρκῆ, καὶ τἆλλα πάντα, διαλάβωμεν τὸν αἰγαῖον ἐς τὴν Ιωνίαν. εἶτα ἐκεῖ τῇ Ἀρτέμιδι θύσαντες, καὶ τὰς πόλεις ἀτειχίστους λαβόντες, ῥᾳδίως ἄρχοντας ἀπολιπόντες, προχωρῶμεν ἐπὶ Συρίας διὰ Καρίας. εἶτα Λυκίας, καὶ Παμφυλίας, καὶ Πισιδῶν, καὶ τῆς παραλίου, καὶ ὀρεινῆς Κιλικίας, ἄχρις ἂν ἐπὶ τὸν Εὐφράτην ἀφικώμεθα. Λυ. ἐμὲ ὦ βασιλεῦ εἰ δοκεῖ, σατράπην τῆς Ελλάδος κατάλιπε. δειλὸς γάρ εἰμι, καὶ τῶν οἴκοι πολὺ ἀπελθεῖν, οὐκ ἂν ἡδέως ὑπομείναιμι. σὺ δὲ ἔοικας ἐπὶ Ἀρμενίους, καὶ Παρθυαίους ἐλάσειν, μάχιμα φῦλα, καὶ τὴν τοξικὴν εὔστοχα. ὥστε ἄλλῳ παράδους τὸ δεξιὸν, ἐμὲ αὐτὶ ἵππαρχόν τινα ἔασον ἐπὶ τῆς Ελλάδος, μή με καὶ διαπείρῃ τις οἰστῷ, ἀθλίως βαλὼν ἐς τὰ γυμνὰ, ποῦ Σοῦσα, ἢ Βάκτρα ἡγούμενόν σοι τῆς φάλαγγος. Σάμι. ἀποδιδράσκεις ὦ Λυκῖνε τὸν κατάλογον, δειλὸς ὤν. καὶ ὁ νόμος, ἀποτετμῆσθαι τὴν κεφαλὴν, εἴ τις ἀπολιπὼν φαίνοιτο τὴν τάξιν. ἀλλ' ἐπεὶ κατὰ τὸν Εὐφράτην ἤδη ἐσμὲν, καὶ ὁ ποταμὸς ἔζευκται, καὶ κατόπιν ὁπόσα διεληλύθαμεν ἀσφαλῶς ἔχει, καὶ πάντα ὕπαρχοι κατέχουσιν, ὑπ' ἐμοῦ ἑκάστῳ ἔθνει ἐπισταχθέντες, οἱ δὲ, καὶ ἀπίασι τὴν Φοινίκην ἡμῖν ἐν τοσούτῳ, καὶ τὴν

Παλαιστίνην, εἶτα καὶ τὴν Αἴγυπτον προσαξόμε-
νοι, σὺ πρῶτος ὦ Λυκῖνε λάβαινε, τὸ δεξιὸν ἄ-
γων. εἶτα ἐγώ. καὶ μετ' ἐμὲ, οὑτοσὶ Τιμόλαος.
ἐπὶ πᾶσι δὲ, τὸ ἱππικὸν ἄγε σὺ ὦ Ἀδείμαντε.
καὶ διὰ μὲν τῆς μεσοποταμίας, οὐδεὶς ἀπήν-
τηκεν ἡμῖν πολέμιος, ἀλλ' ἑκόντες αὐτούς
τε, καὶ τὰς ἀκροπόλεις ἄνθρωποι ἐνεχείρισαν.
ἐς δὲ Βαβυλῶνα ἐλθόντες, ἀπροσδόκητοι πα-
ρήλθομεν εἰς τὸ εἴσω τῶν τειχῶν, καὶ ἔχομεν τὴν
πόλιν. ὁ βασιλεὺς δὲ περὶ Κτησιφῶντα δια-
τρίβων, ἤκουσε τὴν ἔφοδον. εἶτα εἰς Σελεύκει-
αν παρελθὼν, παρασκευάζεται, ἱππέας τε
ὅτι πλείστους μεταπεμπόμενος, καὶ τοξότας, καὶ
σφενδονήτας. ἀπαγγέλλουσι δ' οὖν οἱ σκοποὶ
ἀμφὶ τὰς ἑκατὸν ἤδη μυριάδας τοῦ μαχίμου
συνειλέχθαι, καὶ τούτων εἴκοσιν ἱπποτοξότας,
καίτοι οὔπω ὁ Ἀρμένιος πάρεστιν, οὔτε οἱ κα-
τὰ τὴν κασπίαν θάλατταν οἰκοῦντες, οὔτε οἱ
ἀπὸ Βάκτρων, ἀλλ' ἐκ τῶν πλησίων, καὶ προα-
στείων τῆς ἀρχῆς. οὕτω ῥαδίως τοσαύτας μυ-
ριάδας κατέλεξε. καιρὸς οὖν ἤδη σκοπεῖν ἡμᾶς
ὅ, τι χρὴ ποιεῖν. ΑΔΕΙ. ἀλλ' ἐγὼ μέν φη-
μι δεῖν ὑμᾶς τὸ πεζὸν, ἀπιέναι τὴν ἐπὶ Κτησι-
φῶντος. ἡμᾶς δὲ τὸ ἱππικὸν, αὐτοῦ μένειν, τὴν
βαβυλῶνα διαφυλάξοντας. ΣΑΜΙ. ἀπο
δι

δειλίας καὶ σὺ ὦ Ἀδείμαντε, πλησίον τοῦ κιν-
δύνου γενόμενος. σοὶ δὲ τί δοκεῖ ὦ Τιμόλαε;
ΤΙΜΟ. ἁπάσῃ τῇ στρατιᾷ βαδίζειν ἐπὶ τοὺς πο-
λεμίους, μὴ δὲ περιμένειν ἔστ' ἂν ἄμεινον πα-
ρασκευάσαντι, πανταχόθεν ἀορίστου συμμά-
χων προσγενομένων. ἀλλ' ἕως ἔτι καθ' ὁδόν
εἰσιν οἱ πολέμιοι, ἐπιχειρῶμεν αὐτοῖς. ΣΑΜΙ.
εὖ λέγεις. σὺ δὲ τί ὦ Λυκῖνε δοκιμάζεις; ΛΥ.
ἐγώ σοι φράσω. ἐπειδὴ κεκμήκαμεν συντόνως
βαδίζοντες, ὁπότε κατῄειμεν ἕωθεν ἐς τὸν Πει-
ραιᾶ, καὶ νῦν δὲ ἤδη τριάκοντά που σταδίους προ-
κεχωρήκαμεν, καὶ ὁ ἥλιος πολύς, κατὰ μεσημ-
βρίαν γὰρ ἤδη μάλιστα, ἐνταῦθά που ἐπὶ τὰς
ἐλαίας ὑπὸ τὴν ἀνατετραμμένην στήλην καθίσαν-
τας, ἀναπαύσασθαι. εἶτα οὕτως ἀναστάντας,
πορεύεσθαι, καὶ ἀνύειν τὸ λοιπὸν ἐς τὸ ἄστυ.
ΣΑΜΙ. ἔτι γὰρ Ἀθήνησιν ὦ μακάριε εἶναι δοκεῖς,
ὃς ἀμφὶ Βαβυλῶνα ἐν τῷ πεδίῳ πρὸ τῶν τει-
χῶν ἐν φρουρίοις στρατιώταις κάθησαι περὶ τοῦ
πολέμου διασκοπούμενος; ΛΥ. ὑπέμνη-
σας. ἐγὼ δὲ νήφειν ᾤμην, καὶ σὺ πρὸς τὸ φα-
νερὸν θαι τὴν γνώμην. ΣΑΜΙ. πρόσειμι δή,
εἴ σοι δοκεῖ. καὶ ὅπως ἄνδρες ἀγαθοὶ ἐν τοῖς κιν-
δύνοις ἔσεσθε, μὴ δὲ προδῶτε τὸ πάτριον φρόνη-
μα. ἤδη γάρ που καὶ οἱ πολέμιοι ἐπιλαμβάνον-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σιν. ὥστε τὸ μὲν σύνθημα, ἔστω ἐνυάλιος. ὑμεῖς
δὲ, ἐπειδὰν σημάνῃ ὁ σαλπιγκτὴς, ἀλαλά-
ξαντες, καὶ τὰ δόρατα κρούσαντες πρὸς τὰς
ἀσπίδας, ἐπείγεσθε συμμῖξαι τοῖς ἐναντίοις, καὶ
ἐντὸς γενέσθαι τῶν τοξευμάτων, ὡς μηδὲ πλη-
γὰς λαμβάνωμεν, ἀκροβολίζεσθαι αὐτοῖς δι-
δόντες. ἢ ἐπειδὴ ἐς χεῖρας ἤδη συνεληλύθα-
μεν, τὸ μὲν εὐώνυμον, καὶ ὁ Τιμόλαος, ἐτρέψαντο
τοὺς καθ' αὑτοὺς, Μήδους ὄντας. τὸ δὲ κατ' ἐμὲ,
ἰσόπαλον ἔτι. Πέρσαι γάρ εἰσι, καὶ ὁ βασι-
λεὺς ἐν αὐτοῖς. ἡ δὲ ἵππος ἅπασα τῶν βαρβάρων,
ἐπὶ τὸ δεξιὸν ἡμῶν ἐλαύνουσιν. ὥστε ὦ Λυκῖνε,
αὐτός τε ἀνὴρ ἀγαθὸς γίνου, καὶ τοῖς μετὰ σαυτοῦ
παρακελεύου δέχεσθαι τὴν ἐπέλασιν. Λυ.
ὢ τῆς τύχης. ἐπ' ἐμὲ γοῦν οἱ ἱππεῖς ἅπαντες,
καὶ μόνος ἐπιτήδειος αὐτοῖς ἔδοξα ἐπελαύνεσθαι.
καί μοι δοκῶ, ἢν βιάζωνται, αὐτομολήσειν,
προσδραμὼν ἐς τὴν παλαίστραν, ἔτι πολεμοῦν-
τας ὑμᾶς καταλιπών. Σάμι. μηδαμῶς.
κρατεῖς γὰρ αὐτῶν καὶ σὺ ἤδη τὸ μέρος. ἐγὼ δὲ
ὡς ὁρᾷς καὶ μονομαχήσω πρὸς τὸν βασιλέα.
προσκαλεῖται γάρ με. καὶ ἀναδῦναι πάντως
αἰσχρόν. Λυ. νὴ Δία καὶ τετρώσῃ αὐτίκα μά-
λα πρὸς αὐτοῦ. βασιλικὸν γὰρ καὶ τὸ τρωθῆναι
περὶ τῆς ἀρχῆς μαχόμενον. Σάμι. εὖ λέ-
γεις.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γεις. ἐπιπόλαιον μέν μοι τὸ τραῦμα, καὶ οὐκ εἰς τὰ φανερὰ τοῦ σώματος, ὡς μηδὲ τὴν οὐλὴν ὕστερον ἄμορφον γενέσθαι. πλὴν ἀλλὰ ὁρᾶτε ὅπως ἐπελάσας, μιᾷ πληγῇ αὐτόν τε καὶ τὸν ἵππον διέπειρα τὴν λόγχην ἀφείς; εἶτα τὴν κεφαλὴν ἀποτεμὼν, καὶ ἀφελὼν τὸ διάδημα, βασιλεὺς ἤδη γέγονα, προσκυνούμενος ὑφ' ἁπάντων, οἱ βάρβαροι προσκυνείτωσαν ἡμῖν, κατὰ τὸν Ἑλλήνων νόμον ἄρξω, εἷς στρατηγὸς ὀνομαζόμενος. ἐντεῦθεν μυρίας ἄρα ἐννοεῖτε ὅσας μὲν πόλεις ἐπωνύμους ἐμαυτοῦ οἰκιῶ, ὅσας δὲ καὶ καθαιρήσω ἑλὼν κατὰ κράτος, αἳ ἂν ὑβρίσωσί τι ἐς τὴν ἀρχήν. ἁπάντων δὲ μάλιστα Κυδίαν τὸν πλούσιον μετελεύσομαι, ὃς ὅμορος ἤδη ὤν μοι, ἐξέωσε τοῦ ἀγροῦ, ἐπιβαίνων κατ' ὀλίγον ἐς τὸ εἴσω τῶν ὅρων. Λυ. πέπαυσο ἤδη ὦ Σάμιππε. καιρὸς γάρ σε ἤδη μὲν νενικηκότα τηλικαύτην μάχην, ἐν Βαβυλῶνι εὐωχεῖσθαι τὰ ἐπινίκια. ἐκστάδιος γὰρ οἶμαί σοι ἡ ἀρχή. Τιμόλαον δὲ ἐν τῷ μέρει εὔχεσθαι ὅπερ ἂν ἐθέλῃ. Σάμι. τί δ' οὖν ὦ Λυκῖνε, οἷά σοι ᾐτῆσθαι δοκῶ; Λυ. παρὰ πολὺ ὦ θαυμασιώτατε βασιλέων ἐπιπονώτερα, καὶ βιαιότερα τῶν Ἀδειμάντου. πρὸς ὅσον ἐκεῖνος μὲν ἔτρυφα, διτάλαντα χρυσᾶ ἐκπώματα προπίνων τοῖς συμπόταις. σὺ δὲ,

καὶ ἐτιτρώσκου μονομαχῶν, καὶ ἐδεδίεις, καὶ ἐ-
φρόντιζες νύκτωρ, καὶ μεθ' ἡμέραν. οὐ μόνον γάρ
σοι τὰ παρὰ τῶν πολεμίων φοβερὰ ἦν, ἀλλὰ
καὶ ἐπιβουλαὶ μυρίαι, καὶ φθόνος παρὰ τῶν συ-
νόντων, καὶ μῖσος, καὶ κολακεία. φίλος δὲ οὐ-
δεὶς ἀληθὴς, ἀλλὰ πρὸς τὸ δέος ἅπαντες, ἢ
πρὸς τὴν ἐλπίδα εὖνοι δοκοῦντες εἶναι. ἀπόλαυ-
σις μέν γε, οὐδὲ ὄναρ τῶν ἡδέων, ἀλλὰ δόξα
μόνον, καὶ πορφυρὶς, χρυσῷ ποικίλη, καὶ ταινία
λευκὴ περὶ τῷ μετώπῳ, καὶ δορυφόροι προϊόν-
τες. τὰ δ' ἄλλα, κάματος ἀφόρητος, καὶ
ἀηδία πολλή. καὶ ἢ χρηματίζειν τοῖς παρὰ
τῶν πολεμίων ἥκουσι δεῖ, ἢ δικάζειν, ἢ κατα-
πέμπειν τοῖς ὑπηκόοις ἐπιτάγματα, καὶ ἤτοι
ἀφέστηκέ τι ἔθνος, ἢ ἐπελαύνουσί τινες τῶν ἔξω
τῆς ἀρχῆς. δεδιέναι οὖν δεῖ πάντα, καὶ ὑφορᾶ-
σθαι. καὶ ὅλως, ὑπὸ πάντων μᾶλλον, ἢ ὑπὸ
σαυτοῦ εὐδαιμονίζεσθαι. καὶ γὰρ οὖν καὶ τόδε,
πῶς οὐ ταπεινὸν, ὅτι καὶ νοσεῖς τὰ ὅμοια τοῖς
ἰδιώταις, καὶ ὁ πυρετὸς οὐ διαγινώσκει σε βα-
σιλέα ὄντα, οὐδὲ ὁ θάνατος δέδιε τοὺς δορυφό-
ρους. ἀλλ' ἐπιστὰς ὁπόταν αὐτῷ δοκῇ, ἄγει
οἰμώζοντα, οὐκ αἰδούμενος τὸ διάδημα. σὺ
δὲ ὁ οὕτως ὑψηλὸς καταπεσὼν, ἀνάσπαστος
ἐκ τοῦ βασιλείου θρόνου τὴν αὐτὴν ὁδὸν ἄπει,

τοῖς

τοῖς πολλοῖς ἰσότιμος, ἐλαυνόμενος ἐν τῇ ἀγέλῃ τῶν νεκρῶν, χῶμα ὑψηλὸν ὑπὲρ γῆς, καὶ στήλην μακράν, ἢ πυραμίδα εὔγραμμον, τὰς γωνίας ἀπολιπών, ἐκπρόθεσμα καὶ ἀνεπαίσθητα φιλοτιμήματα. εἰκόνες δὲ ἐκεῖναι, καὶ νεώς, οὓς ἀνιστᾶσιν αἱ πόλεις θεραπεύουσαι, καὶ τὸ μέγα ὄνομα, πάντα κατ' ὀλίγον ἀπορρεῖ, καὶ ἄπεισιν ἀμελούμενα. ἢν δὲ καὶ ἔτι μάλιστα ἐπὶ πλεῖστον παραμείνῃ, τίς ἔτι ἀπόλαυσις ἀναισθήτῳ αὐτῶν γενομένῳ; ὁρᾷς, οἷα μὲν ζῶν ἔτι ἕξεις πράγματα, δεδιὼς, καὶ φροντίζων, καὶ κάμνων, οἷα δὲ καὶ μετὰ τὴν ἀπαλλαγὴν ἔσται; ἀλλ' ἤδη σὸν αἰτεῖν ὦ Τιμόλαε, καὶ ὅπως ὑπερβάλῃ ῥύπις, ὥσπερ εἰκὸς ἄνδρα συνετόν, καὶ πράγμασι χρῆσθαι εἰδότα. Τιμό. σκόπει γοῦν ὦ Λυκῖνε, εἴ τι ἐπιλήψιμον εὔξομαι, καὶ ὅ,τι ἂν εὐθύναι τις δυνηθείη. χρυσὸν μὲν γὰρ, καὶ θησαυροὺς, καὶ μεδίμνους νομίσματος, ἢ βασιλείας, καὶ πολέμους, καὶ δείματα ὑπὲρ τῆς ἀρχῆς, ἃ εἰκότως διέβαλες, οὐκ αἰτήσομαι. ἀβέβαια γὰρ ταῦτά γε, καὶ πολλὰς τὰς ἐπιβουλὰς ἔχοντα, καὶ πλέον τοῦ ἡδέος τὸ ἀνιαρὸν ἐν αὐτοῖς ἦν. ἐγὼ δέ, βούλομαι τὸν Ἑρμῆν ἐντυχόντα μοι δοῦναί τινας δακτυλίους τοιούτους τὴν δύναμιν, ἕνα

μὲν, ὥστε ἀεὶ ἐρρῶσθαι, καὶ ὑγιαίνειν τὸ σῶμα, καὶ ἄτρωτον εἶναι, καὶ ἀπαθῆ. ἕτερον δὲ, ὡς μὴ ὁρᾶσθαι τὸν βουλόμενον, οἷος ἦν ὁ τοῦ Γύγου. τὸν δέ τινα, ὡς ἰσχύειν ὑπὲρ ἄνδρας μυρίους, καὶ ὅ, τι ἂν ἄχθος ἅμα μυρίοι κινῆσαι μόλις δύναιντο, τοῦτό με ῥᾳδίως μόνον ἀνατίθεσθαι. ἔτι δὲ καὶ πέτεσθαι, πολὺ ἀπὸ τῆς γῆς ἀρθέντα. καὶ πρὸς τοῦτό μοι εἶναι δακτύλιόν τινα. καὶ μὴν καὶ ἐς ὕπνον καταπάσαι, ὁπόσους ἂν ἐθέλω. καὶ ἅπασάν θύραν προσιόντι μοι ἀνοίγεσθαι, χαλωμένου τοῦ κλείθρου, καὶ τοῦ μοχλοῦ ἀφαιρουμένου. ταῦτα ἀμφότερα, εἷς δακτύλιος δυνάσθω. τὸ δὲ μέγιστον, ἄλλος τις ἔστω τῶν πάντων ὁ ἥδιστος, ὡς ἐράσμιον εἶναί με, ποθούμενον παισὶ τοῖς ὡραίοις, καὶ γυναιξὶ, καὶ δήμοις ὅλοις, καὶ μηδένα εἶναι ἀνέραστον, καὶ ὅτῳ μὴ ποθεινότατος ἐγὼ, καὶ ἀνὰ στόμα· ὥστε πολλὰς γυναῖκας οὐ φερούσας τὸν ἔρωτα, καὶ ἀναρτᾶν ἑαυτάς, καὶ τὰ μειράκια ἐπιμεμηνέναι μοι, καὶ εὐδαίμονα εἶναι δοκεῖν, εἴ τινα καὶ μόνον προσβλέψαιμι αὐτῶν. εἰ δ᾽ ὑπερορῴην, κἀκεῖνα ὑπὸ λύπης ἀπολλύσθω. καὶ ὅλως, ὑπὲρ τὸν Ὑάκινθον, ἢ Ὕλαν, ἢ Φάωνα τὸν Χῖον εἶναί με, καὶ ταῦτα πάντα ἔχειν, μὴ ὀλιγοχρόνιον ὄντα, μηδὲ κατὰ μέτρον ζῶντα τοῦ ἀνθρωπίνου βίου,

ἀλλ᾽

ἀλλ' ἔτη χίλια νέον ἐκ νέου γιγνόμενον διαβιῶναι, ἀμφὶ τὰ ἑπτακαίδεκα ἔτη ἀεὶ ἀποδυόμενον τὸ γῆρας, ὥσπερ οἱ ὄφεις. οὐδενὸς γὰρ δεήσει με, ταῦτα ἔχοντα. πάντα γὰρ ἐμὰ ἦν ἂν τὰ τῶν ἄλλων, ἐς ὅσον ἀνοίγειν τε τὰς θύρας ἐδυνάμην, καὶ κοιμίζειν τοὺς φύλακας, καὶ ἀθέατος εἶναι εἰσιών. εἰ δέ τι ἐν Ἰνδοῖς, ἢ Ὑπερβορέοις θέαμα παράδοξον, ἢ κτῆμα τίμιον, ἢ ὅσα ἐμφαγεῖν ἢ πιεῖν ἡδέα, οὐ μεταστελλόμενος, ἀλλ' αὐτὸς ἐπιπετόμενος, ἀπέλαυον ἁπάντων ἐς κόρον. καὶ ἐπὶ γρύψ, ὑπόπτερον θηρίον, ἢ φοῖνιξ, ὄρνεον ἐν Ἰνδοῖς ἀθέατον τοῖς ἄλλοις, ἐγὼ δὲ καὶ τοῦτον ἑώρων ἄν. καὶ τὰς πηγὰς δὲ τὰς Νείλου, μόνος ἂν ἠπιστάμην, καὶ ὅσον τῆς γῆς ἀοίκητον, καὶ εἴ τινες ἀντίποδες ἡμῖν οἰκοῦσι, τὸ νότιον τῆς γῆς καίρμον ἔχοντες. ἔτι δὲ καὶ ἀστέρων φύσιν, καὶ σελήνης. καὶ αὐτοῦ ἡλίου, ῥᾳδίως ἂν ἔγνων, ἀπαθὴς ὢν τοῦ πυρός. καὶ τὸ πάντων ἥδιστον, αὐθημερὸν ἀγγέλλειν ἐς Βαβυλῶνα τίς ἐνίκησεν Ὀλύμπια. καὶ ἀριστήσαντα, εἰ τύχοι μὲν Συρίᾳ, δειπνῆσαι ἐν Ἰταλίᾳ. εἰ δέ τις ἐχθρὸς εἴη, ἀμύνασθαι καὶ τοῦτον ἐκ τοῦ ἀφανοῦς, πέτρον ἐμβαλόντα τῇ κεφαλῇ, ὡς ἐπιτετρίφθαι τὸ κρανίον. τούς τε αὖ φίλους, εὖ ποιεῖν, ἐπιχέαντα κοιμωμένοις αὐτοῖς τὸ χρυσίον. καὶ μὴν εἴ τις ὑπερόπτης

εἴη, ἢ τύραννος πλούσιος ὑβριστής, ἀράμενος αὐτὸν ὅσον ἐπὶ σταδίους εἴκοσιν, ἀφῆκα φέρεσθαι κατὰ τῶν κρημνῶν. τοῖς παιδικοῖς δὲ ὁμιλεῖν ἀκωλύτως ἂν ἐξῆ, εἰσιόντα ἀθέατον, κοιμίσαντα ἅπαντας, ἄνευ ἐκείνων μόνων. οἷον δὲ κἀκεῖνο ἦν, τοὺς πολεμοῦντας ἐπισκοπεῖν ἔξω βέλους ὑπεραιωρούμενον. καὶ εἰ δόξειέ μοι, προσθέμενος ἂν τοῖς ἡττημένοις, κοιμίσας τοὺς κρατοῦντας, νικᾶν παρεῖχον τοῖς φεύγουσιν, ἀναστρέψασιν ἀπὸ τῆς τροπῆς. καὶ τὸ ὅλον, παιδιὰν ἐποιούμην ἂν τὸν τῶν ἀνθρώπων βίον, καὶ πάντα ἐμὰ ἦν, καὶ θεὸς ἐδόκουν τοῖς ἄλλοις. τοῦτο ἡ ἄκρα εὐδαιμονία ἐστί, μήτε ἀπολέσθαι, μήτε ἐπιβουλευθῆναι δυναμένην καὶ μάλιστα μεθ' ὑγιείας ἐν μακρῷ τῷ βίῳ. τί ἂν αἰτιάσαιο ὦ Λυκῖνε τῆς εὐχῆς; ΛΥ. οὐδὲν ὦ Τιμόλαε. οὐδὲ γὰρ ἀσφαλὲς ἐναντιοῦσθαι ἀνδρὶ πτηνῷ, καὶ ὑπὲρ μυρίους τὴν ἰσχύν. πλὴν ἀλλὰ ἐκεῖνο ἐρήσομαί σε, εἴ τινα ἄλλον εἶδες ἐν τοσούτοις ἔθνεσιν, ὅσα ὑπερέπτης, γέροντα ἤδη ἄνδρα, οὔπω παρακεκινηκότα τὴν γνώμην, ἀπὸ δακτυλίου μικροῦ ὀχούμενον, ὄρη ὅλα κινεῖν ἄκρῳ τῷ δακτύλῳ δυνάμενον, ἐπέραστον πᾶσι, καὶ ταῦτα, φαλακρὸν ὄντα, καὶ τὴν ῥῖνα σιμόν. ἀτὰρ εἰπέ μοι καὶ τόδε, τί δή ποτε οὐχ εἷς δακτύλιος ἅπαν-

ος ἅπαν-

ὡς ἅπαντα ταῦτα δύναταί σοι, ἀλλὰ τοὺς ὑπὲρ
περιημμένος βαθύ, τὴν ἀριστερὰν πεφορτι-
σμένος κατὰ δάκτυλον ἕνα. μᾶλλον δὲ ὑ-
περπαίει ὁ ἀριθμὸς, καὶ δεήσει καὶ τὴν δεξιὰν συνε
πιλαβεῖν. καίτοι ἑνὸς τοῦ ἀναγκαιοτάτου
προσδεῖ, ὃς περιθέμενόν σε, παύσει μωραίνον-
τα, τὴν πολλὴν ταύτην κόρυζαν ἀποξύσας.
ἢ τοῦτο μὲν καὶ ὁ ἑλλέβορος ἱκανὸς ποιῆσαι, ζω-
ρότερος ποθείς. Τιμό. ἀλλὰ πάντως ὦ
Λυκῖνε, καὶ αὐτὸς εὔξῃ τι ἤδη ποτὲ, ὡς ἂν μά-
θωμεν οἷα αἰτήσεις ἀνεπίληπτα, καὶ ἀνέγκλη-
τα, ὁ συκοφαντῶν τοὺς ἄλλους. Λυ. ἀλλ᾽ οὐ δέο-
μαι εὐχῆς ἐγώ. ἥκομεν γὰρ ἤδη πρὸς τὸ Δίπυλον. καὶ
ὁ βέλτιστος οὑτοσὶ Σάμιππος, ἀμφὶ Βαβυλῶνα
μονομαχῶν. καὶ σὺ ὦ Τιμόλαε, ἀριστῶν μὲν ἐν Συ
ρίᾳ, δειπνῶν δὲ ἐν Ἰταλίᾳ, καὶ τοῖς ἐμοὶ ἐπιβάλ
λουσι σταδίοις κατεχρήσασθε, καλῶς ποιοῦν-
τες. ἄλλως τε, οὐκ ἂν δεξαίμην πλουτήσας ἐπ᾽
ὀλίγον, ἀνεμιαῖόν τινα πλοῦτον ἀνιαθῆναι,
μετ᾽ ὀλίγον ψιλὴν τὴν μᾶζαν ἐσθίων, οἷα ὑ-
μεῖς πείσεσθε μετ᾽ ὀλίγον, ἐπειδὰν ἡ εὐδαιμο-
νία μὲν ὑμῖν, καὶ ὁ πολὺς πλοῦτος οἴχηται ἀπο
πτάμενος, αὐτοὶ δὲ καταβάντες ἀπὸ τῶν θη-
σαυρῶν τε, καὶ διαδημάτων, ὥσπερ ἐξ ἡδίστου
ὀνείρατος ἀνεγρόμενοι, ἀνόμοια τὰ οἰκοι

κίας εὑρίσκητε, ὥσπερ οἱ τοὺς βασιλέας ὑποκρινόμενοι τραγῳδοί, ἐξελθόντες ἀπὸ τοῦ θεάτρου, λιμώττοντες οἱ πολλοί. καὶ ταῦτα, πρὸ ὀλίγου Ἀγαμέμνονες ὄντες, ἢ Κρέοντες. λυπήσεσθε οὖν ὡς τὸ εἰκός, καὶ δυσάρεστοι ἔσεσθε τὰ οἴκοι τῆς οἰκίας. καὶ μάλιστα σὺ ὦ Τιμόλαε, ὁπόταν δέῃ σε τὸ αὐτὸ παθεῖν τῷ Ἰκάρῳ, τῆς πτερώσεως διαλυθείσης, καταπεσόντα ἐκ τοῦ οὐρανοῦ, χαμαὶ βαδίζειν, ἀπολέσαντα τοὺς δακτυλίους ἐκείνους, ἅπαντας ἀπορρυέντας τῶν δακτύλων. ἐμοὶ δὲ καὶ ἐστὶν ἱκανὸν ἀντὶ πάντων θησαυρῶν, καὶ Βαβυλῶνος αὐτῆς, τὸ γελάσαι μάλα ἡδέως ἐφ' οἷς ἡμεῖς ηὔξατε, τοιούτοις οὖσι, καὶ ταῦτα, φιλοσοφίαν ἐπαινοῦντες.

## ΤΡΑΓΟΠΟΔΑΓΡΑ ΠΟΔΑΓΡΟΣ.

Ὦ στυγνὸν οὔνομ', ὦ θεοῖς στυγούμενον
Ποδάγρα, πολυστένακτε, Κωκυτοῦ τέκνον,
ἣν Ταρτάρου κευθμῶσιν ἐν βαθυσκίοις,
Μέγαιρ' Ἐριννὺς γαστρὸς ἐξεγείνατο,
μαζοῖσί τ' ἐξέθρεψε, καὶ πικρῷ βρέφει
εἰς χεῖλος ἐστάλαξεν Ἀληκτὼ γάλα,
τίς τὴν δυσώνυμόν σε δαιμόνων ἄρα,
εἰς φῶς ἀνῆκεν; ἦλθες ἀνθρώποις βλάβος.
εἰ γὰρ τεθνεῶσιν ἀμπλακημάτων τίσις
βροτῶν ὀπηδεῖ, τῶν ἔδρασαν ἐν φάει,

οὐ Τάνταλον ποτοῖσιν, οὐδ' Ἰξίονα
τροχῷ στροβητὸν, οὐδὲ Σίσυφον πέτρῳ,
ἔδει κολάζειν ἐν δόμοισι Πλουτέως,
ἁπλῶς δὲ πάντας τοὺς κακῶς δεδρακότας,
τοῖς σοῖς περισάπτειν ἀρθροκηδέσιν πόνοις,
ὡς μοῦ τὸ λυπρὸν, καὶ ταλαίπωρον δέμας,
χειρῶν ἀπ' ἄκρων εἰς ἄκρας ποδῶν βάσεις,
ἰχῶρι φαύλῳ, καὶ πικρῷ χυμῷ χολῆς,
πνεύματι βιαίῳ τοὺς διασφίγγον πόρους
ἔστηκε. καὶ μεμυκὼς, ἐπιτείνει πόνους.
σπλάγχνων δ' ἐπ' αὐτῶν, διάπυρον τρέχει κακὸν,
δίναισι φλογμῶν σάρκα πυρπολούμενον,
ὁποῖα κρητὴρ μεστὸς αἰτναίου πυρὸς,
ἢ σικελὸς αὐλὼν ἁλιπόρου διασφάγος.
ὅπου δυσεξέλικτα κύματα πύμενος,
στήραξι πετρῶν σκολιὸς εἱλεῖται κλύδων.
ὦ δυστέκμαρτον πᾶσιν ἀνθρώποις τέλος,
ὡς εἰς μάτην σε πάντες ἀμφιθάλπομεν,
ἐλπίσι ματαίαις μωρὰ βουκολούμενοι.
ἀνὰ Δίνδυμον Κυβήσης Χο.
Φρύγες ἔνθεον ὀλολυγὴν,
ἁπαλῷ τελοῦσιν Ἄττει.
καὶ πρὸς μέλος κεραύλου
Φρυγίου κατ' οὔρεα Τμώλου,
κῶμον βοῶσι Λυδοί.

πραπλῆγου δ' ἀμφὶ ῥόπτροις
κελαδοῦσι καὶ τὶ ῥυθμῷ
νόμον εὐὰν Κορυβάντων.
κλάζει δὲ βρίθουσα σάλπιγξ
Ἀρεῒ κρέκουσα θούρῳ
πολεμηΐαν ἄτην.
ἡμεῖς δέ σοι Ποδάγρα,
πρώταις ἔαρος ἐν ὥραις
μύσται τελοῦμεν οἴκτους,
ὅτε πᾶς χλοητόκοισι
ποίαις τέθηλε λειμὼν,
ζεφύρου δὲ δένδρεα πνοαῖς
ἁπαλοῖς κομᾷ πετήλοις.
ἁ δὲ δύσγαμος κατ' οἴκους
μερόπων θροεῖ χελιδὼν,
καὶ νύκτερος καθ' ὕλαν
τὸν Ἴτυν στένει δακρύοις
ἀτθὶς γόοις ἀηδών.
πο. ὤμοι πόνων ἀρωγὸν, ὦ τρίτου ποδὸς
μοῖραν λελογχὸς βάκτρον, ἔξερει δέ μου
βάσιν τρέμουσαν, καὶ κατίθυνον τρίβον,
ἴχνος τὲ βαιὸν ὡς ἰωθῇ στήσω πέδῳ.
ἔγειρε τλῆμον γυῖα δεμνίων ἄπο,
καὶ λεῖπε μελάθρων τὴν ὑπώροφον στέγην.
σκέδασον δ' ἀπ' ὄσσων νύχιον ἀέρος βάθος,

πολῶν θύραζε. καὶ πρὸς ἡλίου φάος
ἀθόλωτον αὔραν, πνεύματος φαιδροῦ σπάσον.
λέκαρν ἤδη τοῦτο πρὸς πέμπτῳ φάει,
ἐξ οὗ ζόφῳ σύγκλειστος ἡλίου δίχα,
γυναῖς ἐν ἀστρώτοισι τείρομαι δέμας.
ψυχὴ μὲν οὖν μοι, καὶ προθυμία πάρα,
ῥάστως ἀμείβειν τῆς θύρας ὡρμημένῳ.
δέμας δὲ νωθρὸν, οὐχ ὑπηρετεῖ πόθοις.
ὅμως δ' ἐπείγου θυμὲ, γινώσκων ὅτι
πτωχὸς ποδαγρῶν, περιπατεῖν μὲν ἂν θέλῃ,
καὶ μὴ δύνηται, τοῦτον ἐν νεκροῖς τίθει.
ἀλλ' εἶα.
τίνες γὰρ οἵδε βάκτρα νωμῶντες χεροῖν,
κάρηνα φύλλοις ἀκτέας καταστεφεῖς,
τίνα δαιμόνων ἄγουσι κωμαστὴν χορόν;
μῶν Φοῖβε παιὰν, σὸν γεραίρουσι σέβας;
ἀλλ' οὐ στέφονται δελφίδος φύλλῳ δάφνης.
ἦ μή τις ὕμνος βακχείων κωμάζεται;
ἀλλ' οὐκ ἔπεστι κισσίνη σφραγὶς κόμαις,
τίνες ποθ' ἡμῖν ὦ ξένοι βεβήκατε;
αὐδᾶτε, καὶ πρόεσθε νημερτῆ λόγον.
τίς δ' ἐστὶν, ἣν ὑμνεῖτε, λέξατ' ὦ φίλοι.
σὺ δ' ὢν τίς, ἡμᾶς, καὶ τίνων, προσεννέπεις; Χο.
ὡς γάρ σε βάκτρον, καὶ βάσις μηνύετον,
μύστην ὁρῶμεν τῶν ἀνικήτου θεᾶς,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πο. εἷς εἰμι κἀγὼ τῶν θεᾶς ἐπάξιος.
Χο. τὰν μὲν κυπρίαν Ἀφροδίταν
σταγόνων προπεσοῦσαν ἀπ' αἰθέρος,
ἀνεθρέψατο κόσμιον ἁρμογὰν
ἅλιος ἐνὶ κύμασι Νηρεύς.
τὰν δ' Ὠκεανοῦ παρὰ παγαῖς
Ζηνὸς παράκοιτιν ὀλυμπίου
λευκώλενον εὐρέσι κόλποις
Ἥραν, ἐπιθήνατο Τηθύς.
κορυφαῖσι δὲ κρατὸς ἐν ἀφθίτου.
ἐλόχευσε κόρης ἄτρομον φυὰν
Κρονίδας, μέγ' ἄειστος ὀλυμπίων,
τὰν ἐγρεκύδοιμον Ἀθάναν.
τὰν δ' ἡμετέραν θεὸν ὀλβίαν,
ὁ γέρων λιπαραῖσιν ἐν ἀγκάλαις
πρώταν ἐλόχευσεν Ὀφίων.
ὅτ' ἔπαυσατο μὲν σκότιον φάος,
ἀνέτειλέ τε λαμπετὶς ἠώς,
καὶ παμφαὲς ἀελίου σέλας,
τότε καὶ Ποδάγρας ἐφάνη κράτος.
ὅτε γὰρ λαγόνων σε τεκοῦσα
μοῖρα, Κλωθὼ τότ' ἔλουσεν,
ἐγέλασεν ἅπαν σέλας οὐρανοῦ,
μέγα δ' ἔκτυπεν εὔδιος αἰθήρ,
τὴν δ' εὐγλαγέρις ἐνὶ μαζοῖς,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

...ινολβος ἐθρέψατο Πλούτων.
...γίσι δ' ἐν τελεταῖς ὀργιάζει προσπόλους; πο.
...ὐχ αἷμα λάβρον προχεόμενον ἀπὸ στόματος σιδάρῳ; Χο.
...ὐ τριχὸς ἀφέτου λυγίζεται στροφαῖσιν αὐχήν, (ρου
...ὐδὲ πολυκρότοις ἀστραγάλοις πέπληκε νῶτα,
...ὐδ' ὠμὰ λακιστὰ κρέα σπάραγμα ταύρων;
...τε δὲ πτελέας ἔαρι βρύει τὸ λεπτὸν ἄνθος,
...ὁ πολυκέλαδος κόσσυφος τοῖς κλάδοισιν ᾄδει.
...πότε δὴ μελέων ὀξὺ βέλος πέμπει μύσταις.
...ἀφανές, κρύφιον, δεδυκὸς ὑπὸ μυχοῖσι γυίων,
...πόδα. γόνυ. κοτύλην. ἀστραγάλους. ἰσχία. μηρούς.
...χεῖρας. ὠμοπλάτας βραχίονας κόρωνα καρπούς.
...ἐσθίει. νέμεται. φλέγει. κρατεῖ. πυροῖ. μαλάσσει.
...ἕως ἂν ἡ θεὸς τὸν πόνον ἀποφυγεῖν κελεύσῃ,
...τίς ἄρα κἀγὼ τῶν κατειργασμένων πο.
...λαθὼν ὑπάρχων; τίς οὐχ ἱκέτω πρευμενὴς
...δαίμων φανεῖσα. σὺν δ' ἐγὼ μύσταις ὁμοῦ,
...ἄνων κατάρξω τὸν ποδαγρῶν ᾀσμάτων μέλος.
...ῖγα μὲν αἰθήρ, ἔστω νήνεμος ἔστω. Χο.
...καὶ πᾶς ποδαγρῶν εὐφημείτω.
...ἰδοὺ πρὸς θυμέλας κλινοχαρὴς
...στείχει δαίμων, σκίμπωνι βάσιν στηριζομένη.
...χαίροις μακάρων πολὺ πραοτάτη,
...καὶ σοῖς προπόλοις ἵλαος ἔλθοις,
...ὄμματι φαιδρῷ. δοίης δὲ πόνοις λύσιν ὠκεῖαν,

ταῖς δ' εἰαριναῖς ὥραις.

ΠΟ. τίς τὴν ἀνίκητόν με δεσπότιν πόνων,
οὐκ οἶδε Ποδάγραν τῶν ἐπὶ χθονὸς βροτῶν;
ἣν οὔτε λιβάνων ἀτμὶς ἐξιλάσκεται,
οὔτε χυθὲν αἷμα βωμίοις παρ' ἐμπύροις,
οὐ ναὸς ὄλβου περικρεμὴς ἀγάλμασιν.
ἣν οὔτε Παιὰν φαρμάκοις νικᾶν σθένει,
πάντων ἰατρὸς τῶν ἐν οὐρανῷ θεῶν.
οὐ παῖς ὁ Φοίβου πολυμαθὴς Ἀσκληπιός.
ἐξ οὗ γὰρ ἔφυν πρῶτον ἀνθρώποις γένος,
τολμῶσι πάντες ῥυμὸν ἐκβαλεῖν σθένος,
κυκῶντες ἀεὶ φαρμάκων τεχνήματα.
ἄλλος γὰρ ἄλλην ἐπ' ἐμὲ πειράζει τέχνην.
τρίβουσιν ἀρνόγλωσσα, καὶ σέλινά μοι,
καὶ φύλλα θριδάκων, καὶ νομαίαν ἀνδράχνην.
ἄλλοι, πράσιον. οἱ δέ, ποταμογείτονα.
ἄλλοι, κνίδας τρίβουσιν, ἄλλοι, σύμφυτον.
ἄλλοι, φακοὺς φέρουσι τοὺς ἐκ τελμάτων.
σταφυλῖνον ἑφθόν. οἱ δέ, φύλλα περσικῶν.
ὑοσκύαμον. μήκωνα. βολβούς. σίδια.
ψύλλιον. λίβανον. ῥίζαν ἐλλεβόρου. νίτρον.
τῆλιν μετ' οἴνου, γλεῖνην. κολλάμφακον.
κυπαρισσίνην κικῖδα. γύρειν κριθίνην.
κράμβης ἀπέφθου φύλλα. γύψον ἐκ Γάρου.
πυράθους ὀρείας αἰγός. ἀνθρώπου κόπρον.

ἀλευ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄλευρα κυάμων. ἄνθος ἀσίου λίθου.
ἕψουσι φύνους. μυγαλᾶς. σαύρας. γαλᾶς.
βατράχους. ὑαίνας. τραγελάφους. ἀλώπεκας.
ποῖον μέταλλον οὐ πεπείραται βροτὸς;
τίς οὐχὶ χυμός; ποῖον οὐ δένδρου δάκρυ;
ζώων ἁπάντων, ὀστᾶ. νεῦρα. δέρματα.
στέαρ. αἷμα. μυελός. οὖρον. ἀπόπατος. γάλα.
πίνουσιν οἱ μὲν, τὸ διὰ τεσσάρων ἄκος.
οἱ δὲ, τὸ δι' ὀκτώ. τὸ δὲ δι' ἑπτὰ, πλείονες.
ἄλλος δὲ πίνων τὴν ἱερὰν, καθαίρεται.
ἄλλος ἐπ' ἀοιδαῖς τῶν θετῶν, ἐμπαίζεται.
ἰουδαῖος ἕτερον μῶρον ἐξάδει λαβών.
ὁ δὲ, θεραπείαν ἔλαβε παρὰ τῆς κράνης.
ἐγὼ δὲ, ῥύρις πᾶσιν οἰμώζειν λέγω.
καὶ τοῖς ποιοῦσι ταῦτα, καὶ πειρῶσί με,
εἴωθ' ἁπάντων μᾶλλον ὀργιλωτέρα.
τοῖς δὲ φρονοῦσι μηδὲν ἀντίξουν ἐμοὶ,
ἤπιον ἔχω νοῦν, εὐμενής τε γίγνομαι.
ὁ γὰρ μεταλαβὼν τῶν ἐμῶν μυστηρίων,
πρῶτον μὲν εὐθὺς εὐστομεῖν διδάσκεται,
τέρπων ἅπαντας, εὐτραπέλους λέγων λόγους.
πᾶσιν δ' ὁρᾶται μετὰ γέλωτος, καὶ κρότου,
ὅτε τῶν λουτρὰ φερόμενος βαστάζεται.
ἄτην γὰρ, ἥν εἶπεν Ὅμηρος, ἥδ' εἴμ' ἐγὼ,
βαίνουσ' ἐπ' ἀνδρῶν κρᾶτα, καὶ βάσεις ποδῶν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπαλὰς ἔχουσα. παρὰ δὲ τοῖς πολλοῖς βροτῶν,
Ποδάγρα καλοῦμαι, γινομένη πόδων ἄγρα,
ἀλλ' εἶα μύσται πάντες ὀργίων ἐμῶν,
γεραίρεθ' ὕμνοις τὴν ἀνίκητον θεάν.

Χο. ἀδαμάντινον ἦθος ἔχουσα κόρα,
πολυσθενὲς, ὀβριμόθυμε θεὰ,
κλῦε σῶν ἱερῶν μερόπων ἐνοπάς.
μέγα σὸν κράτος ὀλβιόφρον Ποδάγρα.
τὰν, καὶ Διὸς ὠκὺ πέφρικε βέλος,
τρομέει δέ σε κύμαθ' ἁλὸς βαθείης,
τρομέει βασιλεὺς ἐνέρων ἀΐδας.
ἐπιδεσμοχαρές. κατακλινοβατές.
κωλυσιδρόμα. βασαναστραγάλα.
σφυροπρηστιπύρα. μογισαψεδάφα.
δοιδυκωφόβα. γονυκλαυσαγρύπνα.
περικονδυλοπωροφίλα.
γονυκαμψεπίκυρτε ποδάγρα.

Αγ. δέσποινα, καιρίῳ γὰρ ἤντηκας ποδὶ,
ἄκουε. ἔπος γὰρ οὐκ ἐτώσιον φέρω,
ἀλλ' ἔστι πρᾶξις τῶν λόγων συνέμπορος.
ἐγὼ γὰρ ὡς ἔταξας ἠρέμῳ ποδὶ,
πόλεις ἰχνεύων, πάντας ἠρεύνων δόμους
μαθεῖν ποθῶν, εἴ τις σὸν οὐ τιμᾷ κράτος.
καὶ τῶν μὲν ἄλλων, ἥσυχον εἶδον φρένα,
νικωμένων ἄνασσα σαῖν βίᾳ χεροῖν.

δύο

δύω δὲ τώδε φῶτε γραμμικῷ θράσει,
ἐφαζέτην λαοῖσι, καὶ κατωμνύτην,
ὡς οὐκ ἔστι σὸν κράτος σεβάσμιον,
ἀλλ' ἔκβολον βροτῶν σε θήσοντ' ἦν βίου.
διόπερ κραταιῶς συνοχμάσας δεσμῷ πόδας,
πεμπταῖος ἥκω, στάδια διανύσας δύο.
ὡς κραιπνὸς ἔπλης ἀγγέλων ὤκιστέ μοι. πο.
τίνος δὲ καὶ γῆς ὄρεια δυσβάτου λιπών.
ἥκεις; σαφῶς μήνυσον, ὡς ἴδω τάχος.
πρῶτον μὲν ἔλιπον πέντε βαθμῶν κλίμακα, ἄγ.
ξύλων τρέμουσαν δυσλύρισιν ἁρμογαῖς,
ὅθεν με δέχεται κορδυβαλλῶδες πέδον,
σκληροῖσι ταρσοῖς ἀντερεῖδον κρούμασιν.
ὅπερ διανύσας ἴχνεσιν ἀλγεινοῖς ἐγώ,
ἐστρωμένην χάλιξιν εἰσέβην ὁδόν,
καὶ δυσπάτητον ὀξέσι κέντροις λίθων.
μεθ' ἣν ὀλίσθῳ προσπεσὼν λείας ὁδοῦ,
ἔσπευδον εἰς τὸ πρόσθε. δύσλοφος δέ μου
ἔσυρεν ὀπίσω πηλὸς ἀσθενῆ σφυρά.
δι' ἧς περῶντι, νότιος ἐκ μελῶν ἱδρὼς
ἔρρει, βάσιν μου σαθρὰν ἐκλυομένῳ.
ὅθεν με δέχεται πᾶν δέμας κεκμηκότα,
πλατεῖα μὲν κέλευθος, ἀλλ' οὐκ ἀσφαλής,
τὰ μὲν γὰρ ἔνθεν, τὰ δ' ἐκεῖθεν ὀχήματα,
ἤπειγεν. ἠνάγκαζεν. ἐσπέρχει τρέχειν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐγὼ δὲ νωθρὸν ἐλαφρὰ κουφίζων πόδα,
δόχμιος ἔβαινον εἰς ὁδοῦ πέζαν στενήν,
ἕως ἀπήνη παραδράμῃ τροχήλατος.
μύστης γὰρ ὢν σός, ταχὺ τρέχειν οὐκ ἔσθενον.
ΠΟ. οὐκ εἰς μάτην, βέλτιστε, πρᾶξις ἥδε σοι
ὀρθῶς πέπρακται, τῇ δὲ σῇ προθυμίᾳ
ἴσαισι τιμαῖς ἀντισηκώσω χάριν.
ἔστω δέ σοι δώρημα θυμήρους τόδε,
ἑξῆς τριετίας πειράσῃ κούφων πόνων.
ὑμεῖς δὲ μιαροὶ, καὶ θεοῖς ἐχθίστατοι,
τίνες ποτ᾽ ὄντες, καὶ τίνων πεφυκότες,
τολμᾶτε Ποδάγρας ἀνθαμιλλᾶσθαι κράτει;
ἣν, οὐδ᾽ ὁ Κρονίδας οἶδε νικῆσαι βίᾳ.
λέγετ᾽ ὦ κάκιστοι. καὶ γὰρ ἡρώων ἐγὼ
ἐδάμασα πλείστους, καί γ᾽ ἐπίστανται σοφοί.
Πρίαμος ποδάρκης, ποδαγρὸς ὤν, ἐκλήζετο.
ἔθανε δ᾽ Ἀχιλλεὺς ποδαγρὸς ὤν, ὁ Πηλέως.
ὁ Βελλεροφόντης ποδαγρὸς ὤν, ἐκαρτέρει.
Θηβῶν δυνάστης Οἰδίπους, ποδαγρὸς ἦν.
ἐκ τῶν Πελοπιδῶν, ποδαγρὸς ἦν ὁ Πλεισθένης.
Ποίαντος υἱὸς ποδαγρὸς ὤν, ἦρχε στόλου.
ἄλλος ποδάρκης, Θεσσαλῶν ἦν ἡγεμών.
ὃς ἐπείπερ ἔπεσε Πρωτεσίλαος ἐν μάχῃ,
ὅμως ποδαγρὸς ὤν, καὶ πονῶν, ἦρχε στόλου.
Ἰθάκης ἄνακτα Λαερτιάδην Ὀδυσσέα,

ἐγὼ

ἐγὼ κατέπτυον, οὐκ ἄκανθα ξυγόνος.
ὡς οὖν χαρήσοντες ὦ δυσδαίμονες,
ἴσην πάθητε κόλασιν οἷς δεδράκατε.
Σύροι μέν ἐσμεν, ἐκ Δαμασκοῦ τῷ γένει, ια.
λιμῷ δὲ πολλῷ, καὶ πενίᾳ κρατούμενοι,
γῆν, καὶ θάλασσαν ἐφεπόμεν πλανώμενοι.
ἔχομεν δὲ χρίσμα πατρὸς δωρητὸν τόδε,
ἐν ᾧ παρηγοροῦμεν ἀλγούντων πόνους.
τί δὴ τὸ χρίσμα, καὶ τίς ἡ σκευή, φράσον. πο.
μύστης με σιγᾶν ὅρκος, οὐκ ἐᾷ φράσαι, ια.
καὶ λοίσθια θνήσκοντος ἐντολὴ πατρός.
ὃς ἔταξε κεύθειν φαρμάκου μέγα σθένος,
ὃ καὶ σὲ παύειν οἶδεν ἠγριωμένην.
εἶτ' ὦ κατάρατοι, καὶ κακῶς ὀλούμενοι, πο.
ἔστιν τις ἐν γῇ φαρμάκου δρᾶσις τόση,
ὃ χρισθέν, οἶδε τὴν ἐμὴν παῦσαι βίαν;
ἀλλ' εἶα. τήνδε σύμβασιν συνθώμεθα.
καὶ πειράσωμεν εἴτε φαρμάκου σθένος
ὑπέρτερον πέφυκεν, εἴτ' ἐμαὶ φλόγες.
δεῦτ' ὦ σκυθρωποὶ πάντοθεν ποτώμεναι
βάσκανοι, πάρεδροι τῶν ἐμῶν βακχευμάτων,
πελάζετ' ἆσσον. καὶ σὺ μέν, πελῶν ἄκροις
φλέγμαινε ταρσοὺς δακτύλων πολλῶν ἄχρι.
σὺ δέ, σφυροῖς ἔμβαινε. σὺ δέ, μηρῶν ἄπο,
ἐς γόνατα λεῖβε πικρῶν ἰχώρων βάθος.

ὑμεῖς δὲ, χειρῶν δακτύλοις λογίζετε.
πό. ἴδ' ὡς ἔταξας, πάντα σοι δεδράκαμεν.
κεῖνται βοῶντες οἱ ταλαίπωροι μέγα,
ἅπαντα γυῖα προσβολῇ στρεβλούμενοι.
πο. φέρετ' ὦ ξένοι μάθωμεν ἀρκέσαιεν,
εἰ χρισθὲν ὑμᾶς φάρμακον τόδ' ὠφελεῖ.
εἰ γὰρ σαφῶς τόδ' ἐστὶν ἀντίξουν ἐμοὶ,
λιποῦσα γαῖαν, εἰς μυχοὺς εἶμι χθονὸς,
ἄϊστος, ἀφανὴς, πύματα ταρτάρου βάθη.
ια. ἰδοὺ κέχρισται, κοὐ χαλᾷ φλογμὸν πόνων.
οἴμοι. παπαί γε. τείρομαι. διόλλυμαι.
ἅπαν πέπληγμαι γυῖον ἀσκόπῳ κακῷ.
οὐ Ζεὺς κεραυνοῦ τοῖον αἰωρεῖ βέλος,
οὐδεὶς θαλάσσης τοῖα μαίνεται κλύδων,
οὐδὲ στροβητὴ λαίλαπος τόση βία.
μὴ καρχάρων πορθεῖ με δῆγμα Κερβέρου;
μή τις ἐχίδνης ἰὸς ἀμφιβόσκεται,
ἢ διαβρεχὴς ἰχῶρι κενταύρου πέπλος;
ἐλέαιρ' ἄνασσα. φάρμακον γὰρ οὔτ' ἐμὸν,
οὔτ' ἄλλο, δύναται σὸν ἀναχαιτίσαι δρόμον.
ψήφοις δὲ πάσαις, πᾶν ἔθνος νικᾷς βροτῶν.
πο. παύσασθε βάσανοι, καὶ πόνους μειώσατε
τῶν μετανοούντων εἰς ἐμὴν ἔριν μολεῖν.
γινωσκέτω δὲ πᾶς τις, ὡς μόνη θεῶν
ἄτεγκτος οὖσα, φαρμάκοις οὐ πείθομαι.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὔτε Διὸς βρονταῖς, Σαλμωνέος ἤρισεν βία, χο.
ἀλλ' ἔθανε ψολόεντι δαμεὶς θεοῦ φρένα βέλει.
οὐκ ἐρίσας ἐχάρη Φοίβῳ σάτυρος Μαρσύας,
ἀλλὰ λιγὺ ψαίρει κείνου περὶ δέρμα πίτυι.
πένθος ἀείμνηστον δ' ἔριν τοκὰς ἔσχε Νιόβη,
ἀλλ' ἔτι μυρομένη, προχέει πολὺ δάκρυ Σιπύλῳ.
μαιονία δ' ἀράχνη, Τριτωνίδος ἦλθεν εἰς ἔριν.
ἀλλ' ὀλέσασα τύπον, καὶ νῦν ἔτι νήματα πλέκει,
οὐ γὰρ ἴσον μακάρων ὀργαῖσι, θράσος ἐστὶ μερόπων, „
ὡς Διός. ὡς Λητοῦς. ὡς Παλλάδος. ὡς Πυθίου. „
ἤπιον ὦ πάνδημε φέροις ἄλγημα Ποδάγρα.
κοῦφον. ἐλαφρόν. ἄδριμυ. βραχυβλαβές. ἀνώδυνον
εὔφορον. εὔληκτον. ὀλιγοδρανές. εὐπερίπατον. (ν)
πολλαὶ μορφαὶ τῶν ἀτυχούντων.
μελέται δὲ πόνων, καὶ γὰρ συνήθεις,
τοὺς ποδαγρῶντας παραμυθείσθω.
ὅθεν εὐθύμως ὦ συνναύκληροι λήσεσθε
πόνων, εἰ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τοῖς δ' ἀδοκήτοις, πόρον εὗρε θεός.
πᾶς ἀνεχέσθω τῶν πασχόντων,
ἐμπαιζόμενος, καὶ σκωπτόμενος.
τοῖον γὰρ ἔφυ τόδε πρᾶγμα.

## ΩΚΥΠΟΥΣ.

Ὠκύπους, Ποδαλειρίου, καὶ Ἀστασίας υἱὸς ἐγέ-
νετο, κάλλει, καὶ δυνάμει διαφέρων, γυμνασίων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τέ, καὶ κυνηγεσίων μὴ ἀμελῶν. πολλάκις δὲ θεωρῶν τοὺς ἐχομένους ὑπὸ τοῦ ἀτέγκτου Ποδάγρας, κατεγέλα, φάσκων μηδὲν ὅλως εἶναι τὸ πάθος. ἡ θεὸς τοίνυν ἀγανακτεῖ, καὶ δὴ ποδῶν ἐπιτρέχει. τοῦ δ' εὐτόνως φέροντος, καὶ ἀρνουμένου, οὐ πλεῖον ὅλως τίθησιν ἡ θεός. Ἡ μὲν σκηνὴ τοῦ δράματος, ὑπόκειται ἐν Θήβαις. Ὁ δὲ χορός, συνέστηκεν ἐκ τῶν ἐγχωρίων ποδαγρῶν, συνελεγχόντων τὸν Ὠκύπουν. Τὸ δὲ δρᾶμα, τῶν πάνυ ἀστείων. Τὰ τοῦ δράματος πρόσωπα, Ποδάγρα. Ὠκύπους. Τροφεύς. Ἰατρός. Πόνος. Ἄγγελος.

Προλογίζει δὲ ἡ Ποδάγρα.

Εἰμὶ μὲν ἐν βροτοῖσι, δυσώνυμος πάθος,
Ποδάγρα κέκλημαι, δεινὸν ἀνθρώποις
δεσμοῖς δὲ νευρίνοισι τοὺς πόδας βρόχοις.
ἄρθροισιν εἰσδραμοῦσα μὴ νοουμένη,
γελῶ δὲ τοὺς πληγέντας ὑπ' ἐμοῦ,
τοὺς μὴ λέγοντας ἀρχικὴν τῶν συμφορῶν,
ἀλλ' εἰς ματαίαν πρόφασιν ἐσκημμένους.
ἅπας γὰρ αὐτὸν βουκολεῖ τῶν δυσπότμων,
ὡς ἐνστραφείς, ἢ προσκόψας που βάσιν,
λέγει φίλοισι μὴ φράσας τὴν αἰτίαν.
ὃ μὴ λέγει γάρ, ὡς δοκῶν λαθεῖν τινάς.
χρόνος δέ γ' ἔρπων, μηνύει κἂν μὴ θέλῃ.
καὶ τότε δαμασθείς, ὀνομάζει μου τοὔνομα
πᾶσι.

πᾶσι θρίαμβος ἐμβεβᾶσα καὶ φίλοις·
πόνος δέ μοι σύνεργός ἐστι τῶν κακῶν.
ἐγὼ γὰρ οὐδέν εἰμι τούτου δίχα μόνη.
τοῦτ' οὖν δάκνει με, καὶ φρενῶν καθάπτεται,
ὅτι γὰρ ἁπάντων αἴτιον πόνον κακῶν,
οὐδεὶς κακούργοις λοιδορεῖ βλασφημίαις,
ἀλλὰ κατ' ἐμοῦ πέμπουσι δυσφήμους ἀράς,
ὡς δεσμὸν ἐλπίζοντες ἐκφυγεῖν ἐμόν.
τί ταῦτα φλυαρῶ, κοὐ λέγω τίνος χάριν
πάρειμι, μὴ φέρουσα τὴν ἐμὴν χολήν;
ὁ γὰρ δόλων γενναῖος ὁ θρασὺς Ὠκύπους,
φονεῖ καθ' ἡμῶν, μηδὲν εἶναί με τι λέγων.
ἐγὼ δ' ὑπ' ὀργῆς, ὡς γυνὴ δεδηγμένη,
αὐτέλακα τοῦτον ἀθεράπευτον δυσόχως,
ὡς ἦν ἔθος μοι κονδύλου ποδὸς τυχεῖν.
ἤδη δ' ὁ δεινὸς πόνος ἔχει λεπτὸν τόπον,
καὶ τὴν βάσιν νυγμοῖσι ξυπᾷ τὴν κάτω.
ὅδ' ὡς δρόμοισιν, ἢ πάλῃ πλήξας ἴχνος,
πλανᾷ γέροντα παιδαγωγὸν ἄθλιον.
καὶ κλεψίχολον πόδα τιθεὶς ἰχνούμενον,
δύσκνος αὐτὸς ἐκ δόμων προσέρχεται,
πόθεν δ' ὁ δεινὸς κατὰ πεδῶν οὗτος πεσεῖν, ὠκύ.
ἀτραυμάτιστος, ἄβαρος, ἄσαρκος πόνος;
τείνω δ' ἐνεῦρον οἷα τοξότης ἀνήρ,
βέλος προπέμπων, καὶ λέγειν βιάζεται,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὃ τῶν πονούντων ἔσχατον στοιχεῖ χρόνῳ.

τρο. ἔπαιρε σαυτὸν ὦ τέκνον, καὶ κούφισον,
μή πως με πίπτων, καταβάλῃς σὺ χωλὸς ὤν.

ὠκύ. ἰδοὺ κρατῶ σε λίχα βάσεις, καὶ πείθομαι.
καὶ τὸν πονοῦντα πόδα τιθῶ, καὶ καρτερῶ.
,, νεωτέρῳ τί αἶσχος ἐν πᾶσιν ἀεί,
,, ὑπηρέτης ἀδύναμος γογγύζων γέρων.

τρο. μή, μή τι ταῦτα μῶρε, μή με κερτόμει.
μή μ' ὡς νέος κόμπαζε, τοῦτ' εἰδὼς, ὅτι
,, ἐν ταῖς ἀνάγκαις πᾶς γέρων ἐστὶ νέος.

ὠκύ. πείθου λέγοντι. τοῦ πέρας ἂν ὑποσπάσω,
ἔστιν ὁ πρέσβυς. σὺ δ' ὁ νέος, πίπτεις χαμαί.

ὠκύ. σὺ δ' ἀσφαλής, πέπτωκας ἄπνους ὢν γέρων.
,, προθυμία γὰρ, ἐν γέρουσι πρέπει.
,, πρᾶξις δὲ τούρις, οὐκέτ' ἐστὶν εὔτονος.

τρο. τί μοι σοφίζῃ, κοὐ λέγεις οἵῳ τρόπῳ
πόνος προσῆλθε σοῦ ποδὸς κοίλην βάσιν;

ὠκύ. δρόμοισιν ἀσκῶν, κοῦφον ὡς τιθῶ πόδα,
τρέχων ἔστειλα, καὶ συνεμίχθην πόνῳ.

τρο. πάλιν τρέχ' ὅς τις εἶπον, ἢ καθήμενος,
πώγωνα τίλλει κυρέων ὑπ' ὠλέναις.

ὠκύ. οὐκοῦν παλαίων ὡς θέλων προσεμβολὴν
βαλεῖν, ἐπλήγην. τοῦτο δὴ πίστευέ μοι.

τρο. ποῖος στρατιώτης γέγονας, ἵνα προσεμβολὴν
βάλλων σὺ πληγῆς; περικυκλοῖς + εὐδηλογῶν;



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὃν αὐτὸν ἡμεῖς εἴχομεν λόγον ποτέ,
μηδενὶ λέγοντες τὴν ἀλήθειαν φίλων.
νῦν δ' εἰ περᾷς ἅπαντα δὴ
ὁ πόνος δ' ἐλελίξας ἐμμελῶς διαστρέφει.
ποῖ ποῖ καθ' εὑρῶ κλεινὸν Ὠκύπουν φίλοι, Ια.
τὸν πόδα πονοῦντα, καὶ βάσιν πεπηρωμένον;
ἰατρὸς γὰρ ὤν, ἔκλυον ὑπὸ φίλου τινός,
πάσχοντα δεινὰ περὶ ἀσχέτῳ πάθει.
ἀλλ' αὐτὸς οὗτος ἐγγὺς ὀμμάτων ἐμῶν,
κεῖται κατ' εὐνῆς ὕπτιος βεβλημένος.
ἀσπάζομαί σε πρὸς θεῶν. καὶ σόν,
τί περ λέξον Ὠκύπου τάχα.
εἰ γὰρ μάθοιμι τυχόν, ἴσως ἰάσομαι
τὸ δεινὸν ἄλγος, τοῦ πάθους τὴν συμφοράν.
ὁρᾷς με σωτήρ. καὶ πάλιν σωτήριχε, Ωκύ.
σάλπιγγος αὐτῆς οὔνομ' ἔχων σωτήριχε,
δεινὸς πόνος με τοῦ ποδὸς δάκνει κακῶς.
δειλὸν δὲ βῆμα, κοὐχ ἁπλοῦν τιθῶ ποδί.
πόθεν; τί παθών; μήνυσον. ἢ ποίῳ τρόπῳ; Ια.
μαθὼν γὰρ ἀλήθειαν ὁ ἰατρὸς ἀσφαλῶς, ‹‹
κρεῖττον προσείσι. σφάλλεται δὲ μὴ μαθών. ‹‹
δρόμον τιν' ἀσκῶν, καὶ τέχνην γυμναστικήν, Ωκύ.
δεινῶς ἐπλήγην ὑπὸ φίλων ὁμηλίκων.
πῶς οὖν ἀκηδὴς οὐ πάρεστι φλεγμονὴ Ια.
τόπου κατ' ἄκρου, κοὐκ ἔχεις τιν' ἐμβροχήν;



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὠκύ. οὐ γὰρ στέργω τὰ δεσμὰ τῶν ἐρειλίων,
εὐμορφίαν ἄχρηστον εἰς πολλοὺς καλήν.
Ια. τί οὖν δοκεῖ σοι, κατακνήσω σου τὸν πόδα;
ἂν γὰρ παράσχῃς μοι, γινώσκειν σε χρὴ,
ὡς ταῖς τομαῖσι πλεῖστον αἷμά σου κενῶ.
ὠκύ ποίησον εἴ τι καινὸν ἐξευρεῖν ἔχεις,
ἵν' εὐθὺ δεινὸν ἐκ ποδῶν παύσῃς πόνον.
Ια. ἰδοὺ σιδηρόχαλκον ἐπιφέρω τομὴν,
ὀξεῖαν, αἱμόδιψον, ἡμιστρόγγυλον.
ὠκύ. ἔα. ἔα
τρό. σωτὴρ, τί ποιεῖς; μὴ τύχοις σωτηρίας.
τολμᾷς σιδηρόπορον ἐπιβαλεῖν πόνον.
μηδὲν κατειδὼς, προσφέρεις κακὸν ποσί.
ψευδὴς γὰρ ἔκλυσις, ὧν ἀκήκοας ἔργων.
οὐ γὰρ πάλαισιν, ἢ δρόμοισιν ὡς λέγει,
ἀσκῶν ἐπλήγη. τοῦτο γοῦν ἄκουέ μου.
ἦλθεν μὲν οὖν ὑπερδρυνυγὴς ἐν δόμοις.
φαγὼν δὲ πολλὰ, καὶ πιὼν ὁ δύστυχὴς,
κλίνης ὕπερθε καταπεσὼν, ὕπνοι μόνος.
ἔπειτα νυκτὸς δυσπνοίσας, ἐκραύγασεν,
ὡς δαίμονι πληγεὶς, ἐς πάντα φόβον λαβεῖν.
ἔλεξε δ' οἴμοι, πόθεν ἔχω κακὴν τύχην.
δαίμων τάχα κρατῶν ἔξω ποδὸς,
πρὸς ταῦτα νυκτὸς ἀνακαθήμενος μόνος,
ὁποῖα κῆρυξ ἐξεθρήνει τὸν πόδα.

ἐπὶ

ἐπεὶ δ' ἀλέκτωρ ἡμέραν ἐσάλπισεν,
οὗτος προσῆλθε, χεῖρα θεὶς ἐμοὶ πικράν,
θρηνῶν, πυρέσσων, ἐπ' ἐμοὶ βάζων.
ἃ πρὶν δέ σοι κατεῖπε, πάντ' ἐψεύσατο,
τὰ δεινὰ κρύπτων τῆς νόσου μυστήρια.
γέρων μὲν ἀεὶ τοῖς λόγοις ὁπλίζεται, ὠκ.
καυχώμενος τὰ πάντα, μηδὲν σθένων.
« ὅτι τε πονῶν τε, καὶ φίλοις ψευδῆ λέγων,
« πεινῶντ' ἔοικε, μάστιγα μασώμενος.
πλανᾷς ἅπαντας. ἀλλὰ δ' ἐξ ἄλλων λέγεις, Ια.
λέγων, πονεῖν μέν. ὁ δὲ πονεῖς, οὔπω λέγεις.
πῶς σοι φράσω σοι τὸ πάθος τὴν συμφοράν; ὠκ.
πάσχων γάρ, οὐδὲν οἶδα, πλὴν πονῶ μόνον.
ὅταν ἀφορμῆς δίχα πονῇ τις τὸν πόδα, Ια.
πλάσσει γελοῖον οὓς θέλει κενοὺς λόγους,
εἰδὼς τὸ δεινόν, ᾧ συνέζευκται κακῷ.
καὶ νῦν μὲν ἀκμὴν εἶς.
ἐὰν δέ σοι τὸν ἕτερον ἀλγήσῃς πόδα,
στένων, δακρύσεις. ἓν δέ σοι φράσαι θέλω.
ῥῦτ' ἐς ἐκεῖνο κἂν θέλῃς, κἂν μὴ θέλῃς.
τί δ' ἐς ἐκεῖνό γ' εἰπέ, καὶ τί κλήζεται. ὠκ.
ἔχει μὲν ὄνομα συμφορᾶς γ' ἐμοῦ διπλῆς. τρο.
οἴμοι. τί τοῦτο λέξον ὦ δέομαι γέρον. ὠκ.
ἐκ τοῦ τόπου μέν, οὗ πονεῖς, ἀρχὴν ἔχει. τρο.
ποδὸς μὲν ἀρχὴν ὄνομ' ἔχει καθὼς λέγεις; ὠκ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τρο. κὐτῷ σὺ πρόσθες ὅτι τέλει δεινὴν ἄγραν.
ὠκ. εἶτα πῶς με ζῆν δύστηνον ἔτι;
τρο. δεινή περ οὖσα. φείδεται γὰρ οὐδενός.
ὠκ. σωτὴρ, τί λέγεις; τί δέ με;
ια. ἄφες με μικρὸν, ἢ λέλημαι σοῦ χερῶν.
ὠκ. τί δ᾽ ἐστὶ δεινὸν, ἢ τί συμβέβηκέ σοι;
ια. εἰς δεινὸν, κἀχώριστον πόνον ἦλθες ποδός.
ὠκ. οὐκοῦν με δεῖ πρόχωλον ἐξαντλεῖν πόνον;
ια. χωλὸς μὲν ἂν ἧς, οὐδέν ἐστι, μὴ φοβοῦ.
ὠκ. τί δ᾽ ἐστὶ χεῖρον;
ια. ἀμφοῖν ποδοῖν σε συμποδωθῆναι μένει.
ὠκ. οἴμοι. πόθεν μοι καινὸς εἰσῆλθεν πόνος
ποδὸς δι᾽ ἄλλου, καί με συμπάσχει κακῶς.
ἢ πῶς ὅλως πέπηγα μεταβῆναι θέλων.
δειλαίνομαι δὲ πολλὰ μεταστῆσαι πόδα
νήπιος, ὁποῖα βρέφος ἄφνω φοβούμενος.
ἀλλ᾽ ἀντομαί σε πρὸς θεῶν σωτήρια,
εἴπερ τέχνη σὴ δύναται. μὴ δὴ φθονῶν,
θεράπευσον ἡμᾶς. εἰ δὲ μή, οἴχομαι.
πάσχω γὰρ ἀφανῶς κατὰ ποδῶν ῥευόμαι.
ια. οὐ μὲν πλανήτας βούλομαι λόγους ἐγὼ,
,, οὐ τῶν ἰατρῶν τῶν ὁμιλούντων μόνον,
,, ἔργῳ δὲ μηδὲν εἰδότων σωτήριον,
τὰ πάντα σοι πάσχοντι, συντόμως φάσω.
ἄφεκτον ἦλθες πρῶρνες πάθος κακόν.

οἱ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σοῦ γὰρ σιδηρόπλαστον ἀπελύσω βάσιν,
ὃ πιστὸν κακούργοις εὑρέθη τεκμήριον.
δεινὴν δὲ, καὶ κρυφαίαν εἰς πάντας κακὴν,
ἧς οὐκ ἂν ἄροιτ' ἄχθος ἀνθρώπων φύσις.
αἶ. αἶ. αἶ. αἶ. οἴμοι. οἴμοι ὠκ.
πόθεν μοι ξυναπτεῖ τὸν πόδα κρυπτὸς πόνος.
δέξασθε χεῖρας τὰς ἐμὰς πρὸ τοῦ πεσεῖν,
ὁποῖα σάτυροι βακχίοις ὑπ' ὠλένας.
γέρων μέν εἰμι. πλὴν ἰδοὺ σοὶ πείθομαι, γρ.
καὶ τὸν νέον σε χειραγωγῶ πρέσβυς ὤν.

## ΕΤΑΙΡΙΚΟΙ ΔΙΑΛΟΓΟΙ.

### ΓΛΥΚΕΡΑ, ΚΑΙ ΘΑΙΣ.

Τὸν στρατιώτην Θαῒ τὸν ἀκαρνᾶνα, ὃς πάλαι μὲν ἀβρότονον εἶχε, μετὰ ταῦτα δὲ ἠράσθη ἐμοῦ, τὸν εὐπάρυφον λέγω, τὸν ἐν τῇ χλαμύδι, οἶσθα αὐτὸν, ἢ ἐπιλέλησαι τὸν ἄνθρωπον; Θα. οὐκ, ἀλλὰ οἶδα ὦ Γλυκέριον, καὶ συνέπιε μεθ' ὑμῶν πέρυσιν ἐν τοῖς ἁλώοις. τί δὲ τοῦτο; ἐῴκεις γάρ τι περὶ αὐτοῦ διηγεῖσθαι. Γλ. Γοργόνα αὐτὸν, ἡ παμπόνηρος φίλη δῆθεν οὖσα, ἀπέσπασεν ἀπ' ἐμοῦ ὑπαγαγοῦσα. Θα. καὶ νῦν σοὶ μὲν ἐκεῖνος οὐ πρόσεισι, Γοργόναν δὲ ἑταίραν πεποίηται; Γλ. ναὶ ὦ Θαῒ, καὶ τὸ πρᾶγμα οὐ μετρίως μου ἥψατο. Θα. πονηρὸν μὲν ὦ Γλυκέριον, οὐκ ἀδό



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κήριον δέ, ἀλλὰ εἰωθὸς γίγνεσθαι ὑφ' ἡμῶν τῶν ἑταιρῶν. οὔκουν χρὴ οὔτε ἀνιᾶσθαι ἄγαν, οὔτε μέμφεσθαι τῇ Γοργόνῃ. οὐδὲ γὰρ σὲ Ἀβρότονον ἐπ' αὐτῇ πρότερον ἐμέμψατο. καίτοι φίλαι ἦτε. ἀτὰρ ἐκεῖνο θαυμάζω, τί καὶ ἐπῄνεσεν αὐτῆς ὁ στρατιώτης οὗτος, ἐκτὸς εἰ μὴ παντάπασι τυφλός ἐστιν. ὃς οὐχ ἑώρακει, τὰς μὲν τρίχας αὐτὴν ἀραιὰς ἔχουσαν, καὶ ἐπὶ πολὺ τοῦ μετώπου ἀπηγμένας. τὰ χείλη δὲ, πελιδνά, καὶ νεκρικά, καὶ τράχηλος λεπτὸς, καὶ ἐπίσημοι ἐν αὐτῷ αἱ φλέβες, καὶ ῥὶς μακρά. ἓν μόνον, εὐμήκης ἐστὶ, καὶ ὀρθὴ, καὶ μειδιᾷ πάνυ ἐπαγωγόν. Γλ. οἴει γὰρ ὦ Θαῒ τῷ κάλλει ἠρῆσθαι τὸν ἀκαρνᾶνα; οὐκ οἶσθα ὡς φαρμακὶς ἡ Χρυσάριον ἡ μήτηρ αὐτῆς, Θεσσαλάς τινας ᾠδὰς ἐπισταμένη, καὶ τὴν σελήνην κατάγουσα; φασὶ δὲ αὐτὴν καὶ πέτεσθαι τῆς νυκτός. ἐκείνη ἐξέμηνε τὸν ἄνθρωπον πιεῖν, τῶν φαρμάκων ἐγχέασα. καὶ νῦν τρυγῶσιν αὐτόν. Θα. καὶ σὺ ὦ Γλυκέριον, ἄλλον τρυγήσεις. τοῦτον δὲ, χαίρειν ἔα.

## ΜΥΡΤΙΟΝ, ΠΑΜΦΙΛΟΣ, ΚΑΙ ΔΩΡΙΣ.

Γαμεῖς ὦ Πάμφιλε τὴν Φίλωνος τοῦ ναυκλήρου θυγατέρα. καὶ ἤδη σε γεγαμηκέναι φασίν. οἱ τοσοῦτοι δὲ ὅρκοι,

οὓς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὓς ὤμοσας, καὶ τὰ δάκρυα ἐν ἀκαρεῖ πάντα
οἴχεται, καὶ ἐπιλέλησαι Μυρτίου νῦν. καὶ ταῦ
τα ὦ Πάμφιλε, ὁπότε κύω μῆνα ὄγδοον ἤδη.
τοῦτο γοῦν καὶ μόνον ἐπριάμην τοῦ σοῦ ἔρωτος, ὅ
τι μου τηλικαύτην πεποίηκας τὴν γαστέρα,
καὶ μετὰ μικρὸν παιδοτροφεῖν δεήσει. πρᾶγμα ἑ-
ταίρα βαρύτατον. οὐ γὰρ ἐκθήσω τὸ τεχθέν, καὶ
μάλιστα εἰ ἄρρεν γένοιτο, ἀλλὰ Πάμφιλον ὀνο
μάσασα, ἐγὼ μὲν ἕξω παραμύθιον τοῦ ἔρωτος.
σοὶ δὲ ὀνειδιεῖ ποτὲ προσελθὼν ἐκεῖνος, ὡς ἄ-
πιστος γεγένησαι περὶ τὴν ἀθλίαν αὐτοῦ μητέ
ρα. γαμεῖς δ' οὐ καλὴν παρθένον. εἶδον γὰρ αὐ-
τὴν ἔναγχος ἐν τοῖς θεσμοφορίοις μετὰ τῆς
μητρὸς, οὐδέπω εἰδυῖα ὅτι δι' αὐτὴν οὐκέτι ὄ-
ψομαι Πάμφιλον. καὶ σὺ δ' οὖν πρότερον ἴδου
αὐτήν. καὶ τὸ πρόσωπον, καὶ τοὺς ὀφθαλμοὺς ἴδε,
μή σε ἀνιάτω, εἰ πάνυ γλαυκοὺς ἔχει αὐτοὺς, μη
δὲ ὅτι διάστροφοί εἰσι, καὶ ἐς ἀλλήλους ὁρῶ-
σι. μᾶλλον δὲ τὸν Φίλωνα ἑώρακας τὸν πατέ
ρα τῆς νύμφης. τὸ πρόσωπον αὐτοῦ οἶσθα. ὥσ
τε οὐδὲν ἔτι δεήσει τὴν θυγατέρα ἰδεῖν. Πάμ.
ἔτι σου ληρούσης ὦ Μύρτιον, ἀκούσομαι, παρ-
θένους, καὶ γάμους ναυκληρικοὺς διεξιούσης. ἐ-
γὼ δὲ, ἢ σιμήν τινα, ἢ καλὴν νύμφην οἶδα; ἢ
ὅτι Φίλων ὁ ἀλωπεκῆθεν, οἶμαι γὰρ ἐκεῖνον λέ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γεῖν σε, θυγατέρα ὅλως εἶχεν ὡραίαν ἤδη γάμου, ἀλλ' οὐδὲ φίλος ἐστὶν οὗτος τῷ πατρί. μέμνημαι γοῦν ὡς πρώην ἐδικάσατο περὶ συμβολαίου ναυτικοῦ. τάλαντον γὰρ οἶμαι ὀφείλων τῷ πατρὶ, οὐκ ἤθελεν ἐκτίνειν. ὁ δὲ, παρὰ τοὺς ναυτοδίκας ἀπήγαγεν αὐτὸν, καὶ μόλις ἐξέτισεν αὐτό. οὐδ' ὅλον, ὡς ὁ πατὴρ ἔφασκεν. εἰ δὲ καὶ γαμεῖν ἐδέδοκτό μοι, τὴν τοῦ Δημέου θυγατέρα τὴν τοῦ πέρυσιν ἐστρατηγηκότος ἀφείς, καὶ ταῦτα, πρὸς μητρὸς ἀνεψιὰν οὖσαν, τὴν Φίλωνος ἐγάμουν ἄν. σὺ δὲ πόθεν ταῦτα ἤκουσας; ἢ συντέθηκας αὐτῇ ὦ Μύρτιον κενάς τινας ζηλοτυπίας σκιαμαχοῦσα; Μύρ. οὐκοῦν οὐ γαμεῖς ὦ Πάμφιλε; Πάμ. μέμηνας ὦ Μύρτιον, ἢ κραιπαλᾷς. καίτοι χθὲς οὐ πάνυ ἐμεθύσθημεν. Μύρ. ἡ Δωρὶς αὕτη ἐλύπησέ με. πεμφθεῖσα γὰρ ὡς ἔρια ὠνήσαιτό μοι ἐπὶ τὴν γαστέρα, καὶ εὔξαιτο τῇ λοχείᾳ ὡς ὑπὲρ ἐμοῦ, λεσβίαν ἔφη ἐντυχοῦσαν αὐτῇ. μᾶλλον δὲ σὺ αὐτῷ ὦ Δωρὶ λέγε, ἅπερ ἀκήκοας, εἴ γε μὴ ἐπλάσω αὐτά. Δω. ἀλλ' ἐπιτριβείην ὦ δέσποινα, εἴ τι ἐψευσάμην. ἐπεὶ γὰρ κατὰ τὸ πρυτανεῖον ἐγενόμην, ἐνέτυχέ μοι ἡ λεσβία, μειδιῶσα, καὶ φησὶν, ὁ ἐραστὴς ὑμῶν ὁ Πάμφιλος, γαμεῖ τὴν Φίλωνος θυγατέρα. εἰ δὲ ἀπι-

στοίην,

στενωπὸν, ἠξίου με περικύψασαν ἐς τὸν στενωπὸν ὑμῶν ἰδεῖν πάντα κατεστεμμένα, καὶ αὐλητρίδας, καὶ θόρυβον, καὶ ὑμέναιον ᾄδοντάς τινας. Πάμ. τί οὖν, περιέκυψας ὦ Δωρί; Δω. καὶ μάλα. καὶ εἶδον ἅπαντα ὡς ἔφη. Πάμ. μανθάνω τὴν ἀπάτην οὔτε πάντα ἡ Λεσβία Δωρί, πρὸς σὲ ἐψεύσατο, καὶ σὺ τἀληθῆ ἀπήγγελκας Μυρτίῳ. πλὴν μάτην γε ἐταράχθητε. οὔτε γὰρ παρ' ἡμῖν οἱ γάμοι. ἀλλὰ νῦν ἀνεμνήσθην ἀκούσας τῆς μητρός. ὁπότε χθὲς ἀνέστρεψα παρ' ὑμῶν, ἔφη γὰρ, ὦ Πάμφιλε, ὁ μὲν ἡλικιώτης σοι Χαρμίδης ὁ τοῦ γείτονος Ἀρισταινέτου υἱός, γαμεῖ ἤδη, καὶ σωφρονεῖ. σὺ δέ, μέχρι τίνος ἑταίρᾳ σύνει; τοιαῦτα παρακούων αὐτῆς, ἐς ὕπνον κατηνέχθην. εἶτα ἕωθεν προῆλθον ἀπὸ τῆς οἰκίας. ὥστε οὐδὲν εἶδον, ὧν ἡ Δωρὶς ὕστερον εἶδεν. εἰ δὲ ἀπιστεῖς, αὖθις ἀπελθοῦσα ὦ Δωρί, ἀκριβῶς ἰδὲ, μὴ τὸν στενωπὸν, ἀλλὰ τὴν θύραν, ποτέρα ἐστὶν ἡ κατεστεμμένη. εὑρήσεις γὰρ τὴν τῶν γειτόνων. Μύρ. ἀπέσωσας ὦ Πάμφιλε. ἀπηγξάμην γὰρ ἄν, εἴ τι τοιοῦτο ἐγένετο. Πάμ. ἀλλ' οὐκ ἂν ἐγένετο. μηδ' οὕτω μανείην, ὡς ἐκλαθέσθαι Μυρτίου. καὶ ταῦτα; ἤδη μοι κυούσης παιδίον.

## ΜΗΤΗΡ, ΚΑΙ ΦΙΛΙΝΝΑ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐμάνης ὦ Φίλιννα, ἢ τί ἔπαθες ἐν τῷ συμποσίῳ χθές; ἧκε γὰρ παρ' ἐμὲ Δίφιλος ἕωθεν δακρύων, καὶ διηγήσατό μοι ἃ ἔπαθεν ὑπὸ σοῦ. μεμεθύσθαι γάρ σε, καὶ ἐς τὸ μέσον ἀναστᾶσαν, ὀρχήσασθαι, αὐτοῦ διακωλύοντος. καὶ μετὰ ταῦτα, φιλῆσαι Λαμπρίαν τὸν ἑταῖρον αὐτοῦ. καὶ ἐπεὶ ἐχαλέπηνέ σοι, καταλιποῦσαν αὐτὸν, ἀπελθεῖν πρὸς τὸν Λαμπρίαν, καὶ περιβαλεῖν ἐκεῖνον. ἑαυτὸν δὲ ἀποπνίγεσθαι, τούτων γιγνομένων. ἀλλ' οὐδὲ τῆς νυκτὸς οἶμαι συνεκάθευδες. καταλιποῦσα δὲ δακρύοντα, μόνη ἐπὶ τοῦ πλησίον σκίμποδος κατέκεισο ᾄδουσα, καὶ λυποῦσα ἐκεῖνον. Φι. τὰ γὰρ αὑτοῦ σοι ὦ μῆτερ, οὐ διηγήσατο; οὐ γὰρ ἂν συνηγόρευες αὐτῷ ὑβριστῇ ὄντι. ὃς ἐμοῦ ἀφέμενος, ἐκοινολογεῖτο Θαΐδι τῇ Λαμπρίου ἑταίρᾳ, μηδέπω ἐκείνου παρόντος. ἐπεὶ δὲ χαλεπαίνουσαν εἶδέ με, καὶ διένευσα αὐτῷ οἷα ποιεῖ, τοῦ ὠτὸς ἄκρου ἐφαψάμενος, ἀνακλάσας τὸν αὐχένα τῆς Θαΐδος, ἐφίλησεν οὕτω προσφυῶς, ὥστε μόλις ἀπέσπασε τὰ χείλη. εἶτ' ἐγὼ μὲν ἐδάκρυον. ὁ δὲ, ἐγέλα, καὶ πρὸς τὴν Θαΐδα πολλὰ πρὸς τὸ οὖς ἔλεγε, κατ' ἐμοῦ δηλαδή. καὶ ἡ Θαῒς ἐμειδία, βλέπουσα πρὸς ἐμέ. ὡς δὲ προσιόντα ᾔσθοντο τὸν Λαμπρίαν, καὶ ἐκορέσθησάν ποτε φιλοῦντες ἀλλήλους, ἐγὼ μὲν ὅμως

παρ'

πρὸς αὐτὸν κατεκλίθην, ὡς μὴ καὶ τοῦτο προφασίζοιτο ὕστερον. ἡ Θαῒς δὲ ἀναστᾶσα, ὠρχήσατο πρώτη, ἀπογυμνοῦσα ἐπὶ πολὺ τὰ σφυρά, ὡς μόνη καλὰ ἔχουσα, καὶ ἐπειδὴ ἐπαύσατο, ὁ Λαμπρίας μὲν ἐσίγα, καὶ εἶπεν οὐδέν. Δίφιλος δέ, ὑπερεπῄνει τὸ εὔρυθμον, καὶ τὸ κεχορηγημένον, καὶ ὅτι εὖ πρὸς τὴν κιθάραν ὁ πούς, καὶ τὸ σφυρόν, ὡς καλόν, καὶ ἄλλα μυρία, καθάπερ τὴν Καλάμιδος Σωσάνδραν ἐπαινῶν, ἀλλ᾽ οὐχὶ Θαΐδα, ἣν καὶ σὺ οἶσθα συλλουομένην ἡμῖν, οἵα ἐστί. Θαῒς δὲ οἷα καὶ ἔσκωψεν εὐθὺς ἐς ἐμέ. εἰ γάρ τις ἔφη μὴ αἰσχύνεται λεπτὰ ἔχουσα τὰ σκέλη, ὀρχήσεται καὶ αὐτὴ ἐξαναστᾶσα. τί ἂν λέγοιμι ὦ μῆτερ; ἀνέστην γάρ, καὶ ὠρχησάμην. τί γὰρ ἔδει ποιεῖν; ἀνασχέσθαι, καὶ ἐπαληθεύειν τὸ σκῶμμα, καὶ τὴν Θαΐδα ἐᾶν τυραννεῖν τοῦ συμποσίου; Μή. Φιλοτιμότερον μὲν ὦ θύγατερ. οὐδὲ φροντίζειν γὰρ ἐχρῆν. λέγε δ᾽ ὅμως τὰ μετὰ ταῦτα. Φί. οἱ μὲν οὖν ἄλλοι, ἐπῄνουν. ὁ Δίφιλος δέ, μόνος ὕπτιον καταβαλὼν ἑαυτόν, ἐς τὴν ὀροφὴν ἀνέβλεπεν, ἄχρι δὴ καμοῦσα ἐπαυσάμην. Μή. τὸ φιλῆσαι δὲ τὸν Λαμπρίαν ἀληθὲς ἦν, καὶ τὸ μεταβᾶσαν περιπλέκεσθαι αὐτῷ; τί σιγᾷς; οὐκέτι γὰρ ταῦτα συγγνώμης ἄξια. Φί. ἀντιλυπεῖν ἐβουλόμην αὐτόν. Μή. εἶτα οὐδέ σύ-

νεκάθευδες, ἀλλὰ καὶ ἤδη, ἐκείνου δακρύοντος. οὐκ αἰσθάνῃ ὦ θύγατερ, ὅτι πτωχαί ἐσμεν, οὐδὲ μέμνησαι ὅσα παρ' αὐτοῦ ἐλάβομεν, ἢ οἷον δὴ τὸν πέρυσι χειμῶνα διηγάγομεν ἄν, εἰ μὴ τοῦτον ἡμῖν ἡ Ἀφροδίτη ἔπεμψε; Φι. τί οὖν, ἀνέχωμαι διὰ τοῦτο, ὑβριζομένη ὑπ' αὐτοῦ; Μη. ὀργίζου μὲν, μὴ ἀνθύβριζε δέ. οὐκ οἶσθα ὅτι ὑβριζόμενοι παύονται οἱ ἐρῶντες, καὶ ἐπιτιμῶσιν ἑαυτοῖς; σὺ δὲ πάνυ χαλεπὴ ἀεὶ τῷ ἀνθρώπῳ γεγένησαι. καὶ ὅρα μὴ κατὰ τὴν παροιμίαν, ἀπορρήξωμεν πάνυ τείνουσαι τὸ καλώδιον.

## ΜΕΛΙΤΤΑ, ΚΑΙ ΒΑΚΧΙΣ.

Εἴ τινα οἶσθα Βακχὶ γραῦν, οἷαι πολλαὶ Θετταλαὶ λέγονται ἐπᾴδουσαι, καὶ ἐρασμίους ποιοῦσαι, εἰ καὶ πάνυ μισουμένη γυνὴ τυγχάνοι, οὕτως ὄναιο, παραλαβοῦσα, ἧκέ μοι· θοἰμάτια γὰρ ὅλα, καὶ τὰ χρυσία ταυτὶ προείμην ἡδέως, εἰ μόνον ἴδοιμι ἐπ' ἐμὲ αὖθις ἀναστρέψαντα Χαρῖνον, μισήσαντα Σιμμίχην, ὡς νῦν ἐμέ. Βακ. τί φής; οὐκ ἔτι σύνεστιν, ἀλλὰ παρὰ τὴν Σιμμίχην ὦ Μέλιττα, οἴχεται Χαρῖνος, δι' ἣν τοσαύτας ὀργὰς τῶν γονέων ἠνέσχετο. οὐ βουληθεὶς τὴν πλουσίαν ἐκείνην γῆμαι, πέντε προικὸς τάλαντα ὡς ἔλεγον, ἐπιφερομένην; μέμνημαι γὰρ ταῦτά σου ἀκούσασα.

σα. Μέ. ἅπαντα ἐκεῖνα οἴχεται ὦ Βακχί. καὶ πέμ
πτην ταύτην ἡμέραν οὐδ᾽ ἑώρακα ὅλως αὐτόν.
ἀλλὰ πίνουσι παρὰ τῷ συνεφήβῳ Παμμένει αὐ
τός τε, καὶ Σιμμίχη. Βακ. δεινὰ ὦ Μέλιττα
πέπονθας, ἀλλὰ τί καὶ ὑμᾶς διέστησεν; ἔοικε γὰρ
οὐ μικρόν τι τοῦτ᾽ εἶναι. Μέ. τὸ μὲν ὅλον, οὐδὲ εἰ-
πεῖν ἔχω. πρῴην δὲ ἀνελθὼν ἐκ Πειραιῶς, κατε
ληλύθει γὰρ οἶμαι χρέος τι ἀπαιτήσων, πέμ-
ψαντος τοῦ πατρὸς, οὔτε με προσέβλεψεν ἐσελ
θὼν, οὔτε προσήκατο ὡς ἔθος προσδραμοῦ-
σαν. ἀποσεισάμενος δὲ περιπλακῆναι θέλου-
σαν, ἄπιθι φησὶ πρὸς τὸν ναύκληρον Ερμότιμον,
ἢ τὰ ἐπὶ τῶν τοίχων γεγραμμένα ἐν τῷ κερα
μεικῷ ἀνάγνωθι, ὅπου κατεστηλίτευται ὑ-
μῶν τὰ ὀνόματα. τίνα Ερμότιμον, τίνα ἔφην;
ἢ ποίαν στήλην λέγεις; ὁ δὲ, οὐδὲν ἀποκρινάμε
νος. οὐδὲ δειπνήσας, ἐκάθευδεν ἀποστραφείς.
πόσα οἴει ἐπὶ τούτῳ μεμηχανῆσθαί με, περιβάλλου
σαν, ἐπιστρέφουσαν, φιλοῦσαν, ἀπεστραμμένου τὸ
μετάφρενον; ὁ δ᾽ οὐδ᾽ ὁπωστιοῦν ὑπεμαλάχθη.
ἀλλ᾽ εἴ μοι φησὶν ἐπὶ πλέον ὀχλήσεις, ἄπει-
μι ἤδη, εἰ καὶ μέσαι νύκτες εἰσίν. Βάκ. ὅμως
ᾔδεις τὸν Ερμότιμον; Μέ. ἀλλά με ἴδοις ὦ
Βακχί, ἀθλιώτερον διάγουσαν ἢ νῦν ἔχω, εἴ τι
να ἐγὼ ναύκληρον Ερμότιμον οἶδα. πλὴν ἀλλ᾽

ἡ μὲν, ἕωθεν ἀπεληλύθει, τοῦ ἀλεκτρυόνος εὐθὺς ἄ
σαντος ἀνεγρόμενος. ἐγὼ δὲ, ἐμεμνήμην ὅτι κατὰ
τοίχου τινὸς ἔλεγε καταγεγράφθαι τοὔνομα ἐν Κε
ραμεικῷ. ἔπεμψα τὴν Ἀκίδα κατασκεψομένην.
ἡ δ' ἄλλο μὲν οὐδὲν εὗρε, τοῦτο δὲ μόνον ἐπιγε-
γραμμένον εἰσιόντων ἐπὶ τὰ δεξιὰ πρὸς τῷ Διπύ
λῳ, Μέλιττα, φιλεῖ Ἑρμότιμον. καὶ μικρὸν αὖ-
θις ὑποκάτω, ὁ ναύκληρος Ἑρμότιμος, φιλεῖ
Μέλιτταν. Βάκ. ὦ τῶν περιέργων νεανίσκων.
Συνίημι γάρ. λυπῆσαί τις θέλων τὸν Χαρῖνον, ἐ
πέγραψε, ζηλότυπον ὄντα εἰδώς. ὁ δὲ, αὐτί-
κα ἐπίστευσεν. εἰ δέ που ἴδοιμι αὐτὸν, διαλέξο-
μαι. ἄπειρός ἐστι, καὶ παῖς ἔτι. Μέ. ποῦ δ' ἂν ἴδοις
ἐκεῖνον, ὃς ἐγκλεισάμενος ἑαυτὸν, σύνεστι τῇ
Σιμμίχῃ; οἱ γονεῖς δὲ ἔτι παρ' ἐμοὶ ζητοῦσιν αὐτόν.
ἀλλ' εἴ τινα εὕροιμι ὦ Βακχὶ γραῦν, ὡς ἔφην, ἀ
ποσώσοι γὰρ ἂν φανεῖσα. Βακ. ἔστιν ὦ φιλτάτη
ὅτι χρησίμη φαρμακὶς, σύρα τὸ γένος, ὠμὴ ἔτι,
καὶ συμπεπηγυῖα. ἥ μοι ποτὲ Φανίαν χαλεπαίνον
τα κἀκεῖνον εἰκῆ, ὥσπερ Χαρῖνος, διήλλαξε με
τὰ μῆνας ὅλους τέσσαρας, ὅτι ἐγὼ μὲν ἤδη ἀπε
γνώκειν. ὁ δὲ, ὑπὸ τῶν ἐπῳδῶν, ἧκεν αὖθις ἐπ'
ἐμέ. Μέ. τί δὲ ἔπραξεν ἡ γραῦς, εἴπερ ἔτι μέ
μνησαι; Βακ. λαμβάνει μὲν οὐδὲ πολὺν ὦ Μέ
λιττα τὸν μισθὸν, ἀλλὰ δραχμὴν, καὶ ἄρτον. καὶ
ἐπικεῖσθαι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπικεῖσθαι δὲ δεῖ μετὰ τῶν ἁλῶν, καὶ ὀβολοὺς ἑπτά, καὶ θεῖον, καὶ δᾷδα. ταῦτα δὲ ἡ γραῦς λαμβάνει. καὶ κρατῆρα κεκεράσθαι δεῖ, καὶ πίνειν ἐκείνην μόνην. δεήσει δέ τι αὐτοῦ τοῦ ἀνδρὸς εἶναι, οἷον ἱμάτια, ἢ κρηπῖδας, ἢ ὀλίγας τῶν τριχῶν, ἤ τι τῶν τοιούτων. Μέ. ἔχω τὰς κρηπῖδας αὐτοῦ. Βακ. ταύτας κρεμάσασα ἐκ παττάλου ὑποθυμιᾷ τῷ θείῳ, πάττουσα καὶ τῶν ἁλῶν ἐπὶ τὸ πῦρ. ἐπιλέγει δὲ ἀμφοῖν τὰ ὀνόματα, καὶ τὸ ἐκείνου, καὶ τὸ σόν. εἶτα ἐκ τοῦ κόλπου προκομίσασα ῥόμβον, ἐπιστρέφει ἐπῳδήν τινα, λέγουσα ἐπιτρόχῳ τῇ γλώττῃ, βαρβαρικὰ καὶ φρικώδη ὀνόματα. ταῦτα ἐποίησε τότε. καὶ μετ᾽ οὐ πολὺ Φανίας ἅμα, καὶ τῶν συνεφήβων ἐπιτιμησάντων αὐτῷ, καὶ τῆς Φοιβίδος, ἣ συνῆν, πολλὰ αἰτούσης, ἧκέ μοι, τὸ πλέον ὑπὸ τῆς ἐπῳδῆς ἀγόμενος. ἔτι δὲ καὶ τοῦτό με σφόδρα κατὰ τῆς Φοιβίδος τὸ μίσηθρον ἐδιδάξατο, τηρήσασαν τὸ ἴχνος ἐπὰν ἀπολίπῃ, ἀμαυρώσασαν, ἐπιβῆναι μὲν τῷ ἀριστερῷ ἐκείνης, τὸν ἐμὸν δεξιόν. τῷ δεξιῷ δέ, τὸν ἀριστερὸν ἔμπαλιν. καὶ λέγειν, ἐπιβέβηκά σοι, καὶ ὑπεράνω εἰμί. καὶ ἐποίησα ὡς προσέταξε. Μέ. μὴ μέλλε, μὴ μέλλε ὦ Βακχί. κάλει ἤδη τὴν Σύραν. σὺ δὲ ὦ Ἀκί, τὸν ἄρτον, καὶ τὸ θεῖον, καὶ τὰ ἄλλα πάντα πρὸς τὴν ἐπῳδὴν εὐτρέπιζε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΚΛΩΝΑΡΙΟΝ, ΚΑΙ ΛΕΑΙΝΑ.

## ΚΛΩΝΑΡΙΟΝ.

Καινὰ περὶ σοῦ ἀκούομεν ὦ Λέαινα, τὴν λεσβίαν Μέγιλλαν τὴν πλουσίαν, ἐρᾶν σου ὥσπερ ἄνδρα, καὶ συνεῖναι ὑμᾶς, οὐκ οἶδ' ὅ,τι ποιούσας μετ' ἀλλήλων. τί τοῦτο; ἠρυθρίασας; ἀλλ' εἰπὲ εἰ ἀληθῆ ταῦτά ἐστιν. ΛΕ. ἀληθῆ ὦ Κλωνάριον. αἰσχύνομαι δέ. ἀλλόκοτον γάρ τί ἐστι. ΚΛΩ. πρὸς τῆς κουροτρόφου, τί τὸ πρᾶγμα, ἢ τί βούλεται ἡ γυνή; τί δὲ καὶ πράττετε ὁπόταν συνῆτε; ὁρᾷς; οὐ φιλεῖς με. οὐ γὰρ ἂν ἀπεκρύπτου τὰ τοιαῦτα. ΛΕ. φιλῶ μὲν, εἰ καί τινα ἄλλην. ἡ γυνὴ δὲ δεινῶς ἀνδρική ἐστιν. ΚΛΩ. οὐ μανθάνω ὅ,τι καὶ λέγεις, εἰ μή τις ἑταιρίστρια τυγχάνει οὖσα. τοιαύτας γὰρ ἐν Λέσβῳ λέγουσι γυναῖκας, ὑπὸ ἀνδρῶν μὲν οὐκ ἐθελούσας αὐτὸ πάσχειν, γυναιξὶ δὲ αὐτὰς πλησιαζούσας, ὥσπερ ἄνδρας. ΛΕ. τοιοῦτό τι. ΚΛΩ. οὐκοῦν ὦ Λέαινα, τοῦτο αὐτὸ καὶ διήγησαι, ὅπως μὲν ἐπείρα τὸ πρῶτον, ὅπως δὲ καὶ συνεπείσθης, καὶ τὰ μετὰ ταῦτα. ΛΕ. πότον τινὰ συγκροτοῦσα αὐτὴ, καὶ Δημώνασσα ἡ κορινθία, πλουσία δὲ καὶ αὐτὴ, καὶ ὁμότεχνος τῇ Μεγίλλῃ, παρειλήφασί με κιθαρίζειν αὐταῖς. ἐπεὶ δὲ ἐκιθάρισα, καὶ ἀωρὶ ἦν, καὶ ἔδει καθεύδειν, καὶ ἐμέθυον, ἄγε δή

λλ᾽ ἔφη ἡ Λέαινα ἡ Μέγιλλα, κοιμᾶσθαι γὰρ ἤδη καλὸν, ἐνταῦθα κάθευδε μεθ᾽ ἡμῶν, μέση ἀμφοτέρων. Κλω. ἐκάθευδες; τὸ μετὰ ταῦτα τί ἐγένετο; Λέ. ἐφίλουν με τὸ πρῶτον, ὥσπερ οἱ ἄνδρες, οὐκ αὐτὰ μόνον προσαρμόζουσαι τὰ χείλη, ἀλλ᾽ ὑπανοίγουσαι τὸ στόμα, καὶ περιέβαλλον, ἢ τοὺς μαστοὺς ἔθλιβον. ἡ Δημώνασσα δὲ, καὶ ἔδακνε μεταξὺ καταφιλοῦσα. ἐγὼ δὲ, οὐκ εἶχον εἰκάσαι ὅ, τι τὸ πρᾶγμα εἴη. χρόνῳ δὲ ἡ Μέγιλλα ὑπόθερμος ἤδη οὖσα, τὴν μὲν πηνήκην ἀφείλετο τῆς κεφαλῆς. ἐπέκειτο δὲ πάνυ ὁμοία, καὶ προσφυής, καὶ ἐν χρῷ ὤφθη αὐτή, καθάπερ οἱ σφόδρα ἀνδρώδεις τῶν ἀθλητῶν, ἀποκεκαρμένη. καὶ ἐγὼ ἐταράχθην ἰδοῦσα. ἡ δέ, ὦ Λέαινά φησιν, ἑώρακας ἤδη οὕτω καλὸν νεανίσκον; ἀλλ᾽ οὐχ ὁρῶ ἔφην ἐνταῦθα νεανίσκον ὦ Μέγιλλα. μή καταθήλυνέ με ἔφη. Μέγιλλος γὰρ ἐγὼ λέγομαι, καὶ γεγάμηκα πρόπαλαι ταύτην Δημώνασσαν, καὶ ἔστιν ἐμὴ γυνή. ἐγέλασα ὦ Κλωνάριον ἐπὶ τούτῳ, καὶ ἔφην, οὐκοῦν σὺ ὦ Μέγιλλε, ἀνήρ τις ὤν, ἐλελήθεις ἡμᾶς, καθάπερ τὸν Ἀχιλλέα φασὶ κρυπτόμενον ἐν ταῖς παρθένοις. καὶ τὸ ἀνδρεῖον ἐκεῖνο ἔχεις, καὶ ποιεῖς τὴν Δημώνασσαν ὅπερ οἱ ἄνδρες. ἐκεῖ

νο μὲν ἔφη ὦ Λέαινα, οὐκ ἔχω. δέομαι δὲ οὐδὲ πάνυ αὐτοῦ. ἴδιον δέ τινα τρόπον ἡδίω παραπολὺ ὁμιλοῦντα ὄψει με. ἀλλὰ μὴ ἑρμαφρόδιτος εἶ ἔφην, οἷοι πολλοὶ εἶναι λέγονται, ἀμφότερα ἔχοντες; ἔτι γὰρ ἠγνόουν ὦ Κλωνάριον τὸ πρᾶγμα. οὔ φησιν, ἀλλὰ τὸ πᾶν ἀνήρ εἰμι. ἤκουσα ἔφην ἐγὼ τῆς βοιωτίας αὐλητρίδος ἰσμηνοδώρας, διηγουμένης τὰ ἐφέστια παρ' αὐτοῖς, ὡς γένοιτό τις ἐν Θήβαις ἐκ γυναικὸς ἀνὴρ ὁ δ' αὐτὸς, καὶ μάντις ἄριστος. οἶμαι τειρεσίας τοὔνομα. μὴ οὖν τι καὶ σὺ τοιοῦτο πέπονθας; οὔκουν ὦ Λέαινα ἔφη, ἀλλὰ ἐγεννήθην μὲν ὁμοία ταῖς ἄλλαις ὑμῖν. ἡ γνώμη δὲ, καὶ ἡ ἐπιθυμία, καὶ τἄλλα πάντα, ἀνδρός ἐστί μοι. καὶ ἱκανὴ γοῦν σοι ἔφην ἐπιθυμία. πάρεχε γοῦν ὦ Λέαινα εἰ ἀπιστεῖς ἔφη, καὶ γνώσῃ οὐδὲν ἐνδέουσάν με τῶν ἀνδρῶν. ἔχω γάρ τι ἀντὶ τοῦ ἀνδρείου. ἀλλὰ πάρεχε. ὄψει γάρ. παρέσχον ὦ Κλωνάριον, ἱκετευούσης πολλά. καὶ ὅρμον τινά μοι δούσης τῶν πολυτελῶν, καὶ ὀθόνας τῶν λεπτῶν. εἶτα ἐγὼ μὲν, ὥσπερ ἄνδρα περιελάμβανον. ἡ δὲ, ἐποίει τε, καὶ ἐφίλει, καὶ ἤσθμαινε, καὶ ἐδόκει μοι ἐς ὑπερβολὴν ἥδεσθαι. Κλω. τί ἐποίει ὦ Λέαινα; ἢ τίνα τρόπον; τοῦτο γὰρ μάλιστα εἰπέ. Λέ. μὴ ἀνά

κει

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κεινε ἀκριβῶς. αἰσχρὰ γάρ. ὥστε μὰ τὴν οὐρανίαν, οὐκ ἂν εἴποιμι.

## ΚΡΩΒΥΛΗ, ΚΑΙ ΚΟΡΙΝΝΑ.

Ὦ Κόριννα, ὡς μὲν οὐ πάνυ δεινὸν ἦν ὃ ἐνόμιζες, τὸ γυναῖκα γενέσθαι ἐκ παρθένου, μεμάθηκας ἤδη. μετὰ μειρακίου μὲν ὡραίου γενομένη, μνᾶν δὲ τὸ πρῶτον μίσθωμα κομισαμένη, ἐξ ἧς ὅρμον αὐτίκα ὠνήσομαί σοι. Κό. ναὶ μαννάριον. ἐχέτω δὲ καὶ ψήφοις τινὰς πυραυγεῖς, οἷος ὁ Φιλαινίδος ἐστίν. Κρω. ἔσται τοιοῦτος. ἄκουε δὲ καὶ τἆλλα παρ᾽ ἐμοῦ, ἅ σε χρὴ ποιεῖν, καὶ ὅπως προσφέρεσθαι τοῖς ἀνδράσιν. ἄλλη μὲν γὰρ ἡμῖν ἀποστροφὴ τοῦ βίου οὐκ ἔστιν ὦ θύγατερ. ἀλλὰ δύο ἔτη ταῦτα ἐξ οὗ τέθνηκεν ὁ μακαρίτης σου πατήρ, οὐκ οἶσθα ὅπως ἀπεζήσαμεν. ὅτε δὲ ἐκεῖνος ἔζη, πάντα ἦν ἡμῖν ἱκανά. ἐχάλκευε γὰρ, καὶ μέγα ἦν ὄνομα αὐτοῦ ἐν Πειραιεῖ. καὶ πάντων ἐστὶν ἀκοῦσαι διομνυμένων, ἦ μὴν μετὰ Φιλῖνον, μηκέτι ἔσεσθαι ἄλλον χαλκέα. μετὰ δὲ τὴν τελευτὴν, τὸ μὲν πρῶτον ἀποδομένη τὰς πυράγρας, καὶ τὸν ἄκμονα, καὶ σφῦραν δύο μνῶν, ἀπὸ τούτων διετράφημεν. εἶτα, νῦν μὲν, ὑφαίνουσα. νῦν δὲ, κρόκην κατάγουσα, ἢ στήμονα κλώθουσα, ἐποριζόμην τὰ σιτία μόλις. ἔβοσκον

δέ σε ὦ θύγατερ, τὴν ἐλπίδα περιμένουσα. Κό. τὴν μνᾶν λέγεις; Κρω. οὐκ. ἀλλὰ ἐλογιζόμην ὡς τηλικαύτη γενομένη, θρέψεις μὲν ἐμὲ, σεαυτὴν δὲ κατακοσμήσεις ῥᾳδίως, καὶ πλουτήσεις, καὶ ἐσθῆτας ἕξεις ἁλουργεῖς, καὶ θεραπαίνας. Κό. πῶς ἔφησθα μῆτερ, ἢ τί λέγεις; Κρω. συνοῦσα μὲν τοῖς νεανίσκοις, καὶ συμπίνουσα μετ' αὐτῶν, καὶ συγκαθεύδουσα ἐπὶ μισθῷ. Κόρ. καθάπερ ἡ Δάφνιδος θυγάτηρ Λύρα; Κρω. ναί. Κόρ. ἀλλ' ἐκείνη ἑταίρα ἐστίν. Κρω. οὐδὲν τοῦτο δεινόν. καὶ σὺ γὰρ πλουτήσεις ὡς ἐκείνη, καὶ πολλοὺς ἐραστὰς ἕξεις. τί ἐδάκρυσας ὦ Κόριννα; οὐχ ὁρᾷς ὁπόσαι, καὶ ὡς περισπούδαστοί εἰσιν αἱ ἑταῖραι, καὶ ὅσα χρήματα λαμβάνουσι; τὴν Δάφνιδα γοῦν ἐγὼ οἶδα ὦ φίλη Ἀδράστεια, ῥάκη πρὶν αὐτὴν ἀκμάσαι τῇ ὥρᾳ περιβεβλημένην. ἀλλὰ νῦν ὁρᾷς οἵα πρόεισι, χρυσὸς, καὶ ἐσθῆτες εὐανθεῖς, καὶ θεράπαιναι τέσσαρες.

Κόρ. πῶς δὲ ταῦτα ἐκτήσατο ἡ Λύρα; Κρω. τὸ μὲν πρῶτον, κατακοσμοῦσα ἑαυτὴν εὐπρεπῶς, καὶ εὐσταλὴς οὖσα, καὶ φαιδρὰ πρὸς ἅπαντας, οὐκ ἄχρι τοῦ καγχαλίζειν ῥᾳδίως, καθάπερ σὺ εἴωθας, ἀλλὰ μειδιῶσα ἡδὺ, καὶ ἐπαγωγόν. εἶτα προσομιλοῦσα δεξιῶς, καὶ μήτε φενακίζουσα εἴ τις προσέλθοι,

προπέμψειε, μήτε αὐτὴ ἐπιλαμβανομένη τῶν ἀνδρῶν. ἢν δέ ποτε καὶ ἀπέλθῃ ἐπὶ δεῖπνον λαβοῦσα μίσθωμα, οὔτε μεθύσκεται, καταγέλαστον γὰρ, καὶ μισοῦσιν οἱ ἄνδρες τὰς τοιαύτας, οὔτε ὑπερεμφορεῖται τοῦ ὄψου ἀπειροκάλως, ἀλλὰ προσάπτεται μὲν ἄκροις τοῖς δακτύλοις, σιωπῇ δὲ τὰς ἐνθέσεις οὐκ ἐπ' ἀμφοτέρας παραβύεται τὰς γνάθους. πίνει δὲ ἠρέμα, οὐ χανδὸν, ἀλλ' ἀναπαυομένη. Κό. κἂν εἰ διψῶσα ὦ μῆτερ τύχοι; Κρω. τότε μάλιστα ὦ Κόριννα. καὶ οὔτε πλέον τοῦ δέοντος φθέγγεται, οὔτε ἀποσκώπτει ἔς τινα τῶν παρόντων. ἐς μόνον δὲ τὸν μισθωσάμενον βλέπει. καὶ διὰ τοῦτο ἐκεῖνοι φιλοῦσιν αὐτήν. καὶ ἐπειδὰν κοιμᾶσθαι δέοι, ἀσελγὲς οὐδὲν, οὐδὲ ἀμελὲς ἐκείνη ἄν τι ἐργάσαιτο, ἀλλὰ ἐξ ἅπαντος ἓν τοῦτο θηρᾶται, ὡς ὑπαγάγοιτο, καὶ ἐραστὴν ποιήσειεν ἐκεῖνον. ταῦτα γὰρ αὐτῆς ἅπαντες ἐπαινοῦσιν. εἰ δὴ καὶ σὺ ταῦτα ἐκμάθοις, μακάριαι καὶ ἡμεῖς ἐσόμεθα. ἐπεὶ τάγε ἄλλα παραπολὺ αὐτῆς ἄλλο οὐδὲν ὦ φίλη Ἀδράστειά φημι, ζῶσα μόνον. Κό. εἰπέ μοι ὦ μῆτερ, οἱ μισθούμενοι πάντες τοιοῦτοί εἰσιν, οἷος ὁ Εὔκριτος, μεθ' οὗ χθὲς ἐκάθευδον; Κρω. οὐ πάντες, ἀλλ' ἔνιοι μὲν, ἀμείνους. οἱ δὲ, καὶ ἤδη

ἀνθρώποις. οἱ δέ εἰσι, καὶ οὐ πάνυ μορφῆς εὐφυῶς ἔχοντες. Κό. καὶ ῥύπις συγκαθεύδειν δεήσει; Κρω. μάλιστα ὦ θύγατερ. οὗτοι μέν τοι καὶ πλείονα διδόασιν. οἱ καλοὶ δὲ, αὐτὸ μόνον, καλοὶ θέλουσιν εἶναι. καὶ σοὶ δὲ μελέτω ἀεὶ τοῦ πλείονος, εἰ θέλεις ἐν βραχεῖ λέγειν ἁπάσας, ἐνδειξάσας σε τῷ δακτύλῳ, οὐχ ὁρᾷς τὴν Κόρινναν τὴν τῆς Κρωβύλης θυγατέρα, ὡς ὑπερπλουτεῖ, καὶ τρισευδαίμονα πεποίηκε τὴν μητέρα; τί φής; ποιήσεις ταῦτα, ποιήσεις; οἶδα ἐγώ. καὶ προέξεις ἁπασῶν ῥᾳδίως. νῦν δ' ἄπιθι λουσομένη, εἰ ἀφίκοιτο καὶ τήμερον τὸ μειράκιον ὁ Εὔκριτος. ὑπισχνεῖτο γάρ.

## ΜΗΤΗΡ, ΚΑΙ ΜΟΥΣΑΡΙΟΝ. ΜΗΤΗΡ.

ΑΝ ἔτι τοιοῦτον ἐραστὴν εὕρωμεν ὦ Μουσάριον, οἷος ὁ Χαιρέας ἐστὶ, θῦσαι μὲν τῇ πανδήμῳ δεήσει λευκὴν μηκάδα, τῇ οὐρανίᾳ δὲ, καὶ τῇ ἐν κήποις, δάμαλιν ἑκατέρᾳ, στεφανῶσαι δὲ καὶ τὴν πλουτοδότειραν. καὶ ὅλως, μακάριαι, καὶ τρισευδαίμονες ἐσόμεθα. νῦν ὁρᾷς γοῦν παρὰ τοῦ νεανίσκου ἡλίκα λαμβάνομεν, ὃς ὀβολὸν μὲν οὐδεπώποτέ σοι δέδωκεν, οὐκ ἐσθῆτα, οὐχ ὑποδήματα, οὐ μύρον, ἀλλὰ προφάσεις ἀεὶ, καὶ ὑποσχέσεις, καὶ μακραὶ ἐλπίδες, καὶ πολὺ τό, ἐὰν ὁ πατὴρ, καὶ εἰ κύριος

γένω

γένωμαι τῶν πατρῴων, καὶ πάντα σά. σὺ δὲ, καὶ ὀμωμοκέναι αὐτὸν φῂς, ὅτι νόμῳ σε γαμετὴν ποιήσεται. Μου. ὤμοσε μὲν ὦ μῆτερ, κατὰ τοῖν θεαῖν, καὶ τῆς πολιάδος. Μη. καὶ πιστεύεις δηλαδή. καὶ διὰ τοῦτο πρῴην οὐκ ἔχοντι αὐτῷ καταθεῖναι συμβολὴν, τὸν δακτύλιον δέδωκας, ἀγνοούσης ἐμοῦ; ὁ δὲ ἀποδόμενος, κατέπιε. καὶ πάλιν τὰ δύο περιδέραια τὰ ἰωνικά, ἕλκοντα ἑκάτερον δύο δαρεικοὺς, ἅ σοι ὁ χῖος Πραξίας ὁ ναύκληρος ἐκόμισε, ποιησάμενος ἐν Ἐφέσῳ. ἐδεῖτο γὰρ Χαιρέας ἔρανον συνεφήβοις ἀπενεγκεῖν. ὀθόνας γὰρ, καὶ χιτωνίσκους, τί ἂν λέγοιμι; καὶ ὅλως, ἕρμαιόν τι ἡμῖν, καὶ μέγα ὄφελος συμπέπτωκεν οὗτος. Μου. ἀλλὰ καλὸς, καὶ ἀγένειος, καὶ φησὶν ἐρᾶν, καὶ δακρύει, καὶ Δεινομάχης, καὶ Λάχητος υἱός ἐστι τοῦ ἀρεοπαγίτου. καὶ φησὶν ἡμᾶς γαμήσειν, καὶ μεγάλας ἐλπίδας ἔχομεν παρ' αὐτοῦ, ἢν ὁ γέρων μόνον καταμύσῃ. Μη. οὐκοῦν ὦ Μουσάριον, ἐὰν ὑποδήσασθαι δέῃ, καὶ ὁ σκυτοτόμος αἰτῇ τὸ δίδραχμον, ἐροῦμεν πρὸς αὐτὸν, ἀργύριον μὲν οὐκ ἔχομεν, σὺ δὲ τῶν ἐλπίδων ὀλίγας παρ' ἡμῶν λάβε. καὶ πρὸς τὸν ἀλφιτοπώλην τὰ αὐτά. καὶ ἢν τὸ ἐνοίκιον αἰτώμεθα, περίμεινον φήσομεν, ἔστ' ἂν Λάχης ὁ κολυττ

πὺς ἀποθάνῃ. ἀποδώσομεν γάρ σοι μετὰ τοὺς
γάμους. οὐκ αἰσχύνῃ μόνη τῶν ἑταιρῶν οὐκ ἐλλό-
βιον, οὐχ ὅρμον, οὐ ταραντινίδιον ἔχουσα;
Μου. τί οὖν ὦ μῆτερ, ἐκεῖναι εὐτυχέστεραί μου,
καὶ καλλίους εἰσίν; Μη. οὔκ, ἀλλὰ συνε-
τώτεραι, καὶ ἴσασιν ἑταιρίζειν. οὐδὲ πιστεύουσι
ῥηματίοις, καὶ νεανίσκοις, ἐπ' ἄκρου τοῦ χείλους
τοὺς ὅρκους ἔχουσι. σὺ δὲ ἡ πιστὴ, καὶ φίλαν-
δρος. οὐδὲ προσίῃ ἄλλον τινά, ὅτι μὴ μόνον
Χαιρέαν. καὶ πρῴην ὅτε ὁ γεωργὸς ὁ ἀκαρνα-
νεὺς ἧκε δύο μνᾶς κομίζων, ἀγένειος καὶ αὐ-
τός, οἴνου δὲ τιμὴν ἀπειλήφει, τοῦ πατρὸς
πέμψαντος. σὺ δὲ ἐκεῖνον μὲν ἀπεμύκτισας,
καθεύδεις δὲ μετὰ τοῦ Ἀδώνιδος Χαιρέου. Μου.
τί οὖν, ἐχρῆν Χαιρέαν καταλείψασαν, παραδέ-
ξασθαι τὸν ἐργάτην ἐκεῖνον, κινάβρας ἀπόζοντα;
λεῖός μοι φασὶ Χαιρέας, καὶ χοιρίσκος ἀκαρ-
νάνιος. Μη. ἔστω ἐκεῖνος ἀγροῖκος, καὶ πονηρὸν
ἀποπνεῖ. τί καὶ Ἀντιφῶντα τὸν Μενεκράτους μνᾶν
ὑπισχνούμενον, οὐδὲ τοῦτον ἐδέξω; οὐ καλὸς ἦν,
καὶ ἀστεῖος ἡλικιώτης Χαιρέου; Μου. ἀλλ'
ἠπείλησε Χαιρέας ἀποσφάξειν ἀμφοτέρους, εἰ
λάβοι με ποτὲ μετ' αὐτοῦ. Μη. πόσοι δὲ
καὶ ἄλλοι ταῦτα ἀπειλοῦσιν; οὐκοῦν ἀνέραστος
σὺ μενεῖς διὰ τοῦτο, καὶ σωφρονήσεις, καθάπερ οὐχ
ἑταί-

ταῖρα, ἢ δὲ Θεσμοφόρου ἱερεία τις οὖσα. ἔα τἆλλα. σήμερον Ἁλῷα ἐστί. τί δέ σοι δέδωκεν ἐς τὴν ἑορτήν; Μυ. οὐκ ἔχει ὦ μαννάριον. Μη. μόνος οὗτος οὐ τέχνην εὕρηκεν ἐπὶ τὸν πατέρα, οὐκ οἰκέτην καθῆκεν ἐξαπατήσοντα, οὐκ ἀπὸ τῆς μητρὸς ᾔτησεν ἀπειλήσας ἀποπλευσεῖσθαι στρατευσόμενος, εἰ μὴ λάβοι, ἀλλὰ κάθηται, ἡμᾶς ἐπιτρίβων, μήτε αὐτὸς διδοὺς, μήτε παρὰ τῶν διδόντων ἐῶν λαμβάνειν. σὺ δὲ οἴει ὦ Μυσάριον, ὀκτωκαίδεκα ἐτῶν ἀεὶ ἔσεσθαι; ἢ τὰ αὐτὰ φρονήσειν Χαιρέαν, ὅταν πλουτῇ μὲν αὐτὸς, ἡ δὲ μήτηρ γάμον πολυτάλαντον ἐξεύρῃ αὐτῷ; μνησθήσεσθαι οἴει τότε τῶν δακρύων, ἢ τῶν φιλημάτων, ἢ τῶν ὅρκων, πέντε ἴσως τάλαντα προῖκα βλέπων; Μυ. μνησθήσεται ἐκεῖνος. δεῖγμα δὲ, ὡς οὐδὲ νῦν γεγάμηκεν, ἀλλὰ καταναγκαζόμενος, καὶ βιαζόμενος ἠρνήσατο. Μη. γένοιτο μὴ ψεύδεσθαι. ἀναμνήσω δέ σε ὦ Μυσάριον τότε.

## ΑΜΠΕΛΙΣ, ΚΑΙ ΧΡΥΣΙΣ.

### ΑΜΠΕΛΙΣ.

Εἰ τις δὲ ὦ Χρυσί, μήτε ζηλοτυπεῖ, μήτε ὀργίζεται, μήτε ἐρράπισέ ποτε, ἢ περιέκειρεν, ἢ τὰ ἱμάτια περιέσχισεν, ἔτι ἐραστὴς ἐκεῖνός ἐστιν; Χρυ. οὐκοῦν ταῦτα μόνα ἐρῶντος ὦ Ἀμπελὶ δείγματα; Αμ.

ναὶ, ταῦτ' ἀνδρὸς θερμοῦ. ἐπεὶ τἄλλα, φιλήματα, καὶ δάκρυα, καὶ ὅρκοι, καὶ τὸ πολλάκις ἥκειν, ἀρχομένου ἔρωτος σημεῖον, καὶ φυομένου ἔτι. τὸ δὲ πῦρ ὅλον, ἐκ τῆς ζηλοτυπίας ἐστίν. ὥστε εἰ καὶ σὲ ὡς φὴς ὁ Γοργίας ῥαπίζει, καὶ ζηλοτυπεῖ, χρηστὰ ἔλπιζε, καὶ εὔχου ἀεὶ τὰ αὐτὰ ποιεῖν. Χρυ. τὰ αὐτά; τί λέγεισ; ἀεὶ ῥαπίζειν με; Αμ. οὐχὶ, ἀλλ' ἀνιᾶσθαι, εἰ μὴ πρὸσ μόνον αὐτὸν βλέποισ. ἐπεὶ εἰ μὴ ἐρᾷ γε, τί ἂν ἔτι ὀργίζοιτο, εἰ σύ τινα ἕτερον ἐραστὴν ἔχοις; Χρυ. ἀλλ' οὐδὲ ἔχω ἔγωγε. ὁ δὲ, μάτην ὑπέλαβε τὸν πλούσιόν μου ἐρᾶν, διότι ἄλλως ἐμνημόνευσά ποτε αὐτοῦ. Αμ. καὶ τοῦτ' ἡδὺ τὸ, ὑπὸ πλουσίων οἴεσθαι σπουδάζεσθαί σε. οὕτω γὰρ ἀνιάσεται μᾶλλον, καὶ φιλοτιμήσεται, ὡς μὴ ὑπερβάλοιντο αὐτὸν οἱ ἀντερασταί. Χρυ. καὶ μὴν οὗτός γε μόνον ὀργίζεται, καὶ ῥαπίζει. δίδωσι δὲ οὐδέν. Αμ. ἀλλὰ δώσει. ζηλότυποι γὰρ, καὶ μάλιστα λυπηθήσονται. Χρυ. οὐκ οἶδ' ὅπως ῥαπίσματα λαμβάνειν βούλει με ὦ Αμπελίδιον. Αμ. οὔκ. ἀλλ' ὡς οἶμαι, μεγάλοι ἔρωτες γίνονται, καὶ εἰ πύθοιτο ἀμελεῖσθαι. εἰ δὲ πιστεύσει μόνος ἔχειν, ἀπομαραίνεταί πως ἡ ἐπιθυμία. ταῦτα λέγω πρὸς σὲ, εἴκοσιν ὅλοις ἔτεσιν ἑταιρήσασα. σὺ δὲ ὀκτωκαιδεκαέτης οἶμαι, ἢ ἔλαττον οὔπω τυγχάνεις. εἰ βούλει δὲ, καὶ διηγήσομαι

σομαι

1535

στομαι ἃ ἔπαθόν ποτε, οὐ πάνυ πρὸ πολλῶν ἐτῶν. ἤρα μου Δημόφαντος ὁ δανειστής, ὁ κατόπιν οἰκῶν τῆς ποικίλης. οὗτος οὐδὲ πώποτε πλέον πέντε δραχμῶν δεδώκει. καὶ ἠξίου δεσπότης εἶναι. ἤρα δὲ ὦ Χρυσί, ἐπιπόλαιόν τινα ἔρωτα, οὔτε ὑποστένων, οὔτε δακρύων, οὔτε ἀωρὶ παραγινόμενος ἐπὶ τὰς θύρας, ἀλλ᾽ αὐτὸ μόνον συνεκάθευδέ μοι ἐνίοτε, καὶ τοῦτο διὰ μακροῦ. ἐπειδὴ δὲ ἐλθόντα ποτὲ ἀπέκλεισα, Καλλιάδης γὰρ ὁ γραφεὺς ἔνδον ἦν, δέκα δραχμὰς πεπομφώς, τὸ μὲν πρῶτον, ἀπῆλθέ μοι λοιδορησάμενος. ἐπεὶ δὲ πολλαὶ μὲν διῆλθον ἡμέραι, ἐγὼ δὲ οὐ προσέπεμπον, ὁ Καλλιάδης δὲ ἔνδον ἦν αὖθις, ὑποθερμαινόμενος ἤδη τότε ὁ Δημόφαντος, καὶ αὐτὸς ἀναφλέγεται εἰς τὸ πρᾶγμα. καὶ ἐπιστάς ποτε, ἀνεῳγμένην τηρήσας τὴν θύραν, ἔκλαεν, ἔτυπτεν, ἠπείλει φονεύσειν, περιερρήγνυε τὴν ἐσθῆτα, ἅπαντα ἐποίει. καὶ τέλος, τάλαντον δούς, μόνος εἶχεν ὀκτὼ ὅλους μῆνας. ἡ γυνὴ δὲ αὐτοῦ, πρὸς ἅπαντας ἔλεγεν, ὡς ὑπὸ φαρμάκων ἐκμήναιμι αὐτόν. τὸ δὲ ἦν ἄρα ζηλοτυπία, τὸ φάρμακον. ὥστε ὦ Χρυσί, καὶ σὺ χρῶ ἐπὶ τὸν Γοργίαν τῷ αὐτῷ φαρμάκῳ. πλούσιος δὲ ὁ νεανίσκος ἔσται, ἤν τι ὁ πατὴρ αὐτοῦ πάθῃ.

ΔΩΡΙΣ, ΠΑΝΝΥΧΙΣ, ΔΟΡΚΑΣ, ΦΙΛΟΣΤΡΑΤΟΣ, ΠΟΛΕΜΩΝ. ΔΩΡΙΣ.

Ἀπολώλαμεν ὦ κεκτημένη, ἀπολώλα
μεν. ὁ Πολέμων ἀπὸ τῆς στρατείας ἀνέ-
στρεψε πλουτῶν, ὥς φασιν. ἑώρακα δὲ
κἀγὼ αὐτὸν, ἐφεστρίδα περιπόρφυρον ἐμπεπορ-
πημένον, καὶ ἀκολούθους ἅμα πολλούς. καὶ οἱ φί
λοι ὡς εἶδον, συνέθεον ἐπ' αὐτὸν, ἀσπασόμενοι.
ἐν τοσούτῳ δὲ τὸν θεράποντα ἰδοῦσα κατόπιν
ἑπόμενον, ὃς συναποδεδημήκει μετ' αὐτοῦ, ἠ-
ρόμην, καὶ εἰπέ μοι ἔφην ὦ Παρμένων, ἀσπασα-
μένη πρότερον αὐτὸν, πῶς ἡμῖν ἐπράξατε, καὶ εἴ
τι ἄξιον τῶν πολέμων ἔχοντες ἐπανεληλύθει
τε. Παν. οὐκ ἔδει τοῦτο εὐθὺς, ἀλλ' ἐκεῖνα, ὅτι
μὲν ἐσώθητε, πολλὴ χάρις τοῖς θεοῖς, καὶ μάλι
στα τῷ ξενίῳ Διῒ, καὶ Ἀθηνᾷ, στρατείᾳ. ἡ δέσποι-
να δὲ, ἐπυνθάνετο ἀεὶ τί πράττοιτε, καὶ ἔνθα εἴ
ητε. εἰ δὲ καὶ τοῦτο προσέθηκας, ὡς καὶ ἐδάκρυε,
καὶ ἀεὶ ἐμέμνητο Πολέμωνος, ἄμεινον ἦν παρὰ
πολύ. Δορ. προεῖπον εὐθὺς ἐν ἀρχῇ ἅπαντα.
πρὸς δὲ σὲ, οὐκ ἂν εἶπον. ἀλλὰ ἃ ἤκουσα, ἐβου-
λόμην εἰπεῖν. ἐπεὶ πρός γε Παρμένονα, οὕτως
ἠρξάμην, ἦ που ὦ Παρμένων ἐβόμβει τὰ ὦτα
ὑμῖν; ἀεὶ γὰρ ἐμέμνητο ἡ κεκτημένη μετὰ δακρύ
ων. καὶ μάλιστα εἴ τις ἐληλύθει ἐκ τῆς μάχης. καὶ
πολλοὶ τεθνάναι ἐλέγοντο, ἐσπάραττε τότε
τὰς κόμας, καὶ τὰ στέρνα ἐτύπτετο, καὶ ἐπένθει

πρὸς

ἐπένθει πρὸς τὴν ἀγγελίαν ἑκάστην. Παν. εὖγε ὦ Δορκάς. οὕτως ἐχρῆν. Δορ. εἶτα ἑξῆς μετ' οὐ πολὺ ἠρόμην ἐκεῖνα. ὁ δὲ, πάνυ λαμπρῶς φησιν ἀνεστρέψαμεν. παν. οὕτω κἀκεῖνος οὐδὲν προειπὼν ὡς ἐμέμνητό μου ὁ Πολέμων, ἢ ἐπόθει, ἢ ηὔχετο ζῶσαν καταλαβεῖν; Δορ. καὶ μάλα πολλὰ τοιαῦτα ἔλεγε. τὸ δ' οὖν κεφάλαιον ἐξήγγειλε, πλοῦτον πολύν. χρυσόν. ἐσθῆτα. ἀκολούθους. ἐλέφαντα. τὸ μὲν γὰρ ἀργύριον, μηδὲ ἀριθμῷ ἄγειν αὐτόν, ἀλλὰ μεδίμνῳ, ἀπομεμετρημένον πολλοὺς μεδίμνους. εἶχε δὲ καὶ αὐτὸς Παρμένων, δακτύλιον ἐν τῷ μικρῷ δακτύλῳ, μέγιστον, πολύγωνον. καὶ ψῆφος ἐνεβέβλητο τῶν τριχρώμων. ἐρυθρά τε ἦν ἐπιπολῆς. εἴασα δ' οὖν αὐτὸν ἐθέλοντά μοι διηγεῖσθαι ὡς τὸν Ἅλυν διέβησαν. καὶ ὡς ἀπέκτειναν τηριδάταν τινά, καὶ ὡς διέπρεψεν ὁ πολέμων ἐν τῇ πρὸς Πισίδας μάχῃ, καὶ ἀπέδραμόν σοι ταῦτα προσαγγελοῦσα, ὡς περὶ τῶν πάντων σκέψαιο. εἰ γὰρ ἐλθὼν ὁ Πολέμων, ἥξει γὰρ πάντως, ἀποσεισάμενος τοὺς γνωρίμους, ἀναπυθόμενος, εὕροι τὸν Φιλόστρατον ἔνδον παρ' ἡμῖν, τί οἴει ποιήσειν αὐτόν; Παν. ἐξευρίσκωμεν ὦ Δορκάς ἐκ τῶν παρόντων σωτήριον. οὔτε γὰρ τοῦτον ἀποπέμψαι καλόν, τάλαντον ἔναγχος δεδωκότα, καὶ τἆλλα ἔμπο-

ρον ὄντα, καὶ πολλὰ ὑπισχνούμενον, οὔτε Πολέμωνα τοιοῦτον ἐπανήκοντα, χρήσιμον μὴ παραλέγεσθαι. προσεῖπέ τε, καὶ ζηλότυπός ἐστιν. ὃς καὶ πενόμενος ἔτι, πολὺ ἀφόρητος ἦν. νῦν δὲ τί οὐκ ἂν ἐκεῖνος ποιήσειεν; Δορ. ἀλλὰ καὶ προσέρχεται. Παν. ἐκλύομαι ὦ Δορκάς, ὑπὸ τῆς ἀπορίας, καὶ τρέμω. Δορ. ἀλλὰ καὶ Φιλόστρατος προσέρχεται. τίς γένωμαι; πῶς ἄν με ἡ γῆ καταπίοι; Φι. τί οὐ πίνομεν ὦ Παννυχί; Παν. ἄνθρωπε, ἀπολώλεκάς με. σὺ δὲ χαῖρε Πολέμων, χρόνιος φανείς. Πο. οὗτος οὖν τίς ἐστιν ὁ προσιὼν ὑμῖν; σιωπᾷς; εὖγε· οἴχου ὦ Παννυχί. ἐγὼ δὲ πεμπταῖος ἐκ Πυλῶν διέπτην, ἐπειγόμενος ἐπὶ τοιαύτην γυναῖκα. καὶ δίκαια μέντοι πέπονθα, καὶ σοὶ χάριν ἔχω. οὐκ ἔτι γὰρ ἁρπασθήσομαι ὑπὸ σοῦ. Φι. σὺ δὲ τίς εἶ ὦ βέλτιστε; Πο. ὅτι Πολέμων ὁ Στειριεύς, Πανδιόνιδος φυλῆς, ἀκούεις, χιλιαρχήσας τὸ πρῶτον. νῦν δὲ, ἐξαναστήσας πεντακισχιλίαν ἀσπίδα, ἐραστὴς Παννυχίδος, ὅτε ᾤμην ἔτι ἀνθρώπινα φρονεῖν αὐτήν. Φι. ἀλλὰ τανῦν ὦ ξεναγέ, Παννυχὶς ἐμή ἐστι, καὶ τάλαντον εἴληφε. λήψεται δὲ ἤδη καὶ ἕτερον, ἐπειδὰν τὰ φορτία διαθώμεθα. καὶ νῦν ἀκολούθει μοι ὦ Παννυχί. τοῦτον δὲ παρ' Ὀδρύσαις χιλιαρχεῖν ἔα. Δορ. ἐλευθέρα μέν ἐστι, καὶ ἀκολουθήσει,

ἢν

ἢν ἐθέλῃ. Παν. τί φὴς ὦ Δορκάς; Δορ. εἰσιέναι ἄμεινον. ὀργιζομένῳ οὐκ οἷόν τε παρεῖναι Πολέμωνι. καὶ μᾶλλον ἐπιταθήσεται ζηλοτυπῶν. Παν. εἰ θέλεις, εἰσίωμεν. Πο. ἀλλὰ προλέγω ὑμῖν, ὅτι τὸ ὕστατον πίεσθε τήμερον. ἢ μάτην ἐγὼ τοσούτοις φόνοις ἐγγεγυμνασμένος πάρειμι, τοὺς Θρᾷκας ὦ Παρμένων. Παν. ὡπλισμένοι ἡκέτωσαν, ἐμφράξαντες τὸν στενωπὸν τῇ φάλαγγι. ἐν μετώπῳ μὲν, τὸ ὁπλιτικόν. παρ' ἑκάτερα δὲ, οἱ σφενδονῆται, καὶ τοξόται. οἱ δὲ ἄλλοι, κατόπιν. Φι. ὡς βρεφυλλίοις ταῦτα ὦ μισθοφόρε ἡμῖν λέγεις, καὶ μορμολύττεις. σὺ γὰρ ἀλεκτρυόνα πώποτε ἀπέκτεινας, ἢ πόλεμον εἶδες; ἐρυμάτιον ἐφρούρεις, τάχα διμοιρίτης ὤν, ἵνα καὶ τοῦτο προσχαρίσωμαί σοι. Πο. καὶ μὴν εἴσῃ μετ' ὀλίγον, ἐπειδὰν προσιόντας ἡμᾶς ἴδῃς δόρυ θεάσῃ, στίλβοντας τοῖς ὅπλοις. Φι. ἥκετε μόνον συσκευασάμενοι. ἐγὼ δὲ, καὶ Τίβειος οὗτος, μόνος γὰρ οὗτος ἕπεταί μοι, βάλλοντες ὑμᾶς λίθοις τε, καὶ ὀστράκοις, οὕτω διασκεδάσομεν, ὡς μηδὲ ὅποι οἴχοισθε ἔχοιτε εἰδέναι.

## ΧΕΛΙΔΟΝΙΟΝ, ΚΑΙ ΔΡΟΣΗ.

### ΧΕΛΙΔΟΝΙΟΝ.

Οὐκ ἔτι φοιτᾷ παρὰ σὲ ὦ Δροσὶ, τὸ μειράκιον ὁ Κλεινίας. οὐ γὰρ ἑώρακα πολὺ ἤδη χρό

νος αὐτὸν παρ' ὑμῖν. Δρο. οὐκέτι ὦ Χελιδόνιον. ὁ γὰρ διδάσκαλος αὐτὸν εἶρξε μηκέτι μοι προσιέναι. Χε. τίς οὗτος; μή τι τὸν παιδοτρίβην Διότιμον λέγεις; ἐπεὶ ἐκεῖνός γε φίλος μοι. Δρο. οὔκ, ἀλλ' ὁ κάκιστα φιλοσόφων ἀπολούμενος Ἀρισταίνετος. Χε. τὸν σκυθρωπὸν λέγεις; τὸν δασύν; τὸν βαθυπώγωνα; ὃς εἴωθε μετὰ τῶν μειρακίων περιπατεῖν ἐν τῇ ποικίλῃ; Δρο. ἐκεῖνόν φημι τὸν ἀλαζόνα ὃν κάκιστα ἐπίδοιμι ἀπολούμενον, ἑλκόμενον τοῦ πώγωνος ὑπὸ δημίου. Χε. τί παθὼν δὲ ἐκεῖνος. τοιαῦτα ἔπεισε τὸν Κλεινίαν; Δρο. οὐκ οἶδα ὦ Χελιδόνιον. ἀλλὰ μηδέποτε ἀπόκοιτός μου γενόμενος, ἀφ' οὗ γυναικὶ ὁμιλεῖν ἤρξατο. πρώτην δὲ ἐμοὶ ὡμίλησέ μοι. τριῶν τούτων ἑξῆς ἡμερῶν οὐδὲ προσῆλθε τῷ στενωπῷ. ἐπεὶ δὲ ἠνιώμην, οὐκ οἶδα δὲ ὅπως τι ἔπαθον ἐπ' αὐτῷ, ἔπεμψα τὴν Νεβρίδα περισκεψομένην αὐτὸν ἢ ἐν ἀγορᾷ διατρίβοντα, ἢ ἐν ποικίλῃ. ἡ δὲ, περιπατοῦντα ἔφη ἰδοῦσα μετὰ τοῦ Ἀρισταινέτου, νεῦσαι πόρρω. ἐκεῖνον δὲ ἐρυθριάσαντα, κάτω ὁρᾶν, καὶ μηκέτι παρενεγκεῖν τὸν ὀφθαλμόν. εἶτ' ἐβάδιζον ἅμα ἐς τὴν πόλιν. ἡ δὲ, ἄχρι τοῦ διπύλου ἀκολουθήσασα, ἐπεὶ μηδ' ὅλως ἐπεστράφη, ἐπανήκεν, οὐδὲν σαφὲς ἀπαγγεῖλαι ἔχουσα.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πῶς με οἴει διάγειν τὸ μετὰ ταῦτα, οὐκ ἔχου-
σαν εἰκάσαι ὅ, τι μοι πέπονθεν ὁ μειρακί-
σκος; ἀλλὰ μὴ ἐλύπησά τι αὐτὸν ἐλέγχων,
ἢ τινὸς ἄλλης ἠράσθη, μισήσας ἐμέ; ἀλλ' ὁ
πατὴρ διεκώλυσεν αὐτόν; πολλὰ τοιαῦτα
ἔστρεφον. ἤδη δὲ περὶ δείλην ὀψίαν ἧκεν ὁ Δρό-
μων, τὸ γραμμάτιον τουτὶ παρ' αὐτοῦ κομί-
ζων. ἀνάγνωθι λαβοῦσα ὦ Χελιδόνιον. οἶ-
σθα γὰρ δή που γράμματα. Χε. φέρ' ἴδωμεν.
τὰ γράμματα οὐ πάνυ σαφῆ, ἀλλ' ἐπισεσυρ-
μένα, δηλοῦντα ἔπειξίν τινα τοῦ γεγραφότος.
λέγει δέ, πῶς μὲν ἐφίλησά σε ὦ δροσή, τοὺς
θεοὺς ποιοῦμαι μάρτυρας. Δρο. αἲ αἲ τά-
λαν. οὐδὲ τὸ χαίρειν προσέγραψε. Χε. καὶ
νῦν δὲ οὐ κατὰ μῖσος, ἀλλὰ κατὰ ἀνάγκην
ἀφίσταμαί σου. ὁ πατὴρ γὰρ Ἀρισταινέτῳ παρέ-
δωκέ με φιλοσοφεῖν αὐτῷ. κἀκεῖνος, ἔμαθε
γὰρ τὰ καθ' ἡμᾶς ἅπαντα, πάνυ πολλὰ ἐπετί-
μησέ μοι, ἀπρεπὲς εἶναι λέγων ἑταίρᾳ συνεῖναι,
Ἀρχιτέλους, καὶ Ἐρασικλείας υἱὸν ὄντα. πολὺ
γὰρ ἄμεινον εἶναι τὴν ἀρετὴν προτιμᾶν τῆς ἡδο-
νῆς. Δρο. μὴ ὥρασιν ἵκοιτο ὁ λῆρος ἐκεῖ-
νος, τοιαῦτα παιδεύων τὸ μειράκιον. Χε.
ὥστε ἀνάγκη πείθεσθαι αὐτῷ. παρακολου-
θεῖ γὰρ ἀκριβῶς παραφυλάσσων. καὶ ὅλως,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐδὲ προσβλέπειν ἄλλῳ οὐδενὶ ἔξεστιν, ὅτι μὴ ἐκείνῳ. εἰ δὲ σωφρονοίμι, καὶ πάντα πειθοίμην αὐτῷ, ὑπισχνεῖται πάνυ εὐδαίμονα ἔσεσθαί με, καὶ ἐνάρετον καταστήσεσθαι, τοῖς πόνοις προγεγυμνασμένον. ταῦτά σοι μόλις ἔγραψα, ὑποκλέψας ἐμαυτόν. σὺ δέ μοι εὐτύχει, καὶ μέμνησο Κλεινίου. Δρο. τί σοι δοκεῖ ἡ ἐπιστολὴ ὦ Χελιδόνιον; Χελ. τὰ μὲν ἄλλα, ἡ ἀπὸ Σκυθῶν ῥῆσις. τὸ δὲ μέμνησο Κλεινίου, ἔχει τινὰ ὑπόλοιπον ἐλπίδα. Δρο. κἀμοὶ οὕτως ἔδοξεν. ἀπόλλυμαι δ' οὖν ὑπὸ τοῦ ἔρωτος. ὁ μέντοι Δρόμων ἔφασκε παιδεραστήν τινα εἶναι τὸν Ἀρισταίνετον, καὶ ἐπὶ προφάσει τῶν μαθημάτων, συνεῖναι τοῖς ὡραιοτάτοις τῶν νέων, καὶ ἰδίᾳ λογοποιεῖσθαι πρὸς τὸν Κλεινίαν, ὑποσχέσεις τινὰς ὑπισχνούμενον, ὡς ἰσόθεον ἀποφανεῖ αὐτόν. ἀλλὰ καὶ ἀναγινώσκει μετ' αὐτοῦ ἐρωτικούς τινας λόγους τῶν παλαιῶν φιλοσόφων πρὸς τοὺς μαθητάς. καὶ ὅλως, περὶ τὸ μειράκιόν ἐστιν. ἠπείλει δὲ καὶ τῷ πατρὶ τοῦ Κλεινίου κατερεῖν ταῦτα.

Χε. ἐχρῆν ὦ Δροσί, γαστρίσαι τὸν Δρόμωνα.

Δρο. ἐγάστρισα. καὶ ἄνευ δὲ τούτου, ἐμός ἐστι. κέκνισται γὰρ κἀκεῖνος τῇ Νεβρίδι.

Χε. θάρρει. πάντα ἔσται καλῶς. ἐγὼ δὲ καὶ ἐπι-

γρά

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γράψειν μοι διὰ τοῦ τοίχου ἐν Κεραμει- κῷ, ἔνθα ὁ Ἀρχιτέλης εἴωθε περιπατεῖν, Ἀρι- σταίνετος διαφθείρει Κλεινίαν, ὥστε καὶ ἐκ τού- του συνεραμεῖν τῇ παρὰ τοῦ Δρόμωνος διαβολῇ. Δρο. πῶς δ᾽ ἂν λά- θοις ἐπιγράψασα; Χελ. τῆς νυκτὸς ὦ Δροσὴ ἄνθρακα ποθὲν λαβοῦσα. Δρο. εὖ γε. συστράτευε μόνον ὦ Χελιδόνιον κατὰ τοῦ ἀλαζόνος Ἀρισταινέτου.

## ΤΡΥΦΑΙΝΑ, ΚΑΙ ΧΑΡΜΙΔΗΣ.

### ΤΡΥΦΑΙΝΑ.

Ἑταίραν δέ τις παραλαβὼν, πέντε δρα- χμὰς τὸ μίσθωμα δοὺς, καθεύδει ἀπο- στραφεὶς δακρύων, καὶ στένων; ἀλλ᾽ οὔ- τε πέπωκας ἡδέως οἶμαι. οὔτε δειπνῆσαι μό- νος ἠθέλησας. ἔκλαες δὲ καὶ παρὰ τὸ δεῖπνον. ἑώρων γάρ. καὶ νῦν δὲ οὐ διαλέλοιπας ὀλολύ- ζων, ὥσπερ βρέφος. ταῦτα οὖν ὦ Χαρμίδη, τί- νος ἕνεκα ποιεῖς; μὴ ἀποκρύψῃς με, ὡς ἂν καὶ τοῦτο ἀπολαύσω τῆς νυκτὸς ἀγρυπνήσασα με- τὰ σοῦ. Χαρ. ἔρως με ἀπόλλυσιν ὦ Τρύ- φαινα, καὶ οὐκέτ᾽ ἀντέχω πρὸς τὸ δεινόν. Τρύ. ἀλλ᾽ ὅτι μὲν οὐκ ἐμοῦ ἐρᾷς, δῆλον. οὐ γὰρ ἂν ἔχων με ἠμέλεις, καὶ ἀπωθοῦ με περι- πλέκεσθαι θέλουσαν. καὶ τέλος διετείχιζες



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ μεταξὺ ἡμῶν τοῦ ἱματίου, δεδιὼς μὴ ψαύ-
σαιμί σου. τίς δὲ ὅμως ἐκείνη ἐστὶν εἰπέ. τά-
χα γὰρ ἄν τι καὶ συντελέσαιμι πρὸς τὸν ἔρωτα.
οἶδα γὰρ ὡς χρὴ τὰ τοιαῦτα διακονεῖσθαι. χαρ.
καὶ μὴν οἶσθα καὶ πάνυ ἀκριβῶς αὐτήν, κἀκεί-
νη σέ. οὐ γὰρ ἀφανὴς ἑταίρα ἐστίν. τρύ.
εἰπὲ τοὔνομα ὦ Χαρμίδη. χαρ. Φιλημά-
τιον ὦ Τρύφαινα. τρύ. ὁποτέραν λέγεις;
δύο γάρ εἰσι. τὴν ἐκ Πειραιῶς, τὴν ἄρτι διακε
κορευμένην, ἧς ἐρᾷ Δάμυλλος ὁ τοῦ νῦν στρα-
τηγοῦντος υἱός, ἢ τὴν ἑταίραν, ἣν Παγίδα ἐπι
καλοῦσιν; χαρ. ἐκείνην. καὶ ἑάλωκα ὁ κα-
κοδαίμων, καὶ συνείλημμαι πρὸς αὐτῆς.
τρύ. οὐκοῦν δι' ἐκείνην ἔκλαες; χαρ. καὶ
μάλα. τρύ. πολὺς δὲ χρόνος ἐστί σοι ἐρῶν-
τι, ἢ νεοτελής τις εἶ; χαρ. οὐ νεοτελής,
ἀλλὰ μῆνες ἑπτὰ σχεδὸν ἀπὸ Διονυσίων, ὅτε
πρῶτον εἶδον αὐτήν. τρύ. εἶδες δὲ ὅλην
ἀκριβῶς, ἢ τὸ πρόσωπον μόνον, καὶ ὅσα τοῦ σώ-
ματος φανερά, ἃ εἶδες Φιληματίου, καὶ ὡς ἐ-
χρῆν γυναῖκα πέντε καὶ τετταράκοντα ἔτη γεγο-
νυῖαν ἤδη; χαρ. καὶ μὴν ἐπόμνυται δύο καὶ εἴ
κοσιν εἰς τὸν ἐσόμενον ἐλαφηβολιῶνα τελέσειν.
τρύ. σὺ δὲ ποτέροις πιστεύσειας ἄν, τοῖς ἐκεί-
νης ὅρκοις, ἢ τοῖς σεαυτοῦ ὀφθαλμοῖς; ἐπί-

σκεψαι

σκεται γὰρ ἀκριβῶς, ὑποβλέψας ποτὲ τοὺς κροτάφους αὐτῆς, ἔνθα μόνον τὰς αὐτῆς τρίχας ἔχει. τὰ δὲ ἄλλα, φενάκη βαθεῖα. περὶ δὲ τοὺς κροτάφους ὁπόταν ἀσθενήσῃ τὸ φάρμακον, ᾧ βάπτεται, ὑπολευκαίνεται τὰ πολλά. καίτοι τί τοῦτο βιάσαι ποτὲ καὶ γυμνὴν ἰδεῖν; χαρ. οὐδὲ πώποτέ μοι πρὸς τοῦτο ἐνέδωκεν. Τρύ. εἰκότως. ἠπίστατο γὰρ μυσαχθησόμενόν σε τὰς αὐτῆς λεύκας. ὅλη δὲ ἀπὸ τοῦ αὐχένος ἐς τὰ γόνατα παρδάλει ἔοικεν. ἀλλὰ σὺ ἐδάκρυες, τοιαύτῃ μὴ συνών; ἦ που τάχα καὶ ἐλύπει σε, καὶ ὑπερεώρα; χαρ. ναὶ ὦ Τρύφαινα, καίτοι τοσαῦτα παρ' ἐμοῦ λαμβάνουσα. καὶ νῦν ἐπειδὴ χιλίας αἰτούσῃ, οὐκ εἶχον διδόναι ῥᾳδίως, ἅτε ὑπὸ πατρὶ φειδομένῳ τρεφόμενος, Μοσχίωνα ἐσδεξαμένη ἀπέκλεισέ με. ἀνθ' ὧν λυπῆσαι καὶ αὐτὸς θέλων αὐτήν, σὲ παρείληφα. Τρύ. μὰ τὴν Ἀφροδίτην οὐκ ἂν ἧκον, εἴ μοι προεῖπέ τις ὡς ἐπὶ τούτοις παραλαμβανοίμην λυπῆσαι ἄλλην. καὶ ταῦτα, Φιλημάτιον τὴν σορόν. ἀλλ' ἄπειμι. καὶ γὰρ ἤδη τρίτον τοῦτο ἦσεν ἀλεκτρυών. χαρ. μὴ σύ γε οὕτω ταχέως ὦ Τρύφαινα. εἰ γὰρ ἀληθῆ ἐστιν ἃ φῂς περὶ Φιληματίου, τὴν φενάκην, καὶ ὅτι βάπτεται, καὶ τὴν τῶν ἀλφῶν, οὐδὲ προσβλέπειν ἂν ἔτι δυναίμην

αὐτῆ. Τρύ. ἐροῦ τὴν μητέρα, εἴ ποτε λέλουται μετ' αὐτῆς. πολὺ γὰρ τῶν ἐτῶν, κἂν ὁ πάππος διηγήσεταί σοι, εἴγε ζῇ ἔτι. Χαρ. οὐκοῦν ἐπειδὴ τοιαύτη ἐκείνη, ἀφῃρήσθω μὲν ἤδη τὸ διατείχισμα. περιβάλλωμεν δὲ ἀλλήλους, καὶ φιλῶμεν, καὶ ἀληθῶς συνῶμεν. Φιλημάτιον δὲ, πολλὰ χαιρέτω.

## ΙΟΕΣΣΑ, ΚΑΙ ΠΥΘΙΑΣ, ΚΑΙ ΛΥΣΙΑΣ. ΙΟΕΣΣΑ.

Θρύπτῃ ὦ Λυσία πρὸς ἐμέ; καὶ καλῶς, ὅτι μήτε ἀργύριον πώποτε ᾔτησά σε, μήτ' ἀπέκλεισα ἐλθόντα, ἔνδον ἕτερος εἰποῦσα, μήτε παραλογισάμενον τὸν πατέρα, ἢ ὑφελόμενον τῆς μητρὸς, ἠνάγκασα ἐμοί τι κομίσαι, ὁποῖα αἱ ἄλλαι ποιοῦσιν, ἀλλ' εὐθὺς ἐξ ἀρχῆς ἄμισθον, ἀξύμβολον εἰσεδεξάμην. οἶσθα ὅσους ἐραστὰς παραπεμψαμένη; Ἠθοκλέα τὸν πρυτανεύοντα νῦν, καὶ Πασίωνα τὸν ναύκληρον, καὶ τὸν συνέφηβόν σου Μέλισσον, καίτοι ἔναγχος ἀποθανόντος αὐτῷ τοῦ πατρὸς, καὶ κύριον αὐτὸν ὄντα τῆς οὐσίας. ἐγὼ δὲ σὲ τὸν Φάωνα μόνον εἶχον, οὔτε τινα προσβλέπουσα ἕτερον, οὔτε προσιεμένη, ὅτι μὴ σέ. ᾤμην γὰρ ἡ ἀνόητος ἀληθῆ εἶναι ἃ ὤμνυες. καὶ διὰ τοῦτό σοι προσέχουσα, ὥσπερ ἡ Πηνελόπη, ἐσωφρόνουν, ἐπι

ἐπιβοωμένης τὴν μητρός, καὶ πρὸς τὰς φίλας ἐγκαλούσης. σὺ δὲ ἐπὶ τῷ ἔμαθες ὑποψίαν ἔχων μετεπηκῖαν ἐπὶ σοί, ἄρτι μὲν, Λυκαίνῃ προσέπαιζες, ἐμοῦ ὁρώσης, ὡς λυποίης ἐμέ. ἄρτι δὲ, συνεμοὶ κατακείμενος, ἐπῄνεις Μαγίδιον τὴν ψάλτριαν. ἐγὼ δ' ἐπὶ τούτοις δακρύω, καὶ συνίημι ὑβριζομένη. πρώην δὲ ὁπότε συνεπίνετε, Θράσων, καὶ σὺ, καὶ Δίφιλος παρῆσαν, καὶ ἡ αὐλητρὶς Κυμβάλιον, καὶ Πυραλλὶς, ἐχθρὰ οὖσα ἐμοί. σὺ δὲ τοῦτ' εἰδὼς, τὴν Κυμβάλιον μὲν οὔ μοι πάνυ ἐμέλησεν, ὅτι πεντάκις ἐφίλησας. σεαυτὸν γὰρ ὕβριζες, τοιαύτην φιλῶν. Πυραλλίδα δὲ, ὁποσάκις ἔνευες, καὶ πιὼν ἂν, ἐκείνῃ μὲν ἀπέδειξας τὸ ποτήριον. ἀποδιδοὺς δὲ τῷ παιδὶ, πρὸς τὸ οὖς ἐκέλευες εἰ μὴ Πυραλλὶς αἰτήσειε, μὴ ἂν ἄλλῳ ἐγχέαι. τέλος δὲ, τοῦ μήλου ἀποδακὼν, ὁπότε τὸν Δίφιλον εἶδες ἀσχολούμενον, ἐλάλει γὰρ Θράσωνι, προκύψας πως, εὐστόχως προσηκόντισας ἐς τὸν κόλπον αὐτῆς, οὐδὲ λαθεῖν γε πειρώμενος ἐμέ. ἡ δὲ, φιλήσασα, μεταξὺ τῶν μαστῶν ὑπὸ τῷ ἀποδέσμῳ παρεβύσατο. ταῦτα οὖν τίνος ἕνεκα ποιεῖς; τί σε ἢ μέγα, ἢ μικρὸν ἠδίκησα, ἢ ἐλύπησα ἐγώ; τίνα ἕτερον εἶδον; οὐ πρὸς μόνον σὲ ζῶ; οὐ μέγα ὦ Λυσία τοῦτο ποιεῖς: γύναιον ἄθλιον λυπῶν,

μεμηνὸς τούτων σοί; ἔστι τις θεὸς ἡ Ἀδράστεια, καὶ τὰ τοιαῦτα ὁρᾷ. σὺ δέ ποτε λυπήσῃ, τάχα ἂν ἀκούσῃς τι περὶ ἐμοῦ, κειμένην με, ἤτοι βρόχῳ ἐμαυτὴν ἀποπνίξασαν, ἢ ἐς τὸ φρέαρ ἐπὶ κεφαλὴν ἐμπεσοῦσαν, ἢ ἕνα γέ τινα τρόπον εὑρήσω θανάτου, ὡς μηκέτ' ἐνοχλοίην βλεπομένη. πομπεύσεις τότε, ὡς μέγα, καὶ λαμπρὸν ἔργον ἐργασάμενος. τί με ὑποβλέπεις, καὶ πρίεις τοὺς ὀδόντας; εἰ γάρ τι ἐγκαλεῖς, εἰπέ. Πυθιὰς ἡμῖν αὐτὴ δικασάτω. τί τοῦτο, οὐδὲ ἀποκρινάμενος ἀπέρχῃ καταλιπών με; ὁρᾷς ὦ Πυθιὰς οἷα πάσχω ὑπὸ Λυσίου; Πυ. ὢ τῆς ἀγριότητος. τὸ δὲ μὴ ἐπικλασθῆναι δακρυούσης, λίθος, οὐκ ἄνθρωπός ἐστι. πλὴν ἀλλ' εἴ γε χρὴ τἀληθὲς εἰπεῖν, σὺ ὦ Ἰόεσσα, διέφθειρας αὐτὸν ὑπεραγαπῶσα, καὶ τοῦτο ἐμφαίνουσα. ἐχρῆν δὲ μὴ πάνυ αὐτὸν ζηλοῦν. ὑπερόπται γὰρ αἰσθανόμενοι γίγνονται. παῦσαι ὦ τάλαινα δακρύουσα. καὶ ἤν μοι πείθῃ, ἅπαξ, ἢ δὶς ἀπόκλεισον ἐλθόντα. ὄψει γὰρ ἀνακαιόμενον αὐτὸν πάνυ, καὶ ἀντιμεμηνότα ἀληθῶς. Ἰό. ἀλλὰ μηδ' εἴπῃς. ἄπαγε. ἀποκλείσω Λυσίαν; εἴθε μὴ αὐτὸς ἀποσταίη φθάσας. Πυ. ἀλλ' ἐπανέρχεται αὖθις. Ἰό. ἀπολώλεκας ἡμᾶς ὦ Πυθιάς. ἠκρόαται ἴσως σου, ἀπόκλεισον λεγού-

σης

σης. Λυ. οὐχὶ ταύτης ἕνεκεν ὦ Πυθιὰς ἐπανελήλυθα, ἣν οὐδὲ προσβλέψαιμι ἔτι τοιαύτην οὖσαν, ἀλλὰ διὰ σε, ὡς μὴ καταγινώσκῃς ἐμοῦ, ἢ λέγῃς ἂν, ἔγκοπος ὁ Λυσίας ἐστίν. Πυ. ἀμέλει καὶ ἔλεγον ὦ Λυσία. Λυ. φέρειν οὖν ἐθέλεις ὦ Πυθιὰς, Ἰόεσσαν τὴν νῦν δακρύουσαν αὐτὴν, ἐπιστάντα αὐτῇ ποτε μετὰ νεανίου καθευδούσῃ, ἐμοῦ ἀποστάσῃ; Πυ. Λυσία, τὸ μὲν ὅλον, ἑταίρα ἐστί. πότε δ' οὖν κατέλαβες αὐτοὺς συγκαθεύδοντας; Λυ. ἕκτην σχεδὸν ταύτην ἡμέραν. νὴ Δί' ἕκτην γε, δευτέρᾳ ἱσταμένου. τὸ τήμερον δὲ, ἑβδόμη ἐστίν. ὁ πατὴρ εἰδὼς ὡς πάλαι ἐρῴην ταυτησὶ τῆς χρηστῆς, ἐνέκλεισέ με, παραγγείλας τῷ θυρωρῷ μὴ ἀνοίγειν. ἐγὼ δὲ, οὐ γὰρ ἔφερον μὴ οὐχὶ συνεῖναι αὐτῇ, τὸν Δρόμωνα ἐκέλευσα παρακύψαντα παρὰ τὸ θριγκὸν τῆς αὐλῆς, ᾗ ταπεινότατον ἦν, ἀναδέξασθαί με ἐπὶ τῶν νώτων. ῥᾷον γὰρ οὕτως ἀναβήσεσθαι ἔμελλον. τί ἂν μακρὰ λέγοιμι; ὑπερέβην. ἧκον. τὴν αὔλειον εὗρον ἀποκεκλεισμένην ἐπιμελῶς. μέσαι γὰρ νύκτες ἦσαν. οὐκ ἔκοψα δ' οὖν. ἀλλ' ἐπάρας ἠρέμα τὴν θύραν, ἤδη δὲ καὶ ἄλλοτε ἐπεποιήκειν αὐτὸ, παραγαγὼν τὸν στροφέα, παρῆλθον ἀψοφητί. ἐκάθευδον δὲ πάντες. εἶτα ἐπαφώμενος τοῦ τοίχου, ἐφίσταμαι τῇ κλίνῃ. Ιό. τί ἐρεῖς ὦ Δά-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μᾶτερ; ἀγωνιῶ γάρ. Λυ. ἐπειδὴ δὲ οὐχ ἑώρων
τὸ ἆσθμα ἕν, τὸ μὲν πρῶτον, ᾤμην τὴν λυδὴν αὐ
τῇ συγκαθεύδειν. τὸ δ' οὐκ ἦν ὦ πυθιάς. ἀλλ'
ἐφαψάμενος, εὗρον ἀγένειόν τινα; πάνυ ἁπα-
λόν, ἐν χρῷ κεκαρμένον. μύρων καὶ αὐτὸν ἀποπνέ
οντα. τοῦτο ἰδών, εἰ μὲν καὶ ξίφος ἔχων ἦλθον,
οὐκ ἂν ὤκνησα εὖ ἴστε. τί γελᾶτε ὦ πυθιάς; γέ-
λωτος ἄξια δοκῶ σοι διηγεῖσθαι; Ιό. τοῦτό σε
ὦ λυσία λελύπηκεν; ἡ πυθιὰς αὕτη μοι συνε-
κάθευδε. Πυ. μὴ λέγε ὦ ἰόεσσα πρὸς αὐτόν. Ιό.
τί μὴ λέγω; πυθιὰς ἦν φίλτατε, μετακληθεῖ
σα ὑπ' ἐμοῦ, ὡς ἅμα καθεύδοιμεν. ἐλυπούμην
γὰρ σὲ μὴ ἔχουσα. Λυ. πυθιὰς, ὁ ἐν χρῷ κε-
καρμένος; εἶτα δι' ἕκτης ἡμέρας ἀνεκόμησε
τοσαύτην κόμην; Ιό. ἀπὸ τῆς νόσου ἐξυρήσατο
ὦ λυσία. ὑπέρρεον γὰρ αὐτῇ αἱ τρίχες. νῦν δὲ
καὶ τὴν πηνήκην ἐπέθετο. δεῖξον ὦ πυθιάς, δεῖξ
ον οὕτως ὄν. πεῖσον αὐτόν. ἰδοὺ τὸ μειράκιον ὁ μοι
χός, ὃν ἐζηλοτύπεις. Λύ. οὐκ ἐχρῆν οὖν ὦ ἰό
εσσα, καὶ ταῦτα, ἐρῶντι, ἐφαψάμενον αὐτόν;
Ιό. οὐκοῦν σὺ μὲν ἤδη πέπεισαι. βούλει δὲ ἀν
τιλυπήσω σε καὶ αὐτὴ ὀργιζομένη δικαίως ἐν τῷ
μέρει; Λυ. μηδαμῶς, ἀλλὰ πίνωμεν ἤδη, καὶ
πυθιὰς μεθ' ἡμῶν. ἄξιον γὰρ αὐτὴν παρεῖναι ταῖς
σπονδαῖς. Ιό. παρέσται. οἷα πέπονθα διὰ σὲ ὦ
γενναι-

γενναιότατε νεανίσκων πυθιάς. Πυ. ἀλλὰ καὶ διήλλαξα ὑμᾶς ὁ αὐτός. ὥστε μή μοι χαλέπαινε. πλὴν τὸ δεῖνα ὅρα ὦ Λυσία, μή τινι εἴπῃς τὸ περὶ τῆς κόμης.

## ΛΕΟΝΤΙΧΟΣ, ΧΗΝΙΔΑΣ, ΚΑΙ ΥΜΝΙΣ. ΛΕΟΝΤΙΧΟΣ.

Ἐν δὲ τῇ πρὸς τοὺς γαλάτας μάχῃ εἰπὲ ὦ Χηνίδα, ὅπως μὲν προεξήλασα τῶν ἄλλων ἱππέων ἐπὶ τοῦ ἵππου τοῦ λευκοῦ, ὅπως δὲ οἱ γαλάται, καίτοι ἄλκιμοι ὄντες, ἔτρεσαν εὐθὺς ὡς εἶδόν με, καὶ οὐθεὶς ἔτι ὑπέστη. τότε ῥίψας ἐγὼ, τὴν μὲν λόγχην ἀκοντίσας, διέπειρα τὸν ἵππαρχον αὐτὸν, καὶ τὸν ἵππον. ἐπὶ δὲ τὸ συνεστηκὸς ἔτι αὐτῶν, ἦσαν γάρ τινες, οἳ ἔμενον, διαλύσαντες μὲν τὴν φάλαγγα, ἐς πλαίσιον δὲ συναγαγόντες αὐτοὺς, ἐπὶ τούτους ἐγὼ σπασάμενος τὴν σπάθην, ἅπαντι τῷ θυμῷ ἐπελάσας, ἀνατρέπω μὲν ὅσον ἑπτὰ τοὺς προεστῶτας αὐτῶν τῇ ἐμβολῇ τοῦ ἵππου. τῷ ξίφει δὲ κατενεγκὼν, διέτεμον τῶν λοχαγῶν ἑνὸς, ἐς δύο τὴν κεφαλὴν αὐτῷ κράνει. ὑμεῖς δὲ ὦ Χηνίδα, μετ' ὀλίγον ἐπέστητε ἤδη φευγόντων. Χη. ὅτε γὰρ ὦ λεόντιχε, περὶ Παφλαγονίαν ἐμονομάχησας τῷ σατράπῃ, οὐ μεγάλα ἐπεδείξω καὶ τότε; Λε. καλῶς ὑπέμνησας

οὐκ ἀγεννοῦς οὐδ' ἐκείνης τῆς πράξεως. ὁ γὰρ σατράπης μέγιστος ὤν, ὁπλομάχων ἄριστος δοκῶν εἶναι, καταφρονήσας τοῦ ἑλληνικοῦ, προπηδήσας ἐς τὸ μέσον, προὐκαλεῖτο εἴ τις ἐθέλοι αὐτῷ μονομαχῆσαι. οἱ μὲν δὴ ἄλλοι κατεπεπτήχεσαν, οἱ λοχαγοί, καὶ οἱ ταξίαρχοι, καὶ ὁ ἡγεμὼν αὐτός, καίτοι οὐκ ἀγεννὴς ἄνθρωπος ὤν. Ἀρίσταιχμος γὰρ ὁ ἡγεμὼν ἡγεῖτο Αἰτωλός, ἀκοντιστὴς ἄριστος. ἐγὼ δὲ ἐχιλιάρχουν ἔτι, τολμήσας δ' ὅμως καὶ τοὺς ἑταίρους ἐπιλαμβανομένους ἀποσεισάμενος. ἐδεδίεσαν γὰρ ὑπὲρ ἐμοῦ ὁρῶντες ἀπαστράπτοντα μὲν τὸν βάρβαρον ἐπιχρύσοις τοῖς ὅπλοις, μέγαν τε, καὶ φοβερὸν ὄντα τὸν λόφον, καὶ κραδαίνοντα τὴν λόγχην. Χη. κἀγὼ ἔδεισα τότε ὦ Λεόντιχε. καὶ οἶσθα ὡς εἰχόμην σου δεόμενος, μὴ προκινδυνεύειν. ἀβίωτα γὰρ ἦν μοι, σοῦ ἀποθανόντος. Λε. ἀλλ' ἐγὼ τολμήσας, προῆλθον ἐς τὸ μέσον, οὐ χεῖρον τοῦ Παφλαγόνος ὡπλισμένος, ἀλλὰ πάγχρυσος καὶ αὐτός. ὥστε βοὴ εὐθὺς ἐγένετο καὶ παρ' ἡμῶν, καὶ παρὰ τῶν βαρβάρων. ἐγνώρισάν με γὰρ κἀκεῖνοι ἰδόντες ἀπὸ τῆς πέλτης μάλιστα, καὶ τῶν φαλάρων, καὶ τοῦ λόφου. εἰπὲ ὦ Χηνίδα, τίνι με πάντες τότε εἴκαζον. Χη. τίνι δὲ ἄλλῳ, ἢ Ἀχιλλεῖ νὴ Δία τῷ Θέτιδος, καὶ Πηλέως. οὕτως ἔπρε-

πε μὲν

τὸ μὲν σοὶ ἡ κόρυς. ἡ φοινικὶς δὲ, ἐπήνθει, καὶ ἡ πέλτη ἐμάρμαιρεν. ΛΕ. ἐπεὶ δὲ συνέστημεν, ὁ βάρβαρος πρότερον τιτρώσκει με, ὀλίγον ὅσον ἐπιψαύσας τῷ δόρατι, μικρὸν ὑπὲρ τὸ γόνυ. ἐγὼ δὲ διελάσας τὴν ἀσπίδα τῇ σαρίσῃ, παίω διαμπὰξ εἰς τὸ στέρνον. εἶτ' ἐπιδραμὼν, ἀπεδειροτόμησα τῇ σπάθῃ ῥᾳδίως. καὶ τὰ ὅπλα ἔχων, ἐπανῆλθον, ἅμα καὶ τὴν κεφαλὴν ἐπὶ τῆς σαρίσης πεπηγυῖαν κομίζων, λελουμένος τῷ φόνῳ. Υ. ἄπαγε ὦ Λεόντιχε, μιαρὰ ταῦτα, καὶ φοβερὰ περὶ σαυτοῦ διηγῇ, καὶ οὐκ ἄν ἔτι σε οὐδὲ προσβλέψειέ τις, οὕτω χαίροντα τῷ λύθρῳ, οὐχ ὅπως συμπίοι, ἢ συγκοιμηθείη. ἔγωγε οὖν ἄπειμι. ΛΕ. διπλάσιον ἀπόλαβε τὸ μίσθωμα. Υ. οὐκ ἂν ὑπομείναιμι ἀνδροφόνῳ συγκαθεύδειν. ΛΕ. μὴ δέδιθι ὦ Ὑμνί. ἐν Παφλαγόσιν ἐκεῖνα πέπρακται. νῦν δὲ, εἰρήνην ἄγω. Υ. ἀλλ' ἐναγὴς ἄνθρωπος εἶ, καὶ τὸ αἷμα κατέσταζέ σου ἀπὸ τῆς κεφαλῆς τοῦ βαρβάρου, ἣν ἔφερες ἐπὶ τῇ σαρίσῃ. εἶτ' ἐγὼ τοιοῦτον ἄνδρα περιβαλῶ, καὶ φιλήσω; μὴ ὦ χάριτες γένοιτο. οὐδὲ γὰρ οὗτος ἀμείνων τοῦ δημίου. ΛΕ. καὶ μὴν εἴ με εἶδες ἐν τοῖς ὅπλοις, εὖ οἶδα ἠράσθης ἄν. Υ. ἀκούουσα μόνον ὦ Λεόντιχε, ναυτιῶ, καὶ φρίττω, καὶ τὰς σκιάς μοι δοκῶ ὁρᾶν, καὶ τὰ εἴδωλα τῶν πε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φονευμένων. καὶ μάλιστα τοῦ ἀθλίου λοχαγοῦ, ἐς δύο τὴν κεφαλὴν διῃρημένου. τί οἴει τὸ ἔργον αὐτό, καὶ τὸ αἷμα εἰ θεασαίμην, καὶ κειμένους τοὺς νεκρούς; ἐκθανεῖν γάρ μοι δοκῶ. οὐδ' ἀλεκτρυόνα πώποτε φονευόμενον εἶδον. Λε. οὕτως ἀγεννὴς ὦ Ὑμνί, καὶ μικρόψυχος εἶ. ἐγὼ δὲ ᾤμην ἡσθήσεσθαί σε ἀκούουσαν. Υ. ἀλλὰ τέρπε τοῖς διηγήμασι τούτοις, εἴ τινας λημνιάδας, ἢ δαναΐδας εὕροις. ἐγὼ δ' ἀποτρέχω παρὰ τὴν μητέρα, ἕως ἔτι ἡμέρα ἐστίν. ἕπου καὶ σὺ ὦ Γραμμή. σὺ δὲ ἔρρωσο χιλιάρχων ἄριστε, καὶ φονεῦ, ὁπόσων ἂν ἐθέλῃς. Λε. μεῖνον ὦ Ὑμνί, μεῖνον. ἀπελήλυθε. Χη. σὺ γὰρ ὦ λεόντιχε ἀφελῆ παιδίσκην κατεφόβησας, ἐπισείων λόφους, καὶ ἀπιθάνους ἀριστείας διεξιών. ἐγὼ δέ, ἑώρων εὐθὺς ὅπως χλωρὰ ἐγένετο, ἔτι σου τὰ κατὰ τὸν λοχαγὸν ἐκεῖνα διηγουμένου, καὶ συνέστειλε τὸ πρόσωπον, καὶ ὑπέφριξεν, ἐπεὶ καὶ διακόψαι τὴν κεφαλὴν ἔφης. Λε. ᾤμην ἐρασμιώτερος αὐτῇ φανεῖσθαι. ἀλλὰ καὶ σύ με προσαπολώλεκας ὦ Χηνίδα, τὸ μονομάχιον ὑποβαλών. Χη. οὐκ ἔδει γὰρ συνεπιψεύδεσθαί σοι, ὁρῶντα τὴν αἰτίαν τῆς ἀλαζονείας. σὺ δὲ πολὺ φοβερὸν αὐτὸ ἐποίησας. ἔστω γάρ, ἀπέτεμες τοῦ κακοδαίμονος παφλαγόνος τὴν κεφαλήν, τί καὶ κατέ

πηξας

πήξας αὐτὴν ὑπὸ τῆς σαρείσης, ὥστε σου καταῤῥεῖν τὸ αἷμα; Λε. Τοῦτο μιαρὸν ὡς ἀληθῶς ὦ Χηνίδα, ἐπὶ τὰ ἄλλα, οὐ κακῶς συνεπέπλαστο. ἄπιθι δ' οὖν, καὶ πεῖσον αὐτὴν συγκαθευδήσουσαν. Χη. λέγω οὖν ὡς ἐψεύσω ἅπαντα, γενναῖος αὐτῇ δόξαι βουλόμενος; Λε. αἰσχρὸν ὦ Χηνίδα. Χη. καὶ μὴν οὐκ ἄλλως ἀφίκοιτο. ἑλοῦ θάτερον, ἢ μισεῖσθαι ἀριστεὺς εἶναι δοκῶν, ἢ καθεύδειν μετὰ Ὑμνίδος, ἐψεῦσθαι ὁμολογῶν. Λε. χαλεπὰ μὲν ἄμφω. αἱροῦμαι δ' ὅμως τὴν Ὑμνίδα. ἄπιθι οὖν, καὶ λέγε ὦ Χηνίδα, ἐψεῦσθαι μὲν, μὴ πάντα δέ.

ΔΩΡΙΩΝ, ΚΑΙ ΜΥΡΤΑΛΗ.

Νῦν με ἀποκλείεις ὦ Μυρτάλη; νῦν, ὅτε πένης ἐγενόμην διὰ σέ; ὅτε δέ σοι τὰ τοσαῦτα ἐκόμιζον, ἐρώμενος, ἀνὴρ, δεσπότης, πάντ' ἦν ἐγώ. ἐπεὶ δ' ἐγὼ μὲν αὖος ἤδη ἀκριβῶς, σὺ δὲ τὸν βιθυνὸν ἔμπορον εὕρηκας ἐραστὴν, ἀποκλείομαι μὲν ἐγὼ, καὶ πρὸ τῶν θυρῶν ἕστηκα δακρύων. ὁ δὲ, τῶν νυκτῶν φιλεῖται, καὶ μόνος ἔνδον ἐστὶ, καὶ παννυχίζεται, καὶ κυεῖν φὴς ἀπ' αὐτοῦ. Μυρ. ταῦτά με ἀποπνίγει Δωρίων, καὶ μάλιστα, ὁπόταν λέγῃς ὡς πολλὰ ἔδωκας, καὶ πένης γεγένησαι δι' ἐμέ. λόγισαι γοῦν ἅπαντα ἐξ ἀρχῆς, ὁπόσα μοι ἐκόμι-

σας. Δω. εὖ γε ὦ μυρτάλη. λογισώμεθα. ὑποδήματα ἐκ Σικυῶνος τὸ πρῶτον δύο δραχμῶν. τίθει δύο δραχμάς. Μυρ. ἀλλ' ἐκοιμήθης νύκτας δύο. Δω. καὶ ὁπότε ἧκον ἐκ Συρίας, ἀλάβαστρον μύρου ἐκ Φοινίκης. δύο καὶ τοῦτο δραχμῶν νὴ τὸν ποσειδῶ. Μυρ. ἐγὼ δέ σοι ἐκπλέοντι, τὸ μικρὸν ἐκεῖνο χιτώνιον, τὸ μέχρι τῶν μηρῶν, ὡς ἔχοις ἐρέττων, Ἐπούρου τοῦ πρῳρέως ἐκλαθομένου αὐτὸ παρ' ἡμῖν, ὁπότε ἐκάθευδε παρ' ἐμοί. Δω. ἀπέλαβεν αὐτὸ γνωρίσας ὁ Ἐπίουρος πρώην ἐν Σάμῳ μετὰ πολλῆς γε ὦ θεοὶ τῆς μάχης. κρόμμυα δὲ ἐκ Κύπρου, καὶ σαπέρδας πέντε, καὶ πέρκας τέσσαρας, ὁπότε κατεπλεύσαμεν ἐκ Βοσπόρου, ἐκόμισά σοι. τί οὖν; καὶ ἄρτους ὀκτὼ ναυτικοὺς, ἐν γυργάθῳ ξηροὺς, καὶ ἰσχάδων βῖκον ἐκ Καρίας. καὶ ὕστερον ἐκ Πατάρων, σανδάλια ἐπίχρυσα ὦ ἀχάριστε, καὶ τυρόν ποτε μέμνημαι τὸν μέγαν ἐκ Γυθίου. Μυρ. πέντε ἴσως δραχμῶν ὦ Δωρίων ταῦτα πάντα. Δω. ὦ Μυρτάλη, ὅσα ναύτης ἄνθρωπος ἐδυνάμην μισθοῦ ἐπιπλέων. νῦν γὰρ ἤδη τοίχου ἄρχω τοῦ δεξιοῦ, καὶ σὺ ἡμῶν ὑπερορᾷς; πρώην δὲ ὁπότε ἀφροδίσια ἦν, οὐχὶ δραχμὴν ἔθηκα πρὸς τοῖν ποδοῖν Ἀφροδίτης σοῦ ἕνεκεν ἀργυρᾶν. καὶ πάλιν τῇ μητρὶ εἰς ὑποδήματα δύο δραχμάς. καὶ Λυδῇ ταύτῃ πολλάκις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λάκις εἰς τὴν χεῖρα, νῦν μὲν δύο, νῦν δὲ, τέσσαρας ὀβολούς. ταῦτα πάντα συντεθέντα, οὐσία ναύτου ἀνδρὸς ἦν. ΜΥΡ. τὰ κρόμμυα, καὶ οἱ σαπέρδαι ὦ Δωρίων; ΔΩ. ναί. οὐ γὰρ εἶχον πλείω κομίζειν. οὐ γὰρ ἂν ἤρεττον, εἴ γε πλουτῶν ἐτύγχανον. τῇ μητρὶ δὲ οὐδὲ κεφαλίδα μίαν σκορόδου ἐκόμισα πώποτε. ἡδέως δ' ἂν ἔμαθον ἅτινά σοι παρὰ τοῦ Βιθυνοῦ τὰ δῶρα. ΜΥΡ. τουτὶ πρῶτον ὁρᾷς τὸ χιτώνιον; ἐκεῖνος ἐπρίατο, καὶ τὸν ὅρμον τὸν παχύτερον. ΔΩ. ἐκεῖνος; ᾔδειν γάρ σε πάλαι ἔχουσαν. ΜΥΡ. ἀλλ' ὃν ᾔδεις πολὺ λεπτότερος ἦν, καὶ σμαράγδους οὐκ εἶχε, καὶ ἐλλόβια ταυτὶ, καὶ δάπιδα. καὶ πρῴην, δύο μνᾶς. καὶ τὸ ἐνοίκιον κατέβαλεν ὑπὲρ ἡμῶν, οὐ σάνδαλα Παταρικὰ, καὶ τυρὸν Γυθιακὸν, καὶ φλυάφους. ΔΩ. ἀλλὰ ἐκεῖνο οὐ λέγεις, οἵῳ ὄντι συγκαθεύδεις αὐτῷ; ἔτη μὲν ὑπὲρ τὰ πεντήκοντα πάντως, ἀναφαλαντίας, καὶ τὴν χροιὰν, οἷος κάραβος. οὐδὲ τοὺς ὀδόντας αὐτοῦ ὁρᾷς; αἱ μὲν γὰρ χάριτες ὦ Διοσκόρω, πολλαί. καὶ μάλιστα ὁπόταν ᾄδῃ, καὶ ἁβρὸς εἶναι θέλῃ, ὄνος αὐτολυρίζων φασίν. ἀλλὰ ὄναιο αὐτοῦ, ἀξία γε οὖσα. καὶ γένοιτο ὑμῖν παιδίον ὅμοιον τῷ πατρί. ἐγὼ δὲ καὶ αὐτὸς εὑρήσω Δελφίδα, ἢ Κομβάλιόν τινα τῶν κατ' ἐ

με, ἢ τὴν πιτόνα ὑμῶν τὴν αὐλητρίδα, ἢ πάν-
τως τινά. δάπιδας δ' ἐ, καὶ ὅρμοις, καὶ διμναῖα μι-
σθώματα, οὐ πάντες ἔχομεν. Μυρ. ὦ μα-
καρία ἐκείνη, ἥ τις ἐραστὴν σε ὦ Δωρίων ἕξει.
κρόμμυα γὰρ αὐτῇ δώσεις ἐκ Κύπρου, καὶ τυρόν, ὅ-
ταν ἐκ Γυθίου καταπλέῃς.

## ΚΟΧΛΙΣ. ΚΑΙ ΠΑΡΘΕΝΙΣ.

Τί δακρύεις ὦ Παρθενί, ἢ πόθεν κατεα-
γότας τοὺς αὐλοὺς φέρεις; Παρ. ὁ στρα-
τιώτης ὁ αἰτωλὸς ὁ μέγας, ὁ Κροκά-
λης ἐρῶν, ἐρράπισέ με, αὐλήσασαν εὑρὼν πα-
ρὰ τῇ Κροκάλῃ, ὑπὸ τοῦ ἀντεραστοῦ αὐτοῦ Γόρ-
γου μεμισθωμένην. καὶ τούς τε αὐλούς μου συ-
νέτριψε, καὶ τὴν τράπεζαν μεταξὺ δειπνούν-
των ἀνέτρεψε, καὶ τὸν κρατῆρα ἐξέχεεν ἐπει-
σπαίσας. καὶ τὸν μὲν ἀγροῖκον ἐκεῖνον τὸν Γόρ-
γον, ἀπὸ τοῦ συμποσίου κατασπάσας τῶν τρι-
χῶν, ἔπαιον περιστάντες αὐτός τε ὁ στρατιώ-
της, Δεινόμαχος οἶμαι καλεῖται, καὶ ὁ συστρατιώ-
της αὐτοῦ. ὥστε οὐκ οἶδα εἰ βιώσεται ὁ ἄνθρωπος
ὦ Κοχλί. αἷμά τε γὰρ ἐρρύη πολὺ ἀπὸ τῶν
ῥινῶν, καὶ τὸ πρόσωπον ὅλον ἐξῴδηκεν αὐτοῦ, καὶ πε-
λιδνόν ἐστιν. Κο. ἐμάνη ὁ ἄνθρωπος, ἢ μέ-
θη τις ἦν, καὶ παροινία τὸ πρᾶγμα; Παρ. ζη-
λοτυπία τις ὦ Κοχλί, καὶ ἔρως ἔκτοπος. ἡ Κρο-
κάλη

καλὴ γὰρ οἶμαι δύο τάλαντα αὐτὴν πρίασθαι, εἰ βούλεται μόνος ἔχειν αὐτήν, ἐπεὶ μὴ ἐδίδου ὁ Δεινόμαχος, ἐκεῖνον μὲν, ἀπέκλεισεν ἥκοντα, προσαράξασά γε αὐτῷ τὰς θύρας, ὡς ἐλέγετο. τὸν Γοργίαν δὲ οἰνοέα τινὰ γεωργὸν εὔπορον ἐκ πολλοῦ ἐρῶντα, καὶ χρηστὸν ἄνθρωπον προσιεμένη, ἔπινε μετ' αὐτοῦ, κἀμὲ παρέλαβεν αὐλήσουσαν παρ' αὐτοῖς. ἤδη δὲ προχωροῦντος τοῦ πότου, ἐγὼ μὲν ὑπέκρεκόν τι τῶν λυδίων. ὁ γεωργὸς δὲ, ἤδη ἀνίστατο ὀρχησόμενος. ἡ Κροκάλη δὲ, ἐκρότει. καὶ πάντα ἦν ἡδέα. ἐν τοσούτῳ δὲ, κτύπος ἠκούετο, καὶ βοὴ, καὶ ἡ αὔλειος ἠράσσετο. καὶ μετὰ μικρὸν ἐπεισέπεσον ὅσον ὀκτὼ νεανίσκοι, μάλα καρτεροί. καὶ ὁ μεγαρεὺς ἐν αὐτοῖς. εὐθὺς οὖν ἀνετέτραπτο πάντα. καὶ ὁ Γοργίας ὥσπερ ἔφην, ἐπαίετο, καὶ ἐπατεῖτο χαμαὶ κείμενος. ἡ Κροκάλη δὲ, οὐκ οἶδ' ὅπως ἔφθη, ὑπεκφυγοῦσα παρὰ τὴν γείτονα Θεσπιάδα. ἐμὲ δὲ ῥαπίσας ὁ Δεινόμαχος, ἐκφθείρου φησί, κατεαγότας μοι τοὺς αὐλοὺς προσείπας. καὶ νῦν ἀποτρέχω φράσουσα ταῦτα τῷ δεσπότῃ. ἀπέρχεται δὲ καὶ ὁ γεωργὸς ὀψόμενός τινας φίλους τῶν ἀστικῶν, οἳ παραδώσουσι τοῖς πρυτάνεσι τὸν μεγαρέα. Κο. ταῦτ' ἐστὶν ἀπολαῦσαι τῶν στρατιωτικῶν τούτων ἐρώτων, πληγὰς,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ δίκας. τὰ δὲ ἄλλα, ἡγεμόνων ἓν, καὶ χιλίαρχοι λέγοντες, ἤν τι δῦναι δέῃ πειμένον φασὶ τὴν σύνταξιν, ἔστ' ἂν ἀποκλαύσω περὶ μισθοφορᾶς, καὶ ποιήσω πάντα. ἐπέτρεψεν δ' οὖν, ἀλαζόνων ὄντων. ἔργον γ' οὖν ἐν τούτῳ, μὴ προσπεμένειν αὐτοῦ τὸ παράπαν. ἁλιεύς τις ἐμοὶ γένοιτο, ἢ ναύτης, ἢ γεωργὸς ἰσότιμος, κολακεύειν εἰδὼς μικρά, καὶ κομίζων πολλά. οἱ δὲ τοὺς λόφους ἐπισείοντες οὗτοι, καὶ μάχας διηγούμενοι, ψόφοι ὦ Παρθενί.

## ΠΕΡΙ ΤΗΣ ΠΕΡΕΓΡΙΝΟΥ ΤΕΛΕΥΤΗΣ.

Λουκιανὸς Κρονίῳ εὖ πράττειν. Ὁ κακοδαίμων Περεγρῖνος, ἢ ὡς αὐτὸς ἔχαιρεν ὀνομάζων ἑαυτόν, Πρωτεύς, αὐτὸ δὴ ἐκεῖνο τὸ τοῦ ὁμηρικοῦ Πρωτέως ἔπαθεν. ἅπαντα γὰρ δόξης ἕνεκα γενόμενος, καὶ μυρίας τροπὰς τραπόμενος, τὰ τελευταῖα ταῦτα, καὶ πῦρ ἐγένετο. τοσούτῳ ἄρα τῷ ἔρωτι περὶ δόξης εἴχετο. καὶ νῦν ἐκεῖνος ἀπηνθράκωταί σοι ὁ βέλτιστος κατὰ τὸν Ἐμπεδοκλέα, παρ' ὅσον ὁ μὲν, κἂν διαλαθεῖν ἐπειράθη ἐμβαλὼν ἑαυτὸν εἰς τοὺς κρατῆρας. ὁ δὲ γεννάδας οὗτος, τὴν πολυανθρωποτάτην τῶν ἑλληνικῶν πανηγύρεων τηρήσας, πυρὰν ὅτι μεγίστην νήσας, ἐνεπήδησεν ἐπὶ

τοσού

τοσούτων μαρτύρων, καὶ λόγους τινὰς ὑπὲρ τούτου εἰπὼν πρὸς τοὺς Ἕλληνας, οὐ πρὸ πολλῶν ἡμερῶν τοῦ τολμήματος. πολλὰ τοίνυν δοκῶ μοι ὁρᾶν σε γελῶντα ἐπὶ τῇ κορύζῃ τοῦ γέροντος. μᾶλλον δὲ καὶ ἀκούω βοῶντος, οἷά σε εἰκὸς βοᾶν. ὢ τῆς ἀβελτηρίας. ὢ τῆς δοξοκοπίας. ὢ τῶν ἄλλων, ἃ λέγειν εἰώθαμεν περὶ αὐτῶν. σὺ μὲν οὖν πόρρω ταῦτα, καὶ μακρῷ ἀσφαλέστερον. ἐγὼ δὲ, παρὰ τὸ πῦρ αὐτὸ, καὶ ἔτι πρότερον ἐν πολλῷ πλήθει τῶν ἀκροατῶν εἶπον αὐτά. ἐνίων μὲν, ἀχθομένων, ὅσοι ἐθαύμαζον τὴν ἀπόνοιαν τοῦ γέροντος. ἦσαν δέ τινες, οἳ καὶ αὐτοὶ ἐγέλων ἐπ' αὐτῷ. ἀλλ' ὀλίγου δεῖν, ὑπὸ τῶν κυνικῶν ἐγώ σοι διεσπάσθην, ὥσπερ ὁ Ἀκταίων ὑπὸ τῶν κυνῶν, ἢ ὁ ἀνεψιὸς αὐτοῦ ὁ Πενθεὺς ὑπὸ τῶν μαινάδων. ἡ δὲ πᾶσα τοῦ πράγματος διασκευὴ, τοιάδε ἦν. τὸν μὲν πικτὴν οἶσθα οἷός τε ἦν, καὶ ἡλίκα ἐτραγῴδει παρ' ὅλον τὸν βίον, ὑπὲρ τὸν Σοφοκλέα, καὶ τὸν Αἰσχύλον. ἐγὼ δ' ἐπεὶ τάχιστα εἰς τὴν Ἦλιν ἀφικόμην, διὰ τοῦ γυμνασίου αὐτῶν, ἐπήκουον ἅμα κυνικοῦ τινος, μεγάλῃ καὶ τραχείᾳ τῇ φωνῇ τὰ συνήθη ταῦτα, καὶ ἐκ τριόδου τὴν ἀρετὴν ἐπιβοωμένου, καὶ ἅπασιν ἁπαξαπλῶς λοιδορουμένου. εἶτα κατέληξεν αὐτῷ ἡ βοὴ ἐς τὸν Πρωτέα. καὶ ὡς ἂν οἷός

πεῶ, πειράσομαί σοι αὐτὰ ἐκεῖνα ἀπομνημο-
νεῦσαι, ὡς ἐλέγετο. σὺ δὲ γνωρίζεις δηλαδή,
πολλάκις αὐτοῖς παραστὰς βοῶσι. Πρωτέα
γάρ τις ἔφη κενόδοξον τολμᾷ λέγειν ὦ γῆ, καὶ
ἥλιε, καὶ ποταμοί, καὶ θάλαττα, καὶ πατρῷε Ἡρά-
κλεις. Πρωτέα, τὸν ἐν Συρίᾳ δεθέντα, τὸν τῇ
πατρίδι ἀνέντα πεντακισχίλια τάλαντα, τὸν
ἀπὸ τῆς Ῥωμαίων πόλεως ἐκβληθέντα, τὸν τοῦ
ἡλίου ἐπισημότερον, τὸν αὐτῷ ἀνταγωνίσασθαι καὶ
αὐτῷ τῷ Ὀλυμπίῳ δυνάμενον. ἀλλ' ὅτι διὰ
πυρὸς ἐξάγειν τοῦ βίου διέγνωκεν ἑαυτόν, εἰς
κενοδοξίαν τινὲς τοῦτο ἀναφέρουσιν. οὐ γὰρ Ἡρα-
κλῆς οὕτως; οὐ γὰρ Ἀσκληπιός, καὶ Διόνυσος
κεραυνῷ; οὐ γὰρ τὰ τελευταῖα Ἐμπεδοκλῆς
εἰς τοὺς κρατῆρας; ὡς δὲ ταῦτα εἶπεν ὁ Θεαγέ-
νης, τοῦτο γὰρ ὁ κεκραγὼς ἐκεῖνος ἐκαλεῖτο, ἠρό-
μην τινὰ τῶν παρεστώτων, τί βούλεται τὸ περὶ
τοῦ πυρός, ἢ τί Ἡρακλῆς, καὶ Ἐμπεδοκλῆς,
πρὸς τὸν Πρωτέα. ὁ δέ, οὐκ εἰς μακρὰν ἔφη καύ-
σει ἑαυτὸν ὁ Πρωτεὺς ὀλυμπιάσι. πῶς ἔφην,
ἢ τίνος ἕνεκα; εἶτα ὁ μὲν, ἐπειρᾶτο λέγειν.
ἐβόα δὲ ὁ κυνικός. ὥστε ἀμήχανον ἦν ἄλλου ἀ-
κούειν. ἐπήκουον οὖν τὰ λοιπά, ἐπαντλοῦντος
αὐτοῦ, καὶ θαυμαστάς τινας ὑπερβολὰς διεξιόν-
τος κατὰ τοῦ Πρωτέως. τὸν μὲν γὰρ Σινωπέα, ἢ

τὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν διδάσκαλον αὐτοῦ ἀντιτιθείη, οὐδὲ παραβάλλειν ἠξίου αὐτῷ, ἀλλ' οὐδὲ τὸν Σωκράτη αὐτόν. ἐκάλει δὲ τὸν Δία ἐπὶ τὴν ἅμιλλαν. εἶτα μέντοι ἔδοξεν αὐτῷ ἴσως πως φυλάξαι αὐτούς. καὶ οὕτω κατέπαυσε τὸν λόγον. δύο γὰρ ταῦτα ἔφη ὁ βίος ἄριστα δημιουργήματα ἐθεάσατο, τὸν Δία τὸν ὀλύμπιον, καὶ Πρωτέα. πλάσται δέ, καὶ τεχνῖται, τοῦ μὲν, Φειδίας. τοῦ δέ, ἡ φύσις. ἀλλὰ νῦν ἐξ ἀνθρώπων εἰς θεοὺς τὸ ἄγαλμα τοῦτο οἰχήσεται, ὀχούμενον ἐπὶ τοῦ πυρός, ὀρφανοὺς ἡμᾶς καταλιπόν. ταῦτα ξὺν πολλῷ ἱδρῶτι διεξελθὼν, ἐδάκρυε μάλα γελοίως, καὶ τὰς τρίχας ἐτίλλετο, ὑποφειδόμενος μὴ πάνυ ἕλκειν. καὶ τέλος, ἀπῆγον αὐτὸν λύζοντα μεταξὺ τῶν κυνικῶν τινές, παραμυθούμενοι. μετὰ δὲ τοῦτον, ἄλλος εὐθὺς ἀναβαίνει, οὐ περιμείνας διαλυθῆναι τὸ πλῆθος, ἀλλὰ ἐπ' αἰθομένοις τοῖς προτέροις ἱερείοις ἐπέχει τῶν σπονδῶν. καὶ τὸ μὲν πρῶτον, ἐπὶ πολὺ ἐγέλα, καὶ δῆλος ἦν νειόθεν αὐτὸ δρῶν. εἶτα ἤρξατο ὧδέ πως. ἐπεὶ ὁ κατάρατος Θεαγένης τέλος τῶν μιαρωτάτων αὐτοῦ λόγων, τὰ Ἡρακλείτου δάκρυα ἐποιήσατο, ἐγὼ κατὰ τὸ ἐναντίον, ἀπὸ τοῦ Δημοκρίτου γέλωτος ἄρξομαι. καὶ αὖθις ἐγέλα ἐπὶ πολύ, ὥστε καὶ ἡμῶν τοὺς πολ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λους γὰρ τὸ ὅμοιον ἐπισπάσειν. εἶτα γὰρ στρέψας ἑ-
αυτὸν, ἢ τί γὰρ ἄλλο ἔφη ὦ ἄνδρες χρὴ ποιεῖν,
ἀκούοντας μὲν οὕτω γελοίων ῥήσεων, ὁρῶντας
δὲ ἄνδρας γέροντας δοξαρίου καταπτύστου ἕνε
κα, μονονουχὶ κυβιστῶντας ἐν τῷ μέσῳ; ὡς δὲ
εἰδείητε οἷόν τι τὸ ἄγαλμα ἐστὶ τὸ καυθησόμενον,
ἀκούσατέ μου, ἐξ ἀρχῆς παραφυλάξαντος τὴν
γνώμην αὐτοῦ, καὶ τὸν βίον ἐπιτηρήσαντος. ἔ
νια δὲ παρὰ τῶν πολιτῶν αὐτοῦ ἐπυνθανό-
μην, καὶ οἷς ἀνάγκη ἦν ἀκριβῶς εἰδέναι αὐτόν.
τὸ γὰρ τῆς φύσεως τοῦτο πλάσμα, καὶ δημιούργημα,
ὁ τοῦ Πολυκλείτου κανών. Ἐπεὶ εἰς ἄνδρας τε
λεῖν ἤρξατο, ἐν Ἀρμενίᾳ μοιχεύων ἁλοὺς, μάλ-
λα πολλὰς πληγὰς ἔλαβε. καὶ τέλος κατὰ
τοῦ τέγους ἁλόμενος, διέφυγε, ῥαφανῖδι τὴν πυ-
γὴν βεβυσμένος. εἶτα μειράκιόν τι ὡραῖον δια-
φθείρας, τρισχιλίων ἐξωνίζεται παρὰ τῶν γο
νέων τοῦ παιδὸς, πενήτων ὄντων, μὴ ἐπὶ τὸν ἁρ
μοστὴν ἀπαχθῆναι τῆς Ἀσίας. ταῦτα, καὶ τὰ
τοιαῦτα ἐάσειν μοι δοκῶ. πηλὸς γὰρ ἔτι ἄπλα-
στος ἦν, καὶ οὐδέπω ἐντελὲς ἄγαλμα ἡμῖν ἐδε-
δημιούργητο. ἃ δὲ τὸν πατέρα ἔδρασε, καὶ πάνυ
ἀκοῦσαι ἄξιον. καίτοι πάντες ἴστε, καὶ ἀκηκόα
τε ὡς ἀπέπνιξε τὸν γέροντα, οὐκ ἀνασχόμενος
αὐτὸν ὑπὲρ ἑξήκοντα ἔτη ἤδη γηρῶντα. εἶτα ἐ

πειδὴ τὸ πρᾶγμα διεβεβόητο, φυγὴν ἑαυτοῦ καταδικάσας, ἐπλανᾶτο, ἄλλην ἄλλοτε ἀμείβων, ὅτε περ καὶ τὴν θαυμαστὴν σοφίαν τῶν Χριστιανῶν ἐξέμαθε, περὶ τὴν Παλαιστίνην τοῖς ἱερεῦσι, καὶ γραμματεῦσιν αὐτῶν ξυγγενόμενος. καὶ τί γάρ, ἐν βραχεῖ παῖδας αὐτοὺς ἀπέφηνε, προφήτης, καὶ θιασάρχης, καὶ ξυναγωγεύς, καὶ πάντα μόνος αὐτὸς ὤν. καὶ τῶν βίβλων τὰς μὲν, ἐξηγεῖτο, καὶ διεσάφει. πολλὰς δὲ αὐτὸς καὶ ξυνέγραφε, καὶ ὡς θεὸν αὐτὸν ἐκεῖνοι ἐδικαιοῦν, καὶ νομοθέτῃ ἐχρῶντο, καὶ προστάτην ἐπέγραφον. τὸν μέγαν γοῦν ἐκεῖνον ἔτι σέβουσιν ἄνθρωπον, τὸν ἐν τῇ Παλαιστίνῃ ἀνασκολοπισθέντα, ὅτι καινὴν ταύτην τελετὴν εἰσήγαγεν ἐς τὸν βίον. τότε δὴ καὶ συλληφθεὶς ἐπὶ τούτῳ ὁ Πρωτεύς, ἐνέπεσεν εἰς τὸ δεσμωτήριον. ὅπερ καὶ αὐτὸ οὐ μικρὸν αὐτῷ ἀξίωμα περιεποίησε πρὸς τὸν ἑξῆς βίον, καὶ τὴν τερατείαν, καὶ δοξοκοπίαν, ὧν ἐρῶν ἐτύγχανεν. ἐπεὶ δ' οὖν ἐδέδετο, οἱ Χριστιανοὶ συμφορὰν ποιούμενοι τὸ πρᾶγμα, πάντα ἐκίνουν, ἐξαρπάσαι πειρώμενοι αὐτόν. εἶτ' ἐπεὶ τοῦτ' ἦν ἀδύνατον, ἥτε ἄλλη θεραπεία πᾶσα οὐ παρέργως, ἀλλὰ ξὺν σπουδῇ ἐγίνετο. καὶ ἕωθεν μὲν εὐθὺς ἦν ὁρᾶν παρὰ τῷ δεσμωτηρίῳ περιμένοντα γραΐδια, χήρας τινάς, καὶ παιδία ὀρφανά.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οἱ δὲ ἐν τέλει αὐτῶν, καὶ συνεκάθευδον ἔνδον μετ' αὐτοῦ, διαφθείροντες τοὺς δεσμοφύλακας. εἶτα δεῖπνα ποικίλα εἰσεκομίζετο, καὶ λόγοι ἱεροὶ αὐτῶν ἐλέγοντο. καὶ ὁ βέλτιστος Περεγρῖνος, ἔτι γὰρ τοῦτο ἐκαλεῖτο, καινὸς Σωκράτης ὑπ' αὐτῶν ὠνομάζετο. καὶ μὴν καὶ τῶν ἐν Ἀσίᾳ πόλεων ἔστιν, ὧν ἧκόν τινες, τῶν Χριστιανῶν στελλόντων ἀπὸ τοῦ κοινοῦ, βοηθήσοντες, καὶ συναγορεύσοντες, καὶ παραμυθησόμενοι τὸν ἄνδρα. ἀμήχανον δέ τι τὸ τάχος ἐπιδείκνυνται, ἐπειδάν τι τοιοῦτον γένηται δημόσιον. ἐν βραχεῖ γὰρ ἀφειδοῦσι πάντων. καὶ δὴ καὶ τῷ Περεγρίνῳ πολλὰ τότε ἧκε χρήματα παρ' αὐτῶν ἐπὶ προφάσει τῶν δεσμῶν. καὶ πρόσοδον οὐ μικρὰν ταύτην ἐποιήσατο. πεπείκασι γὰρ αὑτοὺς οἱ κακοδαίμονες, τὸ μὲν ὅλον, ἀθάνατοι ἔσεσθαι, καὶ βιώσεσθαι τὸν ἀεὶ χρόνον. παρ' ὃ καὶ καταφρονοῦσι τοῦ θανάτου, καὶ ἑκόντες αὑτοὺς ἐπιδιδόασιν οἱ πολλοί. ἔπειτα δὲ ὁ νομοθέτης ὁ πρῶτος, ἔπεισεν αὐτοὺς, ὡς ἀδελφοὶ πάντες εἶεν ἀλλήλων. ἐπειδὰν ἅπαξ παραβάντες, θεοὺς μὲν τοὺς ἑλληνικοὺς ἀπαρνήσωνται, τὸν δὲ ἀνεσκολοπισμένον ἐκεῖνον σοφιστὴν αὐτῶν, προσκυνῶσι, καὶ κατὰ τοὺς ἐκείνου νόμους βιῶσι. καταφρονοῦσιν οὖν ἁπάντων ἐξίσης,

καὶ

καὶ κοινὰ ἡγοῦνται, ἄνευ τινὸς ἀκριβοῦς πί-
στεως τὰ τοιαῦτα παραδεξάμενοι. ἢν τοίνυν
παρέλθῃ τις εἰς αὐτοὺς, γόης, καὶ τεχνίτης
ἄνθρωπος, καὶ πράγμασι χρῆσθαι δυνάμενος,
αὐτίκα μάλα πλούσιος ἐν βραχεῖ ἐγένετο,
ἰδιώταις ἀνθρώποις ἐγχανών. πλὴν ἀλλ' ὁ
Περεγρῖνος ἀφείθη ὑπὸ τοῦ τότε τῆς Συρίας
ἄρχοντος, ἀνδρὸς φιλοσοφίᾳ χαίροντος.
ὃς συνεὶς τὴν ἀπόνοιαν αὐτοῦ, καὶ ὅτι δέξαιτ'
ἂν ἀποθανεῖν, ὡς δόξαν ἐπὶ τούτῳ ἀπολίποι,
ἀφῆκεν αὐτὸν, οὐδὲ τῆς κολάσεως ὑπολαβὼν ἄξι
ον. ὁ δὲ, εἰς τὴν οἰκίαν ἐπανελθὼν, καταλαμ
βάνει τὰ περὶ τοῦ πατρῴου φόνου, ἔτι φλεγμαῖνον,
καὶ πολλοὺς τοὺς ἐπανατεινομένους τὴν κατηγο
ρίαν. διήρπαστο δὲ τὰ πλεῖστα τῶν κτημάτων πα
ρὰ τὴν ἀποδημίαν αὐτοῦ. καὶ μόνοι ὑπελείποντο οἱ
ἀγροὶ ὅσον εἰς πεντεκαίδεκα τάλαντα. ἦν γὰρ ἡ
πᾶσα οὐσία, τριάκοντά που ταλάντων ἀξία,
ἣν ὁ γέρων κατέλιπεν. οὐχ ὥσπερ ὁ παγγέλοιος
Θεαγένης ἔλεγε, πεντακισχιλίων. τοσούτου γὰρ οὐ
δὲ ἡ πᾶσα τῶν Παριανῶν πόλις, πέντε σὺν αὐτῇ
τὰς γειτνιώσας παραλαβοῦσα, πραθείη ἄν, αὐ
τοῖς ἀνθρώποις, καὶ βοσκήμασι, καὶ τῇ λοιπῇ
παρασκευῇ. ἀλλ' ἔτι γε ἡ κατηγορία, καὶ τὸ
ἔγκλημα, θερμὸν ἦν. καὶ ἐῴκει οὐκ εἰς μακρὰν

ἐπαναστῆσαί τις αὐτῷ. καὶ μάλιστα ὁ δῆμος αὐτὸς ἠγανάκτει, χρηστὸν ὡς ἔφασαν οἱ ἰδόντες γέροντα πενθοῦντες, οὕτως ἀσεβῶς ἀπολωλότα. ὁ δὲ σοφὸς οὗτος Πρωτεὺς, πρὸς ἅπαντα ταῦτα σκέψασθε οἷόν τι ἐξεῦρε, καὶ ὅπως τὸν κίνδυνον διέφυγε. παρελθὼν γὰρ εἰς τὴν ἐκκλησίαν τῶν Παριανῶν, ἐκόμα δὲ ἤδη, καὶ τρίβωνα πιναρὸν ἠμπείχετο, καὶ πήραν παρήρτητο, καὶ τὸ ξύλον ἐν τῇ χειρὶ ἦν, καὶ ὅλως μάλα τραγικῶς ἐσκεύαστο. τοιοῦτος οὖν ἐπιφανεὶς αὐτοῖς, ἀφεῖναι ἔφη τὴν οὐσίαν, ἣν ὁ μακαρίτης πατὴρ αὐτῷ κατέλιπε, δημοσίαν εἶναι πᾶσαν. τοῦτο ὡς ἤκουσεν ὁ δῆμος, πένητες ἄνθρωποι, καὶ πρὸς διανομὰς κεχηνότες, ἀνέκραγον εὐθὺς ἕνα φιλόσοφον, ἕνα φιλόπατριν, ἕνα Διογένους, καὶ Κράτητος ζηλωτήν. οἱ δὲ ἐχθροὶ, ἐπεφίμωντο. κἂν εἴ τις ἐπιχειρήσειε μεμνῆσθαι τοῦ φόνου, λίθοις εὐθὺς ἐβάλλετο. ἐξῄει οὖν τὸ δεύτερον πλανησόμενος, ἱκανὰ ἐφόδια τοὺς Χριστιανοὺς ἔχων, ὑφ᾽ ὧν δορυφορούμενος, ἐν ἅπασιν ἀφθόνοις ἦν. καὶ χρόνον μέν τινα οὕτως ἐβόσκετο. εἶτα παρανομήσας τι καὶ ἐς ἐκείνους, ὤφθη γάρ τι ὡς οἶμαι ἐσθίων τῶν ἀπορρήτων αὐτοῖς, οὐκ ἔτι προσιεμένων αὐτῶν, ἀπορούμενος, ἐκ παλινῳδίας ᾤετο δεῖν ἀπαιτεῖν παρὰ τῆς πόλεως τὰ κτήματα. καὶ

1567

πα. καὶ γραμματεῖον ἐπιδούς, ἠξίου ταῦτα κομίσασθαι, κελεύσαντος βασιλέως. εἶτα τῆς πόλεως ἀντιπρεσβευσαμένης, οὐδὲν ἐπράχθη, ἀλλ' ἐμμένειν ἐκελεύσθη, οἷς ἅπαξ διέγνω, μηδενὸς καταναγκάσαντος. τρίτη ἐπὶ τούτοις ἀποδημία εἰς Αἴγυπτον παρὰ τὸν Ἀγαθόβουλον, ἵνα περ τὴν θαυμαστὴν ἄσκησιν διήσκει, ξυρόμενος μὲν τῆς κεφαλῆς τὸ ἥμισυ, χριόμενος δὲ πηλῷ τὸ πρόσωπον. ἐν πολλῷ δὲ τῶν περιεστώτων δήμῳ ἀναφλῶν τὸ αἰδοῖον, καὶ τὸ ἀδιάφορον δὴ τοῦτο καλούμενον ἐπιδεικνύμενος. εἶτα παίων, καὶ παιόμενος νάρθηκι εἰς τὰς πυγάς, καὶ ἄλλα πολλὰ νεανικώτερα θαυματοποιῶν. ἐκεῖθεν δὲ οὕτω παρεσκευασμένος, ἐπὶ Ἰταλίαν ἔπλευσε. καὶ ἀποβὰς τῆς νεώς, εὐθὺς ἐλοιδορεῖτο πᾶσι, καὶ μάλιστα τῷ βασιλεῖ, πρᾳότατον αὐτόν, καὶ ἡμερώτατον εἰδώς. ὥστε ἀσφαλῶς ἐτόλμα. ἐκείνῳ γὰρ ὡς εἰκὸς ὀλίγον ἔμελε τῶν βλασφημιῶν, καὶ οὐκ ἠξίου φιλοσοφίαν ὑποδυόμενόν τινα κολάζειν ἐπὶ ῥήμασι. καὶ μάλιστα τέχνην τινὰ τὸ λοιδορεῖσθαι πεποιημένον. τούτῳ δὲ καὶ ἀπὸ τούτων τὰ τῆς δόξης ηὐξάνετο. παρὰ γοῦν τοῖς ἰδιώταις, καὶ περίβλεπτος ἦν ἐπὶ τῇ ἀπονοίᾳ, μέχρι δὴ ὁ τὴν πόλιν ἐπιτετραμμένος ἀνὴρ σοφός, ἀπέπεμψεν αὐτὸν ἀμέτρως ἐντρυ

φῶντα τοῦ πράγματος, εἰπὼν μὴ δεῖσθαι τὴν
πόλιν τοιούτου φιλοσόφου. πλὴν ἀλλὰ καὶ τοῦτο
κλεινὸν αὐτοῦ, καὶ διὰ στόματος ἦν ἅπασιν, ὁ φι-
λόσοφος διὰ τὴν παῤῥησίαν, καὶ τὴν ἄγαν ἐλευ-
θερίαν ἐξελαθείς. καὶ προσήλαυνε κατὰ τοῦτο
τῷ Μουσωνίῳ, καὶ Δίωνι, καὶ Ἐπικτήτῳ, καὶ εἴ τις
ἄλλος ἐν περιστάσει τοιαύτῃ ἐγένετο. οὕτω
δὴ ἐπὶ τὴν Ἑλλάδα ἐλθὼν, ἄρτι μὲν, Ἠλείοις
ἐλοιδορεῖτο. ἄρτι δὲ, τοὺς Ἕλληνας ἔπειθεν αὐ-
τάρασθαι ὅπλα Ῥωμαίοις. ἄρτι δὲ, ἄνδρα παι-
δείᾳ, καὶ ἀξιώματι προὔχοντα. διότι καὶ ἐν
τοῖς ἄλλοις εὐεργέτησε τὴν Ἑλλάδα, καὶ ὕδωρ
ἐπήγαγε τῇ Ὀλυμπίᾳ, καὶ ἔπαυσε δίψει ἀπολ-
λυμένους τοὺς πανηγυριστὰς, κακῶς ἠγόρευεν
ὡς καταθηλύναντα τοὺς Ἕλληνας, δέον τοὺς
θεατὰς τῶν ὀλυμπίων διακαρτερεῖν διψῶντας,
καὶ νὴ Δία γε καὶ ἀποθνήσκειν πολλοὺς αὐτῶν ὑ-
πὸ σφοδρῶν τῶν νόσων, αἳ τέως διὰ τὸ ξηρὸν
τοῦ χωρίου, ἐν πολλῷ τῷ πλήθει ἐπεπόλα-
ζον. καὶ ταῦτα ἔλεγε, πίνων τοῦ αὐτοῦ ὕδα-
τος. ὡς δὲ μικροῦ κατέλευσαν αὐτὸν, ἐπιδρα-
μόντες ἅπαντες, τότε μὲν, ἐπὶ τὸν Δία κατα-
φυγὼν ὁ γενναῖος, εὕρετο μὴ ἀποθανεῖν. ἐς δὲ
τὴν ἑξῆς ὀλυμπιάδα, λόγον τινὰ διὰ τεττάρων
ἐτῶν συνθεὶς τῶν διὰ μέσου, ἐξήνεγκε πρὸς τοὺς

Ἑλλη

Ἕλληνας ἐπαινῶν, ὑπὲρ τοῦ ὕδωρ ἐπαγαγόντος, καὶ ἀπολογίαν ὑπὲρ τῆς τότε φυγῆς. ἤδη δὲ ἀμελούμενος ὑφ᾽ ἁπάντων, καὶ μηκέθ᾽ ὁμοίως περίβλεπτος ὤν, ἕωλα γὰρ ἦν ἅπαντα, καὶ οὐδὲν ἔτι καινουργεῖν ἐδύνατο, ἐφ᾽ ὅτῳ ἐκπλήξει τοὺς ἐντυγχάνοντας, καὶ θαυμάζειν, καὶ πρὸς αὐτὸν ἀποβλέπειν ποιήσει, οὗ πρὸς ἐξ ἀρχῆς δριμύν τινα ἔρωτα ἐρῶν ἐτύγχανε. τὸ τελευταῖον τοῦτο τόλμημα, ἐβουλεύσατο περὶ τῆς πυρᾶς, καὶ διέδωκε λόγον ἐν τοὺς Ἕλληνας εὐθὺς ἀπ᾽ ὀλυμπίων τῶν ἔμπροσθεν, ὡς ἐς τοὐπιὸν καύσων ἑαυτόν. καὶ νῦν αὐτὰ ταῦτα θαυματοποιεῖ, ὥς φασι βόθρον ὀρύττων, καὶ ξύλα συγκομίζων, καὶ δεινήν τινα τὴν καρτερίαν ὑπισχνούμενος. ἐχρῆν δὲ οἶμαι, μάλιστα μὲν περιμένειν τὸν θάνατον, καὶ μὴ δραπετεύειν ἐκ τοῦ βίου. εἰ δὲ καὶ πάντως διέγνωστό οἱ ἀπαλλάττεσθαι, μὴ πυρὶ, μηδὲ τοῖς ἀπὸ τῆς τραγῳδίας τούτοις χρῆσθαι, ἀλλ᾽ ἕτερόν τινα θανάτου τρόπον, μυρίων ὄντων, ἑλόμενον ἀπελθεῖν. εἰ δὲ καὶ τὸ πῦρ ὡς ἡράκλειόν τι ἀσπάζεται, τί δήποτε οὐχὶ κατὰ σιγὴν ἑλόμενος ὄρος εὔδενδρον, ἐν ἐκείνῳ ἑαυτὸν ἐνέπρησε μόνος, ἕνα τινὰ, οἷον θεαγένη τοῦτον φιλοκτήτην παραλαβών; ὁ δὲ ἐν ὀλυμπίᾳ, τῆς πανηγύρεως πληθούσης, μόνον οὐκ ἐπὶ σκηνῆς ὀπ-

πλήσει ἑαυτόν, οὐκ ἀνάξιος ὢν μὰ τὸν Ἡρακλέα,
εἴγε χρὴ καὶ τοὺς παραλοίας, καὶ τοὺς ἀθέους, δί-
κας διδόναι τῶν τολμημάτων. καὶ κατὰ τοῦτο
πάνυ ὀψὲ δρᾶν αὐτό μοι ἔοικεν. ὃν ἐχρῆν πάλαι ἐς
τὸν τοῦ Φαλάριδος ταῦρον ἐμπεσόντα, τὴν ἀ-
ξίαν ἀποτετικέναι, ἀλλὰ μὴ ἅπαξ χανόντα
πρὸς τὴν φλόγα, ἐν ἀκαρεῖ τεθνάναι. καὶ γὰρ αὖ καὶ
τόδε οἱ πολλοί μοι λέγουσιν, ὡς οὐδεὶς ὀξύτερος
ἄλλος θανάτου τρόπος τοῦ διὰ πυρός. ἀνοῖξαι γὰρ
δεῖ μόνον τὸ στόμα, καὶ αὐτίκα τεθνάναι. τὸ μέν
τοι θέαμα ἐπινοεῖται οἶμαι, ὡς σεμνόν, ἐν ἱερῷ χω-
ρίῳ καιόμενος ἄνθρωπος, ἔνθα μηδὲ θά-
πτειν ὅσιον τοὺς ἄλλους ἀποθνήσκοντας. ἀκούετε
δὲ οἶμαι, ὡς καὶ πάλαι θέλων τις ἔνδοξος γενέ-
σθαι, ἐπεὶ κατ᾽ ἄλλον τρόπον οὐκ εἶχεν ἐπιτυχεῖν
τούτου, ἐνέπρησε τῆς Ἐφεσίας Ἀρτέμιδος τὸν νε-
ών. τοιοῦτόν τι καὶ αὐτὸς ἐπινοεῖ. τοσοῦτος ἔ-
ρως τῆς δόξης ἐντέτηκεν αὐτῷ. καίτοι φησὶν
ὅτι ὑπὲρ τῶν ἀνθρώπων αὐτὸ δρᾷ, ὡς διδάξειεν
αὐτοὺς θανάτου καταφρονεῖν, καὶ ἐγκαρτερεῖν
τοῖς δεινοῖς. ἐγὼ δὲ ἡδέως ἂν ἐροίμην οὐκ ἐκεῖ-
νον, ἀλλ᾽ ὑμᾶς, εἰ καὶ τοὺς κακούργους βούλοισθε
ἂν μαθητὰς αὐτοῦ γενέσθαι τῆς καρτερίας
ταύτης, καὶ καταφρονεῖν θανάτου, καὶ κακώσεως,
καὶ τῶν τοιούτων δειμάτων. ἀλλ᾽ οὐκ ἂν εὖ
οἶδ᾽ ὅτι

οἱ δ' ὅτι βελτιωθείητε. πῶς οὖν ὁ Πρωτεὺς οὗτος διακρίνει, καὶ τοὺς μὲν χρηστοὺς ὠφελήσει, τοὺς δὲ πονηροὺς οὐ φιλοκινδυνοτέρους, καὶ τολμηροτέρους ἀποφανεῖ; καίτοι δυνατὸν ἔστω ἐς τούτους μόνους ἀπαντήσεσθαι τοὺς πρὸς τὸ ὠφέλιμον ὀψομένους τὸ πρᾶγμα. ὑμᾶς δ' οὖν αὖθις ἐρήσομαι, δέξαισθ' ἂν ὑμῶν τοὺς παῖδας ζηλωτὰς τοῦ τοιούτου γενέσθαι; οὐκ ἂν εἴποιτε. καὶ τί τοῦτο ἠρόμην, ὅπου μηδ' αὐτῶν τις τῶν μαθητῶν αὐτοῦ ζηλώσειεν ἄν; τὸν γοῦν Θεαγένη, τοῦτο μάλιστα αἰτιάσαιτο ἄν τις, ὅτι τἆλλα ζηλῶν τἀνδρὸς, οὐχ ἕπεται τῷ διδασκάλῳ, καὶ συνοδεύει παρὰ τὸν Ἡρακλέα ὥς φησιν ἀπιόντι, δυνάμενος ἐν βραχεῖ πανευδαίμων γενέσθαι, καὶ συμπεσὼν ἐπὶ κεφαλῆς ἐς τὸ πῦρ. οὐ γὰρ ἐν πήρᾳ, καὶ βάκτρῳ, καὶ τρίβωνι ὁ ζῆλος. ἀλλὰ ταῦτα μὲν, ἀσφαλῆ, καὶ ῥᾴδια, καὶ παντὸς ἂν εἴη. τὸ τέλος δὲ, καὶ τὸ κεφάλαιον χρὴ ζηλοῦν, καὶ πυρὰν συνθέντα κορμῶν συκίνων. ὡς ἔνι μάλιστα χλωρῶν, ἐναποπνιγῆναι τῷ καπνῷ. τὸ πῦρ γὰρ αὐτὸ, οὐ μόνον Ἡρακλέους, καὶ Ἀσκληπιοῦ, ἀλλὰ καὶ τῶν ἱεροσύλων, καὶ ἀνδροφόνων, οὓς ὁρᾶν ἔστιν ἐκ καταδίκης αὐτὸ πάσχοντας. ὥστε ἄμεινον τὸ διὰ τοῦ καπνοῦ. ἴδιον γὰρ καὶ ὑμῶν μόνων ἂν γένοιτο. ἄλλως τε, ὁ μὲν Ἡρακλῆς, εἴπερ ἄρα

ὃ ἐτόλμησέ τι περιοῦργον, ὑπὸ νόσου αὐτὸ ἔδρασεν, ὑπὸ τοῦ κενταυρείου αἵματος ὥς φησιν ἡ τραγῳδία κατεσθιόμενος. οὗτος δὲ τίνος αἰτίας ἕνεκεν ἐμβάλλει φέρων ἑαυτὸν εἰς τὸ πῦρ; νὴ Δί' ὅπως τὴν καρτερίαν ἐπιδείξηται, καθάπερ οἱ Βραχμᾶνες. ἐκείνοις γὰρ ἑαυτὸν ἠξίου Θεαγένης εἰκάζειν, ὥσπερ οὐκ ἐνὸν καὶ ἐν Ἰνδοῖς εἶναί τινας μωροὺς, καὶ κενοδόξους ἀνθρώπους. ὅμως δ' οὖν, κἂν ἐκείνους μιμείσθω. ἐκεῖνοι γὰρ οὐκ ἐμπηδῶσιν εἰς τὸ πῦρ, ὡς Ὀνησίκριτος ὁ Ἀλεξάνδρου κυβερνήτης, ἰδὼν Κάλανον καόμενον φησίν. ἀλλ' ἐπειδὰν νήσωσι, πλησίον παραστάντες ἀκίνητοι, ἀνέχονται παροπτώμενοι. εἶτ' ἐπιβάντες κατὰ σχῆμα, καίονται, οὐδ' ὅσον ὀλίγον ἐντρέψαντες τῆς κατακλίσεως. οὗτος δὲ τί μέγα, εἰ ἐμπεσὼν τεθνήξεται, συναρπασθεὶς ὑπὸ τοῦ πυρός; οὐκ ἀπ' ἐλπίδος μὴ ἀναπηδήσεσθαι αὐτὸν, καὶ ἡμίφλεκτον, εἰ μὴ ὅπερ φασὶ μηχανήσεται, βαθεῖαν γενέσθαι, καὶ ἐν βόθρῳ τὴν πυράν. εἰσὶ δ' οἳ καὶ μεταβάλλεσθαι φασὶν αὐτὸν, καί τινα ὀνείρατα διηγεῖσθαι, ὡς τοῦ Διὸς οὐκ ἐῶντος μιαίνειν ἱερὸν χωρίον. ἀλλὰ θαρρείτω τούτου γε ἕνεκα. ἐγὼ γὰρ διομοσαίμην ἄν, ἦ μὴν μηδένα τῶν θεῶν ἀγανακτήσειν, εἰ Περεγρῖνος κακῶς ἀποθάνοι. οὐ μὴν οὐδὲ ῥᾴδιον αὐτῷ ἔτ' ἀ-

ναδῦ

ναδῦναι. οἱ γὰρ ζῶντες κύνες, παρορμῶσι, καὶ ξυνωθοῦσιν ἐς τὸ πῦρ, καὶ ὑπεκκαίουσι τὴν γνώμην, οὐκ ἐῶντες ἀποδειλιᾶν. ὧν εἰ δύο συγκαταπάσας ἐμπέσοι εἰς τὴν πυράν, τοῦτο μόνον χαρίεν ἐργάσαιτο. ἤκουον δὲ, ὡς οὐδὲ Πρωτεὺς ἔτι καλεῖσθαι ἀξιοῖ, ἀλλὰ Φοίνικα μετωνόμασεν ἑαυτὸν, ὅτι καὶ Φοῖνιξ τὸ ἰνδικὸν ὄρνεον ἐπιβαίνειν πυρᾶς λέγεται, πορρωτάτω γήρως προβεβηκώς. ἀλλὰ καὶ λογοποιεῖ, καὶ χρησμούς τινας διέξεισι παλαιοὺς δὴ, ὡς χρεὼν εἴη δαίμονα νυκτοφύλακα γενέσθαι αὐτόν. καὶ δῆλός ἐστι βωμῶν ἤδη ἐπιθυμῶν, καὶ χρυσοῦς ἀναστήσεσθαι ἐλπίζων. καὶ μὰ Δία οὐδὲν ἀπεικὸς ἐν τοῖς πολλοῖς τοῖς ἀνοήτοις εὑρεθήσεσθαί τινας τοὺς καὶ τεταρταίων ἀπηλλάχθαι δι' αὐτοῦ φήσοντας, καὶ νύκτωρ ἐντετυχηκέναι τῷ δαίμονι τῷ νυκτοφύλακι. οἱ κατάρατοι δὲ οὗτοι μαθηταὶ αὐτοῦ, καὶ χρηστήριον οἶμαι, καὶ ἄδυτον ἐπὶ τῇ πυρᾷ μηχανήσονται, διότι καὶ Πρωτεὺς ἐκεῖνος ὁ Διός, ὁ προπάτωρ τοῦ ὀνόματος, μαντικὸς ἦν. μαρτύρομαι δὲ, ἦ μὴν καὶ ἱερέας αὐτοῦ ἀποδειχθήσεσθαι, μαστίγων, ἢ καυτηρίων, ἤ τινος τοιαύτης τερατουργίας, ἢ καὶ νὴ Δία τελετήν τινα ἐπ' αὐτῷ συστήσεσθαι νυκτέριον, καὶ δᾳδουχίαν ἐπὶ τῇ πυρᾷ. Θεαγένης δὲ ἔναγχος,

ὥς μοί τις τῶν ἑταίρων ἀπήγγειλε, καὶ Σιβύλ-
λαν ἔφη προειρηκέναι περὶ τούτων. καὶ τὰ ἔπη
,, γε ἀπεμνημόνευεν. Ἀλλ' ὁπόταν Πρωτεὺς
,, κυνικῶν ὄχ' ἄριστος ἁπάντων, Ζηνὸς ἐριγδού-
,, που τέμενος κατὰ πῦρ ἀνακαύσας, ἐς φλό-
,, γα πηδήσας, ἔλθῃ ἐς μακρὸν Ὄλυμπον, δὴ τό-
,, τε πάντας ὁμῶς, οἳ ἀρούρης καρπὸν ἔδουσι,
,, Νυκτιπόλον τιμᾶν κέλομαι ἥρωα μέγιστον,
,, Σύνθρονον Ἡφαίστῳ, καὶ Ἡρακλῆϊ ἄνακτι.

Ταῦτα μὲν Θεαγένης Σιβύλλης ἀκηκοέναι
φησίν. ἐγὼ δέ, Βάκιδος αὐτῷ χρησμὸν ὑπὲρ
τούτων ἐρῶ. φησὶ δέ, ὁ Βάκις οὕτω σφόδρα εὖ
,, ἐπειπών, Ἀλλ' ὁπόταν κυνικὸς πολυώνυμος
,, ἐς φλόγα πολλὴν πηδήσῃ δόξης ὑπ' ἐριννύϊ
,, θυμὸν ὀρινθείς, δὴ τότε τοὺς ἄλλους κυναλώ-
,, πεκας, οἵ οἱ ἕπονται, Μιμεῖσθαι χρὴ πότμον
,, ἀποιχομένοιο λύκοιο. Ὃς δέ κε δειλὸς ἐών,
,, φεύγει μένος Ἡφαίστοιο, λάεσσι βαλλέειν τοῦτον
,, τάχα πάντας Ἀχαιούς, Ὡς μὴ ψυχρὸς ἐὼν
,, θερμηγορέειν ἐπιχειρῇ, χρυσῷ σαξάμενος πήρην
,, μάλα πολλὰ δανείζων, ἐν καλαῖς πάτραισιν
,, ἔχων τρὶς πέντε τάλαντα. Τί ὑμῖν δοκεῖ ἄν-
δρες; ἆρα φαυλότερος χρησμολόγος ὁ Βάκις
τῆς Σιβύλλης εἶναι; ὥστε ὥρα τοῖς θαυμαστοῖς
τούτοις ὁμιληταῖς τοῦ Πρωτέως, περισκοπεῖν
ἔνθ

ἔνθα ἑαυτὸν ἐξαερώσειεν. οὕτω γὰρ τὴν καῦσιν
καλοῦσι. Ταῦτ᾽ εἰπόντος, ἀνεβόησαν οἱ περιε-
στῶτες ἅπαντες, ἤδη καιέσθωσαν, ἄξιοι τοῦ πυ
ρός. Καὶ ὁ μὲν, κατέβη γελῶν, Νέστορα δ᾽ οὐκ ἔ
λαθεν ἰαχὴ τὸν Θεαγένη. ἀλλ᾽ ὡς ἤκουσε τῆς
βοῆς, ἧκεν εὐθύς. καὶ ἀναβάς, ἐκεκράγει, καὶ μυρία
κακὰ διεξῄει περὶ τοῦ καταβεβηκότος. οὐ γὰρ
οἶδα ὅστις ὁ βέλτιστος ἐκεῖνος ἐκαλεῖτο. ἐγὼ
δὲ ἀφεὶς αὐτὸν διαῤῥηγνύμενον, ἀπῄειν ὀψόμε
νος τοὺς ἀθλητάς. ἤδη γὰρ οἱ ἑλλανοδίκαι ἐ
λέγοντο εἶναι ἐν τῷ πληθρίῳ. ταῦτα μέν σοι τὰ
ἐν Ἤλιδι. ἐπεὶ δὲ εἰς τὴν ὀλυμπίαν ἀφικόμε
θα, μεστὸς ἦν ὁ ὀπισθόδομος τῶν κατηγορούν
των Πρωτέως, ἢ ἐπαινούντων τὴν προαίρεσιν
αὐτοῦ. ὥστε καὶ εἰς χεῖρας αὐτῶν ἦλθον οἱ πολ
λοί, ἄχρι δὴ παρελθὼν αὐτὸς ὁ Πρωτεὺς μυ
ρίῳ τῷ πλήθει παραπεμπόμενος, κατόπιν τοῦ
τῶν κηρύκων ἀγῶνος, λόγους τινὰς διεξῆλθε
περὶ αὑτοῦ, τόν βίον τε ὡς ἐβίω, καὶ τοὺς κινδύ
νους, οὓς ἐκινδύνευσε διηγούμενος, καὶ ὅσα πρά
γματα φιλοσοφίας ἕνεκα ὑπέμεινε. τὰ μὲν
οὖν εἰρημένα, πολλὰ ἦν. ἐγὼ δὲ ὀλίγων ἤκουσα
ὑπὸ πλήθους τῶν περιεστώτων εἶτα φοβηθεὶς
μὴ συντριβείην ἐν τοσαύτῃ τύρβῃ, ἐπεὶ καὶ πολ
λοὺς τοῦτο πάσχοντας ἑώρων, ἀπῆλθον, μακρὰν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χαίρειν φάσας θανατιῶντι σοφιστῇ, τὸν ἐπιτά
φιον ἑαυτοῦ πρὸ τελευτῆς διεξιόντι. πλὴν τό
γε προοίμιον ἐπήκουσα. ἔφη γὰρ βούλεσθαι χρυσῷ
βίῳ χρυσῆν κορώνην ἐπιθεῖναι. χρῆναι γὰρ τὸν ἡ
ρακλείως βεβιωκότα, ἡρακλείως ἀποθανεῖν,
καὶ ἀναμιχθῆναι τῷ αἰθέρι. καὶ ὠφελῆσαι ἔφη
βούλομαι τοὺς ἀνθρώπους, δείξας αὐτοῖς ὃν χρὴ
τρόπον θανάτου καταφρονεῖν. πάντας οὖν δεῖ μοι
τοὺς ἀνθρώπους φιλοκτήτας γενέσθαι. οἱ
μὲν οὖν ἀνοητότεροι τῶν ἀνθρώπων, ἐδάκρυον,
καὶ ἐβόων, σώζου τοῖς ἕλλησιν. οἱ δὲ ἀνδρωδέ
στεροι, ἐκεκράγεισαν, τέλει τὰ δεδογμένα. ὑφ'
ὧν ὁ πρεσβύτης οὐ μετρίως ἐθορυβήθη, ἐλπί
ζων πάντας ἕξεσθαι αὐτοῦ, καὶ μὴ προήσεσθαι
τῷ πυρί, ἀλλὰ ἄκοντα δὴ καθέξειν ἐν τῷ βί
ῳ. τὸ δὴ τέλει τὰ δεδογμένα, ἀδόκητον αὐ-
τῷ προσπεσὸν, ὠχριᾶν μᾶλλον ἐποίησε. καίτοι
ἤδη νεκρικῶς τὴν χροιὰν ἔχοντι, καὶ νὴ Δία καὶ
ὑποτρέμειν. ὥστε κατέπαυσε τὸν λόγον. ἐγὼ
δὲ, εἰκάζεις οἶμαι πῶς ἐγέλων. οὐδὲ γὰρ ἐλε
εῖν ἄξιον ἦν, οὕτω δυσέρωτα τῆς δόξης ἄνθρω-
πον ὑπὲρ ἅπαντας, ὅσοι τῇ αὐτῇ ποινῇ ἐλαύ
νονται. προεπέμπετο δὲ ὅμως ὑπὸ πολλῶν,
καὶ ἐνεφορεῖτο τῆς δόξης, ἀποβλέπων ἐς τὸ πλῆ
θος τῶν θαυμαζόντων, οὐκ εἰδὼς ὁ ἄθλιος, ὅτι

καὶ

καὶ τοῖς ἐπὶ τὸν σταυρὸν ἀπαγομένοις, ἢ ὑπὸ τοῦ
δημίου ἐχομένοις, πολλῷ πλείους ἕπονται. ἐπεὶ
δὲ τὰ μὲν ὀλύμπια, τέλος εἶχε, κάλλιστα ὀ
λυμπίων γενόμενα, ὧν ἐγὼ εἶδον, τετράκις ἤ-
δη ὁρῶν. ἐγὼ δέ, οὐ γὰρ ἦν εὐπορῆσαι ὀχήματος
ἅμα πολλῶν ἐξιόντων, ἄκων ὑπελιπόμην. ὁ
δέ, ἀεὶ ἀναβαλλόμενος, νύκτα τὴν τελευταίαν
προειρήκει ἐπιδείξασθαι τὴν καῦσιν. καί με τῶν ἑταί
ρων τινὸς παραλαβόντος περὶ μέσας νύκτας,
ἐξαναστάς, ἀπῄειν εὐθὺ τῆς ἁρπίνης, ἔνθα ἦν ἡ πυ
ρά. στάδιοι πάντες οὗτοι εἴκοσιν ἀπὸ τῆς ὀλυμπί
ας κατὰ τὸν ἱππόδρομον, ἀπιόντων πρὸς ἕω.
καὶ ἐπεὶ τάχιστα ἀφικόμεθα, καταλαμβάνομεν
πυρὰν νενησμένην ἐν βάθει, ὅσον ἐς ὀργυιὰν τὸ βά
θος. δᾷδες ἦσαν τὰ πολλά. καὶ παρεβέβυστο τῶν φρυ
γάνων, ὡς ἀναφθείη τάχιστα. καὶ ἐπειδὴ ἡ σε
λήνη ἀνέτελλεν, ἔδει γὰρ κἀκείνην θεάσασθαι
τὸ κάλλιστον τοῦτο ἔργον, πρόεισιν ἐκεῖνος ἐσκευα
σμένος ἐς τὸν ἀεὶ τρόπον, καὶ ξὺν αὐτῷ τὰ τέλη
τῶν κυνῶν. καὶ μάλιστα ὁ γεννάδας ὁ ἐκ Πατρῶν,
δᾷδα ἔχων, οὐ φαῦλος δευτεραγωνιστής. ἐδα
δοφόρει δὲ καὶ ὁ Πρωτεύς. καὶ προσελθόντες,
ἄλλος ἀλλαχόθεν ἀνῆψαν τὸ πῦρ μέγιστον, ἅ
τε ἀπὸ δᾴδων, καὶ φρυγάνων. ὁ δέ, καί μοι πάνυ
ἤδη πρόσεχε τὸν νοῦν, ἀποθέμενος τὴν πήραν,

καὶ τὸ τριβώνιον, καὶ τὸ ἡράκλειον ἐκεῖνο ῥόπα-
λον, ἔστη ἐν ὀθόνῃ ῥυπώσῃ ἀκριβῶς. εἶτα ᾔτει
λιβανωτὸν ὡς ἐπιβάλοι ἐπὶ τὸ πῦρ. καὶ ἀνα-
δόντος τινὸς, ἐπέβαλέ τε, καὶ εἶπεν ἐς τὴν με-
σημβρίαν ἀποβλέπων, καὶ γὰρ καὶ τοῦτο πρὸς τὴν
τραγῳδίαν ἦν ἡ μεσημβρία, δαίμονες μητρῷοι,
καὶ πατρῷοι, δέξασθέ με εὐμενεῖς. ταῦτα εἰ-
πὼν, ἐπήδησεν εἰς τὸ πῦρ. οὐ μὴν ἑωρᾶτό γε,
ἀλλὰ περιεσχέθη ὑπὸ τῆς φλογὸς, πολλῆς
ἠρμένης. αὖθις ὁρῶ γελῶντα σε ὦ καλὲ Κρό-
νιε, τὴν καταστροφὴν τοῦ δράματος. ἐγὼ δὲ τοὺς
μητρῴους μὲν δαίμονας ἐπιβοώμενον, μὰ τὸν δί'
οὐ σφόδρα ᾐτιώμην. ὅτε δὲ καὶ τοὺς πατρῴους ἐ-
πεκαλέσατο, ἀναμνησθεὶς τῶν περὶ τοῦ φόνου
εἰρημένων, οὐδὲ κατέχειν ἠδυνάμην τὸν γέ-
λωτα. οἱ κυνικοὶ δὲ περιστάντες τὴν πυρὰν,
οὐκ ἐδάκρυον μὲν, σιωπῇ δὲ ἐνεδείκνυντο λύπην
τινὰ, εἰς τὸ πῦρ ὁρῶντες, ἄχρι δή με ἀποπνιγεὶς
ἐπ' αὐτοῖς, ἀπίωμεν φημὶ ὦ μάταιοι. οὐ γὰρ
ἡδὺ τὸ θέαμα ὠπτημένον γέροντα ὁρᾶν, κνίσης
ἀναπιμπλαμένους πονηρᾶς. ἢ περιμένετε ἔστ'
ἂν γραφεύς τις ἐπελθὼν, ἀπεικάσῃ ὑμᾶς, οἵ-
ους τοὺς ἐν τῷ δεσμωτηρίῳ ἑταίρους τῷ Σωκρά-
τει παραγράφουσιν; ἐκεῖνοι μὲν οὖν ἠγανάκτουν,
καὶ ἐλοιδοροῦντό μοι. ἔνιοι δὲ, καὶ ἐπὶ τὰς βακτηρί-

ας ἦξαν. εἶτα ἐπειδὴ ἠπείλησα ξυναρπάσας τινὰς ἐμβαλεῖν εἰς τὸ πῦρ, ὡς ἂν ἕποιντο τῷ διδασκάλῳ, ἐπαύσαντο, καὶ εἰρήνην ἦγον. ἐγὼ δὲ ἐπανιὼν, ποικίλως ἑταῖρε πρὸς ἐμαυτὸν ἐνενόουν τὸ φιλόδοξον, οἷόν τι ἐστὶν ἀναλογιζόμενος, ὡς μόνος οὗτος ὁ ἔρως ἄφυκτος, καὶ τοῖς πάνυ θαυμαστοῖς εἶναι δοκοῦσιν, οὐχ ὅπως ἐκείνῳ τἀνδρὶ, καὶ τἆλλα ἐμπλήκτως, καὶ ἀπονενοημένως βεβιωκότι, καὶ οὐκ ἀναξίως τοῦ πυρός. εἶτα ἐνετύγχανον πολλοῖς ἀπιοῦσιν, ὡς θεάσαιντο καὶ αὐτοί. ᾤοντο γὰρ ἔτι καταλήψεσθαι ζῶντα αὐτόν. καὶ γὰρ καὶ τόδε τῇ προτεραίᾳ διεδέδοτο, ὡς πρὸς ἀνίσχοντα τὸν ἥλιον ἀσπασάμενος. ὥσπερ ἀμέλει καὶ τοὺς Βραχμᾶνας φασὶ ποιεῖν ἐπιβήσεται τῆς πυρᾶς. ἀπέστρεφον δ' οὖν τοὺς πολλοὺς αὐτῶν, λέγων ἤδη τετελέσθαι τὸ ἔργον, οἷς μὴ καὶ τοῦτ' αὐτὸ περισπούδαστον ἦν, κἂν αὐτὸν ἰδεῖν τὸν τόπον, καί τι λείψανον καταλαμβάνειν τοῦ πυρός. ἔνθα δὴ ὦ ἑταῖρε, μυρία πράγματα εἶχον, ἅπασι διηγούμενος καὶ ἀνακρίνουσι, καὶ ἀκριβῶς ἐκπυνθανομένοις. εἰ μὲν οὖν ἴδοιμί τινα χαρίεντα, ψιλὰ ἂν ὥσπερ σοὶ τὰ πραχθέντα διηγούμην. πρὸς δὲ τοὺς βλάκας, καὶ πρὸς τὴν ἀκρόασιν κεχηνότας, ἐτραγῴδουν τι παρ' ἐμαυτοῦ, ὡς ἐπειδὴ ἀνήφθη μὲν ἡ πυρά, ἐνέβαλε δὲ φέρων



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἑαυτὸν ὁ Πρωτεὺς, σεισμοῦ πρότερον μεγάλου γενομένου, σὺν μυκηθμῷ τῆς γῆς, γὺψ ἀναπτάμενος ἐκ μέσης τῆς φλογὸς, οἴχοιτο ἐς τὸν οὐρανὸν, ἀνθρωπίνῃ μεγάλῃ τῇ φωνῇ λέγων, ἔλιπον γᾶν, βαίνω δ' ἐς Ὄλυμπον. ἐκεῖνοι μὲν οὖν ἐτεθήπεσαν, καὶ προσεκύνουν, ὑποφρίττοντες. καὶ ἀνέκρινόν με λέγοντες, πότερον, πρὸς ἕω, ἢ πρὸς δυσμὰς ἐνεχθείη ὁ γύψ; ἐγὼ δὲ τὸ ἐπελθὸν ἀπεκρινάμην αὐτοῖς. ἀπελθὼν δὲ ἐς τὴν πανήγυριν, ἐπέστην τινὶ πολιῷ ἀνδρὶ, καὶ νὴ τὸν Δί' ἀξιοπίστῳ τὸ πρόσωπον ἐπὶ τῷ πώγωνι, καὶ τῇ λοιπῇ σεμνότητι, τά τε ἄλλα διηγουμένῳ περὶ τοῦ Πρωτέως, καὶ ὡς μετὰ τὸ καυθῆναι, θεάσαιτο αὐτὸν ἐν λευκῇ ἐσθῆτι μικρὸν ἔμπροσθεν, καὶ νῦν ἀπολίποι περιπατοῦντα φαιδρὸν ἐν τῇ ἑπταφώνῳ στοᾷ, κοτίνῳ τε ἐστεμμένον. εἶτ' ἐπὶ πᾶσι προσέθηκε τὸν γῦπα διομνύμενος, ἦ μὴν αὐτὸς ἑωρακέναι ἀναπτάμενον ἐκ τῆς πυρᾶς, ὃν ἐγὼ μικρὸν ἔμπροσθεν ἀφῆκα πέτεσθαι, καταγελῶντα τῶν ἀνοήτων, καὶ βλακικῶν τὸν τρόπον. ἐννόει τὸ λοιπὸν οἷα εἰκὸς ἐπ' αὐτῷ γενήσεσθαι. ποίας μὲν οὐ μελίττας ἐπιστήσεσθαι ἐπὶ τὸν τόπον, τίνας δὲ τέττιγας οὐκ ἐπαπαγέσθαι, τίνας δὲ κορώνας οὐκ ἐπιπτήσεσθαι, καθάπερ ἐπὶ τὸν Ἡσιόδου τάφον, καὶ τὰ τοιαῦτα; εἰκόνας μὲν ἔτι πρά

πε

τε Ηλείων αὐτῶν, παρά τε τῶν ἄλλων Ἑλλή-
νων, οἷς καὶ ἐπεσταλκέναι ἔλεγεν, αὐτίκα μά-
λα οἶδα πολλὰς ἀναστησομένας. φασὶ δὲ πά-
σαις σχεδὸν ταῖς ἐνδόξοις πόλεσιν ἐπιστολὰς
διαπέμψαι αὐτόν, διαθήκας τινάς, καὶ παραι-
νέσεις, καὶ νόμους. καί τινας ἐπὶ τούτῳ πρεσβευ-
τὰς τῶν ἑταίρων ἐχειροτόνησε, νεκραγγέλους,
καὶ νερτεροδρόμους προσαγορεύσας. τοῦτο τέλος
τοῦ κακοδαίμονος Πρωτέως ἐγένετο, ἀνδρὸς ὡς
βραχεῖ λόγῳ περιλαβεῖν, πρὸς ἀλήθειαν μὲν
οὐδεπώποτε ἀποβλέψαντος, ἀεὶ δὲ δόξῃ δέ, καὶ
τῷ παρὰ τῶν πολλῶν ἐπαίνῳ, ἅπαντα εἰπόντος
ἀεί, καὶ πράξαντος, ὡς καὶ εἰς πῦρ ἁλέσθαι, ὅτε μη-
δὲ ἀπολαύειν τῶν ἐπαίνων ἔμελλεν, ἀναίσθητος
αὐτῶν γενόμενος. ἓν ἔτι σοι προσδιηγησάμενος
παύσομαι, ὡς ἔχῃς ἐπιπολὺ γελᾶν. ἐκεῖνα
μὲν γὰρ πάλαι οἶσθα εὐθὺς ἀκούσας μου, ὅτε ἥκων
ἀπὸ Συρίας διηγούμενος, ὡς ἀπὸ Τρῳάδος συμ-
πλεύσαιμι αὐτῷ, καὶ τήν τε ἄλλην τὴν ἐν τῷ
πλῷ τρυφήν, καὶ τὸ μειράκιον τὸ ὡραῖον, ὃ ἔπεισε
κυνίζειν, ὡς ἔχοι καὶ αὐτός τινα Ἀλκιβιάδην,
καὶ ὡς ἐπεὶ ταραχθείημεν τῆς νυκτὸς ἐν μέσῳ τῷ
αἰγαίῳ, γνόφου καταβάντος, καὶ κῦμα παμμέ-
γεθες ἐγείραντος, ἐκώκυε μετὰ τῶν γυναικῶν ὁ
θαυμαστός, καὶ θανάτου κρείττων εἶναι δοκῶν.

ἀλλὰ μικρὸν πρὸ τοῦ τέλους, πρὸ ἐννέα σχεδόν που ἡμερῶν, πλεῖον οἶμαι τοῦ ἱκανοῦ ἐμφαγὼν, ἤμεσέ τε τῆς νυκτὸς, καὶ ἑάλω πυρετῷ μάλα σφοδρῷ. ταῦτα δέ μοι Ἀλέξανδρος ὁ ἰατρὸς διηγήσατο, μετακληθεὶς ὡς ἐπισκοπήσειεν αὐτόν. ἔφη οὖν καταλαβεῖν αὐτὸν χαμαὶ κυλιόμενον, καὶ τὸν φλογμὸν οὐ φέροντα, καὶ ψυχρὸν αἰτοῦντα πάνυ ἐρωτικῶς, ἑαυτὸν δὲ μὴ δοῦναι. καίτοι εἰπεῖν ἔφη πρὸς αὐτὸν, ὡς εἰ πάντως θανάτου δέοιτο, ἥκειν αὐτὸν ἐπὶ τὰς θύρας αὐτόματον. ὥστε καλῶς ἔχειν ἕπεσθαι, μηδὲν τοῦ πυρὸς δεόμενον. τὸν δ᾽ αὖ φάναι, ἀλλ᾽ οὐχ ὁμοίως ἔνδοξος ὁ τρόπος γένοιτ᾽ ἂν, πᾶσι κοινὸς ὤν. ταῦτα μὲν ὁ Ἀλέξανδρος. ἐγὼ δὲ, οὐδ᾽ αὐτὸς πρὸ πολλῶν ἡμερῶν εἶδον αὐτὸν ἐγκεχρισμένον, ὡς ἀποδακρύσειε τῷ δριμεῖ φαρμάκῳ. ὁρᾷς; οὐ πάνυ τοὺς ἀμβλυώττοντας ὁ Αἰακὸς παραδέχεται. ὅμοιον ὡς εἴ τις ἐπὶ σταυρὸν ἀναβήσεσθαι μέλλων, τὸ ἐν τῷ δακτύλῳ πρόσπταισμα θεραπεύοι. τί σοι δοκεῖ ὁ Δημόκριτος εἰ ταῦτα εἶδε; κατ᾽ ἀξίαν γελάσαι ἂν ἐπὶ τῷ ἀνδρί. καίτοι πόθεν εἶχεν ἐκεῖνος τοσοῦτον γέλωτα; σὺ δ᾽ οὖν ὦ φιλότης, γέλα καὶ αὐτός. καὶ μάλιστα ὁπόταν τῶν ἄλλων ἀκούσῃς θαυμαζόντων αὐτόν.

## ΔΡΑΠΕΤΑΙ. ΑΠΟΛΛΩΝ.

Ἀληθῆ ταῦτά φασι πάτερ, ὡς ἐμβάλοι τις αὑτὸν φέρων εἰς τὸ πῦρ, κατέναντι ὀλυμπίων, ἤδη πρεσβύτης ἄνθρωπος, οὐκ ἀγεννὴς θαυματοποιὸς τὰ τοιαῦτα; ἡ σελήνη γὰρ ἡμῖν διηγεῖτο, αὐτὴ ἑωρακέναι καιόμενον λέγουσα. Ζ. καὶ πάνυ ἀληθῆ ὦ Ἄπολλον. ὡς μήποτε γενέσθαι ὤφελεν. Ἀπό. οὕτω χρηστὸς ὁ γέρων ἦν, καὶ ἀνάξιος ἐν πυρὶ ἀπολωλέναι; Ζ. καὶ τοῦτο μὲν ἴσως. ἀλλ' ἐγὼ πολλὴν μὲν τὴν ἀηδίαν μέμνημαι ἀνασχόμενος τότε ὑπὸ κνίσης πονηρᾶς, οἵαν εἰκὸς ἀποφέρεσθαι ὀπτομένων ἀνθρωπίνων σωμάτων. εἰ γοῦν μὴ εἰς τὴν Ἀραβίαν ὡς εἶχον εὐθὺς ἀπιὼν ᾠχόμην, ἀπολώλειν ἂν εὖ ἴσθι ἀπὸ τοῦ καπνοῦ. καὶ ὅμως ἐν τοσαύτῃ εὐωδίᾳ καὶ ἀφθονίᾳ τῶν ἀρωμάτων, καὶ ἐν λιβανωτῷ παμπόλλῳ, μόλις αἱ ῥῖνες ἐπιλαθέσθαι μοι, καὶ ἀπομαθεῖν ἤθελον τὴν κηλῖδα ἐκείνην τῆς ὀσμῆς. ἀλλὰ καὶ νῦν ὀλίγου δέω ναυτιᾶν, ὑπομνησθεὶς αὐτῆς. Ἀπό. τί δὲ βουλόμενος ὦ Ζεῦ, τοιαῦτα εἴργασται ἑαυτόν; ἢ τί τὸ ἀγαθόν, ἀπανθρακωθῆναι ἐμπεσὼν εἰς τὴν πυράν; Ζ. τοῦτο μὲν οὐκ ἂν ὦ παῖ φθάνοις καὶ Ἐμπεδοκλεῖ πρὸ αὐτοῦ ἐγκαλῶν. ὃς ἐς τοὺς κρατῆρας ἥλατο καὶ αὐτὸς ἐν Σικελίᾳ. Ἀπό. μελαγχολίαν τινὰ δεινὴν λέγεις. αὐτὰρ οὗτος γε τίνα ποτὲ ἄρα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν αἰτίαν ἔχει τῆς ἐπιθυμίας; Ζ. αὐτὴ σοὶ λόγον ἐρῶ, ὃν ἔλεξε πρὸς τὴν πανήγυριν, ἀπολογούμενος πρὸς αὐτοὺς ὑπὲρ τῆς τελευτῆς. ἔφη γὰρ εἴγε μέμνημαι, ἀλλὰ τίς αὕτη σπουδῇ πρόσεισι τεταραγμένη, καὶ δακρύουσα, πάνυ ἀδικουμένῃ ἐοικυῖα; μᾶλλον δὲ φιλοσοφία ἐστὶ, καὶ τοὔνομά γε τοὐμὸν ἐπιβοᾶται σχετλιάζουσα. τί ὦ θύγατερ δακρύεις; ἢ τί ἀπολιποῦσα τὸν βίον ἐλήλυθας; ἆρα μὴ οἱ ἰδιῶται αὖθις ἐπιβεβουλεύκασί σοι ὡς τὸ πρόσθεν, ὅτε τὸν Σωκράτη ἀπέκτειναν ὑπὸ Ἀνύτου κατηγορηθέντα; εἶτα φεύγεις διὰ τοῦτο αὐτούς; Φι. οὐδὲν τοιοῦτον ὦ πάτερ. ἀλλ' ἐκεῖνοι μὲν, ὁ πολὺς λεὼς, ἐπῄνουν, καὶ διὰ τιμῆς ἦγον αἰδούμενοι, καὶ θαυμάζοντές με, καὶ μονονουχὶ προσκυνοῦντες, εἰ καὶ μὴ σφόδρα ξυνίεσαν ὧν λέγοιμι. οἱ δὲ, πῶς ἂν εἴποιμι, οἱ ξυνήθεις, καὶ φίλοι φάσκοντες εἶναι, καὶ τοὔνομα τοὐμὸν ὑποδυόμενοι, ἐκεῖνοί με τὰ δεινότατα εἰργάσαντο. Ζ. οἱ φιλόσοφοι ἐπιβουλὴν εἶναι ἐπιβεβουλεύκασί σοι; Φι. οὐδαμῶς ὦ πάτερ, οἵγε ξυνηδίκηνταί μοι καὶ αὐτοί. Ζ. πρὸς τίνων οὖν ἠδίκησαι, εἰ μήτε τοὺς ἰδιώτας, μήτε τοὺς φιλοσόφους αἰτιᾷ; Φι. εἰσί τινες ὦ Ζεῦ, ἐν μεταιχμίῳ τῶν τε πολλῶν, καὶ τῶν φιλοσοφούντων, τὸ μὲν σχῆμα, καὶ βλέμ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βλέμμα, καὶ βάδισμα, ἡμῖν ὅμοιοι, καὶ κατὰ ταυτὰ ἐσταλμένοι. ἀξιοῦσι γοῦν ὑπ' ἐμοὶ τάττεσθαι. καὶ τοὔνομα τὸ ἡμέτερον ἐπιγράφονται, μαθηταὶ, καὶ ὁμιληταὶ, καὶ θιασῶται ἡμῶν εἶναι λέγοντες. ὁ βίος δὲ αὐτῶν, παμμίαρος, ἀμαθίας, καὶ θράσους, καὶ ἀσελγείας ἀνάπλεως. ὕβρεις οὐ μικρὰ καθ' ἡμῶν. ὑπὸ τούτων ὦ πάτερ, ἠδικημένη πέφευγα. Ζ. δεινὰ ταῦτα ὦ θύγατερ. ἀλλὰ τί μάλιστα ἠδικήκασί σε; Φι. σκόπει ὦ πάτερ, εἰ μικρά. σὺ γὰρ κατιδὼν τὸν βίον ἀδικίας, καὶ παρανομίας μεστὸν, ἅτε ἀμαθίας, καὶ ὕβρεως ξυνόντα, καὶ ταραττόμενον ὑπ' αὐτῶν, κατελεήσας τὸ ἀνθρώπινον ὑπὸ τῇ ἀγνοίᾳ ἐλαυνόμενον, ἐμὲ κατέπεμψας, ἐντειλάμενος ἐπιμεληθῆναι, ὡς παύσαιντο μὲν ἀδικοῦντες ἀλλήλους, καὶ βιαζόμενοι, καὶ ὅμοια τοῖς θηρίοις βιοῦντες, ἀναβλέψαντες δὲ πρὸς τὴν ἀλήθειαν, εἰρηνικώτερον ξυμπολιτεύοιντο. ἔφης γοῦν πρός με καταπέμπων, ἃ μὲν πράττουσιν ἄνθρωποι, καὶ ὡς διάκεινται ὑπὸ τῆς ἀμαθίας ὦ θύγατερ, καὶ αὐτὴ ὁρᾷς. ἐγὼ δὲ, ἐλεῶ γὰρ αὐτοὺς, σὲ, ἡγοῦμαι μόνην ἰάσασθαι ἂν τὰ γιγνόμενα οἶμαι, προκρίνασα δὴ ἁπάντων ἡμῶν, πέμπω ἰασομένην. Ζ. οἶδα πολλὰ καὶ τοιαῦτα εἰπὼν τότε. σὺ δὲ τὰ μετὰ ταῦτα ἤδη λέγε, ὅπως μὲν ἀπεδέξαν

τὸ σὲ καταπεπλησμένην τοσούτων, ἅτινα δὲ νῦν ὑπ' αὐτῶν πέπονθας. ΦΙ. ἦρξα μὲν ὦ πάτερ, οὐκ εὐθὺς ἐς τοὺς Ἕλληνας, ἀλλ' ὅπερ ἐδόκει μοι χαλεπώτερον τοῦ ἔργου εἶναι, τοὺς βαρβάρους παιδεύειν, καὶ διδάσκειν, τοῦτο πρῶτον ἠξίουν ἐργάσασθαι. τὸ ἑλληνικὸν δὲ εἴων ὡς ῥᾷστον ὑποβαλέσθαι, καὶ τάχιστα, ὥσ γε ᾤμην ἐνδεξόμενον τὸν χαλινὸν οἷόν τε, καὶ ὑπαχθησόμενον τῷ ζυγῷ, ὁρμήσασα εἰς Ἰνδοὺς τὸ πρῶτον, ἔθνος μέγιστον τῶν ἐν τῷ βίῳ, οὐ χαλεπῶς ἔπεισα καταβάντας ἀπὸ τῶν ἐλεφάντων ἐμοὶ συνεῖναι. ὥστε καὶ γένος ὅλον οἱ Βραχμᾶνες τοῖς Νεχραίοις, καὶ Ὀξυδράκαις ὅμοροι, οὗτοι πάντες ὑπ' ἐμοὶ τάττονται, καὶ βιοῦσί τε κατὰ τὰ ἡμῖν δοκοῦντα, τιμώμενοι πρὸς τῶν περιοίκων ἁπάντων. καὶ ἀποθνήσκουσι παράδοξόν τινα τοῦ θανάτου τρόπον. Ζ. τοὺς γυμνοσοφιστὰς λέγεις; ἀκούω γοῦν τά τε ἄλλα περὶ αὐτῶν, καὶ ὅτι ἐπὶ πυρὰν μεγίστην ἀναβάντες, ἀνέχονται καιόμενοι οὐδὲν τοῦ σχήματος, ἢ τῆς καθέδρας ἐκτρέποντες. ἀλλ' οὐ μέγα τοῦτο. ἔναγχος γοῦν καὶ ὀλυμπίασι τὸ ὅμοιον ἐγὼ εἶδον γινόμενον. εἰκὸς δὲ καὶ σὲ παρεῖναι, καιομένου τότε τοῦ γέροντος. ΦΙ. οὐδὲ ἀνῆλθον ὦ πάτερ εἰς ὀλυμπίαν δέει τῶν καταράτων ἐκείνων, οὓς ἔφην, ὅτι πολλοὺς αὐτῶν ἑώρων ἀπιόν-

τας

τάς, ὡς λοιδορήσειν τοῖς ξυνεληλυθόσι, καὶ βοῆς τὸν ὀπισθόδομον ἐμπλήσειν ὑλακτοῦντας. ὥστε οὐδὲ εἶδον ἐκεῖνον ὅπως ἀπέθανε. μετὰ γοῦν τοὺς Βραχμᾶνας, εἰς Αἰθιοπίαν εὐθύς. εἶτα εἰς Αἴγυπτον κατέβην. καὶ ξυγγενομένη τοῖς ἱερεῦσι, καὶ προφήταις αὐτῶν, καὶ τὰ θεῖα παιδεύσασα, ἐς Βαβυλῶνα ἀπῆρα, Χαλδαίους, καὶ μάγους μυήσουσα. εἶτα ἐς Σκυθίαν ἐκεῖθεν. εἶτα ἐς Θρᾴκην, ἔνθα μοι Εὔμολπός τε, καὶ Ὀρφεὺς συνεγενέσθην. οὓς καὶ προαποστείλασα ἐς τὴν Ἑλλάδα, τὸν μὲν, ὡς τελέσειεν αὐτοὺς, τὸν Εὔμολπον, ἐμεμαθήκει γὰρ τὰ θεῖα παρ' ἡμῶν ἅπαντα, τὸν δὲ, ὡς ἐπᾴδων προσβιάζοι τῇ μουσικῇ, κατὰ πόδας εὐθὺς εἱπόμην. καὶ τὸ μὲν πρῶτον εὐθὺς ἐλθοῦσαν, οὔτε πάνυ ἠσπάσαντο οἱ Ἕλληνες, οὔτε ὅλως ἀπέκλεισαν. κατ' ὀλίγον δὲ προσομιλοῦσα, ἑπτὰ ἐκ τῶν ἁπάντων ἑταίρους, καὶ μαθητὰς προσηγαγόμην. καὶ ἄλλον, ἐκ Σάμου. καὶ ἄλλον, ἐξ Ἐφέσου. καὶ Ἀβδηρόθεν ἄλλον. ὀλίγους παντάπασι. μεθ' οὓς τὸ σοφιστῶν φῦλον οὐκ οἶδ' ὅπως μοι παρενεφύετο, οὔτε ζηλοῦν τἀμὰ ἐς βάθος, οὔτε κομιδῇ ἀπᾷδον, ἀλλ' οἷον τὸ ἱπποκενταύρων γένος, σύνθετόν τι, καὶ μικτὸν, ἐν μέσῳ ἀλαζονείας, καὶ φιλοσοφίας πλαζόμενον, οὔτε τῇ ἀγνοίᾳ τέλεον προσεχόμενον, οὔτε ἡμᾶς

ἀτενέσι τοῖς ὀφθαλμοῖς καθορᾶν δυνάμενοι,
ἀλλ' ἴσον λημῶντες ὑπὸ τοῦ ἀμβλυώττειν ἀσα-
φές τι, καὶ ἀμυδρὸν ἡμῶν εἴδωλον, ἢ σκιὰν ἔνιο-
τε ἰδόντες ἄν. οἱ δὲ, ᾤοντο ἀκριβῶς πάντα κα-
τανενοηκέναι. ὅθεν παρ' αὐτοῖς ἡ ἀρχαῖος ἐκείνη,
ἡ περιττὴ σοφία, καὶ ὡς αὐτοὶ ᾤοντο, ἀπρόσμα-
χος ἀνεφλέγετο. αἱ κομψαὶ, καὶ ἄποροι, καὶ ἄτο-
ποι ἀπαντήσεις, καὶ δυσέξοδοι, καὶ λαβυρινθώ-
δεις ἐρωτήσεις. εἶτα κωλυόμενοι, καὶ ἐλεγχό-
μενοι πρὸς τῶν ἑταίρων τῶν ἐμῶν, ἠγανάκτουν,
καὶ συνίσταντο ἐπ' αὐτούς. καὶ τέλος, δικαστηρί-
οις ὑπῆγον, καὶ παρεδίδοσαν πιομένους τοῦ
κωνείου. ἐχρῆν μὲν οὖν ἴσως τότε φυγεῖν εὐθὺς,
καὶ μηκέτι ἀνέχεσθαι τὴν συνουσίαν αὐτῶν.
νῦν δὲ Ἀντισθένης με, καὶ Διογένης, καὶ μετὰ μικρὸν
Κράτης, καὶ Μένιππος, οὗτοι ἔπεισαν ὀλίγον ἐ-
πιμετρῆσαι τῆς μονῆς, ὡς μήποτε ὤφελον. οὐ
γὰρ ἂν τοσαῦτα ἐπεπόνθειν ὕστερον. Ζ. οὐ-
δέπω μοι λέγεις ὦ Φιλοσοφία, τίνα ἠδίκησαι,
ἀλλ' ἀγανακτεῖς μόνον. Φι. καὶ μὴν ἄκουε
ὦ Ζεῦ, ἡλίκα ἐστί. μιαρὸν γάρ τι φῦλον ἀνθρώ-
πων, καὶ ὡς τὸ πολὺ δουλικὸν, καὶ θητικὸν, οὐ
ξυγγενόμενον ἡμῖν ἐκ παίδων ὑπ' ἀσχολίας. ἐ-
δούλευε γὰρ, ἢ ἐθήτευεν, ἢ ἄλλας τέχνας, οἵ-
ας εἰκὸς τοὺς τοιούτους ἐμάνθανε, σκυτεύειν, ἢ

τεκταί-

πεκταίνειν, ἢ ταλάρους ἔχειν, ἢ ἔρια ξαίνειν, ὡς εὔεργα εἴη ταῖς γυναιξὶ, καὶ εὐμήρυτα, καὶ καταγόμενα εὐμαρῶς, ὁπότε ἢ κρόκην ἐκεῖναι στρέφοιεν, ἢ μίτον κλώθοιεν. τοιαῦτα τοίνυν ἐν παισὶ μελετῶντες, οὐδὲ ὄνομα τὸ ἡμέτερον ᾔδεσαν. ἐπὶ δὲ εἰς ἄνδρας τελεῖν ἤρξαντο, καὶ κατεῖδον τὴν αἰδῶ ὅση παρὰ τῶν πολλῶν ἐστι τοῖς ἑταίροις τοῖς ἐμοῖς, καὶ ὡς ἀνέχονται οἱ ἄνθρωποι τὴν παρρησίαν τὴν αὐτῶν, καὶ χαίρουσι θεραπευόμενοι, καὶ συμβουλεύουσι πείθονται, καὶ ἐπιτιμώντων ὑποπτήσσουσι, ταῦτα πάντα τυραννίδα οὐ μικρὰν ἡγοῦντο εἶναι. τὸ μὲν δὴ μανθάνειν ὅσα τῇ τοιαύτῃ προαιρέσει πρόσφορα, μακρὸν ἦν, μᾶλλον δὲ κομιδῇ ἀδύνατον. αἱ τέχναι δὲ, γλίσχραι, καὶ σὺν πόνῳ, καὶ μόγις ἱκανὰ παρέχειν δύναται. ἐνίοις δὲ καὶ ἡ δουλεία βαρύ. καὶ ὥσπερ τὸ ὂν ἐστιν, ἀφόρητον ἐφαίνετο. ἔδοξεν οὖν σκοπουμένοις, τὴν ὑστάτην ἄγκυραν, ἣν ἱερὰν οἱ ναυτιλλόμενοι φασὶ καθιέναι, καὶ ἐπὶ τὴν βελτίστην ἀπόνοιαν ὁρμήσαντες, ἔτι τε καὶ τόλμαν, καὶ ἀμαθίαν, καὶ ἀναισχυντίαν προσκαλέσαντες, αἵπερ αὐτοῖς μάλιστα συναγωνίζονται, καὶ λοιδορίας καινὰς ἐκμελετήσαντες, ὡς πρόχειροι εἶεν, καὶ ἀνὰ στόμα ταύτας μόνας ξυμβολὰς ἔχοντες. ὁρᾷς ὁποῖα πρὸς φιλοσοφίαν ἐ-

φόδρα σχηματίζονται, καὶ μετακοσμοῦσιν αὐτοὺς εὖ
μάλα εἰκότως, καὶ πρὸς ἐμέ, οἷόν τι ἀμέλει ὁ
Αἴσωπός φησι ποιῆσαι τὸν ἐν τῇ Κύμῃ ὄνον. ὃς
λεοντῆν περιβαλλόμενος, καὶ τραχὺ ὀγκώμε-
νος, ἠξίου λέων καὶ αὐτὸς εἶναι. καί που τινὲς καὶ
ἦσαν ἴσως οἱ πιστεύοντες αὐτῷ. τὰ δ' ἡμέ-
τερα, πάνυ ῥᾷστα ὡς οἶσθα, καὶ ἐς μίμησιν πρό-
χειρα. τὰ προφανῆ λέγω. καὶ οὐ πολλῆς τῆς πρα
γματείας δεῖ τριβώνιον περιβαλέσθαι, καὶ πή
ραν ἐξαρτήσασθαι, καὶ ξύλον ἐν τῇ χειρὶ ἔχειν, καὶ
βοᾶν, μᾶλλον δὲ ὀγκᾶσθαι, ἢ ὑλακτεῖν, καὶ λοι
δορεῖσθαι ἅπασι. τὴν ἀσφάλειαν γὰρ αὐτοῖς τοῦ
μηδὲν ἐπὶ τούτῳ παθεῖν, ἡ πρὸς τὸ σχῆμα αἰ-
δὼς παρέξειν ἔμελλεν. ἡ ἐλευθερία δέ, πρό-
χειρος, ἄκοντος τοῦ δεσπότου, κἂν εἰ βούλοιτο ἀ
πάγειν, παταχθησομένου τῷ ξύλῳ. καὶ τὰ
ἄλφιτα οὐκέτ' ὀλίγα, οὐδὲ ὡς πρὸ τοῦ, μᾶζα
ψιλή. τὸ δὲ ὄψον, οὐ τάριχος, ἢ θύμον,
ἀλλὰ κρέα παντοδαπά, καὶ οἶνος, οἷος ἥδιστος.
καὶ χρυσίον παρ' ὅτου ἂν ἐθέλωσι. δασμολογοῦ
σι γὰρ ἐπιφοιτῶντες. ἢ ὥς αὐτοί φασιν, ἀποκεί
ρουσι τὰ πρόβατα, δώσειν τε πολλοὺς οἴονται,
ἢ αἰδοῖ τοῦ σχήματος, ἢ δέει τοῦ μὴ ἀκοῦσαι κα
κῶς. καὶ γὰρ ἂν κἀκεῖνο ἑώρων οἶμαι, ὡς ἐξ ἴσου
καταστήσονται τοῖς ὀρθῶς φιλοσοφοῦσιν, οὐδέ
πω

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆς ὁ δικάσων, καὶ διακρινῶν τὰ τοιαῦτα ἔσται,
ἢν μόνον τὰ ἔξω ᾖ ὅμοια. ἀρχὴν γὰρ οὐδὲ τὸν ἔ-
λεγχον δέχονται, ἢν ἔρηταί τις οὑτωσὶ κοσμί-
ως, καὶ κατὰ βραχὺ, ἀλλ' εὐθὺς βοῶσι, καὶ ἐπὶ τὴν
ἀκρόπολιν τὴν ἑαυτῶν ἀναφεύγουσι τὴν λοιδο
ρίαν, καὶ πρόχειρον τὸ ξύλον. καὶ ἢν μὲν τὰ ἔργα
ζητῇς, οἱ λόγοι πολλοί. ἢν δὲ ἀπὸ τῶν λόγων
κρίνειν ἐθέλοις, τὸν βίον ἀξιοῦσι σκοπεῖν. τοι
γαροῦν ἐμπέπλησται πᾶσα ἡ πόλις τῆς τοι
αύτης ῥᾳδιουργίας. καὶ μάλιστα τῶν Διογένη,
καὶ Ἀντισθένη, καὶ Κράτητα ἐπιγραφομένων, καὶ
ὑπὸ τῷ κυνὶ ταττομένων. οἳ τὸ μὲν χρήσιμον
ὁπόσον ἔνεστι τῇ φύσει τῶν κυνῶν, οἷον τὸ φυλακτι
κὸν, ἢ τὸ οἰκουρικὸν, ἢ τὸ φιλοδέσποτον, ἢ μνη
μονικὸν, οὐδαμῶς ἐζηλώκασιν, ὑλακὴν δὲ, καὶ
λιχνείαν, καὶ ἁρπαγὴν, καὶ ἀφροδίσια συχνὰ, καὶ
κολακείαν, καὶ τὸ σαίνειν τὸν διδόντα, καὶ περὶ
τραπέζας ἔχειν, ταῦτα ἀκριβῶς ἐκπεπονήκα
σιν. ὄψει τοίνυν μετὰ μικρὸν οἷα ἔσται. οἱ γὰρ ἐκ
τῶν ἐργαστηρίων ἅπαντες ἀναπηδήσαντες, ἐ
ρήμους τὰς τέχνας ἐάσουσιν, ὅταν ὁρῶσι σφᾶς
μὲν πονοῦντας, καὶ κάμνοντας, ἕωθεν εἰς ἑσπέ-
ραν ἐπικεκυφότας τοῖς ἔργοις, καὶ μόγις ἀπο
ζῶντας ἐκ τῆς τοιαύτης μισθαρνίας. ἀργοὺς
δὲ, καὶ γόητας ἀνθρώπους, ἐν ἅπασιν ἀφθόνως



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βιοῦντας, αἰτοῦντας μὲν τυραννικῶς, λαμβάνοντας δὲ προχείρως, ἀγανακτοῦντας δὲ, εἰ μὴ λάβοιεν, οὐκ ἐπαινοῦντας δὲ, οὐδ' εἰ λάβοιεν. ταῦτα ὁ ἐπὶ Κρόνου βίος δοκεῖ αὐτοῖς, καὶ ἀτεχνῶς τὸ μέλι αὐτὸ ἐς τὰ στόματα ἐσρεῖν ἐκ τοῦ οὐρανοῦ. καὶ ἧττον ἂν δεινὸν τὸ πρᾶγμα ἦν, εἰ τοιοῦτοι ὄντες, μηδὲν ἐς ἡμᾶς ἄλλο ἐξύβριζον. οἱ δὲ μάλα σεμνοὶ, καὶ σκυθρωποὶ τὰ ἔξω, καὶ τὰ δημόσια φαινόμενοι, ἢν παιδὸς ὡραίου, ἢ γυναικὸς λάβωνται καλῆς, ἢ ἐλπίσωσι σιωπᾶν ἄξιον, οἷα ποιοῦσιν. ἔνιοι δὲ, καὶ ξένων τῶν σφετέρων γυναῖκας ἀπάγουσι μοιχεύσοντες, κατὰ τὸν Ἰλιέα ἐκεῖνον νεανίσκον, ὡς φιλοσοφεῖεν δὴ καὶ αὗται. εἶτα κοινὰς ταύτας ἅπασι τοῖς ξυνοῦσι προθέμενοι, Πλάτωνός τι δόγμα οἴονται ποιεῖν, οὐκ εἰδότες ὅπως ὁ ἱερὸς ἐκεῖνος ἠξίου κοινὰς ἡγεῖσθαι τὰς γυναῖκας. ἃ μὲν γὰρ ἐν τοῖς συμποσίοις δρῶσι, καὶ ἃ μεθύσκονται, μακρὸν ἂν εἴη λέγειν. καὶ ταῦτα ποιοῦσι, πῶς οἴει κατηγοροῦντες αὐτοὶ μέθης, καὶ μοιχείας, καὶ λαγνείας, καὶ φιλαργυρίας. οὐδὲν γοῦν οὕτως εὕροις ἄλλο ἄλλῳ ἐναντίον, ὡς τοὺς λόγους αὐτῶν, καὶ τὰ ἔργα. οἷον, κολακείαν μισεῖν φασι, κολακείας ἕνεκα τὸν Γναθωνίδην, ἢ τὸν Στρουθίαν ὑπερβαλέσθαι δυνάμενοι, ἀληθεύ-

ἐν τοῦ ἄλλους προφέροντες. οὐκ ἂν οὐδὲ κινῆσαι τὴν γλῶτταν μὴ μετὰ καὶ τοῦ ψεύσασθαι δύναιντο. ἡδονὴ πᾶσιν ἐχθρὸν τῷ λόγῳ, καὶ ὁ Ἐπίκουρος πολέμιος, ἔργῳ δὲ διὰ ταύτην ἅπαντα πράττουσι. τὸ δ' ὀξύχολον, καὶ μικραίτιον, καὶ πρὸς ὀργὴν ῥᾴδιον, ὑπὲρ τὰ βρεφύλλια τὰ νεογνά. γέλωτα γοῦν οὐ μικρὸν παρέχουσι τοῖς θεωμένοις, ὁπόταν ὑπὸ τῆς τυχούσης αἰτίας ἐπιζέσῃ μὲν αὐτοῖς ἡ χολὴ, πελιδνοὶ δὲ τὴν χροιὰν βλέπωνται, ἰταμόν τι καὶ παράφορον δεδορκότες. καὶ ἀφροῦ, μᾶλλον δ' ἰοῦ μεστὸν αὐτοῖς ᾖ τὸ στόμα. μὴ σύ γ' ἐκεῖθι τύχοις, ὅτε ὁ μιαρὸς ἐκεῖνος ἐκχεῖται βόρβορος. χρυσίον μὲν, ἢ ἀργύριον, Ἡράκλεις οὐδὲ κεκτῆσθαι ἀξιῶ. ὀβολὸς ἱκανὸς, ὡς θέρμους πριαίμην. ποτὸν ὕδωρ, ἡ κρήνη, ἢ ποταμὸς παρέξει. μετ' ὀλίγον αἰτοῦσιν οὐκ ὀβολοὺς, οὐδὲ δραχμὰς ὀλίγας, ἀλλὰ πλούτους ὅλους. ὥστε τίς ἔμπορος τοσοῦτον ἀπὸ τοῦ φόρτου πλήσειεν ἂν, ὅσον τούτοις φιλοσοφία ἐς χρηματισμὸν συντελεῖ; εἶτ' ἐπειδὰν ἱκανῶς συλλέξονται, καὶ ἐπισιτίσονται, ἀπορρίψαντες ἐκεῖνο τὸ δύστηνον τριβώνιον, ἀγροὺς ἐνίοτε, καὶ ἐσθῆτας τῶν μαλακῶν ἐπρίαντο, καὶ παῖδας κομήτας, καὶ συνοικίας ὅλας, μακρὰ χαίρειν φάσαντες τῇ πήρᾳ τῇ

Κράτητος, καὶ περὶ τρίβωνι τῷ Ἀντισθένους, καὶ
περὶ πίθῳ τοῦ Διογένους. οἱ ἰδιῶται δὲ ταῦτα ὁ
ρῶντες, καταπτύουσιν ἤδη φιλοσοφίας, καὶ ἅ
παντας εἶναι τοιούτους οἴονται, κἀμὲ τῆς διδασκα
λίας αἰτιῶνται. ὥστε πολλοῦ ἤδη τοῦ χρόνου,
ἀδύνατόν μοι γεγένηται κἂν ἕνα τινὰ προσαγαγέ
σθαι αὐτῶν. ἀλλὰ τὸ τῆς Πηνελόπης ἐκεῖνο πά
σχω. ὁπόσον γὰρ δὴ ἐγὼ ἐξυφήνω, τοῦτο ἐν ἀκα
ρεῖ αὖθις ἀναλύεται. ἡ ἀμαθία δὲ, καὶ ἡ ἀδι-
κία, ἐπιγελῶσιν, ὁρῶσαι ἀνεξέργαστον ἡμῖν τὸ
ἔργον, καὶ ἀνήνυτον πόνον. Ζ. οἷα ὦ θεοὶ πέ
πονθεν ἡμῖν ἡ φιλοσοφία πρὸς τῶν καταράτων
ἐκείνων. ὥστε ὥρα σκοπεῖν ὅ, τι καὶ πρακτέον,
ἢ ὅπως αὐτοὺς μετελευστέον. ὁ μὲν γὰρ κεραυνὸς,
ἀπαλγεῖ μιᾷ πληγῇ, καὶ ὁ θάνατος ταχύς.
Ἀπό. ἐγώ σοι ὦ πάτερ, ὑποθήσομαι. μισῶ γὰρ
καὶ αὐτὸς ἤδη τοὺς ἀλαζόνας, ἀμούσους ὄντας,
ὑπὲρ τῶν μουσῶν ἀγανακτῶν. κεραυνοῦ μὲν γὰρ,
ἢ τῆς σῆς δεξιᾶς, οὐδαμῶς ἐκεῖνοι ἄξιοι. τὸν Ἑρ-
μῆν δὲ εἰ δοκεῖ, αὐτοκράτορα τῆς κολάσεως κα
ταπέμψωμεν ἐπ' αὐτούς. ὃς ἅτε δὴ περὶ λό
γους ἔχων καὶ αὐτὸς, τάχιστα εἴσεται τούς τε
ὀρθῶς φιλοσοφοῦντας, καὶ τοὺς μή. εἶτα τοὺς μὲν,
ἐπαινέσεται ὡς τὸ εἰκός. οἱ δὲ, κολασθήσονται,
ὅπως ἂν ἐκείνῳ παρὰ τὸν καιρὸν δοκεῖ. Ζ. εὖ

λέγεις ὦ Ἄπολλον. ἀλλὰ καὶ σὺ ὦ Ἡράκλεις, ἅμα καὶ τὴν φιλοσοφίαν αὐτὴν ἔχοντες, ἄπιτε ὡς τάχιστα εἰς τὸν βίον. τρισκαιδέκατον γοῦν ἆθλον οἶσθα οὐ μικρὸν ἐκτελέσειν, ἢν ἐκκόψῃς μιαρὰ οὕτως καὶ ἀναίσχυντα θηρία. Ηρα. καὶ μὴν ἄμεινον ἦν ὦ πάτερ, τὴν κόπρον ἐκκαθάραι αὖθις τὴν Αὐγέου, ἢ τούτοις συμπλέκεσθαι. ἀπίωμεν δ᾽ ὅμως. Φι. ἄκουσα μὲν, ἀκολουθητέον δὲ κατὰ τὰ δόξαντα τῷ πατρί. Ερ. κατίωμεν, ὡς κἂν ὀλίγους αὐτῶν ἐπιτρίψωμεν σήμερον. ποῖαν δὲ χρὴ τραπέσθαι ὦ φιλοσοφία; σὺ γὰρ οἶσθα ὅπου εἰσίν. ἢ πρόδηλον ὅτι ἐν τῇ Ἑλλάδι. Φι. οὐδαμῶς. ἢ πάνυ ὀλίγοι, ὅσοι ὀρθῶς φιλοσοφοῦσιν ὦ Ἑρμῆ. οὗτοι δὲ οὐδὲν Ἀττικῆς πενίας δέονται, ἀλλ᾽ ἔνθα πολὺς χρυσὸς, ἢ ἄργυρος ὀρύττεται, ἐκεῖ που ζητητέοι εἰσὶν ἡμῖν. Ερ. οὐκοῦν εὐθὺ τῆς Θρᾴκης ἀπιτέον. Ηρα. εὖ λέγεις, καὶ ἡγήσομαί γε ὑμῖν τὴν ὁδόν. οἶδα γὰρ τὰ Θρᾳκῶν ἅπαντα, συχνάκις ἐπελθών. καί μοι τήνδε ἤδη τραπώμεθα. Ερ. ποίαν λέγεις; Ηρα. ὁρᾶτε ὦ Ἑρμῆ, καὶ φιλοσοφία; δύο μὲν ὄρη μέγιστα, καὶ κάλλιστα ὀρῶν ἁπάντων, Αἷμος ἐστὶ τὸ μεῖζον, ἡ καταντικρὺ δὲ, Ῥοδόπη, πεδίον δὲ ὑποπεπταμένον, πάμφορον, ἀπὸ τῶν προπόδων ἑκατέρου εὐθὺς ἀρξάμενον, καί τινας λόφους τρεῖς πά-

νυ καλοὺς ἀνεστηκότας, οὐκ ἀμόρφους τὴν τρα
χύτητα, οἷον ἀκροπόλεις πολλὰς τῆς ὑποκει
μένης πόλεως. καὶ ἡ πόλις δὲ ἤδη φαίνεται. Ερ.
νὴ Δί' ὦ Ἡράκλεις, μεγίστη, καὶ καλλίστη ἁπα
σῶν. πόῤῥωθεν γοῦν ἀπολάμπει αὐτῆς τὸ κάλλος.
καί τις ποταμὸς μέγιστος παραμείβεται, πάνυ
ἐν χρῷ ψαύων αὐτῆς. Ηρα. Εβρος μὲν οὗτος. ἡ
δὲ πόλις, ἔργον Φιλίππου ἐκείνου. καὶ ἡμεῖς
ἤδη πρόσγειοι, καὶ ὑπονέφελοι. ὥστε ἐπιβαίνω
μεν ἀγαθῇ τύχῃ. Ερ. οὕτω γιγνέσθω. τί δ' οὖν
χρὴ ποιεῖν, ὅπως τὰ θηρία ἐξιχνευτέον; Ηρα.
τοῦτο μὲν, σὸν ἤδη ἔργον ὦ Ερμῆ. κῆρυξ γὰρ εἶ. ὥσ
τε οὐκ ἂν φθάνοις κηρύττων. Ερ. οὐδὲ τοῦτο
χαλεπόν. ἀλλὰ τά γε ὀνόματα οὐκ ἐπίσταμαι
αὐτῶν. σὺ οὖν ὦ φιλοσοφία, λέγε, οὕστινας
ὀνομαστέον, καὶ τὰ σημεῖα προσέτι. Φι. οὐδὲ
αὐτὴ μὲν οἶδα τὸ σαφὲς, οἵτινες ὀνομάζονται, διὰ
τὸ μὴ ξυγγενέσθαι αὐτοῖς. ἀπὸ δ' οὖν τῆς ἐπιθυμίας,
ἣν ἔχουσιν εἰς τὰ κτήματα, οὐκ ἂν ἁμάρτοις
προσκαλῶν κτήσωνας, ἢ κτησίππους, ἢ κτη
σικλέας, ἢ εὐκτήμονας, ἢ πολυκτήτους. Ερ.
εὖ λέγεις. ἀλλὰ τίνες οὗτοι εἰσίν, ἢ τί καὶ περι
σκοποῦσι καὶ αὐτοί; μᾶλλον δὲ καὶ προσίασι, καί
τι καὶ ἐρέσθαι θέλουσιν. Ανδρες. ἆρ' ἂν ἔχοι
τε ἡμῖν ὦ ἄνδρες εἰπεῖν, ἢ σὺ ὦ βελτίστη, εἴ

τινας

τινας τρεῖς γόητας ἅμα εἴδετε, καί τινα γυναῖκα καὶ ἐν χρῷ κεκαρμένην εἰς τὸ Λακωνικὸν, ἀῤῥενωπὴν, καὶ κομιδῇ ἀνδρικήν; ΦΙ. παπαῖ, τὰ ἡμέτερα οὗτοι ζητοῦσι. ΑΝ. πῶς τὰ ὑμέτερα; δραπέται γὰρ ἐκεῖνοι ἅπαντες. ἡμεῖς δὲ, τὴν γυναῖκα μάλιστα μετίμεν, ἠνδραποδισμένην πρὸς αὐτῶν. εἴσεσθε δὲ, καθότι ζητοῦμεν αὐτούς. νῦν δὲ ἅμα κηρύττωμεν. εἴ τις ἀνδράποδον Παφλαγονικὸν, τῶν ἀπὸ Σινώπης βαρβάρων, ὄνομα τοιοῦτον, οἷον ἀπὸ κτημάτων, ὕπωχρον, ἐν χρῷ κουρίαν, ἐν γενείῳ βαθεῖ, πήραν ἐξημμένον, καὶ τριβώνιον ἀμπεχόμενον, ὀργίλον, ἄμουσον, τραχύφωνον, λοίδορον, μηνύειν ἐπὶ ῥητῷ αὐτονόμῳ. ΔΕΣΠΟ. νῷ οὗτος, ὁ κηρύττεις. ὡς ἐκείνῳ γε ὄνομα ἦν παρ' ἐμοὶ, Κάνθαρος. καὶ ἐκόμα δὲ, καὶ τὸ γένειον ἔτιλλε, καὶ τέχνην τὴν ἐμὴν ἠπίστατο. ἀπέκειρε γὰρ ἐν τῷ γναφείῳ καθήμενος, ὁπόσον περιττὸν τοῖς ἱματίοις τῶν κροκίδων ἐπανθεῖ. ΦΙ. ἐκεῖνος αὐτός ἐστιν ὁ οἰκέτης ὁ σός. ἀλλὰ νῦν φιλοσόφῳ ἔοικεν, ἀκριβῶς ἑαυτὸν ἀποκνάψας. ΔΕΣΠΟ. ὢ τῆς τόλμης. ὁ Κάνθαρος φιλοσοφεῖ φησιν, ἡμῶν δὲ, οὐδεὶς λόγος. ἀμέλει ἅπαντας ἀνευρήσομεν. ξυνίησι γὰρ ὥς φησιν αὕτη. ΦΙ. τίς δ' οὗτος ἄλλος ὁ προσιών ἐστιν ὦ Ἡράκλεις, ὁ κα-

λος, ὁ τὴν κιθάραν; Ηρα. Ὀρφεύς ἐστι, σύμπλους ἡμῖν ἐπὶ τῆς Ἀργοῦς ἐμὸς, ἥδιστος κελευστῶν ἁπάντων. πρὸς γοῦν τὴν ᾠδὴν αὐτοῦ, ἥκιστα ἐκάμνομεν ἐρέττοντες. χαῖρε ὦ ἄριστε, καὶ μουσικώτατε Ὀρφεῦ. οὐκ ἐπιλέλησαι γάρ που Ἡρακλέους. Ορ. νὴ καὶ ὑμεῖς γε ὦ φιλοσοφία, καὶ Ἡράκλεις, καὶ Ἑρμῆ. ἀλλὰ καιρὸς ἀποδιδόναι τὰ μήνυτρα, ὡς ἔγωγε πάνυ σαφῶς ὃν ζητεῖτε οἶδα. Ερ. οὐκοῦν δεῖξον ὦ παῖ Καλλιόπης ἔνθα ἐστί. χρυσίου γὰρ οὐδὲν οἶμαι δέῃ, σοφὸς ὤν. Ορ. εὖ ἔφης. ἐγὼ δὲ, τὴν μὲν οἰκίαν δείξαιμ' ἂν ὑμῖν, ἔνθα οἰκεῖ, αὐτὸν δὲ οὐκ ἄν, ὡς μὴ κακῶς ἀκούοιμι πρὸς αὐτοῦ. μιαρὸς γὰρ εἰς ὑπερβολὴν, καὶ μόνον τοῦτο ἐκμεμελέτηκε. Ερ. δεῖξον μόνον. Ορ. αὑτηὶ πλησίον. ἐγὼ δὲ ἄπειμι ὑμῖν ἐκποδὼν, ὡς μηδ' ἴδοιμι αὐτόν. Ερ. ἐπίσχες. οὐ γυναικός ἐστι φωνὴ, ῥαψῳδούσης τι τῶν Ὁμήρου; Φι. νὴ Δία. ἀλλ' ἀκούσωμεν ὅ, τι καὶ λέγει. Δρα.

,, Ἐχθρὸς γάρ μοι κεῖνος ἀνὴρ ὁμῶς Ἀΐδαο πύλῃσιν, ὃς χρυσὸν φιλέει μὲν ἐνὶ φρεσὶν, ἄλλο δὲ εἴπῃ. Ερ. οὐκοῦν τὸν Κάνθαρόν σοι μισητέον, ὃς ξεινοδόκον κακὰ ῥέξεν, ὅ κεν φιλότητα παρέσχε.

,, Χρ. περὶ ἐμοῦ τοῦτ' ἔοικε, οὗ τὴν γυναῖκα ᾤχετο ἀπάγων, δι' ὅ τι αὐτὸν ὑπεδεξάμην. Δρα.

,, οἰνοβαρὲς, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο,

λάφοιο, οὔτ' ἐνὶ πολέμῳ ἐναρίθμιος, οὔτ' ἐνὶ “
βουλῇ, Θερσῖτ' ἀκριτόμυθε, κακῶν πανάριστε “
κολοιῶν. μάψ, ἀτὰρ οὐ κατὰ κόσμον ἐριζέμε- “
ναι βασιλεῦσιν. Δεσ. εἰκότως γὰρ κατ' αὐτοῦ “
τὰ ἔπη. Δρα. πρόσθε κύων, ὄπιθεν δὲ λέων, “
μέσση δὲ χίμαιρα, δεινὸν ἀποπνείουσα, τρι- “
του κυνὸς ἀγρίου ὁρμήν. Ὑπο. οἴμοι γύναι, ὅ- “
σα πέπονθας ὑπὸ κυνῶν τοσούτων. φασὶ δ'
αὐτὴν καὶ κύειν ἀπ' αὐτῶν. Ερ. θάρρει, Κέρ-
βερόν τινα τέξεταί σοι, ἢ Γηρυόνην, ὡς ἔχοι ὁ Η-
ρακλῆς οὗτις αὖθις πόνον. ἀλλὰ καὶ προσία-
σιν. ὥστε οὐδὲν δεῖ κόπτειν τὴν θύραν. Δεσ.
ἔχω σε ὦ Κάνθαρε. νῦν σιωπᾷς; φέρ' ἴδωμεν ἅ τι-
νά σοι ἡ πήρα ἔχει. θέρμους ἴσως, ἢ ἄρτου θρύ-
φος. Ερ. οὐ μὰ Δία, ἀλλὰ ζώνην χρυσίου. Ηρα.
μὴ θαυμάσῃς. κυνικὸς γὰρ ἔφασκεν εἶναι τὸ
πρόσθεν ἐν τῇ Ἑλλάδι. ἐνταῦθα δὲ, χρυσίπ-
πειος ἀκριβῶς ἐστι. τοιγαροῦν Κλεάνθην οὐκ εἰς
μακρὰν αὐτὸν ὄψει. κρεμήσεται γὰρ ἀπὸ τοῦ πώγω-
νος, οὕτω μιαρὸς ὤν. Δεσπό. σὺ δὲ ὦ κακὲ,
οὐ Ληκυθίων ὁ ἐμὸς δραπέτης τυγχάνεις ὤν;
οὐ μὲν οὖν ἄλλος. ὢ τοῦ γέλωτος. εἶτα τί οὐκ ἂν
γένοιτο; καὶ Ληκυθίων φιλοσοφεῖ; Ερ. ὁ τρίτος
δὲ οὗτος ἀδέσποτος ὑμῖν ἐστιν; Δεσπό. οὐδα-
μῶς, ἀλλ' ὁ δεσπότης ἐγώ, ἑκὼν ἀφίημι αὐτόν:

ἀπολωλεκέναι. Ερ. ὅτι τί; Δεσ. ὅτι δεινῶς τὸ ὑποσάθρων ἐστί. τὸ δ' ὄνομα, Μυρόπνουν αὐτὴν ἐκαλοῦμεν. Ερ. Ηράκλεις ἀλεξίκακε, ἀκούεις; ἔπειτα πήρα, καὶ βάκτρον, καὶ αὐτὸς ἀπόλαβε τὴν γυναῖκα σύ. Υπο. μηδαμῶς. οὐκ ἂν ἀπολάβοιμι βιβλίον μοι τῶν παλαιῶν κύουσαν. Ερ. πῶς βιβλίον; Υπο. ἔστι τί ὦ 'γαθὲ, τρικάρανος βιβλίον. Ερ. οὐδὲν ἄτοπον, ἐπεὶ καὶ τριφάλλης τῶν κωμικῶν ἐστί. Δρα. σὸν ὦ Ερμῆ δικάζειν τὸ μετὰ τοῦτο. Ερ. οὕτω μοι δοκεῖ. ταύτην μὲν ἵνα μὴ δευτέρας, μὴ δὲ πολυκέφαλον τέκῃ, οἴχεσθαι παρὰ τὸν ἄνδρα ὀπίσω εἰς τὴν Ελλάδα. τὼ δύο δὲ τούτω τὼ δραπετίσκω, παραδοθέντε τῖν δεσπόταιν μανθάνειν ἃ προτοῦ, τὸν μὲν, ἀποπλύνειν τὰς ῥυπώσας τῶν ὀθονῶν, τὸν Ληκυθίωνα. τὸν Μυρόπνουν δὲ, αὖθις ἀκεῖσθαι τῶν ἱματίων τὰ διεῤῥωγότα, μαλάχῃ πρότερον μαστιγωθέντα. ἔπειτα δὲ τοῦτον παραδοθῆναι τοῖς πιττωταῖς, ὡς ἀπόλοιτο παρατιλλόμενος τὰ πρῶτα, ῥυπώσῃ προσέτι, καὶ γυναικεία τῇ πίττῃ. εἶτα ἐς τὸν Αἷμον ἀναχθέντα γυμνὸν, ἐπὶ τῆς χιόνος μένειν συμπεποδημένον τὼ πόδε. Δρα. φεῦ τῶν κακῶν. ὀτοτοῖ. παπαιπαπαιάξ. Δεσπό. τί τοῦτο παρεντίθης τῶν τραγικῶν σὺ διαλόγων; ἀλλ' ἀκολούθει παρὰ

σι παρὰ τοὺς πιτιωτὰς ἤδη, ἀποδυσάμενος πρό-
τερόν γε τὴν λεοντῆν, ὡς γνωσθῇς ὄνος ὤν.

## ΤΑ ΠΡΟΣ ΚΡΟΝΟΝ. ΙΕΡΕΥΣ, ΚΑΙ ΚΡΟΝΟΣ. ΙΕΡΕΥΣ.

Ὦ Κρόνε, σὺ γὰρ ἔοικας ἄρχειν τό γε νῦν εἶναι, καὶ σοὶ τέθυται, καὶ κεκαλλιέρηται παρ' ἡμῶν, τί ἂν μάλιστα ἱερῶν αἰτήσας λάβοιμι παρὰ σοῦ; Κρό. τοῦτο μὲν αὐτόν σε καλῶς ἔχει σκέψασθαι, ὅ, τι σοι εὐκτέον, εἰ μὴ καὶ μάντιν ἅμα ἐθέλοις τὸν ἄρχοντα εἶναι, τί σοι ἥδιον αἰτεῖν. ἐγὼ δὲ τάπερ δυνατά, οὐκ ἀνανεύσω πρὸς τὴν εὐχήν. Ιε. ἀλλὰ πάλαι ἔσκεμμαι. ἐρῶ γοῦν τὰ κοινὰ ταυτὶ, καὶ πρόχειρα, πλουτεῖν ἢ χρυσὸν πολὺν, ἢ ἀνδρῶν δεσπότην εἶναι, ἢ ἀνδράποδα πολλὰ κεκτῆσθαι, καὶ ἐσθῆτας εὐανθεῖς, ἢ μαλακὰς, καὶ ἄργυρον, καὶ ἐλέφαντα, καὶ τἆλλα, ὁπόσα τίμια. τούτων δὸς ὦ ἄριστε Κρόνε, δίδου μοι, ὥστε καὶ αὐτῶν ἀπολαῦσαί τι τῆς σῆς ἀρχῆς, μηδὲ ἄμοιρον εἶναι μόνον αὐτὸν διὰ παντὸς τοῦ βίου. Κρό. ὁρᾷς; οὐ κατ' ἐμὲ ταῦτα ᾔτησας. οὐ γὰρ ἐμὸν διανέμειν τὰ τοιαῦτα. ὥστε μὴ ἄχθου, εἰ ἀτυχήσεις αὐτῶν, ἀλλ' αἴτει παρὰ τοῦ Διὸς, ὁπόταν εἰς ἐκεῖνον ἡ ἀρχὴ περιέλθῃ μετ' ὀλίγον. ἐγὼ δ' ἐπὶ ῥητοῖς παραλαμβάνω τὴν δυναστείαν. ἑπτὰ μὲν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡμερῶν ἡ πᾶσα βασιλεία. κἂν ἐκ προθεσμίας τούτων γένωμαι, ἰδιώτης εὐθύς εἰμι, καὶ τοῦ πολλοῦ δήμου εἷς. ἐν αὐταῖς δὲ ταῖς ἑπτὰ, σπουδαῖον μὲν, οὐδὲ ἀγοραῖον διοικήσασθαί μοι συγκεχώρηται, πίνειν δὲ καὶ μεθύειν, καὶ βοᾶν, καὶ παίζειν, καὶ κυβεύειν, καὶ ἄρχοντας καθίστασθαι, καὶ τοὺς οἰκέτας εὐωχεῖν, καὶ γυμνὸν ἄλειν, καὶ κροτεῖν ὑποτρέμοντα. ἐνίοτε δὲ καὶ ἐς ὕδωρ ψυχρὸν ἐπὶ κεφαλὴν ὠθεῖσθαι, ἀσβόλῳ κεχρισμένον τὸ πρόσωπον. ταῦτα ἐφεῖταί μοι ποιεῖν. τὰ μεγάλα δὲ ἐκεῖνα, τὸν πλοῦτον, καὶ τὸ χρυσίον, ὁ Ζεὺς διαδίδωσιν οἷς ἂν ἐθέλῃ. ΙΕ. ἀλλ' οὐδ' ἐκεῖνος ὦ Κρόνε ῥαδίως, καὶ προχείρως. ἐγὼ γοῦν ἤδη ἀπηγόρευκα, αἰτῶν μεγάλῃ τῇ φωνῇ. ὁ δ' οὐκ ἐπαΐει τοπαράπαν. ἀλλὰ τὴν αἰγίδα ἐπισείων, καὶ τὸν κεραυνὸν ἐπανατεινόμενος, δριμὺ ἐνορῶν, ἐκπλήττει τοὺς ἐνοχλοῦντας. ἢν δέ ποτε καὶ ἐπινεύσῃ τινὶ, καὶ πλούσιον ποιήσῃ, πολὺ τὸ ἄκριτον ἐνταῦθα, καὶ τοὺς ἀγαθοὺς ἐνίοτε, καὶ συνετοὺς ἀφείς. ὁ δὲ, παμπονήροις τε, καὶ ἀνοήτοις ἀνδράσι ἐπιχεῖ τὸν πλοῦτον, μαστιγίαις, ἢ ἀνδρογύνοις τοῖς πλείστοις αὐτῶν. πλὴν ἅπερ σοι δυνατὰ ἐθέλω εἰδέναι, τίνα ταῦτά ἐστιν. Κρό. οὐ μικρὰ ὅλως, οὐδὲ παντάπασιν εὐκαταφρόνητα, ὡς πρὸς τὴν δύναμιν

ἐξετά

ἐξετάζεσθαι τῆς συμπάσης ἀρχῆς, εἰ μή σοι τὸ μικρὸν δοκεῖ τὸ νικᾶν κυβεύοντα, καὶ τοῖς ἄλλοις ἐς τὴν μονάδα κυλιομένου τοῦ κύβου, σοὶ τὴν ἑξάδα ὑποφαίνω ἀεὶ φαίνεσθαι. πολλοὶ γοῦν ἐς κόρον αὐτῶν τῷ τοιούτῳ ἐπετύχανον, οἷς ἵλεως, καὶ φορὸς ὁ κύβος ἐπνεύσει. οἱ δὲ, ἔμπαλιν γυμνοὶ διενήξαντο, περιρραγέντος αὐτοῖς τοῦ σκάφους, περὶ οὕτω μικρῷ ἕρματι τῷ κύβῳ. καὶ μὴν καὶ πιεῖν ἐς τὸ ἥδιστον, καὶ ᾠδικώτερον ἄλλου δόξαι ἅμα ἐν τῷ συμποσίῳ, καὶ διακονουμένων τοὺς μὲν ἄλλους ἐς τὸ ὕδωρ ἐμπεσεῖν. τοῦτο γὰρ τὸ ἐπιτίμιον τῆς ἀδεξίου διακονίας. σὲ δὲ, καὶ ἀνακηρυχθῆναι καλλίνικον, καὶ τἆθλ' ἀφαιρεῖσθαι τὸν ἀλόντα. ὁρᾷς ἡλίκον τὸ ἀγαθόν, ἔτι καὶ βασιλέα μόνον ἐφ' ἁπάντων γενέσθαι, τῷ ἀστραγάλῳ κρατήσαντα, ὡς μήτε ἐπιταχθείης γελοῖα ἐπιτάγματα, καὶ αὐτὸς ἐπιτάττειν ἔχοις, τῷ μὲν, αἰσχρόν τι περὶ αὑτοῦ ἀναβοῆσαι. τῷ δὲ, γυμνὸν ὀρχήσασθαι, καὶ ἀράμενον τὴν αὐλητρίδα. τρὶς τὴν οἰκίαν περιελθεῖν; πῶς οὐχὶ καὶ ταῦτα δείγματα μεγαλοδωρείας τῆς ἐμῆς; εἰ δὲ τὸ μὴ ἀληθῆ, μηδὲ βέβαιον γίνεσθαι τὴν τοιαύτην βασιλείαν αἰτιάσῃ, ἀγνώμων ποιήσεις, ὁρῶν αὐτὸν ἐμὲ τὴν ταῦτα διδόντα ὀλιγοχρόνιον τὴν ἀρχὴν ἔχοντα.

τούτων δ' ὅσα μοι δυνατά, δύναμαι τῶν πεττῶν, τοῦ ἄρχειν, τοῦ ἄλειν, καὶ τῶν, ἃ κατηριθμησάμην, θαρρῶν αἴτει, ὡς ἐμοῦ πρὸς οὐδὲν δεδιξομένου σε τῇ αἰγίδι, καὶ τῷ κεραυνῷ. Ἱε. ἀλλ' ὦ τιτάνων ἄριστε, τῶν μὲν τοιούτων οὐ δέομαι. σὺ δέ, ἀλλ' ἐκεῖνό μοι ἀπόκριναι, ὃ μάλιστα ἐπόθουν εἰδέναι. καί μοι ἢν εἴπῃς αὐτό, ἱκανὴν ἔσῃ τὴν ἀμοιβὴν ἀποδεδωκὼς ἀντὶ τῆς θυσίας, καὶ πρὸς τὸ λοιπὸν ἀφίημί σοι τὰ χρέα. Κρό. ἐρώτα μόνον. ἀποκρινοῦμαι γάρ, ἢν εἰδὼς τύχω. Ἱε. τὸ μὲν πρῶτον ἐκεῖνο, εἰ ἀληθῆ ταῦτ' ἐστίν, ἃ περὶ σοῦ ἀκούομεν, ὡς κατήσθιες τὰ γεννώμενα ὑπὸ τῆς Ῥέας, ἐκείνη δὲ ὑφελομένη τὸν Δία, λίθον ὑποβαλομένη ἀντὶ τοῦ βρέφους, ἔδωκέ σοι καταπιεῖν. ὁ δέ, εἰς ἡλικίαν ἀφικόμενος, ἐξήλασέ σε τῆς ἀρχῆς, πολέμῳ κρατήσας. εἶτα εἰς τὸν τάρταρον φέρων ἐνέβαλε, πεδήσας αὐτόν σε, καὶ τὸ συμμαχικὸν ἅπαν, ὁπόσον μετὰ σοῦ παρετάττετο. Κρό. εἰ μὴ ἑορτὴν ὦ οὗτος ἤγομεν, καὶ μεθύειν ἐφίετο, καὶ λοιδορεῖσθαι τοῖς δεσπόταις ἐπ' ἐξουσίας, ἔγνως ἄν, ὡς ὀργίζεσθαι γοῦν ἐφεῖταί μοι, τοιαῦτα ἐρωτήσας, οὐκ αἰδεσθεὶς πολιὸν οὕτω, καὶ πρεσβύτην θεόν. Ἱε. κἀγὼ ταῦτα ὦ Κρόνε, οὐ παρ' ἐμαυτοῦ φημι, ἀλλ' Ἡσίοδος,

καὶ Ὅμη

καὶ Ὅμηρος, ὀκνῶ γὰρ εἰπεῖν ὅτι καὶ ἄλλοι ἅπαν-
τες ἄνθρωποι σχεδόν, ταῦτα πεπιστεύκασι πε-
ρὶ σοῦ. Κρό. οἴει γάρ τι τὸν ποιμένα ἐκεῖ-
νον, τὸν ἀλαζόνα, ὑγιές τι περὶ ἐμοῦ εἰδέναι;
σκόπει δὲ οὕτως. ἔσθ' ὅστις ἄνθρωπος, οὐ γὰρ
θεὸν ἐρῶ, ὑπομείνειεν ἂν ἑκὼν αὐτὸς καταφα-
γεῖν τὰ τέκνα, εἰ μή τις Θυέστης ἦν, καὶ ἀσεβεῖ
ἀδελφῷ περιπεσών, ἢ ἐσθίει; καὶ τοῦτο γ' ἂν εἴη,
πῶς ἀγνοήσειε λίθον ἀντὶ βρέφους ἐσθίων, εἰ
μὴ ἀνάλγητος εἴη τοὺς ὀδόντας. ἀλλ' οὔτε ἐπο-
λεμήσαμεν, οὔτε ὁ Ζεὺς βίᾳ τὴν ἀρχὴν ἀφείλε-
το, ἑκόντος δέ μου παραδόντος αὐτῷ, καὶ ὑπεκ-
στάντος ἄρχειν. ὅτι μὲν γὰρ οὔτε πεπέδημαι, οὔ-
τε ἐν τῷ ταρτάρῳ εἰμί, καὶ αὐτὸς ὁρᾷς οἶμαι,
εἰ μὴ τυφλὸς ὥσπερ Ὅμηρος εἶ. Ιε. τί πα-
θὼν δὲ ὦ Κρόνε, ἀφῆκας τὴν ἀρχήν; Κρό.
ἐγώ σοι φράσω. τὸ μὲν ὅλον γέρων, ἤδη καὶ πο-
δαγρὸς ὑπὸ τοῦ χρόνου ὤν, διὸ καὶ πεπεδῆσθαί
με οἱ πολλοὶ εἴκασαν, οὐκέτι ἠδυνάμην διαρκεῖν
πρὸς οὕτω πολλὴν ἀδικίαν τῶν νῦν, ἀλλ' ἀεὶ ἀ-
ναθεῖν ἔδει ἄνω, ἢ κάτω, τὸν κεραυνὸν διηρμέ-
νον, τοὺς ἐπιόρκους, ἢ ἱεροσύλους, ἢ βιαίους κατα-
φλέγοντα. καὶ τὸ πρᾶγμα πάνυ ἐργῶδες ἦν,
καὶ νεανικόν. καὶ παρέστην τῷ υἱῷ τῷ Διῒ καὶ ἄλ-
λως δὲ, καλῶς ἔχειν ἐδόκει μοι διανείμας

τα τοῖς παισὶν οὖσι τὴν ἀρχὴν, αὐτὸν δὲ εὐωχεῖσθαι τὰ πολλὰ ἐφ' ἡσυχίας, οὔτε τοῖς εὐχομένοις χρηματίζοντα, οὔτε ὑπὸ τῶν τἀναντία αἰτούντων ἐνοχλούμενον, οὔτε βροντῶντα, ἢ ἀστράπτοντα, ἢ χάλαζαν ἐνίοτε βάλλειν ἀναγκαζόμενον, ἀλλὰ πρεσβυτικόν τινα τοῦτον ἥδιστον βίον διάγειν, ζωρότερον πίνοντα τὸ νέκταρ, καὶ τῷ Ἰαπετῷ, καὶ τοῖς ἄλλοις ἡλικιώταις προσμυθολογῶν. ὁ δὲ, ἄρχει, μυρία ἔχων πράγματα. πλὴν ὀλίγας ταύτας ἡμέρας, ἐφ' οἷς εἶπον, ἀπεξελέσθαι μοι ἔδοξε. καὶ ἀναλαμβάνω τὴν ἀρχὴν, ὡς ὑπομνήσαιμι τοὺς ἀνθρώπους οἷος ἦν ὁ ἐπ' ἐμοῦ βίος, ὁπότε ἄσπορα, καὶ ἀνήροτα πάντα ἔφυεν αὐτοῖς, οὐ στάχυες, ἀλλ' ἕτοιμος ἄρτος, καὶ κρέα ἐσκευασμένα. καὶ ὁ οἶνος ἔρρει ποταμηδὸν, καὶ πηγαὶ μέλιτος, καὶ γάλακτος. ἀγαθοὶ γὰρ ἦσαν, καὶ χρυσοῖ ἅπαντες. αὕτη μοι ἡ αἰτία τῆς ὀλιγοχρονίου ταύτης δυναστείας, καὶ διὰ τοῦτο πανταχοῦ κρότος, καὶ ᾠδὴ, καὶ παιδιὰ, καὶ ἰσοτιμία πᾶσι, καὶ δούλοις, καὶ ἐλευθέροις. οὐδεὶς γὰρ ἐπ' ἐμοῦ δοῦλος ἦν. ιε. ἐγὼ δὲ ὦ Κρόνε, καὶ τοῦτο εἴκαζον εἰς τοὺς δούλους, καὶ πεδοτρίβας, φιλάνθρωπον ἐκ τοῦ μύθου ἐκείνου ποιεῖν σε, τιμῶντα τοὺς τὰ ὅμοια πάσχοντας, ἅτε καὶ αὐτὸν δουλεύοντα, μεμνημένον τῆς πέδης.

δῆς. Κρό. οὐ παύσῃ γὰρ τὰ τοιαῦτα ληρῶν; Ιε. εὖ λέγεις, καὶ παύσομαι. πλὴν ἔτι μοι καὶ τοῦτο ἀπόκριναι. τὸ πεττεύειν σύνηθες ἦν καὶ τοῖς ἐπὶ σοῦ ἀνθρώποις; Κρό. καὶ μάλα. οὐ μὴν περὶ ταλάντων γε, καὶ μυριάδων, ὥσπερ ὑμῖν, ἀλλὰ περὶ καρύων τὸ μέγιστον, ὡς μὴ ἀνιᾶσθαι ἡττηθέντα, μὴ δὲ δακρύειν ἀεὶ ἄσιτον ἐόντα μόνον τῶν ἄλλων. Ιε. εὖ γε ἐκεῖνοι ποιοῦντες. ὑπὲρ τίνος γὰρ ἂν καὶ ἐπέττευον, αὐτοὶ ὁλόχρυσοι ὄντες; ὥστε ἔγωγε καὶ μεταξὺ λέγοντός σου, τοιόνδε τι ἐνενόησα. εἴ τις ἕνα τῶν ἀνδρῶν ἐκείνων τῶν χρυσηλάτων, ἐς τὸν ἡμέτερον τοῦτον βίον ἀγαγὼν ἔδειξε τοῖς πολλοῖς, οἷα ἔπαθεν ἂν ὁ ἄθλιος ὑπ' αὐτῶν, διεσπάσαντο γὰρ αὐτὸν εὖ οἶδ' ὅτι ἐπιδραμόντες, ὥσπερ τὸν Πενθέα αἱ Μαινάδες, καὶ αἱ Θρᾷτται τὸν Ὀρφέα, ἢ τὸν Ἀκταίονα αἱ κύνες, περὶ τοῦ μεῖζον ἀπενέγκασθαι τὸ μέρος, πρὸς ἀλλήλους ἕκαστος ἁμιλλώμενοι. οἵ γε οὐδὲ ἑορτάζοντες, ἔξω τοῦ φιλοκερδοῦς εἰσιν, ἀλλὰ πρόσοδον οἱ πολλοὶ πεποίηνται τὴν ἑορτήν. εἶτα οἱ μὲν, ἀπέρχονται λῃστεύοντες ἐν τῷ συμποσίῳ τοὺς φίλους. οἱ δέ, σοί τε λοιδοροῦνται οὐδὲν δέον, καὶ τοὺς κύβους συντρίβουσιν, αἰτίους ὄντας αὐτοῖς, ὧν ἑκόντες ποιοῦσιν. ἀτὰρ εἰπέ μοι καὶ τόδε, τί δή ποτε ἁβρὸς οὕτω θεὸς ὤν,

καὶ γέρων, ἐπιλεξάμενος τὸ ἀπρεπέστατον, ὁπότε ἡ χιὼν ἐπέχει τὰ πάντα, καὶ ὁ βορρᾶς πολύς, καὶ οὐδὲν ἔτι οὐ πέπηγεν ὑπὸ τοῦ κρύους, καὶ τὰ δένδρα ξηρά, καὶ γυμνά, καὶ ἄφυλλα, καὶ οἱ λειμῶνες ἄμορφοι, καὶ ἀπηνθηκότες, καὶ οἱ ἄνθρωποι ἐπικεκυφότες, ὥσπερ οἱ πάνυ γεγηρακότες, ἀμφὶ τὴν κάμινον οἱ πολλοί, τηνικαῦτα ἑορτάζεις. οὐ γὰρ πρεσβυτικός γε ὁ καιρός, οὐδὲ ἐπιτήδειος τρυφῶσι. Κρό. πολλά με ἀνακρίνεις ὦ οὗτος, ἤδη πίνειν δέον. παρήρησαι γοῦν μοι χρόνον τῆς ἑορτῆς οὐκ ὀλίγον, οὐ πάνυ ἀναγκαῖά μοι ταῦτα προσφιλοσοφῶν. ὥστε, νῦν μὲν ἄφες αὐτά. εὐωχώμεθα δὲ ἤδη, καὶ κροτῶμεν, καὶ ἐπὶ τῇ ἐλευθερίᾳ ἤδη ζῶμεν. εἶτα πεττεύωμεν ἐς τὸ ἀρχαῖον τοῖς κύβοις, καὶ βασιλέας χειροτονῶμεν, καὶ πειθαρχῶμεν αὐτοῖς. οὕτω γὰρ ἂν τὴν παροιμίαν ἐπαληθεύσαιμι, ἥ φησι, πάλιν παῖδας τοὺς γέροντας γίνεσθαι.

ΙΕ. ἀλλὰ μὴ δύναιτο διψῶν πιεῖν ὦ Κρόνε, ὅτῳ μὴ ταῦτα ἃ λέγεις ἡδέα. ὥστε πίνωμεν. ἱκανὰ γὰρ ὑποκέκρισαι καὶ τὰ πρῶτα. καί μοι δοκῶ γραψάμενος εἰς βιβλίον ταύτην ἡμῶν τὴν συνουσίαν, ἅτε αὐτὸς ἠρώτησα, καὶ σὺ πρὸς ταῦτα ἵλεως ἀπεκρίνω, παρέξειν ἀναγνῶναι τῶν φίλων, ὅσοι γ᾽ ἐπακοῦσαι τῶν σῶν λόγων ἄξιοι.

ΚΡΟ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΚΡΟΝΟΣΟΛΩΝ.

Τάδε λέγει Κρονοσόλων, ἱερεὺς, καὶ προφήτης τοῦ Κρόνου, καὶ νομοθέτης τῶν ἀμφὶ τὴν ἑορτήν. ἃ μὲν τοὺς πένητας χρὴ ποιεῖν, αὐτοῖς ἐκείνοις ἔπεμψα, ἄλλο βιβλίον ἐγγράψας. καὶ εὖ οἶδ᾽ ὅτι ἐμμενοῦσι κἀκεῖνοι τοῖς νόμοις, ἢ αὐτίκα ἔνοχοι ἔσονται τοῖς ἐπιτιμίοις, ἃ κατὰ τῶν ἀπειθούντων μεγάλα ὥρισται. ὑμεῖς δὲ ὦ πλούσιοι, ὁρᾶτε ὅπως μὴ παρανομήσητε, μηδὲ παρακούσητε τῶνδε τῶν προσταγμάτων. ὡς ὅστις ἂν οὕτω μὴ ποιήσῃ, ἴστω οὗτος, οὐκ ἐμοῦ νομοθέτου ἀμελήσων, ἀλλ᾽ εἰς τὸν Κρόνον αὐτὸν, ὅς με προείλετο νομοθετῆσαι εἰς τὴν ἑορτὴν, οὐκ ὄναρ ἐπιστὰς, ἀλλὰ πρῴην ἐγρηγορότι ἐναργὴς συγγενόμενος. ἦν δὲ οὐ πεδήτης, οὐδὲ αὐχμοῦ πλέως, οἷον αὐτὸν οἱ ζωγράφοι παρὰ τῶν ληρούντων ποιητῶν παραδεξάμενοι ἐπιδεικνύουσιν, ἀλλὰ τὴν μὲν ἅρπην εἶχε πάνυ τεθηγμένην. τὰ δ᾽ ἄλλα, φαιδρός τε ἦν, καὶ καρτερὸς, καὶ βασιλικῶς ἐνεσκευασμένος. μορφὴν μὲν τοιόσδε ὤφθη μοι. ἃ δὲ εἶπε, πάνυ θεσπέσια, καὶ ταῦτα προειρῆσθαι ὑμῖν ἄξια. ἰδὼν γάρ με σκυθρωπὸν, ἐπὶ συννοίας βαδίζοντα, ὥσπερ εἰκὸς ἦν θεὸν, ἔγνω αὐτίκα τὴν αἰτίαν τῆς λύπης τίς ἐστί μοι, καὶ ὡς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν πενίαν δυσχεραίνοιμι, οὐ κατὰ τὴν ὥραν μο-
νοχιτῶν. καὶ γὰρ κρύος, καὶ βοῤῥᾶς πολὺς, καὶ
κρύσταλλοι, καὶ χιών. ἐγὼ δὲ ἥκιστα ἐμπεφραγ-
μένος πρὸς αὐτά. ἀλλ' ὅτι καὶ τῆς ἑορτῆς πάνυ
πλησιαζούσης, ἑώρων τοὺς μὲν ἄλλους, παρα-
σκευαζομένους, ὅπως θύσωσι, καὶ εὐωχήσων-
ται, ἐμαυτὸν δὲ οὐ πάνυ ἑορτάσιμα ὄντα. καὶ
δὴ προσελθὼν ὄπισθεν, καὶ τοῦ ὠτός μου λαβό-
μενος, ὁ Κρόνος, ὥσπερ μοι προσεικάζειν
εἴωθε, τί ταῦτα ἔφη ὦ Κρονοσόλων, ἀνιω-
μένῳ ἔοικας; οὐ γὰρ ἄξιον ἔφην ὦ δέσποτα, ὅ-
ταν καταράτους μὲν, καὶ μιαροὺς ἀνθρώπους ὑπερ-
πλουτοῦντας, καὶ μόνους τρυφῶντας ὁρῶ, αὐτὸς δὲ
καὶ ἄλλοι συχνοὶ τῶν πεπαιδευμένων, ἀπορίᾳ,
καὶ ἀμηχανίᾳ σύνεσμεν; ἀλλ' οὐδὲ σὺ ὦ δέ-
σποτα, θέλεις παῦσαι ταῦτα, καὶ μετακοσμῆ-
σαι πρὸς τὸ ἰσόμοιρον; τὰ μὲν ἄλλα ἔφη οὐ ῥᾴ-
διον ἀλλάττειν, ὁπόσα ἐκ Κλωθοῦς, καὶ τῶν ἄλ-
λων μοιρῶν πάσχετε. ἃ δὲ ἐς τὴν ἑορτὴν, ἐπα-
νορθώσομαι ὑμῖν τὴν πενίαν. ἡ δὲ ἐπανόρθωσις,
ἤδε ἔστω. ἴθι ὦ Κρονοσόλων, καὶ γράψον μοι νό-
μους τινὰς, ἃ χρὴ πράττειν ἐν τῇ ἑορτῇ, ὡς μὴ
καθ' αὑτοὺς οἱ πλούσιοι ἑορτάζοιεν, κοινωνοῖεν
δὲ ὑμῖν τῶν ἀγαθῶν. ἀλλ' οὐκ οἶδα ἔφην. ἐγὼ
ἦ δ' ὃς διδάξομαί σε. καὶ κατάρξάμενος ἐδίδασ-
κεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κεν. εἶτα ἐπειδὴ πάντα ἠπιστάμην, καὶ εἰπὲ ἀπὸ
τοῖς ἔφη, ὅτι ἢν μὴ ταῦτα ποιῶσι, μάτην ἐγὼ τὴν
ἅρπην ταύτην ὀξεῖαν περιφέρω. ἢ γελοῖος ἂν εἴην,
τὸν μὲν πατέρα, ἐκτομίαν πεποιηκὼς, τὸν οὐρα-
νὸν, τοὺς δὲ πλουσίους μὴ εὐνουχίζων, ὁπόσοι ἂν
παρανομήσωσιν, ὡς ἀπόροιεν τῇ μητρὶ σὺν αὐλοῖς,
καὶ κυμβάλοις, βάκηλοι γενόμενοι. ταῦτα ἠπεί-
λησεν. ὥστε καλῶς ἔχει ὑμῖν μὴ παραβαίνειν
τοὺς θεσμούς. Νόμοι πρῶτοι. Μηδένα μηδὲν, "
μήτε ἀγοραῖον, μήτε ἴδιον πράττειν ἐντὸς τῆς ἑ- "
ορτῆς, ἢ ὅσα ἐς παιδιὰν, καὶ τρυφὴν, καὶ θυμηδίαν. "
ὀψοποιοὶ μόνοι, καὶ πεμματουργοὶ, ἐνεργοὶ ἔστωσαν. "
ἰσοτιμία πᾶσιν ἔστω, καὶ δούλοις, καὶ ἐλευθέ- "
ροις, καὶ πένησι, καὶ πλουσίοις. ὀργίζεσθαι, ἢ ἀγανα- "
κτεῖν, ἢ ἀπειλεῖν, μηδενὶ ἐξέστω. λογισμοὺς πα- "
ρὰ τῶν ἐπιμελουμένων κρονίοις λαμβάνειν, μη- "
δὲ ταῦτα ἐξέστω. μηδεὶς τὸν ἄργυρον, ἢ τὴν ἐσθῆ- "
τα ἐξεταζέτω, μηδὲ ἀναγραφέτω ἐν τῇ ἑορ- "
τῇ, μηδὲ γυμναζέσθω κρονίοις, μηδὲ λόγους ἀ- "
σκεῖν, ἢ ἐπιδείκνυσθαι, πλὴν εἴ τινες ἀστεῖοι, καὶ "
φαιδροὶ, σκῶμμα, καὶ παιδιὰν ἐμφαίνοντες. Νό- "
μοι δεύτεροι. Πρὸ πολλοῦ τῆς ἑορτῆς, οἱ πλούσι- "
οι, γραφόντων μὲν ἐς πινάκιον ἑκάστου τῶν φίλων "
τοὔνομα, ἐχόντων δὲ καὶ ἀργύριον ἕτοιμον, ὅσον "
τῶν κατ' ἔτος προσιόντων, τὸ δέκατον. καὶ ἐσθῆ- "

» τὰ τῆς οὔσης τὴν περιττὴν, καὶ ὅση παχυτέρα,
» ἢ κατ' αὐτοὺς κατασκευή. καὶ τῶν ἀργύρων, οὐκ
» ὀλίγα. ταῦτα μὲν, πρόχειρα ἔστω. τῇ δὲ πρὸ τῆς
» ἑορτῆς, καθάρσιον μέν τι περιφερέσθω, καὶ ὑπ'
» αὐτῶν ἐξελαυνέσθω ἐκ τῆς οἰκίας μικρολο-
» γία, καὶ φιλαργυρία, καὶ φιλοκερδία, καὶ ὅσα
» τοιαῦτα ἄλλα σύνοικα τοῖς πλείστοις αὐτῶν.
» ἐπειδὰν δὲ καθαρὰν τὴν οἰκίαν ἐξεργάσωνται,
» θυόντων Διὶ πλουτοδότῃ, καὶ Ἑρμῇ δώρει, καὶ
» Ἀπόλλωνι μεγαλοδώρῳ. εἶτα περὶ δείλην ὀ-
» ψίαν, ἀναγιγνωσκέσθω μὲν σφίσι τὸ φιλικὸν
» ἐκεῖνο πινάκιον. κατανείμαντες δὲ αὐτοὶ κα-
» τ' ἀξίαν ἑκάστῳ πρὶν ἥλιον δῦναι, πεμπόντων
» τοῖς φίλοις. οἱ δὲ ἀποκομίζοντες, μὴ πλείους
» τριῶν, ἢ τεττάρων, οἱ πιστότατοι τῶν οἰκετῶν,
» ἤδη πρεσβῦται. ἐγγραψάτω δὲ ἐς γραμ-
» μάτιον ὅ, τι τὸ πεμπόμενον, καὶ ὅσον, ὡς μὴ
» ἀμφότεροι ὑποπτεύοιεν τοὺς διακομίζοντας.
» αὐτοὶ δὲ οἱ οἰκέται μίαν κύλικα ἕκαστος πι-
» όντες, ἀποτρεχόντων. ἀπαιτούντων δὲ μη-
» δὲν πλέον. τοῖς πεπαιδευμένοις διπλάσια
» πάντα πεμπέσθω. ἄξιον γὰρ διμοιρίτας εἶναι. τὰ
» ἐπὶ τοῖς δώροις λεγόμενα, ὡς μετριώτατα, καὶ
» ὀλίγιστα ἔστω. ἀπεχθὲς δὲ μηδεὶς μηδὲν συμ-
» πλεκέτω, μηδὲ ἐπαινείτω τὰ πεμπόμενα.

πλουσι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πλουσίοις πλουσίῳ μηδὲν πεμπέτω, μηδὲ ἑστιά-
τω κρονίοις ὁ πλούσιος τὸν ἰσότιμον. τὰ εἰς τὸ πέμ-
φθῆναι προχειρισθέντα, φυλασσέσθω μηδέν. μηδὲ
μετάνοια εἰσίτω ἐπὶ τῇ δωρεᾷ. εἴ τις γερουσίαν ἀπο-
δημῶν, δι' αὐτὸ ἄμοιρος κατέστη, ἀπολαμβανέ-
τω κἀκεῖνα. διαλυόντων δὲ οἱ πλούσιοι καὶ χρέα ὑ-
πὲρ τῶν φίλων τῶν πενήτων, καὶ τὸ ἐνοίκιον, οἵ τινες
ἂν καὶ τοῦτο ὀφείλοντες, καταβαλεῖν μὴ ἔχωσι.
καὶ ὅλως, πρὸ πολλοῦ μελέτω αὐτοῖς εἰδέναι,
ὅτου μάλιστα δέονται. ἀπέστω δὲ καὶ τῶν λαμ-
βανόντων μεμψιμοιρία. καὶ τὸ πεμφθὲν ὁποῖον
ἂν ᾖ, μέγα δοκείτω. οἴνου ἀμφορεὺς, ἢ λαγὼς,
ἢ ὄρνις παχεῖα, κρονίων δῶρον μὴ δοκείτω. μη-
δὲ τὰς κρονικὰς δωρεὰς εἰς γέλωτα φερέτω-
σαν. ἀντιπεμπέτω δὲ ὁ πένης τῷ πλουσίῳ,
ὁ μὲν πεπαιδευμένος, βιβλίον τῶν παλαι-
ῶν, εἴ τι εὔφημον, καὶ συμποτικὸν ᾖ, ἢ αὐτοῦ
σύγγραμμα, ὁποῖον ἂν δύνηται. καὶ τοῦτο λαμ-
βανέτω ὁ πλούσιος πάνυ φαιδρῷ τῷ προσώ-
πῳ. καὶ λαβὼν, ἀναγινωσκέτω εὐθύς. ἢν δὲ ἀπώ-
θηται, ἢ ἀπορρίψῃ, ἴστω τῇ τοῦ ἅρπης ἀπειλῇ
ἔνοχος ὢν, κἂν πέμψῃ ὅσα ἐχρῆν. οἱ δὲ ἄλλοι,
οἱ μὲν, στεφάνους. οἱ δὲ, λιβανωτοῦ χόνδρους
πεμπόντων. ἢν δὲ πένης, ἐσθῆτα, ἢ ἄργυρον,
ἢ χρυσὸν παρὰ τὴν δύναμιν πέμψῃ πλουσίῳ.

,, τὸ μὲν πεμφθὲν, ἔστω δημόσιον· καὶ καταπραθὲν,
,, ἐμβαλλέσθω εἰς τὸν θησαυρὸν τοῦ Κρόνου. ὁ δὲ πέ-
,, νης, ἐς τὴν ὑστεραίαν πληγὰς παρὰ τοῦ πλουσίου
,, λαμβανέτω ὑπὲρ νάρθηκι εἰς τὰς χεῖρας, οὐκ
,, ἐλάττους διακοσίων, καὶ πεντήκοντα. Νόμοι
,, συμποτικοί. Λούεσθαι μὲν ὁπόταν τὸ στοιχεῖον
,, ἑξάπουν ᾖ. τὰ δὲ πρὸ τοῦ λουτροῦ, κάρυα, καὶ πεσ-
,, σοὶ ἔστωσαν. κατακείσθω ὅπου ἂν τύχοι ἕκαστος.
,, ἀξίωμα, ἢ γένος, ἢ πλοῦτος, ὀλίγον συντε-
,, λείτω ἐς προνομήν. οἶνον τὸν αὐτὸν πίνειν ἅπαν-
,, τας. μὴ δ' ἔστω πρόφασις ὑπὲρ πλουσίῳ, ἢ στο-
,, μάχου, ἢ κεφαλῆς ὀδύνη, ὡς μόνον δι' αὐτὴν
,, πίνειν τοῦ κρείττονος. μοῖρα κρεῶν, καὶ ἴσον ἅπα-
,, σιν. οἱ διάκονοι, πρὸς χάριν μηδενὶ μηδέν. ἀλ-
,, λὰ μὴ δὲ βραδυνέτωσαν, μὴ δὲ παραπεμπέτω-
,, σαν, ἔστ' ἂν αὐτοῖς δοκῇ, ὁπόσα χρὴ ἀποφέρειν.
,, μὴ δὲ τῷ μὲν, μεγάλα, τῷ δὲ, κομιδῇ μικρὰ
,, παρατιθέσθω. μὴ δὲ τῷ μὲν, ὁ μηρός. τῷ δὲ, ἡ
,, γνάθος συός, ἀλλ' ἰσότης ἐν πᾶσιν. οἰνοχόος
,, ὀξὺ δεδορκέτω ἐκ περιωπῆς ἐς ἕκαστον, καὶ ἔλατ-
,, τον ἐς τὸν δεσπότην. καὶ ἐπ' ὀξύτερον ἐπακουέτω.
,, καὶ κύλικες παντοῖαι. ἐξέστω προέχειν ἤν τις
,, ἐθέλῃ, φιλοτησίαν. πάντες πᾶσι προπινέτω-
,, σαν, ἢν ἐθέλωσι, προπιόντος τοῦ πλουσίου. μὴ δὲ
,, ἐπάναγκες ἔστω πίνειν, ἤν τις μὴ δύνηται. εἰς τὸ

συμπόσι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συμπόσιον μήτε ὀρχηστὴν, μήτε κιθαριστὴν αὐτὸν ἄρτι μανθάνοντα. ἐξέστω ἢν τις ἐθέλῃ, σκώμματος. καὶ μέτρον ἔστω τὸ ἄλυπον. τὸ πᾶσι πεττευέτωσαν τῶν καρύων. ἢν τις ἐπ' ἀργυρίῳ πεττεύσῃ, ἄσιτος εἰς τὴν ὑστεραίαν ἔστω. καὶ μενέτω, καὶ ἀπίτω ἕκαστος, ὁπόταν βούληται. ἐπὰν δὲ τοὺς οἰκέτας ὁ πλούσιος εὐωχῇ, διακονούντων καὶ οἱ φίλοι σὺν αὐτῷ, τοὺς νόμους τούτους ἕκαστον τῶν πλουσίων ἐγγράψαντα ἐς χαλκῆν στήλην, ἔχειν ἐν μεσαιτάτῳ τῆς αὐλῆς, καὶ ἀναγινώσκειν. καὶ εἰδέναι δεῖ ὅτι ἔστ' ἂν αὕτη ἡ στήλη μένῃ, οὔτε λιμὸς, οὔτε λοιμὸς, οὔτε πυρκαϊὰ, οὔτε ἄλλο χαλεπὸν οὐδὲν εἴσεισιν εἰς τὴν οἰκίαν αὐτοῦ. ἢν δέ ποτε, ὅπερ μὴ γένοιτο, καθαιρεθῇ, ἀποτρόπαιον, οἷα πείσονται.

## ΕΠΙΣΤΟΛΑΙ ΚΡΟΝΙΚΑΙ.

### ΕΓΩ ΚΡΟΝΩ ΧΑΙΡΕΙΝ.

Εγεγράφειν μὲν ἤδη σοι καὶ πρότερον, δηλῶν ἐν οἷς εἴην, καὶ ὡς ὑπὸ πενίας κινδυνεύοιμι, μόνος ἄμοιρος εἶναι τῆς ἑορτῆς, ἣν ἐπήγγελκας, ἔτι καὶ τοῦτο προσθεὶς, μέμνημαι γὰρ, ἀλογώτατον εἶναι, τοὺς μὲν, ἡμῶν ὑπερπλουτεῖν, καὶ τρυφᾶν, οὐ κοινωνοῦντας ὧν ἔχουσι τοῖς πενεστέροις. τοὺς δὲ λιμῷ διαφθείρεσθαι. καὶ ταῦτα, κρονίων ἐνεστώτων. ἐπεὶ δέ μοι τότε οὐδὲν

ἀντεπέστειλας, ἡγησάμην δεῖν αὖθις ἀναμνῆσαί σε τῶν αὐτῶν. ἐχρῆν γάρ σε ὦ ἄριστε Κρόνε, τὸ ἄνισον τοῦτο ἀφελόντα, καὶ τὰ ἀγαθὰ ἐς τὸ μέσον ἅπασι καταθέντα, ἔπειτα κελεύειν ἑορτάζειν. ὡς δὲ νῦν ἔχομεν, μύρμηξ ἢ κάμηλος, ὡς ἡ παροιμία φησί. μᾶλλον δὲ τραγικὸν ὑποκριτὴν ἐννόησον, θατέρῳ μὲν τοῖν ποδοῖν, ἐφ' ὑψηλοῦ βεβηκότα, οἷόν εἰσιν οἱ τραγικοὶ ἐμβάται. ὁ δ' ἕτερος, ἀνυπόδετος ἔστω. εἰ τοίνυν βαδίζοι οὕτως ἔχων, ὁρᾷς ὅτι ἀναγκαῖον αὐτῷ, ἄρτι μὲν, ὑψηλῷ, ἄρτι δέ, ταπεινῷ γενέσθαι, καθ' ὁπότερον ἂν πόδα προβαίνῃ; τοσοῦτον κἂν τῷ βίῳ ἡμῶν τὸ ἄνισον. καὶ οἱ μὲν, ὑποδησάμενοι, ἐμβάτας, τῆς τύχης χορηγούσης, ἐντραγῳδοῦσιν ἡμῖν. οἱ πολλοὶ δὲ πεζῇ καὶ χαμαὶ βαδίζομεν, δυνάμενοι ἂν εὖ ἴσθι μὴ χεῖρον αὐτῶν ὑποκρίνεσθαι, καὶ διαβαίνειν, εἴ τις καὶ ἡμᾶς ἐνεσκεύασε παραπλησίως ἐκείνοις. καίτοι ἀκούω τῶν ποιητῶν λεγόντων, ὡς τὸ παλαιόν, οὐ τοιαῦτα ἦν τοῖς ἀνθρώποις τὰ πράγματα, σοῦ ἔτι μοναρχοῦντος. ἀλλ' ἡ μὲν γῆ, ἄσπορος, καὶ ἀνήροτος ἔφυεν αὐτοῖς τὰ ἀγαθά, δεῖπνον ἕτοιμον ἑκάστῳ ἐς κόρον. ποταμοὶ δέ, οἱ μέν, οἶνον· οἱ δέ, γάλα. εἰσὶ δὲ οἳ καὶ μέλι ἔρρεον. τὸ δὲ μέγιστον, αὐτοὺς ἐκείνους φασὶ τοὺς ἀνθρώπους χρυσοῦς

σοῦς

σους εἶναι. πενίαν δὲ, μηδὲ τὸ παράπαν αὐτοῖς πλησιάζειν. ἡμεῖς δὲ, αὐτοὶ μὲν, οὐδὲ μόλιβδος ἂν εἰκότως δοκοίημεν, ἀλλ' εἴ τι τοῦ χρυσοῦ ἀτιμότεροι. ἡ τροφὴ δὲ, μετὰ πόνων τοῖς πλείστοις. ἡ πενία δὲ, ἡ ἀπορία, καὶ ἀμηχανία, καὶ τὸ, οἴμοι, ἢ τὸ, πόθεν ἄν μοι γένοιτο, καὶ ὦ τῆς τύχης, πολλὰ τοιαῦτα. παρὰ γοῦν ἡμῖν τοῖς πένησι καὶ ἧττον ἄν, εὖ ἴσθι, ἠνιώμεθα ἂν ἐπ' αὐτοῖς, εἰ μὴ τοὺς πλουσίους ἑωρῶμεν τοσαύτῃ εὐδαιμονίᾳ συνόντας. οἳ τοσοῦτον μὲν χρυσόν, τοσοῦτον δὲ ἄργυρον ἐγκλεισάμενοι, ἐσθῆτας δὲ ὅσας ἔχοντες, ἀνδράποδα δὲ, καὶ ζεύγη, καὶ συνοικίας, καὶ ἀγρούς, πάμπολλα δὲ ταῦτα ἕκαστα κεκτημένοι, οὐχ ὅπως οὐ μετέδοσαν ἡμῖν ποτε αὐτῶν, ἀλλ' οὐδὲ προσβλέπειν τοὺς πολλοὺς ἀξιοῦσι. ταῦτα ἡμᾶς μάλιστα ἀποπνίγει ὦ Κρόνε, καὶ ἀφόρητον ἡγούμεθα τὸ πρᾶγμα. τὸν μὲν, ἐφ' ἁλουργίδων κατακείμενον, τοσούτοις ἀγαθοῖς ἐντρυφᾶν ἐρυγγάνοντα, καὶ ὑπὸ τῶν συνόντων εὐδαιμονιζόμενον, ἀεὶ ἑορτάζοντα. ἐμὲ δὲ, καὶ τοὺς ὁμοίους, ὀνειροπολεῖν, εἴ ποθεν ὀβολοὶ τέσσαρες γένοιντο, ὡς ἔχοιμεν ἄρτων γοῦν, ἢ ἀλφίτων ἐμπλησάμενοι καθεύδειν, κάρδαμον, ἢ θύμον, ἢ κρόμμυον ἐπιτρώγοντες. ἢ τοίνυν ταῦτα ὦ Κρόνε, ἀλλάττειν, ἢ μεταποιεῖν ἐς τὸ ἰσοδίαι-

ρον, ἢ τὸ ὕσταρον, αὐρύσ γε ἐκείνου κελεύειν τοὺς πλουσίους, μὴ μόνους ἀπολαύειν τῶν ἀγαθῶν, ἀλλὰ τῶν μεδίμνων τοσούτων, χρυσίου χοίνικά τε ἡμῶν πάντων κατασκεδάσαι. ἀπὸ δὲ ἱματίων, ὅσα κἂν ὑπὸ σητῶν διαβρωθέντα, οὐκ ἂν αὐτοὺς ἀνιάσειε. ταῦτα γοῦν πάντως ἀπολλόμενα, καὶ ὑπὸ τοῦ χρόνου διαφθαρησόμενα, ἡμῖν δοῦναι περιβαλέσθαι μᾶλλον, ἢ ἐν ταῖς κοιτίσι, καὶ κίσταις, εὐρῶτι πολλῷ κατασαπῆναι. τὸ μὴν τὸ δειπνίζειν ἕκαστον, ἄρτι μέν, τέσσαρας, ἄρτι δέ, πέντε τῶν πενήτων παραλαμβάνοντας. μὴ μέντοι ἐς τὸν νῦν τρόπον τῶν δείπνων, ἀλλ' ἐς τὸ δημοτικώτερον, ὡς ἐπίσης μετέχειν ἅπαντας. καὶ μὴ τὸν μὲν, ἐμφορεῖσθαι τῶν ὄψων, καὶ τὸν οἰκέτην περιμένειν ἑστῶτα, ἔστ' ἂν ἀπαγορεύσῃ ἐσθίων. ἐφ' ἡμᾶς δὲ ἐλθόντα, ἔτι παρασκευαζομένων ὡς ἐπιβάλοιμεν τὴν χεῖρα, παραμείβεσθαι, δείξαντα μόνον τὴν λοπάδα, ἢ ὅσον ἔτι τοῦ πλακοῦντος τὸ λοιπὸν, μὴ δὲ ἐσκομισθέντος συὸς, διανέμοντα, τῷ μὲν δεσπότῃ παρατεθεῖναι τὸ ἡμίτομον ὅλον σὺν τῇ κεφαλῇ, τοῖς δὲ ἄλλοις, ὀστᾶ φέρειν ἐγκεκαλυμμένα. προειπεῖν δὲ καὶ τοῖς οἰνοχόοις μὴ περιμένειν, ἔστ' ἂν ἑπτάκις αἰτήσῃ πιεῖν ἡμῶν ἕκαστος. ἀλλὰ ἢν ἅπαξ κελεύσῃ, αὐτίκα ἐγχεῖν. καὶ

ἀναδοῦναι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀναδῦναι, μεγάλην κύλικα ἐμπλησάμενος,
ὥσπερ τὸν δεσπότην. καὶ τὸν οἶνον δὲ αὐτὸν πᾶ-
σι τοῖς συμπόταις, ἕνα καὶ τὸν αὐτὸν εἶναι. ἢ ποῦ
γὰρ γεγράφθαι τοῦτον τὸν νόμον, τὸν μὲν, αὐθιγενοῦς
μεθύσκεσθαι, ἐμοὶ δὲ ὑπὸ τοῦ γλεύκους διαρ-
ρήγνυσθαι τὴν γαστέρα; ἢν ταῦτα ἐπανορθώσῃς,
καὶ μετακοσμήσῃς ὦ Κρόνε, βίον μὲν τὸν βίον,
ἑορτὴν δὲ τὴν ἑορτὴν ἔσῃ πεποιηκώς. εἰ δὲ μή,
ἐκεῖνοι μὲν, ἑορταζόντων. ἡμεῖς δὲ, καθεδούμε-
θα, εὐχόμενοι, ἐπειδὰν λουσάμενοι ἥκωσι, τὸν
παῖδα μὲν αὐτοῖς ἀναστρέψαντα τὸν ἀμφορέα,
κατάξαι. τὸν μάγειρον δὲ, τὸν ζωμὸν κνισῶ-
σαι. καὶ ἐπιλαθόμενον, τὸ τάριχος μὲν ἐς τὴν
φακὴν ἐμβαλεῖν τῶν ἰχθύων. τὴν κύνα δὲ
παρεισπεσοῦσαν, τόν τε ἀλλάντα ὅλον κα-
ταφαγεῖν, καὶ τἄλλα τῶν ὀψοποιῶν ἐχόν-
των, καὶ τοῦ πλακοῦντος τὸ ἥμισυ. τὸν ὗν δὲ,
καὶ τὸν ἔλαφον, καὶ τὰ δελφάκια μεταξὺ ὀπτώ-
μενα, τὸ ὅμοιον ποιεῖν, ὅπερ Ὅμηρος περὶ τῶν
ἡλίου βοῶν φησι. μᾶλλον δὲ μὴ ἕρπειν μόνον,
ἀλλ᾽ ἀναπηδήσαντα, φεύγειν εἰς τὸ ὄρος αὐτοῖς
ὀβελοῖς. καὶ τὰς ὄρνις δὲ τὰς παχείας, καί-
τοι ἀπτέρους ἤδη οὔσας, καὶ ἐσκευασμένας, ἀ-
ναπταμένας, οἴχεσθαι καὶ ταύτας, ὡς μὴ μό-
νοι ἀπολαύοιεν αὐτῶν. ὃ δὲ δὴ μάλιστα αὐτοὺς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀνιάσειε, τὸ μὲν χρυσίον, μύρμηκάς τινας, οἵους τοὺς ἰνδικοὺς, ἀνορύττοντας ἐκ τῶν θησαυρῶν, ἐκφέρειν νύκτωρ ἐς τὸ δημόσιον. τὴν ἐσθῆτα δέ οἱ, ὀλιγωρίᾳ τῶν ἐπιμελητῶν κοσκινηδὸν διατετρυπῆσθαι ὑπὸ τῶν βελτίστων μυῶν, ὡς σαγήνης θυννευτικῆς μηδὲν διαφέρειν. παῖδας δὲ αὐτῶν τοὺς ὡραίους, καὶ κομήτας, οὓς ὑακίνθους, ἢ ἀχιλλέας, ἢ ναρκίσσους ὀνομάζουσι, μεταξὺ ὀρέγοντας σφίσι τὸ ἔκπωμα, φαλακροὺς γίνεσθαι, ἐπιρρεούσης τῆς κόμης. καὶ πώγωνα φύειν ὀξύν, οἷοί εἰσιν ἐν ταῖς κωμῳδίαις οἱ σφηνοπώγωνες. καὶ παρὰ τοῖς κροτάφοις, πάνυ λάσιον, καὶ κάρτα ἐκκεχυμένον. τὸ μεταξὺ δὲ, λεῖον καὶ γυμνὸν εἶναι. ταῦτα, καὶ πλείω τούτων εὐξαίμεθ' ἂν, ἢν μὴ θέλωσι τὸ ἄγαν φίλαυτον ἀφέντες, ἐς τὸ κοινὸν πλουτεῖν, καὶ μεταδιδόναι ἡμῖν τῶν μετρίων.

ΚΡΟΝΟΣ ΕΜΟΙ ΤΩ ΤΙΜΙΩΤΑΤΩ ΧΑΙΡΕΙΝ.

Τί ταῦτα ληρεῖς ὦ οὗτος, ἐμοὶ περὶ τῶν παρόντων ἐπιστέλλων, καὶ ἀναδασμὸν τῶν ἀγαθῶν ποιεῖν κελεύων; τὸ δὲ, ἑτέρου ἂν εἴη, τοῦ νῦν ἄρχοντος. θαυμάζω γάρ σε, εἰ μόνος τῶν ἁπάντων ἀγνοεῖς, ὡς ἐγὼ μὲν πάλαι βασιλεὺς ὢν, πέπαυμαι εἶς ὢν, τοῖς παισὶ διανείμας τὴν ἀρχήν. ὁ Ζεὺς δὲ, μάλιστα τῶν

τοιούτων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοιούτων ἐπιμελεῖται. τὰ δὲ ἡμέτερα ταῦτα, μέχρι πεττῶν, καὶ κρότου, καὶ ᾠδῆς, καὶ μέθης. καὶ ταῦτα, οὐ πλέον ἡμερῶν ἑπτά. ὥστε περὶ τῶν μειζόνων ἃ φής, ἀφελεῖν τὸ ἄνισον, καὶ ἐκ τῆς ὁμοίας ἢ πένεσθαι, ἢ πλουτεῖν ἅπαντας, ὁ Ζεὺς ἂν χρηματίσειεν ὑμῖν. εἰ δέ τι τῶν ἐκ τῆς ἑορτῆς ἀδικοῖτό τις, ἢ πλεονεκτοῖτο, ἐμὸν ἂν εἴη δικάζειν. καὶ ἐπιστέλλω δὲ τοῖς πλουσίοις περὶ τῶν δείπνων, καὶ τοῦ χοίνικος τοῦ χρυσίου, καὶ τῶν ἐσθήτων, ὡς καὶ ὑμῖν πέμποιεν εἰς τὴν ἑορτήν. δίκαια γὰρ ταῦτα, καὶ ἄξια αὐτοὺς ποιεῖν, ὡς φατέ, εἰ μή τι εὔλογον ἐκεῖνοι πρὸς ταῦτα ἔχωσι λέγειν. τὸ δὲ ὅλον, ἴστε ὦ πένητες ὑμεῖς ἐξηπατημένοι, καὶ οὐκ ὀρθῶς δοξάζοντες περὶ τῶν πλουσίων, εἴγε πανευδαίμονας αὐτοὺς οἴεσθε εἶναι, καὶ μόνους ἡδύν τινα βιοῦν τὸν βίον, ὅτι δειπνεῖν τε πολυτελῶς ἔξεστιν αὐτοῖς, καὶ μεθύσκεσθαι οἴνου ἡδέος, καὶ παισὶν ὡραίοις, καὶ γυναιξὶν ὁμιλεῖν, καὶ ἐσθῆσι μαλακαῖς χρῆσθαι. τὸ δὲ πάνυ ἀγνοεῖτε ὁποῖόν ἐστιν. αἵ τε γὰρ φροντίδες αἱ περὶ τούτων, οὐ μικραί. ἀλλ᾽ ἀνάγκη ἐπαγρυπνεῖν ἑκάστοις, μή τι ὁ οἰκονόμος βλακεύσας, ἢ ὑφελόμενος λάθῃ, μὴ ὁ οἶνος ὀξωθῇ, μὴ ὁ σῖτος φθειζήσῃ, ἢ ὁ λῃστὴς ὑφέληται τὰ ἐκπώματα, μὴ

πιστεύσῃ τοῖς συκοφάνταις ὁ δῆμος, λέγουσι τυραννεῖν αὐτὸν ἐθέλειν. ταῦτα δὲ πάντα οὐδὲ τὸ πλεῖστον ἂν εἴη μέρος τῶν ἀνιώντων αὐτούς. εἰ γοῦν ἠπίστασθε τοὺς φόβους, καὶ τὰς μερίμνας ἃς ἔχουσι, πάνυ ἂν ὑμῖν φευκτέον ὁ πλοῦτος ἔδοξεν. ἐπεί τοι οἴει με αὐτὸν οὕτως ἄν ποτε κορυβαντιάσαι, ὡς εἰ καλὸν ἦν τὸ πλουτεῖν, καὶ βασιλεύειν, ἀφέντα ἂν αὐτά, καὶ παραχωρήσαντα ἄλλοις, καθῆσθαι ἰδιωτεύοντα, καὶ ἀνέχεσθαι ὑπ' ἄλλῳ παραττόμενον ἀλλὰ τὰ πολλὰ ταῦτα εἰδώς, ἃ τοῖς πλουσίοις, καὶ ἄρχουσι προσεῖναι ἀνάγκη, ἀφῆκα τὴν ἀρχήν, εὖ ποιῶν. ἃ δ' ἃ νῦν ἐπετίμω πρός με, ὡς τοὺς μέν, συῶν, καὶ πλακούντων ἐμφορουμένους, ὑμᾶς δέ, κάρδαμον, ἢ θύμον, ἢ κρόμμυον ἐπεσθίοντας ἐν τῇ ἑορτῇ, σκέψαι ὁποῖά ἐστι. πρὸς μὲν γὰρ τὸ παρόν, ἡδύ, καὶ οὐκ ἀνιαρὸν ἴσως ἑκάτερον αὐτῶν. ὡς δὲ μετὰ ταῦτα, ἔμπαλιν ἀναστρέφεται τὸ πρᾶγμα. εἶτα ὑμεῖς μὲν οὔτε καρηβαροῦντες ἀνασταίητ' ἂν ἐς τὴν ὑστεραίαν, ὥσπερ ἐκεῖνοι ὑπὸ τῆς μέθης, οὔτε ὑπὸ τῆς ἄγαν πλησμονῆς, δυσώδές τε, καὶ καπνωδέστερον ἐρυγγάνοντες. οἱ δέ, τούτων τε ἀπολαύουσι, καὶ τὸ πλεῖστον τῆς νυκτός, ἢ παισίν, ἢ γυναιξίν, ἢ ὅπως ἂν ὁ σφάγος κελεύῃ συναναφυρέντες, ἢ φθό-

αν, ἢ περιπνευμονίαν, ἢ ὕδερον, οὐ χαλεπῶς συνεξελέξαντο ἐκ τῆς πολλῆς τρυφῆς. ἢ τίνα ἂν αὐτῶν ῥᾳδίως δεῖξαι δύναιο, μὴ πάντως ὠχρὸν ὄντα, πολὺ δὲ νεκρώδους ἐπιφαίνοντα; τίνα δὲ ἐς γῆρας ἀφικόμενον, τοῖς αὐτοῦ ποσὶν, ἀλλὰ μὴ φοράδην ὑπὸ τεττάρων ὀχούμενον, ὁλόχρυσον μὲν τὰ ἔξω, κατάρραφον δὲ τὰ ἔνδον, ὥσπερ αἱ τραγικαὶ ἐσθῆτες ἐκ ῥακῶν πάνυ εὐτελῶν συγκεκομμέναι; ὑμεῖς δ', ἰχθύων μὲν ἄγευστοι, καὶ ἄσιτοι. ποδάγρας δὲ, ἢ περιπνευμονίας, οὐχ ὁρᾶθ' ὅτι καὶ τούτων ἄπειροί ἐστε; ἢ εἴ τι κατ' ἄλλην τινὰ αἰτίαν συμβαίνοι. καίτοι οὐδ' αὐτοῖς ἐκείνοις ἔτι ἐστὶν αὐτὸ, καθ' ἡμέραν, καὶ πέρα τοῦ κόρου ἐσθίειν τούτων. ἀλλ' ἥδιον ἂν αὐτοὺς οὕτω λαχάνου, καὶ θύμου ὀρεγομένους ἐνιότε, ὥσπερ οὐδὲ σὺ τῶν λαγῶν, καὶ συῶν. ἐῶ λέγειν ὅτι ἄλλα λυπεῖ αὐτοὺς, ἢ υἱὸς ἀκόλαστος, ἢ γυνὴ, τοῦ οἰκέτου ἐρῶσα, ἢ ἐρώμενος, πρὸς ἀνάγκην μᾶλλον, ἢ πρὸς ἡδονὴν συνών. καὶ ὅλως, πολλά ἐστιν ἅπερ ὑμεῖς ἀγνοοῦντες, τὸν χρυσὸν ὁρᾶτε αὐτῶν μόνον, καὶ τὴν πορφύραν. ἢ ἢν ἴδητέ ποτε ἐξελαύνοντας ἐπὶ λευκοῦ ζεύγους, κεχήνατε, καὶ προσκυνεῖτε. εἰ δὲ ὑπερεωρᾶτε αὐτῶν, καὶ κατεφρονεῖτε, καὶ μήτε ἐπεστρέφεσθε πρὸς τὴν ἀργυρᾶν ἁρμάμα

ξαι, μήτε μεταξὺ διαλεγομένων, εἰς τὸν ἐν τῷ δακτυλιδίῳ σμάραγδον ἀφεωρᾶτε, καὶ τῶν ἱματίων περιαπτόμενοι, τὸ μαλακὸν ἐθαυμάζετε, ἀλλ' εἰᾶτε καθ' ἑαυτοὺς πλουτεῖν, εὖ ἴστε αὐτοὶ ἐφ' ἡμᾶς ἰόντες, ἐδέοντο συνδειπνεῖν, ὡς ἐπιδείξαιντο ὑμῖν τὰς κλίνας, καὶ τὰς τραπέζας, καὶ τὰ ἐκπώματα, ὧν οὐδὲν ὄφελος εἰ ἀμάρτυρος ἡ κτῆσις εἴη. τά γέ τοι πλεῖστα εὕροιτε ἄν, αὐτοὺς ὑμῶν ἕνεκα κτωμένους. οὐχ ὅπως αὐτοὶ χρήσωνται, ἀλλ' ὅπως ὑμεῖς θαυμάζοιτε. ταῦτα ὑμᾶς παραμυθοῦμαι, εἰδὼς τὸν βίον ἑκάτερον. καὶ ἄξιον ἑορτάζειν, ἐνθυμουμένους ὅτι μετ' ὀλίγον ἅπαντας δεήσει ἀπιέναι ἐκ τοῦ βίου, κἀκείνους τὸν πλοῦτον, καὶ ὑμᾶς τὴν πενίαν ἀφέντας. πλὴν ἐπιστελῶ γε αὐτοῖς ὡς περ ὑπεσχόμην. καὶ οἶδ' ὅτι οὐκ ὀλιγωρήσουσι τῶν ἐμῶν γραμμάτων.

## ΚΡΟΝΟΣ ΤΟΙΣ ΠΛΟΥΣΙΟΙΣ ΧΑΙΡΕΙΝ.

Οἱ πένητες ἔναγχος ἐπεστάλκασί μοι, αἰτιώμενοι ὑμᾶς, μὴ μεταδιδόναι σφίσιν ὧν ἔχετε. καὶ τὸ μὲν ὅλον, ἠξίουν με κοινὰ πᾶσι ποιεῖν τἀγαθά, καὶ τὸ μέρος, ἕκαστον αὐτῶν ἔχειν. δίκαιον γὰρ εἶναι ἰσοτιμίαν καθεστηκέναι, καὶ μὴ τὸν μὲν, πλέον, τὸν δὲ, μηδ' ὅλως μετεῖναι τῶν ἡδέων. ἐγὼ δέ, τοὺς

μὲν

μὲν τούτων ἔφην ἄμεινον σκέψασθαι τὸν Δία. πολλοὶ δὲ τῶν πεινόντων, καὶ ὧν ἀδικεῖσθαι ᾤοντο κατὰ τὴν ἑορτήν, ἑώρων ἐπ' ἐμὲ καθήκουσαν τὴν κρίσιν, καὶ ὑπεσχόμην γράψειν πρὸς ὑμᾶς. ἔστι δὲ ἅπερ ἀξιοῦσι ταῦτα μέτρια, ὥς ἐμοὶ ἔδοξε. πῶς γάρ φασι ῥιγοῦντες τοσούτῳ κρύει, καὶ λιμῷ ἐχόμενοι, προσέτι ἑορτάζοιμεν ἄν; εἰ τοίνυν ἐθέλοιμι κἀκείνους μετέχειν τῆς ἑορτῆς, ἐκέλευόν με ἀναγκάσαι ὑμᾶς ἐσθήτων τε ὧν ἔχετε, μεταδοῦναι αὐτοῖς, εἴ τινες περιτταί, καὶ παχύτεραι ἢ καθ' ὑμᾶς. καὶ τοῦ χρυσίου ὀλίγον ἐπιστάλαξαι αὐτοῖς. εἰ γὰρ ταῦτα φασὶ ποιήσετε, μήτε ἀμφισβητεῖν ὑμῖν ἔτι τῶν ἀγαθῶν ἐπὶ τοῦ Διός. εἰ δὲ μή, ἀπειλοῦσι προσκαλέσασθαι ἐπὶ τὸν ἀναδασμόν, ἐπειδὰν τὸ πρῶτον δίκας ὁ Ζεὺς προθῇ. ταῦτά ἐστιν οὐ πάνυ χαλεπὰ ὑμῖν ἀπὸ τοσούτων, ἃ καλῶς ποιοῦντες ἔχετε. νὴ Δία καὶ τῶν δείπνων πέρι, ὡς συνδειπνοῖεν ὑμῖν. καὶ τοῦτο προσθεῖναι ἠξίουν τῇ ἐπιστολῇ, ὡς νῦν γε μόνους ὑμᾶς τρυφᾶν, ἐπικλεισαμένους τὰς θύρας. εἰ δέ ποτε κἀκείνων τινὰς ἑστιᾶν διὰ μακροῦ ἐθελήσητε, πλέον τοῦ εὐφραίνοντος ἐνεῖναι τὸ ἀνιαρὸν τῷ δείπνῳ, καὶ τὰ πολλὰ ἐφ' ὕβρει αὐτῶν γίνεσθαι, οἷον ἐκεῖνο τὸ μὴ τοῦ αὐτοῦ οἴνου συμπίνειν. Ἡράκλεις, ὡς

ἀνελεύθερον, καὶ καταγινώσκειν αὐτῶν ἐκείνους ἄξιον. ὅτι μὴ μεταξὺ ἀναστάντες, οἴχονται, ὅλον ὑμῖν τὸ συμπόσιον καταλιπόντες. ἀλλ' οὐδὲ ἐς κόρον ὅμως φασὶ πίνειν. τοὺς γὰρ οἰνοχόους ὑμῶν, ὥσπερ τοὺς Ὀδυσσέως ἑταίρους, κηρῷ βεβύσθαι τὰ ὦτα. τὰ μὲν γὰρ ἄλλα οὕτως αἰσχρά ἐστιν, ὥστε ὀκνῶ λέγειν, ἃ περὶ τῆς νομῆς τῶν κρεῶν αἰτιῶνται, καὶ τῶν διακόνων. ὑμῖν μὲν παρεστῶτα ἔστ' ἂν ὑπερεμφορηθῆτε, ἐκείνους δὲ παραθεόντων· καὶ ἄλλα πολλὰ τοιαῦτα μικροπρεπῆ, καὶ ἥκιστα ἐλευθέροις πρέποντα. τὸ γοῦν ἥδιστον, καὶ συμποτικώτερον, ἡ ἰσοτιμία ἐστί. καὶ ὁ ἰσοδαίτης τούτου ἕνεκα ἡγεῖται ὑμῖν τῶν συμποσίων, ὡς τὸ ἴσον ἅπαντες ἔχοιεν. ὁρᾶτε οὖν ὅπως μηκέτι ὑμᾶς αἰτιάσωνται, ἀλλὰ τιμήσωσι, καὶ φιλήσωσι, τὸ ὀλίγον τοῦτο μεταλαμβάνοντες, ὧν ὑμῖν μὲν ἡ δαπάνη ἀνεπαίσθητος, ἐκείνοις δὲ ἐν καιρῷ τῆς χρείας ἡ δόσις ἀείμνηστος. ἄλλως τε, οὐδ' ἂν οἰκεῖν δύναισθε τὰς πόλεις, μὴ οὐχὶ καὶ τινὰς τῶν συμπολιτευομένων, καὶ μυρία πρὸς τὴν εὐδαιμονίαν ὑμῖν συντελούντων. οὐδ' ἂν ἔχοιτε τοὺς θαυμάζοντας ὑμῶν τὸν πλοῦτον, ἢν μόνοι, καὶ ἰδίᾳ, καὶ ὑπὸ σκότῳ πλουτῆτε. ἰδέτωσαν οὖν πολλοί, καὶ θαυμασάτωσαν ὑμῶν τὸν ἄργυρον, καὶ τὰς τραπέζας, καὶ προπινόντων φιλοτησίας.

τησίας μεταξὺ πινόντων, περισκοπεῖτε τὸ σκεῦ-
τὸ ἔκπωμα, καὶ τὸ βάρος ἱστῶσιν αὐτοὶ δυσβαστάζον-
τες, καὶ τῆς ἱστορίας τὸ ἀκριβές. τὸν χρυσὸν ὅσος,
ὃς ἐπανθεῖ τῇ τέχνῃ. πρὸς γὰρ τῷ χρηστοὺς καὶ φι-
λανθρώπους ἀκούειν, καὶ τοῦ φθονεῖσθαι ὑπ' αὐτῶν
ἔξω γενήσεσθε. τίς γὰρ ἂν φθονήσειε τοῖς κοινωνοῦ-
σι, καὶ διδοῦσι τῶν μετρίων; τίς δ' οὐκ ἂν εὔξαιτο
εἰς τὸ μήκιστον διαβιῶναι αὐτῶν, ἀπολαύοντα τῶν
ἀγαθῶν; ὡς δὲ νῦν ἔχετε, ἀμάρτυρος μὲν ἡ εὐ-
δαιμονία, ἐπίφθονος δὲ ὁ πλοῦτος, ἀηδὴς δὲ
ὁ βίος. οὐδὲ γὰρ οὐδὲ ὁμοίως ἡδὺ οἶμαι μόνον
ἐμπίπλασθαι, ὥσπερ τοὺς λέοντάς φασι, καὶ τοὺς
μονίους τῶν λύκων. καὶ ζῶντας δεξιοῖς ἀνδρά-
σι, καὶ πάντα χαρίζεσθαι πειρωμένοις. οἱ πρῶτα
μὲν οὐ κωφὸν, καὶ ἄφωνον τὸ συμπόσιον ἐάσουσι
εἶναι, ἀλλ' ἐν μύθοις συμποτικοῖς, καὶ σκώμμασιν
ἀνεπαχθέσι, καὶ φιλοφροσύναις ποικίλαις συνέ-
σονται, οἷαι ἥδισται διατριβαί, φίλαι μὲν Διονύσῳ,
καὶ Ἀφροδίτῃ. φίλαι δὲ χάρισιν. ἔπειτα δὲ πρὸς
ἅπαντας ἐς τὴν ὑστεραίαν διηγούμενοι, ὑμῶν
τὴν δεξιότητα φιλεῖσθαι παρασκευάζουσι. ταῦ-
τα παρ' ὀλίγου πρίασθαι καλῶς εἶχεν. ἐπὶ ἐρήσο-
μαι ὑμᾶς, εἰ μύοντες οἱ πένητες βαδίζοιεν, ὑπο-
θώμεθα γὰρ οὕτως, οὐκ ἂν ὑμᾶς ἠνίασεν, οὐκ ἔχον-
τας οἷς ἐπιδείξασθε τὰς ἁλουργεῖς ἐσθῆτας, καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν ἀκολούθων τὸ πλῆθος, ἢ τῶν δακτυλίων τὸ μέγεθος; ἐῶ λέγειν ὡς καὶ ἐπιβουλὰς, καὶ μίση παρὰ τῶν πενήτων ἀναγκαῖον ἐγγίνεσθαι πρὸς ὑμᾶς, ἢν μόνοι τρυφᾶν ἐθέλητε. ἃ μὲν γὰρ εὔξεσθαι καθ' ὑμῶν ἀπειλοῦσιν, ἀποτρόπαια, μὴ γὰρ γένοιτο εἰς ἀνάγκην αὐτοὺς καταστῆναι τῆς εὐχῆς. ἐπεὶ οὔτε ἀλλᾶντος πύσεσθε, οὔτε πλακοῦντος, ἢ εἴ τι λείψανον τοῦ κυνός. ἡ φακῆ δὲ, ὑμῖν σαπέρδην ἐντετηκότα ἕξει. ὗς δὲ, καὶ ἔλαφος, ὀπτώμενοι, μεταξὺ δρασμὸν βουλεύσουσιν ἐκ τοῦ ὀπτανείου ἐς τὸ ὄρος. καὶ ὄρνις ψύτται κατατείνασαι, ἄπτεροι καὶ αὐταὶ, παρ' αὐτοὺς τοὺς πένητας ἐκπετήσονται. τὸ δὲ μέγιστον, οἱ ὡραιότατοι τῶν οἰνοχόων, φαλακροὶ ἐν ἀκαρεῖ τοῦ χρόνου ὑμῖν γενήσονται, ὥστε κατεαγότι καὶ ταῦτα τοῦ ἀμφορεῖ. πρὸς ταῦτα δὲ, βουλεύεσθε, ἃ καὶ τῇ ἑορτῇ πρέποντα γένοιτ' ἂν, καὶ ὑμῖν ἀσφαλέστατα. καὶ ἐπικουφίζετε τὴν πολλὴν πενίαν αὐτοῖς, ἀπ' ὀλίγου τελέσματος φίλους οὐ μεμπτοὺς ἕξοντες.

## ΟΙ ΠΛΟΥΣΙΟΙ ΤΩ ΚΡΟΝΩ ΧΑΙΡΕΙΝ.

Πρὸς μὲν σὲ οἴει μόνον ὑπὸ τῶν πενήτων ταῦτα γεγράφθαι ὦ Κρόνε, οὐχὶ δὲ καὶ ὁ Ζεὺς ἤδη ἐκκεκώφωται πρὸς αὐτῶν, ἀναβοώντων, καὶ αὐτὰ δὴ ταῦτα, τὸν ἀναδασμὸν ἀξιούντων

θύντων γένηται· καὶ αἰτιωμένων τήν τε εἱμαρ-
μένην ὡς ἄνισον τὴν νομὴν πεποιημένην, καὶ ἡ-
μᾶς, ὅτι μηδενὸς αὐτοῖς μεταδιδόναι ἀξιοῦ-
μεν; ἀλλ' οἶδεν ἐκεῖνος ἅτε Ζεὺς ὤν, παρ' οἷς πο-
τέρων ἡ αἰτία. καὶ διὰ τοῦτο παρακούει αὐτῶν τὰ πολ-
λά. σοὶ δὲ ὅμως ἀπολογησόμεθα, ἐπεὶ τὸ ἄρ-
χειν γε νῦν ἡμῶν. ἡμεῖς γὰρ ἅπαντα πρὸ ὀφθαλ-
μῶν λαβόντες, ἃ γέγραφας, ὡς καλὸν ἐπικου-
ρεῖν ἀπὸ τῶν πολλῶν τοῖς δεομένοις, καὶ ὡς ἥδιον
συνεῖναι, καὶ συνευωχεῖσθαι τοῖς πένησιν, ἀεὶ
διετελοῦμεν οὕτω ποιοῦντες, ἰσοδίαιτοι καθε-
στῶτες, ὡς ἂν μηδὲ τὸν συνδαίτην αὐτῶν αἰ-
τιάσασθαί τι. οἱ δὲ, ὀλίγων ἐν ἀρχῇ δεῖσθαι
φάσκοντες, ἐπειδὴ τὸ ἅπαξ αὐτοῖς ἀνεπετά-
σαμεν τὰς θύρας, οὐκ ἀνίεσαν, ἀλλ' ἐπ' ἄλ-
λοις αἰτοῦντες. εἰ δὲ μὴ πάντα εὐθὺς, μηδὲ
πρὸς ἔπος λαμβάνοιεν, ὀργὴ, καὶ μῖσος, καὶ πρό-
χειροι αἱ βλασφημίαι, κἂν εἴ τι ἐπιψεύδοιντο
ἡμῖν. ἀλλ' οἵ γε ἀκούοντες ἐπίστευον ἄν, ὡς ἀ-
κριβῶς εἰδόσιν ἐκ τοῦ συγγεγονέναι. ὥστε δυοῖν
θάτερον, ἢ μὴ διδόντας ἐχθρὸν εἶναι πάντως
ἔδει, ἢ πάντα προϊεμένους, αὐτίκα μάλα πέ-
νεσθαι, καὶ τοῦ αἰτοῦντος ἕνα καὶ αὐτὸν εἶναι. καὶ τὰ μὲν ἄλλα,
μέτρια. ἐν δὲ τοῖς δείπνοις αὐτοῖς, ἀμελήσαν-
τες τοῦ ἐμπίπλασθαι, καὶ γαστρίζεσθαι, καὶ αὐτοὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπειδὰν πλείω τοῦ ἱκανοῦ πίωσιν, ἢ παιδὸς ὡραίου, μεταξὺ ἀναδόντος τὸ ἔκπωμα, ἔνυξαν τὴν χεῖρα, ἢ παλλακῇ, ἢ γαμετῇ γυναικὶ ἐπεχείρησαν. εἶτα κατεμέσαντες τοῦ συμποσίου, ἐς τὴν ὑστεραίαν λοιδοροῦνται ἡμῖν κατελθόντες, ὡς ἐδίψησαν, καὶ ὡς λιμῷ συνῆσαν διηγούμενοι. καὶ εἴ σοι ταῦτα καταψεύδεσθαι αὐτῶν δοκοῦμεν, τὸν ὑμέτερον παράσιτον ἀναμνήσθητι, τὸν Ἰξίονα. ὃς ἀξιωθεὶς κοινῆς τραπέζης, ἀξίωμα ἴσον ἔχων ὑμῖν, τῇ Ἥρᾳ μεθυσθεὶς, ἐπεχείρει ὁ γενναῖος. ταῦτα δὴ, καὶ τὰ τοιαῦτα, ὑφ' ὧν ἡμεῖς ἐβουλευσάμεθα πρὸς τὸ λοιπὸν, ἀσφαλείας τῆς ἡμετέρας ἕνεκεν, μηκέτι ἐπιβαίνειν αὐτοῖς τὴν οἰκίαν. εἰ δὲ ὑπὸ σοῦ συνθοῖντο, μετρίων δεήσεσθαι, ὥσπερ νῦν φασι, μηδὲν δὲ ὑβριστικὸν ἐν τοῖς συμποσίοις ἐργάσεσθαι, κοινωνούντων ἡμῖν, καὶ συνδειπνούντων τύχῃ τῇ ἀγαθῇ. καὶ τῶν ἱματίων ὡς σὺ κελεύεις, πέμψομεν, καὶ τοῦ χρυσίου, ὁπόσον οἷόν τε, καὶ προσδιαπονήσομεν. καὶ ὅλως, οὐδὲν ἐλλείψομεν. καὶ αὐτοὶ δὲ ἀφέμενοι τοῦ κατὰ τέχνην ὁμιλεῖν ἡμῖν, φίλοι ἀντὶ κολάκων, καὶ παρασίτων ἔστωσαν, ὡς ἡμᾶς γε οὐδὲν ἂν αἰτιάσαιο, κἀκείνων τὰ δέοντα ποιεῖν ἐθελόντων.

## ΣΥΜΠΟΣΙΟΝ, Η ΛΑΠΙΘΑΙ.

### ΦΙΛΩΝ, ΚΑΙ ΛΥΚΙΝΟΣ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ποικίλην ὦ Λυκῖνε, διατριβὴν φασὶ γεγενῆσθαι ὑμῖν χθὲς ἐν ἀρισταινέτου παρὰ τὸ δεῖπνον, καί τινας φιλοσόφους λόγους εἰρῆσθαι, καὶ ἔριν οὐ σμικρὰν συστῆναι ἐπ' αὐτοῖς. εἰ δὲ μὴ ἐψεύδετο Χαρῖνος, καὶ ἄχρι τραυμάτων προχωρῆσαι τὸ πρᾶγμα. καὶ τέλος, αἵματι διαλυθῆναι τὴν συνουσίαν. ΛΥ. καὶ πόθεν ὦ Φίλων, ἠπίστατο Χαρῖνος ταῦτα; οὐ γὰρ συνεδείπνει μεθ' ἡμῶν. ΦΙ. Διονίκου ἔφη τοῦ ἰατροῦ ἀκοῦσαι. Διόνικος δὲ, καὶ αὐτὸς οἶμαι τῶν συνδείπνων ἦν. ΛΥ. καὶ μάλα. οὐ μὴν ἐξ ἀρχῆς γε οὐδ' αὐτὸς ἅπασι παρεγένετο, ἀλλὰ ὀψὲ, μεσούσης σχεδὸν ἤδη τῆς μάχης, ἐπέστη ὀλίγον πρὸ τῶν τραυμάτων. ὥστε θαυμάζω εἴ τι σαφὲς εἰπεῖν ἐδύνατο, μὴ παρακολουθήσας ἐκείνοις, ἀφ' ὧν ἀρξαμένη ἐς τὸ αἷμα ἐτελεύτησεν αὐτοῖς ἡ φιλονεικία. ΦΙ. τοιγαροῦν ὦ Λυκῖνε, καὶ ὁ Χαρῖνος αὐτὸς, εἰ βουλοίμεθα τἀληθῆ ἀκοῦσαι, καὶ ὅπως ἐπράχθη ἕκαστα, παρὰ σὲ ἡμᾶς ἥκειν ἐκέλευε. καὶ τὸν Διόνικον γὰρ αὐτὸν εἰπεῖν, ὡς αὐτὸς μὲν, οὐ παραγένοιτο ἅπασι. σὲ δὲ ἀκριβῶς εἰδέναι τὰ γεγενημένα, καὶ τοὺς λόγους αὐτοὺς ἀπομνημονεῦσαι. ἅτε μὴ πάρεργον τῶν τοιούτων, ἀλλ' ἐν σπουδῇ ἀκροώμενον. ὥστε οὐκ ἂν φθάνοις ἑστιῶν ἡμᾶς ἡδίστην ταύτην ἑστίασιν, ἧς οὐκ

οἶδ' ἂν τις ἡδίων ἔμοιγε. καὶ μάλιστα ὅσῳ νήφοντες ἐν εἰρήνῃ, καὶ ἀναιμωτὶ ἔξω βέλους ἑστασόμεθα, εἴτε γέροντες ἐπαρῴνησάν τι παρὰ τὸ δεῖπνον, εἴτε νέοι, εἰπεῖν τε ὅσα ἥκιστα ἐχρῆν ὑπὸ τοῦ ἀκράτου προαχθέντες, καὶ πρᾶξαι. ΛΥ. νεανικώτερα ἡμᾶς ὦ Φίλων, ἀξιοῖς ἐκφέρειν ταῦτα πρὸς τοὺς πολλούς, καὶ ἐπεξιέναι, διηγουμένους πράγματα ἐν οἴνῳ, καὶ μέθῃ γενόμενα, δέον λήθην ποιεῖσθαι αὐτῶν, καὶ νομίζειν ἐκεῖνα πάντα θεοῦ ἔργα τοῦ Διονύσου εἶναι. ὃς οὐκ οἶδα εἴ τινα τῶν αὐτοῦ ὀργίων ἀτέλεστον, καὶ ἀβάκχευτον περιεῖδεν. ὅρα οὖν μὴ κακοήθων τινῶν ἀνθρώπων ᾖ τὸ ἀκριβῶς τὰ τοιαῦτα ἐξετάζειν, ἃ καλῶς ἔχει ἐν τῷ συμποσίῳ καταλιπόντας ἀ-
,, παλλάττεσθαι. μισῶ γάρ φησι καὶ ὁ ποιητικὸς
,, λόγος μνάμονα συμπόταν. καὶ οὐδὲ ὁ Διόνικος ὀρθῶς ἐποίησε πρὸς τὸν Χαρῖνον, αὐτὰ ἐξαγορεύσας, καὶ πολλήν τινα ἑωλοκρασίαν κατασκεδάσας ἀνδρῶν φιλοσόφων. ἐγὼ δέ, ἄπαγε, οὐκ ἂν τι τοιοῦτον εἴποιμι. ΦΙ. θρύπτῃ ταῦτα ὦ Λυκῖνε. ἀλλ' οὔτι γε πρὸς ἐμὲ οὕτω ποιεῖν ἐχρῆν, ἀκριβῶς γινώσκων, πολὺ πλέον ἐπιθυμοῦντά σε εἰπεῖν, ἢ ἐμὲ ἀκοῦσαι. καί μοι δοκεῖς εἰ ἀπορήσειας τῶν ἀκουσομένων, καὶ πρὸς κίονά τινα, ἢ πρὸς ἀνδριάντα ἡδέως ἂν προσελθὼν, ἐκχέαι,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκ χειρός, πάντα συνείρων ἀμυστί. εἰ γοῦν ἐθελήσω
ἀπαλλάττεσθαι νῦν, οὐκ ἐάσεις με ἀνήκοον ἀπελ-
θεῖν, ἀλλ' ἕξεις, καὶ παρακολουθήσεις, καὶ δεήσῃ. κἀ-
γὼ θρύπτομαι πρὸς σὲ ἐν τῷ μέρει. καὶ εἴπερ δοκεῖ,
ἀπίωμεν ἄλλου αὐτὰ πευσόμενοι. σὺ δὲ μὴ λέγε.
Λυ. μηδὲν πρὸς ὀργήν. διηγήσομαι γοῦν, ἐπεί-
περ οὕτω προθυμῇ. ἀλλ' ὅπως μὴ πρὸς πολ-
λοὺς ἐρεῖς. Φι. εἰ μὴ παντάπασιν ἐγὼ ἐπι-
λέλησμαι Λυκίνου, αὐτὸς σὺ ἄμεινον ποιήσεις αὐ-
τό, καὶ φθάσεις εἰπὼν ἅπασιν. ὥστε οὐδὲν ἐμοῦ
δεήσῃ. ἀλλ' ἐκεῖνό μοι πρῶτον εἰπέ, τῷ παιδὶ
τῷ Ζήνωνι ὁ Ἀρισταίνετος ἀγόμενος γυναῖκα, εἱ-
στία ὑμᾶς; Λυ. οὐκ, ἀλλὰ τὴν θυγατέρα ἐξε-
δίδου αὐτοῦ τὴν Κλεανθίδα τῷ Εὐκρίτου τοῦ
δανειστικοῦ τῷ φιλοσοφοῦντι. Φι. παγκά-
λῳ νὴ Δία μειρακίῳ, ἁπαλῷ γε μὴν ἔτι, καὶ οὐ
πάνυ καθ' ὥραν γάμων. Λυ. ἀλλ' οὐκ εἶχεν
ἄλλον ἐπιτηδειότερον οἶμαι. τοῦτον οὖν κόσμιόν τε
εἶναι δοκοῦντα, καὶ πρὸς φιλοσοφίαν ὡρμημένον, ἔτι
δὲ μόνον ὄντα πλουσίῳ τῷ Εὐκρίτῳ, προείλετο
νυμφίον ἐξ ἁπάντων. Φι. οὐ μικρὰν λέγεις αἰτί-
αν τὸ πλουτεῖν τὸν Εὔκριτον. ἀτὰρ ὦ Λυκῖνε, τί-
νες οἱ δειπνοῦντες ἦσαν; Λυ. τοὺς μὲν ἄλλους,
τί ἄν σοι λέγοιμι; οἱ δὲ ἀπὸ φιλοσοφίας, καὶ λό-
γων, οὓς καὶ ἐθέλεις οἶμαι ἀκοῦσαι μάλιστα,

ζηνόθεμις ἦν ὁ πρεσβύτης, ὁ ἀπὸ τῆς στοᾶς, καὶ ξὺν αὐτῷ, Δίφιλος, ὁ λαβύρινθος ἐπίκλην, διδάσκαλος ὢν οὗτος τοῦ ἀρισταινέτου, υἱέος τοῦ ζήνωνος. τῶν δὲ ἀπὸ τοῦ περιπάτου, κλεόδημος. οἶσθα τὸν στωμύλον, τὸν ἐλεγκτικόν; ξίφος αὐτὸν οἱ μαθηταὶ, καὶ κοπίδα καλοῦσιν. ἀλλὰ καὶ ὁ ἐπικούρειος Ερμων, παρῆν. καὶ εἰσελθόντα γε αὐτὸν, εὐθὺς ὑπεβλέπον οἱ στωϊκοὶ, καὶ ἀπεστρέφοντο, καὶ δῆλοι ἦσαν ὥσπερ τινα πατραλοίαν, καὶ ἐναγῆ μυσαττόμενοι. οὗτοι μὲν ἀρισταινέτου αὐτοῦ φίλοι, καὶ συνήθεις ὄντες, παρεκέκληντο ἐπὶ τὸ δεῖπνον. καὶ ξὺν αὐτοῖς, ὁ γραμματικὸς ἱστιαῖος, καὶ ὁ ῥήτωρ Διονυσόδωρος. διὰ δὲ τὸν νυμφίον τὸν χαιρέαν, ἴων ὁ πλατωνικὸς συνειστιᾶτο, διδάσκαλος αὐτοῦ ὤν, σεμνός τις ἰδεῖν, καὶ θεοπρεπὴς, καὶ πολὺ τὸ κόσμιον ἐπιφαίνων τῷ προσώπῳ. κανόνα γοῦν οἱ πολλοὶ ὀνομάζουσιν αὐτὸν, εἰς τὴν ὀρθότητα τῆς γνώμης ἀποβλέποντες. καὶ ἐπεὶ παρῆλθεν, ὑπεξανίσταντο πάντες αὐτῷ, καὶ ἐδεξιοῦντο ὥς τινα τῶν κρειττόνων. καὶ ὅλως, θεοῦ ἐπιδημία τὸ πρᾶγμα ἦν, ἴων ὁ θαυμαστὸς συμπαρών. δέον δὲ ἤδη κατακλίνεσθαι, ἁπάντων σχεδὸν παρόντων, ἐν δεξιᾷ μὲν εἰσιόντων, αἱ γυναῖκες ὅλον τὸν κλιντῆρα ἐκεῖνον ἐπέλαβον, οὐκ ὀλ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γαιοῦσαι. καὶ ἐν αὐταῖς, ἡ νύμφη, πάνυ ἀκει-
βῶς ἐγκεκαλυμμένη, ὑπὸ τῶν γυναικῶν περι-
εχομένη. ἐς δὲ τὴν ἀντίθυρον, ἡ ἄλλη πλη-
θύς, ὡς ἕκαστος ἀξίας εἶχε. κατ' ἀντικρὺ δὲ τῶν
γυναικῶν, πρῶτος ὁ Εὔκριτος. εἶτα ὁ Αρισταί-
νετος. εἶτα ἐνεδοιάζετο, πότερον χρὴ πρότερον
Ζηνόθεμιν τὸν στωϊκὸν ἅτε γέροντα, ἢ Ερμωνα
τὸν ἐπικούρειον. ἱερεὺς γὰρ ἦν τοῖν ἀνάκοιν, καὶ γέ-
νους τοῦ πρώτου ἐν τῇ πόλει. ἀλλ' ὁ Ζηνόθε-
μις τὴν ἀπορίαν ἔλυσεν. εἰ γάρ με φησὶν ὦ Α-
ρισταίνετε, δεύτερον ἄξεις Ερμωνος, τουτουῒ τοῦ
ἀνδρός, ἵνα μηδὲν ἄλλο κακὸν εἴπω, ἐπικού-
ρειου, ἄπειμι, ὅλον σοι τὸ συμπόσιον καταλι-
πών. καὶ ἅμα τὸν παῖδα ἐκάλει, καὶ ἐξιόντι ἐῴ-
κει. καὶ ὁ Ερμων, ἔχε μὲν ὦ Ζηνόθεμι τὰ πρῶτα
ἔφη. ἀτὰρ εἰ καὶ μηδὲν ἄλλο, ἱερεῖ γε ὄν-
τι, ὑπεξίστασθαι καλῶς εἶχεν, εἰ καὶ τοῦ Επι-
κούρου πάνυ καταπεφρόνηκας. ἐγέλασα ἦν δ'
ὃς ὁ Ζηνόθεμις, ἐπικούρειον ἱερέα. καὶ ἅμα λέ-
γων, κατεκλίνετο. καὶ μετ' αὐτὸν ὅμως ὁ Ερ-
μων. εἶτα Κλεόδημος ὁ περιπατητικός. εἶ-
τα ὁ Ιων. καὶ ὑπ' ἐκεῖνον, ὁ νυμφίος. εἶτ' ἐγώ.
καὶ παρ' ἐμέ, ὁ Δίφιλος. καὶ ὑπ' αὐτόν, Ζήνων
ὁ μαθητής. εἶτα, ὁ ῥήτωρ Διονυσόδωρος, καὶ
ὁ γραμματικὸς Ιστιαῖος. ΦΙ. Βαβαὶ ὦ Λυ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κίνε, μουσεῖόν τι τὸ συμπόσιον δίκην ἦν σοφῶν τῶν πλείστων ἀνδρῶν. καὶ ἔγωγε τὸν Ἀρισταίνετον ἐπαινῶ, ὅτι τὴν εὐκταιοτάτην ἑορτὴν ἄγων, τοὺς σοφωτάτους ἑστιᾶν πρὸ τῶν ἄλλων ἠξίωσεν, ὅτι περ τὸ κεφάλαιον ἐξ ἑκάστης αἱρέσεως ἀπανθισάμενος, οὐχὶ τοὺς μὲν, τοὺς δ' οὔ, ἀλλ' ἀναμὶξ ἅπαντας. ΛΥ. ἔστι γὰρ ὦ ἑταῖρε, οὐχὶ τῶν πολλῶν τούτων πλουσίων, ἀλλὰ καὶ παιδείας μέλει αὐτῷ, καὶ τὸ πλεῖστον τοῦ βίου τοῖς τοιούτοις ξύνεστιν. εἱστιώμεθα οὖν ἐν ἡσυχίᾳ τὸ πρῶτον, καὶ παρεσκεύαστο ποικίλα. πλὴν οὐδὲν οἶμαι χρὴ καὶ ταῦτα καταριθμεῖσθαι. χυμοὺς, καὶ πέμματα, καὶ καρυκείας. ἅπαντα γὰρ ἄφθονα. ἐν τούτῳ δὲ, ὁ Κλεόδημος ἐπικύψας ἐς τὸν Ἴωνα, ὁρᾷς ἔφη, τὸν γέροντα, Ζηνόθεμιν λέγων, ἐπήκουον γὰρ, ὅπως ἐμφορεῖται τῶν ὄψων, καὶ ἀναπέπλησται ζωμοῦ τὸ ἱμάτιον, καὶ ὅσα τῷ παιδὶ κατόπιν ἑστῶτι ὀρέγει, λανθάνειν οἰόμενος τοὺς ἄλλους, οὐ μεμνημένος τῶν μετ' αὐτόν; δεῖξον οὖν καὶ Λυκίνῳ ταῦτα, ὡς μάρτυς εἴη. ἐγὼ δὲ οὐδ' ἐδεόμην, δείξοντός μοι τοῦ Ἴωνος, πολὺ πρότερον αὐτὰ ἐκ περιωπῆς ἑωρακώς. ἅμα δὲ ταῦτα ὁ Κλεόδημος εἰρήκει, καὶ ἐπεισέπεσεν ὁ κυνικὸς Ἀλκιδάμας ἄκλητος, ἐκεῖνο τὸ κοινὸν ἐπιχαριεντισάμενος, τὸν

τὸν Μενέλαον αὐτόματον ἥκοντα. τοῖς μὲν οὖν πολλοῖς, ἀναίσχυντα ἐδόκει πεποιηκέναι, ἢ ὑπέκρουον τὰ προχειρότατα. ὁ μὲν, τὸ, ἀφαιρεῖς Μενέλαε. ὁ δ', ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ, καὶ ἄλλα πρὸς τὸν καιρὸν εὔστοχα, καὶ χαρίεντα ὑποτονθορύζοντες. ἐς μέν τοι τὸ φανερὸν, οὐδεὶς ἐτόλμα λέγειν. ἐδεδοίκεσαν γὰρ τὸν Ἀλκιδάμαντα, βοὴν ἀτεχνῶς ὄντα, καὶ κρακτικώτατον κυνικῶν ἁπάντων. πρὸς ὃ καὶ ἀμείνων ἐδόκει, καὶ φοβερώτατος ἦν ἅπασιν. ὁ δὲ Ἀρίστανδρος, ἐπαινέσας αὐτὸν, ἐκέλευε θρόνον τινὰ λαβόντα, καθίζεσθαι παρὰ Ἰστιαῖόν τε, καὶ Διονυσόδωρον. ὁ δὲ, ἄπαγε φησὶ, γυναικεῖον λέγεις, ἢ μαλθακὸν, ἐπὶ θρόνου καθίζεσθαι, ἢ σκίμποδος, ὥσπερ ὑμεῖς ἐπὶ μαλακῆς ταύτης εὐνῆς μικροῦ δεῖν ὕπτιοι κατακείμενοι, ἐσθίετε, πορφυρίσιν ὑποβεβλημένοι. ἐγὼ δὲ κἂν ὀρθοστάδην δειπνήσαιμι, ἐμπεριπατῶν ἅμα τῷ συμποσίῳ. εἰ δὲ καὶ κάμοιμι, χαμαὶ καὶ τὸν τρίβωνα ὑποβαλλόμενος, κείσομαι ἐπ' ἀγκῶνος, οἷον τὸν Ἡρακλέα γράφουσιν. οὕτως ἔφη πινέσθω ὁ Ἀρίστανδρος, εἴ σοι ἥδιον. καὶ τὸ ἀπὸ τούτου, ἐν κύκλῳ περιϊὼν ὁ Ἀλκιδάμας, ἐδείπνει, ὥσπερ οἱ Σκύθαι πρὸς τὴν ἀφθονωτέραν νομὴν μετεξανιστάμενος, καὶ τοῖς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περιφέροιντο τὰ ὄντα συμπερινοστῶν. καὶ μέντοι
καὶ στρύμμενος, ἐνεργὸς ἦν, ἀρεστὰ περιέει, καὶ κα-
κίας μεταξὺ δεξιῶν, καὶ ἐς τὸν χρυσὸν, καὶ τὸν
ἄργυρον ἀποσκώπτων. ἠρώτα γοῦν τὸν Ἀρίσται-
νετον, τί βούλονται αὐτῷ αἱ τοσαῦται, καὶ τη-
λικαῦται κύλικες τῶν κεραμέων, ἴσα δυναμέ-
νων. ἀλλ' ἐκεῖνον μὲν ἤδη ἐνοχλοῦντα, ἔπαυσεν
ἴσ τὸ πρὸν Ἀρισταίνετος, τῷ παιδὶ νεύσας ἐν
μεγέθει σκύφον δοῦναι αὐτῷ, ζωρότερον ἐγ-
χέαντα. καὶ ἐδόκει ἄριστα ἐπινενοηκέναι, οὐκ
εἰδὼς ὅσων κακῶν ἀρχὴν ὁ σκύφος ἐκεῖνος ἐνε-
δεδώκει. λαβὼν δὲ ἅμα ὁ Ἀλκιδάμας, ἐσίγη-
σε μικρόν. καὶ ἐς τοὔδαφος καταβαλὼν ἑαυτὸν,
ἔκειτο ἡμίγυμνος ὥσπερ ἠπειλήκει, πήξας τὸν
ἀγκῶνα ὀρθὸν, ἔχων ἅμα τὸν σκύφον ἐν τῇ δε-
ξιᾷ, οἷος ὁ παρὰ τῷ Φόλῳ Ἡρακλῆς ὑπὸ τῶν
γραφέων δείκνυται. ἤδη δὲ καὶ ἐς τοὺς ἄλλους
συνεχῶς περιεσοβεῖτο ἡ κύλιξ. καὶ φιλοτησίαι,
καὶ ὁμιλίαι, καὶ φῶτα εἰσεκεκόμιστο. ἐν τοσού-
τῳ δ' ἐγὼ τὸν παρεστῶτα τῷ Κλεοδήμῳ παῖ-
δα, οἰνοχόον ὄντα ὡραῖον, ἰδὼν ὑπομειδιῶντα,
χρὴ γὰρ οἶμαι καὶ ὅσα πάρεργα τῆς ἑστιάσεως, εἰ-
πεῖν, καὶ μάλιστα εἴ τι πρὸς τὸ γλαφυρώτερον
ἐπράχθη, μάλα ἤδη παρεφύλαττον, ὅτι καὶ μει-
διάσειε. καὶ μετὰ μικρὸν, ὁ μὲν, προσῆλθεν,

ὡς

θεν, ὡς ἀποληψόμενος παρὰ τοῦ Κλεοδήμου τὴν φιάλην. ὁ δὲ, τόν τε δάκτυλον ἀπέθλιψεν αὐτοῦ, καὶ δραχμὰς δύο οἶμαι συνανέδωκε μετὰ τῆς φιάλης. ὁ παῖς δὲ, πρὸς μὲν τὸν δάκτυλον θλιβόμενος, αὖθις ἐμειδίασεν, οὐ μὴν συνεῖδεν οἶμαι τὸ νόμισμα. ὥστε μὴ δεξαμένου, ψόφον αἱ δύο δραχμαὶ παρέσχον ἐκπεσοῦσαι. καὶ ἠρυθρίασαν ἄμφω μάλα σαφῶς. ἠπόρουν δὲ οἱ πλησίον, οὗ τινος εἴη τὰ νομίσματα, τοῦ μὲν παιδὸς ἀρνουμένου μὴ ἀποβεβληκέναι, τοῦ δὲ Κλεοδήμου καθ' ὃν ὁ ψόφος ἐγένετο, μὴ προσποιουμένου τὴν ἀπόρριψιν. ἠμελήθη δ' οὖν, καὶ παρώφθη τοῦτο, οὐ πάνυ πολλῶν ἰδόντων, πλὴν μόνου ὡς ἐμοὶ ἔδοξε τοῦ Ἀρισταινέτου. μετέστησε γὰρ τὸν παῖδα μικρὸν ὕστερον ἀφανῶς ὑπεξαγαγών. καὶ τῷ Κλεοδήμῳ τινὰ παραστῆναι ἔνευσε τῶν ἐξώρων ἤδη, καὶ καρτερῶν, ὀρεωκόμον τινὰ, ἢ ἱπποκόμον. καὶ τοῦτο μὲν, ὧδέ πως ἐκεχωρήκει, μεγάλης αἰσχύνης αἴτιον τῷ Κλεοδήμῳ γενόμενον, εἰ ἔφθη διαφοιτήσαν εἰς ἅπαντας, ἀλλὰ μὴ κατέσβη αὐτίκα, δεξιῶς πάνυ τοῦ Ἀρισταινέτου τῇ παροινίᾳ ἐνέγκαντος. ὁ κυνικὸς δὲ Ἀλκιδάμας, ἐπεπώκει γὰρ ἤδη, πυθόμενος ἥτις ἡ γαμουμένη παῖς καλοῖτο, σιωπὴν παραγγείλας με

γάλῃ τῇ φωνῇ, ἀποβλέψας εἰς τὰς γυναῖκας,
προπίνω σοι ἔφη ὦ Κλεανθὶ, Ἡρακλέους ἀρχη-
γέτου. ὡς δ' ἐγέλασαν ἐπὶ τούτῳ ἅπαντες, ἐ-
πλάσθη τε εἶπεν ὦ καθάρματα, εἰ τῇ νύμφῃ πρού-
πινον ἐπὶ τοῦ ἡμετέρου θεοῦ τοῦ Ἡρακλέους; καὶ μὴν
εὖ εἰδέναι χρὴ, ὡς ἢν μὴ λάβῃ παρ' ἐμοῦ τὸν σκύ-
φον, οὔποτε τοιοῦτος ἂν υἱὸς αὐτῇ γένοιτο,
οἷος ἐγὼ, ἄτρεπτος μὲν ἀλκὴν, ἐλεύθερος δὲ
τὴν γνώμην, τὸ σῶμα δὲ οὕτω καρτερός. καὶ ἅμα
παρεγύμνου ἑαυτὸν μᾶλλον, ἄχρι πρὸς τὸ αἴ-
σχιστον. αὖθις οὖν ἐγέλασαν οἱ συμπόται.
καὶ ὃς ἀγανακτήσας, ἐπανίστατο, δριμὺ, καὶ πα-
ράφορον βλέπων, καὶ δῆλος ἦν οὐκέτι εἰρήνην
ἄξων. τάχα δ' ἄν τινος καθίκετο τῇ βακτη-
ρίᾳ, εἰ μὴ κατὰ καιρὸν εἰσεκεκόμιστο πλακοῦς
εὐμεγέθης· πρὸς ὃν ἀποβλέψας, ἡμερώτερος
ἐγένετο, καὶ ἔληξε τοῦ θυμοῦ, καὶ ἐνεφορεῖτο συμ-
περιϊών. καὶ οἱ πλεῖστοι ἐμέθυον ἤδη, καὶ βοῆς
μεστὸν ἦν τὸ συμπόσιον. ὁ μὲν γὰρ Διονυσόδω-
ρος ὁ ῥήτωρ αὐτοῦ, ῥήσεις τινὰς ἐν μέρει λέξας,
ἐπῃνεῖτο ὑπὸ τῶν κατόπιν ἐφεστώτων οἰ-
κετῶν. ὁ δὲ Ἱστιαῖος ὁ γραμματικὸς, ἐῤῥα-
ψῴδει, ὕστερος κατακείμενος. καὶ συνέφερεν ἐς
τὸ αὐτὸ τὰ Πινδάρου, καὶ Ἡσιόδου, καὶ Ἀνακρέον-
τος, ὡς ἐξ ἁπάντων μίαν ᾠδὴν παγγέλοιον

ἀποτε

ἀποτελεῖσθαι. μάλιστα δ' ἐκεῖνα ὥσπερ προμαντευόμενος τὰ μέλλοντα, σὺν δ' ἔβαλον ῥινούς. καὶ, ἔνθα δ' ἄρ' οἰμωγή τε, καὶ εὐχωλὴ πέλεν ἀνδρῶν. ὁ Ζηνόθεμις δ' ἀνεγίνωσκε, παρὰ τοῦ παιδὸς λαβὼν λεπτόγραμμόν τι βιβλίον. διαλιπόντων δὲ ὀλίγον ὥσπερ εἰώθασι τῶν διακομιζόντων τὰ ὄψα, μηχανώμενος Ἀρισταίνετος μηδ' ἐκεῖνον ἀτερπῆ τὸν καιρὸν εἶναι, μηδὲ κενὸν, ἐκέλευσε τὸν γελωτοποιὸν εἰσελθόντα γε, εἰπεῖν τι, ἢ πρᾶξαι γελοῖον, ὡς ἔτι μᾶλλον οἱ συμπόται διαχυθεῖεν. καὶ παρῆλθεν ἄμορφός τις ἐξυρημένος τὴν κεφαλὴν, ὀλίγας ἐπὶ τῇ κεφαλῇ τρίχας ὀρθὰς ἔχων. οὗτος ὠρχήσατό τε κατακλῶν ἑαυτὸν, καὶ διαστρέφων, ὡς γελοιότερος φανείη. καὶ ἀνάπαιστα συγκροτῶν, διεξῆλθεν, αἰγυπτιάζων τῇ φωνῇ. καὶ τέλος, ἐπέσκωπτεν ἐς τοὺς παρόντας. οἱ μὲν οὖν ἄλλοι, ἐγέλων ὁπότε σκωφθεῖεν. ἐπεὶ δὲ καὶ εἰς τὸν Ἀλκιδάμαντα ὅμοιόν τι ἀπέρριψε, Μελιταῖον κυνίδιον προσειπὼν αὐτὸν, ἀγανακτήσας ἐκεῖνος, καὶ πάλαι δὲ δῆλος ἦν φθονῶν αὐτῷ εὐδοκιμοῦντι, καὶ κατέχοντι τὸ συμπόσιον, ἀπορρίψας τὸν τρίβωνα, προὐκαλεῖτό οἱ παγκρατιάζειν. εἰ δὲ μὴ, κατοίσειν αὐτοῦ ἔφη τὴν βακτηρίαν. οὕτω δὴ ὁ κα-

κωδαίμων Σατυρείων, οὕτω γὰρ ὁ γελωτοποιὸς ἐκαλεῖτο, συστὰς, ἐπαγκρατίαζε. καὶ τὸ πρᾶγμα ὑπερήδιστον ἦν, φιλόσοφος ἀνὴρ, γελωτοποιῷ ἀνταιρόμενος, καὶ παίων, καὶ παιόμενος ἐν τῷ μέρει. οἱ παρόντες δὲ, οἱ μὲν, ἥδοντο. οἱ δὲ, ἐγέλων, ἄχρι ἀπηγόρευσε παιόμενος ὁ Ἀλκιδάμας, ὑπὸ συγκεκροτημένου ἀνθρωπίσκου καταγωνισθεὶς, καὶ γέλως οὖν πολὺς ἐξεχύθη ἐπ' αὐτοῖς. ἐνταῦθα Διόνικος ἐπεισῆλθεν ὁ ἰατρὸς, οὐ πολὺ κατόπιν τοῦ ἀγῶνος. ἐβεβραδύκει δὲ ὡς ἔφασκε, φρενίτιδι ἑαλωκότα θεραπεύων Πολυπρέποντα τὸν αὐλητήν. καί τι καὶ γελοῖον διηγήσατο. ἔφη μὲν γὰρ εἰσελθεῖν παρ' αὐτὸν, οὐκ εἰδὼς ἐχόμενον ἤδη τῷ πάθει τὸν ἄνδρα, ταχέως ἀναστάντα, ἐπικλεῖσαί τε τὴν θύραν, καὶ ξιφίδιον σπασάμενον, ἀναδόντα αὐτῷ τοὺς αὐλοὺς, κελεύειν αὐλεῖν. εἶτα ἐπεὶ μὴ δύναιτο, παίειν, σκύτος ἔχοντα ἐς ὑπτίας τὰς χεῖρας. τέλος οὖν, ἐν τοσούτῳ κινδύνῳ ἐπινοῆσαι τοιόνδε, ἐς ἀγῶνα γὰρ προκαλέσασθαι αὐτὸν ῥητῷ ἐπὶ τῷ πληγῶν ἀριθμῷ. καὶ πρῶτον μὲν, αὐτὸς αὐλῆσαι πονήρως. μετὰ δὲ, παραδόντα τοὺς αὐλοὺς ἐκείνῳ, δέξασθαι παρ' αὐτοῦ τὸ σκύτος, καὶ τὸ ξιφίδιον ἐπιρρῖψαι τάχιστα διὰ τῆς φωταγωγοῦ ἐς τὸ ὕπαιθρον τῆς αὐλῆς, καὶ τὸ

ἀπὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπὸ τούτου, ἀσφαλέστερον ἤδη προπαλαίων
αὐτῶν, ἐπικαλέσασθαι τοὺς πιτνιῶντας, ὑφ' ὧν ἀνα
πεισθέντων τὸν θεῖον, σωθῆναι αὐτόν. ἐδείκνυε
δὲ καὶ σημεῖα τῶν πληγῶν, καὶ ἀμυχάς τινας
ἐπὶ τοῦ προσώπου. καὶ ὁ μὲν Διόνικος, οὐ μέσον τὸν
δοκιμήσας τοῦ πλωρτηρίου ἐπὶ τῇ διηγήσει, πλη
σίον τοῦ Ἱστιαίου παραβύσας ἑαυτὸν, ἐδείπνει ὅσα
λοιπὰ, οὐκ ἄνευ θεοῦ τινος ὑμῖν ἐπιπαρὼν, ἀλ
λὰ καὶ πάνυ χρήσιμος εἰς μετὰ ταῦτα γενη
σομένοις. παρελθὼν γάρ τις ἐς τὸ μέσον οἰκέτης,
παρ' Ἑρμοκλέους ἥκειν λέγων τοῦ στωϊκοῦ, γραμ-
ματίδιόν τι ἔχων, κελεῦσαι ὃ ἔφη τὸν δεσπό-
την ἐν τῷ κοινῷ ἀναγνόντα, εἰς ἐπήκοον ἅπα-
σιν ὀπίσω αὖθις ἀπαλλάττεσθαι. ἐφέντος δὲ τοῦ
Ἀρισταινέτου, προσελθὼν πρὸς τὸν λύχνον, ἀνεγί
γνωσκεν. Φι. ἦ που ὦ Λυκῖνε, τῆς νύμφης ἐγκώ
μιον, ἢ τὸ ἐπιθαλάμιον, οἷα πολλὰ ποιοῦσιν; Λυ.
ἀμέλει, καὶ ἡμεῖς τοιοῦτόν τι ᾠήθημεν. ἀλλ' οὐ
δ' ἐγγὺς ἦν τούτου. ἐνεγέγραπτο δὲ, Ἑρμοκλῆς
φιλόσοφος, Ἀρισταινέτῳ. Ὅπως μὲν ἔχω πρὸς "
δεῖπνα, ὁ παρεληλυθώς μου βίος ἅπας μαρ- "
τύριον ἂν γένοιτο. ὅς γε ὁσημέραι πολλῶν ἐ- "
νοχλούντων, παρὰ πολὺ σοῦ πλουσιωτέρων, ὅ "
μως οὐδὲ πώποτε φέρων ἐμαυτὸν, ἐπέδωκα, "
εἰδὼς τοὺς ἐπὶ τοῖς συμποσίοις θορύβους, "

» καὶ προινίας. ἐπεὶ σοῦ δὲ μόνου εἰκότως ἀγανακτῆσαί μοι δοκῶ. ὃς τοσοῦτον χρόνον ἀπ' ἐμοῦ λιπαρῶς τεθεραπευμένος, οὐκ ἠξίωσας ἐναριθμῆσαι κἀμὲ τοῖς ἄλλοις φίλοις, ἀλλὰ μόνος ἐγώ σοι ἄμοιρος, καὶ ταῦτα, ἐν γειτόνων οἰκῶν. ἀνιῶμαι γὰρ ὅτι σοὶ τὸ πλέον, οὕτως ἀχαρίστῳ φανέντι. ἐμοὶ μὲν ἡ εὐδαιμονία, οὐκ ἐν ὑὸς ἀγρίου μοίρᾳ, ἢ λαγωοῦ, ἢ πλακούντων, ἀλλὰ παρ' ἄλλοις ἀφθόνως ἀπολαύω τὰ καθήκοντα εἰδόσιν. ἐπεὶ καὶ τήμερον παρὰ τοῦ μαθητοῦ Παμμένει δειπνῆσαι πολυτελές, ὥς φασι, δεῖπνον δυνάμενος, οὐκ ἐπένευσα ἱκετεύοντι, σοὶ ὁ ἀνόητος ἐμαυτὸν φυλάττων. σὺ δὲ ἡμᾶς παραλιπὼν, ἄλλους εὐωχεῖς. εἰκότως. οὔπω γὰρ δύνασαι διακρίνειν τὸ βέλτιον, οὐδὲ τὴν καταληπτικὴν φαντασίαν ἔχεις. ἀλλὰ οἶδα ὅθεν μοι ταῦτα, παρὰ τῶν θαυμαστῶν σου φιλοσόφων, Ζηνοθέμιδος, καὶ Λαβυρίνθου. ὧν ἀπείη δὲ καὶ ἡ Ἀδράστεια συλλογισμῷ ἑνὶ ἀποφράξαι ἄν μοι τάχιστα δοκῶ τὰ στόματα. ἢ εἰπάτω τις αὐτῶν, τί ἐστι φιλοσοφία, ἢ τὰ πρῶτα ταῦτα. τί διαφέρει σχέσις ἕξεως. ἵνα μὴ τῶν ἀπόρων εἴπω, τί κερατίνην, ἢ σωρείτην, ἢ θερίζοντα λόγον. ἀλλὰ σὺ μὲν, ὄναιο αὐτῶν. ἐγὼ δὲ ὡς ἂν μόνον τὸ καλὸν ἀγαθὸν ἡγούμενος τό, οἴσω ῥᾳδίως τὴν ἀτιμίαν. καίτοι ὅ-

πως

ὅπως μὴ ἐς ἐκείνην ἔχῃς καταφεύγειν τὴν ἀπο-
λογίαν, ὕστερον τὸ λαθέσθαι, λέγειν ἐν τοσούτῳ
θορύβῳ καὶ πράγματι, δίς σε τήμερον προση-
γόρευκα, καὶ ἕωθεν ἐπὶ τῆς οἰκίας, καὶ ἐν τῷ ἀνα-
κείῳ θύοντα ὕστερον. ταῦτα ἐγὼ τοῖς πταίουσιν
ἀπολελόγημαι. εἰ δὲ δεῖ τινος ἕνεκα ὀργίζεσθαί σοι
δοκῶ, τὸν κατὰ τὸν Οἰνέα ἐννόησον. ὅτε γε καὶ
τὴν Ἄρτεμιν ἀγανακτοῦσαν, ὅτι μόνην αὐτὴν
οὐ παρέλαβεν ἐκεῖνος εἰς τὴν θυσίαν, τοὺς ἄλλους
θεοὺς ἑστιῶν. φησὶ δὲ περὶ αὐτοῦ Ὅμηρος ὧδέ πως.
ἢ λάθετ', ἢ οὐκ ἐνόησεν. ἀάσατο δὲ μέγα θυμῷ.

Ὁ Εὐριπίδης.

καλυδὼν μὲν ἥδε γαῖα Πελοπίας χθονός,
ἐν ἀντιπόρθμοις πεδί' ἔχουσ' εὐδαίμονα.

καὶ Σοφοκλῆς.

σῦς μέγιστον χρῆμ' ἐπ' Οἰνέως γύαις,
ἀνῆκε Λητοῦς παῖς ἑκηβόλος θεά.

Ταῦτά σοι ἀπὸ πολλῶν ὀλίγα παρεθέμην, ὅπως
μάθῃς οἷον ἄνδρα παραλιπὼν, Δίφιλον ἑστι-
ᾷς, καὶ τὸν υἱὸν αὐτοῦ παραδέδωκας. εἰκότως.
ἡδὺς γάρ ἐστι τοῦ μειρακίου, καὶ πρὸς χάριν αὐ-
τοῦ σύνεστιν. εἰ δὲ μὴ αἰσχρὸν ἦν ἐμὲ λέγειν τὰ
τοιαῦτα, κἄν τι προσέθηκα, ὅπερ σὺ εἰ θέλεις,
παρὰ Ζωπύρου τοῦ παιδαγωγοῦ αὐτοῦ μάθοις
ἄν, ἀληθὲς ὄν. ἀλλ' οὐ χρὴ ταράττειν ἐν γά-

» μόνοις, οὐδὲ διαβάλλειν ἄλλους. καὶ μάλιστα ἐφ'
» οὕτως αἰσχραῖς αἰτίαις. καὶ γὰρ εἰ Δίφιλος ἄξιος
» δύο ἤδη μαθητάς μου ἀποσπάσας, ἀλλ' ἔγωγε
» φιλοσοφίας αὐτῆς ἕνεκα σιωπήσομαι. προ-
» σέταξα δὲ τῷ οἰκέτῃ τούτῳ, ἢν δηλῶς αὐτῷ
» μοῖράν τινα ἢ συὸς, ἢ ἐλάφου, ἢ σησαμοῦντος,
» ὡς ἐμοὶ διακομίσειε, καὶ αὐτὴ τοῦ δείπνου ἀπο-
» λογία γένοιτο, μὴ λαβεῖν, μὴ καὶ δόξωμεν ἐπ'
» αὐτῷ πεπομφέναι. Τούτων ὦ ἑταῖρε ἀναγινω-
σκομένων μεταξὺ, ἱδρώς τέ μοι περιεχεῖτο ὑ-
π' αἰδοῦς. καὶ τὸ τοῦ λόγου, χανεῖν μοι
τὴν γῆν ηὐχόμην, ὁρῶν τοὺς παρόντας γελῶντας
ἐφ' ἑκάστῳ. καὶ μάλιστα ὅσοι ᾔδεσαν τὸν Ετοιμο-
κλέα, πολιὸν ἄνθρωπον, καὶ σεμνὸν εἶναι δοκοῦντα.
ἐθαύμαζον οὖν οἷος ὢν, διαλάθοι αὐτοὺς ἐξαπα-
τωμένους τῷ πώγωνι, καὶ τῇ τοῦ προσώπου ἐν-
τάσει. ὁ γοῦν Αρισταίνετος, ἐδόκει μοι οὐκ ἀμε-
λείᾳ παριδεῖν αὐτὸν, ἀλλ' οὔποτ' ἂν ἐλπίσας
κληθέντα κατανεῦσαι, οὐδ' ἂν ἐμπλακεῖν ἑαυ-
τὸν τοιούτῳ τινί. ὥστε οὐδὲ τὴν ἀρχὴν πειρᾶ-
σθαι ἠξίου. ἐπεὶ δ' οὖν ἐπαύσατό ποτε ὁ οἰκέτης
ἀναγινώσκων, τὸ μὲν συμπόσιον ἅπαν εἰς
τοὺς ἀμφὶ τὸν Ζήνωνα, καὶ Δίφιλον ἀπέβλε-
πε, δεδοικότας, καὶ ὠχριῶντας, καὶ τῇ ἀπορίᾳ
τῶν προσώπων ἐπαληθεύοντας τὰ ὑπὸ τοῦ

Ετοιμο

Ετοιμοκλέους κατηγορηθέντα. ὁ Ἀρισταίνετος
δὲ, ἐτετάρακτο, καὶ θορύβου μεστὸς ἦν. ἐκέλευε
δ' ὅμως πίνειν ἡμᾶς, καὶ ἐπειρᾶτο εὖ διατίθεσθαι
τὸ γιγνόμενον, ὑπομειδιῶν ἅμα. καὶ τὸν οἰκέτην ἀ-
πέπεμψεν, εἰπὼν ὅτι ἐπιμελήσεται τούτων.
μετ' ὀλίγον δὲ, καὶ ὁ Ζήνων ὑπεξανέστη ἀφα-
νῶς, τοῦ παιδαγωγοῦ νεύσαντος ἀπαλλάττεσθαι,
ὡς κελεύσαντος τοῦ πατρός. ὁ Κλεόδημος δὲ, καὶ
πάλαι τινὸς ἀφορμῆς δεόμενος, ἐβούλετο γὰρ
συμπλακῆναι τοῖς στωϊκοῖς, καὶ διεῤῥήγνυτο, οὐκ
ἔχων ἀρχὴν εὔλογον, τότε οὖν τὸ ἐνδόσιμον πα-
ρασχούσης τῆς ἐπιστολῆς, τοιαῦτα ἔφη ἐξεργά-
ζεται ὁ καλὸς Χρύσιππος, καὶ Ζήνων ὁ θαυ-
μαστὸς, καὶ Κλεάνθης, ῥημάτια δύστηνα, καὶ ἐ-
ρωτήσεις μόνον, καὶ σχήματα φιλοσόφων. τὰ
δ' ἄλλα, Ετοιμοκλεῖς οἱ πλεῖστοι, καὶ αἱ ἐπιστο-
λαὶ, ὁρᾶτε ὅπως πρεσβυτικαί, καὶ τὸ τελευταῖ-
ον, Οἰνεὺς μὲν Ἀρισταίνετος. Ετοιμοκλῆς δὲ, Ἄρ-
τεμις. Ηράκλεις, εὔφημα πάντα, καὶ ἑορτῇ πρέ-
ποντα. νὴ Δί' εἶπεν ὁ Ερμων ὑπερκατακείμενος,
ἠκηκόειν γὰρ οἶμαι σῦν τινα ἐσκευάσθαι Ἀρισταινέτῳ
ἐς τὸ δεῖπνον, ὥστε οὐκ ἄκαιρον ᾤετο μεμνῆσθαι
τοῦ καλυδωνίου. ἀλλὰ πρὸς ἑστίας ὦ Ἀρισταίνετε,
πέμπε ὡς τάχιστα τῶν ἀπαρχῶν, μὴ καὶ φθά-
σῃ ὁ πρεσβύτης ὑπὸ λιμοῦ. ὥσπερ ὁ Μελέα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γρὸς ἀπομαρανθείς. καὶ τοιοῦτον ἂν πάθοι λέγων. ἀδιάφορα δὲ ὁ Χρύσιππος τὰ τοιαῦτα ἡγεῖτο εἶναι. Χρυσίππου δὲ μέμνησθε ὑμεῖς; ἔφη ὁ Ζηνόθεμις, ἐπεγείρας ἑαυτὸν, καὶ φθεγξάμενος παμμέγεθες, ἢ ἀφ' ἑνὸς ἀνδρὸς οὐκ ἐννόμως φιλοσοφοῦντος Ἑτοιμοκλέους τοῦ γόητος, μετρεῖτε τὸν Κλεάνθην, καὶ Ζήνωνα, σοφοὺς ἄνδρας; οἳ τινὲς ἦ καὶ ὄντες, ὑμεῖς ἐρεῖτε ταῦτα. οὐ σὺ μὲν τῶν Διοσκούρων ἤδη ὦ Ἕρμων τοὺς πλοκάμους περικέκαρκας, χρυσοῦς ὄντας; καὶ δώσεις δίκην, παραδοθεὶς τῷ δημίῳ. σὺ δὲ, τὴν Σωστράτου γυναῖκα τοῦ μαθητοῦ ἐμοίχευες ὦ Κλεόδημε. καὶ καταληφθεὶς, τὰ αἴσχιστα ἔπαθες. οὐ σιωπήσεσθε οὖν τοιαῦτα συνεπιστάμενοι αὐτοῖς; ἀλλ' οὐ μαστροπὸς ἐγὼ τῆς ἐμαυτοῦ γυναικὸς ἦν, ὅς ὁ Κλεόδημος, ὥσπερ σὺ, οὐδὲ τοῦ ξένου μαθητοῦ λαβὼν τοὐφόδιον παρακαταθήκας, ἔπειτα ὤμοσα κατὰ τῆς Πολιάδος μὴ εἰληφέναι, οὐδ' ἐπὶ τέτταρσι δραχμαῖς δανείζω, οὐδὲ ἄγχω τοὺς μαθητὰς, ἢν μὴ κατὰ καιρὸν ἀποδῶσι τοὺς μισθούς. ἀλλ' ἐκεῖνο ἔφη ὁ Ζηνόθεμις, οὐκ ἂν ἔξαρνος γένοιο μὴ οὐχὶ φάρμακον ἀποδόσθαι Κρίτωνι ἐπὶ τὸν πατέρα. καὶ ἅμα ἔτυχε πίνων. καὶ ὁπόσον ἔτι λοιπὸν ἐν τῇ κύλικι σχεδὸν ἥμισυ σχεδὸν, κατεσκέδασεν αὐτοῖν. ἀ-

πέλαυ

πέλαυσι δὲ καὶ ὁ Ἴων τῆς πειρήσεως, οὐκ ἀνάξιος ὤν. ὁ μὲν γὰρ Ἕρμων, ἀπεξύετο ἐκ τῆς κεφαλῆς τὸν ἄκρατον, προνενευκώς, καὶ τοὺς παρόντας ἐμαρτύρετο, οἷα ἐπεπόνθει. ὁ Κλεόδημος δέ, οὐ γὰρ εἶχε κύλικα, ἐπιστραφεὶς, προσέπτυσέ τε τὸν Ζηνόθεμιν. καὶ τῇ ἀριστερᾷ τοῦ πώγωνος λαβόμενος, ἔμελλε παίσειν κατὰ κόρρης. καὶ ἀπέκτεινεν ἂν τὸν γέροντα, εἰ μὴ Ἀρισταίνετος ἐπέσχε τὴν χεῖρα. καὶ ὑπερβὰς τὸν Ζηνόθεμιν, ἐς τὸ μέσον αὐτοῖν κατεκλίθη, ὡς διασταῖεν, ὑπὸ διατειχίσματι αὐτῷ εἰρήνην ἄγοντες. ἐν ὅσῳ δὲ ταῦτα ἐγίγνετο, ποικίλα ὦ Φίλων ἐγὼ κατ' ἐμαυτὸν ἐνενόουν, τὸ πρόχειρον ἐκεῖνο, ὡς οὐδὲν ὄφελος ἦν ἄρα ἐπίστασθαι τὰ μαθήματα, εἰ μή τις ἄρα καὶ τὸν βίον ῥυθμίζει πρὸς τὸ βέλτιον. ἐκείνους γοῦν περιττοὺς ὄντας ἐν τοῖς λόγοις, ἑώρων γέλωτα ἐπὶ τῶν πραγμάτων ὀφλισκάνοντας. ἔπειτα δὲ εἰσῄει με, μὴ ἄρα τὸ ὑπὸ τῶν πολλῶν λεγόμενον ἀληθὲς ᾖ καὶ τὸ πεπαιδεῦσθαι ἀπάγῃ τῶν ὀρθῶν λογισμῶν τοὺς ἐς μόνα τὰ βιβλία, καὶ τὰς ἐν ἐκείνοις φροντίδας συνεχὲς ἀφορῶντας. τοσούτων γοῦν φιλοσόφων παρόντων, οὐδὲ κατὰ τύχην ἕνα τινὰ ἔξω ἁμαρτήματος ἦν ἰδεῖν. ἀλλ' οἱ μὲν ἐποίουν αἰσχρά. οἱ δ' ἔλεγον αἴσχιον. οὐδὲ γὰρ εἰς τὸν οἶνον ἔτι ἀναφέρειν εἶχον τὰ γι

γνόμενα, λογιζόμενος οἷα ὁ Ἑρμοκλῆς ἄσπτι
ἔτι, καὶ ἅπερ ἐγγράφει. ἀνέστραπτο δ' οὖν τὸ
πρᾶγμα. καὶ οἱ μὲν ἰδιῶται, κοσμίως πάνυ ἑστι-
ώμενοι, οὔτε παροινοῦντες, οὔτε ἀσχημονοῦντες
ἐφαίνοντο, ἀλλ' ἐγέλων μόνον, καὶ κατεγίνω-
σκον αὐτῶν οἶμαι, οὕς γε ἐθαύμαζον, οἰόμενοί
τινας εἶναι ἀπὸ τῶν σχημάτων. οἱ σοφοὶ δὲ, ἠσέλ-
γαινον, καὶ ἐλοιδοροῦντο, καὶ ὑπερενεπίμπλαν-
το, καὶ ἐκεκράγεσαν, καὶ εἰς χεῖρας ᾔεσαν. ὁ θαυ-
μάσιος δὲ Ἀλκιδάμας; καὶ ἐνούρει ἐν τῷ μέ-
σῳ, οὐκ αἰδούμενος τὰς γυναῖκας. καὶ ἐμοὶ ἐδό-
κει ὡς ἂν ἄριστα τις εἰκάσειεν, ὁμοιότατα εἶναι
τὰ ἐν συμποσίῳ, οἷσπερ τὴν Ἔριδος οἱ ποιηταὶ
λέγουσιν. οὐ γὰρ κληθεῖσαν αὐτὴν ἐς τὸν Πηλέως
τὸν γάμον, ῥίψαι τὸ μῆλον εἰς τὸ σύνδειπνον,
ἀφ' οὗ τοσοῦτον πόλεμον ἐπ' Ἰλίῳ γεγενῆσθαι.
καὶ ὁ Ἑρμοκλῆς τοίνυν ἐδόκει μοι τὴν ἐπιστολὴν
ἐμβαλὼν εἰς τὸ μέσον, ὥσπερ τι μῆλον, οὐ μείω
τῆς Ἰλιάδος κακὰ ἐξεργάσασθαι. οὐ γὰρ ἐπαύ-
σαντο οἱ ἀμφὶ τὸν Ζηνόθεμιν, καὶ Κλεόδημον φι-
λονεικοῦντες, ἐπεὶ μέσος αὐτῶν ὁ Ἀρισταίνετος
ἐγένετο. ἀλλὰ νῦν μὲν ἔφη ὁ Κλεόδημος ἱκανὸν,
εἰ ἐλεγχθείητε ἀμαθεῖς ὄντες. αὔριον δὲ ἀ-
μυνοῦμαι ὑμᾶς ὅν τινα καὶ χρὴ τρόπον. ἀπόκρι-
ναί μοι ὦ Ζηνόθεμι, ἢ σὺ, ἢ ὁ κοσμιώτατος Δίφι-
λος,

λος, καθ' ὅ, τι ἀδιάφορον εἶναι λέγοντες τῶν χρημάτων τὴν κτῆσιν, οὐδὲν ἀλλ' ἢ τοῦτο ἐξ ἅπαντος σκοπεῖτε, ὡς πλείω κτήσησθε· καὶ διὰ τοῦτο ἀμφὶ τοὺς πλουσίους ἀεὶ ἔχετε, καὶ δανείζετε, καὶ τοκογλυφεῖτε, καὶ ἐπὶ μισθῷ παιδεύετε. πάλιν αὖ τὴν ἡδονὴν μισοῦντες, καὶ τῶν ἐπικουρείων κατηγοροῦντες, αὐτοὶ τὰ αἴσχιστα ἡδονῆς ἕνεκα ποιεῖτε, καὶ πάσχετε, ἀγανακτοῦντες εἴ τις μὴ καλέσειεν ἐπὶ δεῖπνον. εἰ δὲ καὶ κληθείητε, τοσαῦτα μὲν ἐσθίοντες, φυσιοῦσθε, τοσαῦτα δὲ τοῖς οἰκέταις ἐπιδιδόντες. καὶ ἅμα λέγων, τὴν ὀθόνην ἀποσπᾶν ἐπεχείρει, ἣν ὁ παῖς εἶχε τοῦ Ζηνοθέμιδος, μεστὴν οὖσαν παντοδαπῶν κρεῶν. καὶ ἔμελλε λύσας αὐτὴν μὲν, ἀπορρίπτειν αὐτὰ ἐς τοὔδαφος. ἀλλ' ὁ παῖς οὐκ ἀνῆκε, καρτερῶς ἀντεχόμενος. καὶ ὁ Ἕρμων εὖγε ἔφη ὦ Κλεόδημε, εἰπάτωσαν οὗτινος ἕνεκα ἡδονῆς κατηγοροῦσιν, αὐτοὶ ἥδεσθαι ὑπὲρ τοὺς ἄλλους ἀξιοῦντες. οὐκ. ἀλλὰ σὺ ἤδη ὁ Ζηνόθεμις, εἰπὲ ὦ Κλεόδημε, καθ' ὅ, τι οὐκ ἀδιάφορον ἡγῇ τὸν πλοῦτον. οὐ μὲν οὖν, ἀλλὰ σύ. καὶ ἐπὶ πολὺ τοιοῦτον ἦν, ἄχρι δὴ ὁ Ἴων προκύψας ἐς τοὐμφανέστερον, παύσασθε ἔφη. ἐγὼ γὰρ εἰ δοκεῖ, λόγων ἀφορμὰς ὑμῖν ἀξίων τῇ παρούσῃ ἑορτῇ καταθήσω εἰς τὸ μέσον. ὑμεῖς δὲ, ὁ Φιλο-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νικῶς ἐρεῖτε, καὶ ἀκούσεσθε ὥσπερ ἀμέλει καὶ παρὰ τῷ ἡμετέρῳ Πλάτωνι ἐν λόγοις ἡ πλείστη διατριβὴ ἐγένετο. πάντες ἐπῄνεσαν οἱ παρόντες. καὶ μάλιστα οἱ ἀμφὶ τὸν Ἀρισταίνετόν τε καὶ Εὔκριτον, ἀπαλλάξασθαι τῆς ἀηδίας οὕτω γοῦν ἐλπίζοντες. καὶ μετῆλθέ τε ὁ Ἀρισταίνετος ἐπὶ τὸν αὐτοῦ τόπον, εἰρήνην γενήσεσθαι ἐλπίσας. καὶ ἅμα εἰσεκεκόμιστο ἡμῖν τὸ ἐντελὲς ὀνομαζόμενον δεῖπνον, μία ὄρνις ἑκάστῳ, καὶ κρέας ὑὸς, καὶ λαγῷα, καὶ ἰχθὺς ἐκ ταγήνου, καὶ σησαμοῦντες, καὶ ὅσα ἐντραγεῖν, καὶ ἐξῆν ἀποφέρεσθαι ταῦτα. προὔκειτο δὲ οὐχ ἑνὶ ἑκάστῳ πινάκιον, ἀλλ' Ἀρισταινέτῳ μὲν, καὶ Εὐκρίτῳ, ἐπὶ μιᾶς τραπέζης κοινόν. καὶ τὰ παρ' αὐτῷ, ἑκάτερον ἐχρῆν λαβεῖν. Ζηνοθέμιδι δὲ τῷ στωϊκῷ, καὶ Ἕρμωνι τῷ ἐπικουρείῳ, ὁμοίως κοινὸν καὶ τούτοις. εἶτα ἑξῆς Κλεοδήμῳ, καὶ Ἴωνι, μεθ' οὓς τῷ νυμφίῳ, καὶ ἐμοί. τῷ Διφίλῳ δὲ, τὰ ἀμφοῖν. ὁ γὰρ Ζήνων ἀπεληλύθει. καὶ μέμνησό μοι τούτων ὦ Φίλων, διότι δή ἐστι καὶ ἐν αὐτοῖς χρήσιμον εἰς τὸν λόγον. Φι. μεμνήσομαι δή. Λυ. ὁ τοίνυν Ἴων, πρῶτος ἦν ἄρχομαι ἔφη εἰ δοκεῖ. καὶ μικρὸν ἐπισχὼν, ἐχρῆν μὲν ἴσως ἔφη τοιούτων ἀνδρῶν παρόντων, περὶ ἰδεῶν τε, καὶ ἀσωμάτων εἰπεῖν, καὶ ψυχῆς ἀθανασίας.

ας. ἵνα δὲ μὴ ἀντιλέγωσί μοι, ὁπόσοι μὴ κατὰ ταυτὰ φιλοσοφοῦσι, περὶ γάμων ἐρῶ τὰ εἰκότα. τὸ μὲν οὖν ἄριστον ἦν, μὴ δεῖσθαι γάμων, ἀλλὰ πειθομένους Πλάτωνι, καὶ Σωκράτει παιδεραστεῖν. μόνοι γὰρ οἱ τοιοῦτοι ἀποτελεσθεῖεν ἂν πρὸς ἀρετήν. εἰ δὲ δεῖ καὶ γυναικείου γάμου κατὰ τὰ Πλάτωνι δοκοῦντα, κοινὰς εἶναι ἐχρῆν τὰς γυναῖκας, ὡς ἔξω ζήλου εἴημεν. γέλως ἐπὶ τούτοις ἐγένετο, ὡς οὐκ ἐν καιρῷ λεγομένοις. Διονυσόδωρος δέ, οὐ παύσῃ ἔφη βαρβαρικὰ ἡμῖν ᾄδων; ποῦ γὰρ ἂν εὑρίσκοιμεν τὸν ζῆλον ἐπὶ τούτου, καὶ παρὰ τίνι; καὶ σὺ γὰρ φθέγγῃ κάθαρμα εἶπεν; οἶμαι καὶ ὁ Διονυσόδωρος ἀντελοιδορεῖτο τὰ εἰκότα. ἀλλ' ὁ γραμματικὸς Ἱστιαῖος ὁ βέλτιστος, παύσασθε ἔφη. ἐγὼ γὰρ ὑμῖν ἐπιθαλάμιον ἀναγνώσομαι. καὶ ἀρξάμενος, ἀνεγίνωσκεν.

ἦν γοῦν ταῦτα εἴγε μέμνημαι, τὰ ἐλεγεῖα, ἢ οἵη ποτ' ἄρ' ἥπερ Ἀρισταινέτου ἐν μεγάροις δῖα Κλεανθὶς ἄνασσ' ἔτρεφετ' ἐνδυκέως, προὔχουσα πασῶν ἀλλάων παρθενικάων, κρέσσων τῆς Κυθέρης, ἠδ' αὖ καὶ σελήνης. νυμφίε, καὶ σὺ δὲ χαῖρε, κρατερῶν κράτιστ' ἐφήβων, κρέσσων Νηρῆος, καὶ Θέτιδος παιδός. ἄμμες δ' αὖθ' ὑμῖν τοῦτον θαλαμήιον ὕμνον ξυνὸν ἐπ' ἀμφοτέροις πολλάκις ᾀσόμεθα. γέλωτος οὖν ἐπὶ τούτοις ὡς τὸ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰκὸς γενομένου, ἀρέσθαι ἤδη τὰ παρακείμενα ἔδει. καὶ ἀνείλοντο οἱ ἀμφὶ τὸν Λευσαίνετον, καὶ Εὔκριτον, τὰ πρὸ αὐτοῦ ἑκάτερος. κἀγὼ τὰ ἐμά, καὶ ὁ Χαιρέας, ὅσα ἐκείνῳ ἔκειτο. καὶ Ἴων ὁμοίως, καὶ ὁ Κλεόδημος. ὁ δὲ Δίφιλος, ἠξίου καὶ τὰ τῷ Ζήνωνι ἤδη ἀπιόντι παρατεθέντα φέρεσθαι. καὶ ἔλεγε μόνῳ παρατεθῆναί οἱ αὐτά, καὶ πρὸς τοὺς διακόνους ἐμάχετο, καὶ ἀντέσπων, τῆς ὄρνιθος ἀντειλημμένοι, ὥσπερ τὸν Πατρόκλου νεκρὸν ἀνθέλκοντες. καὶ τέλος, ἐνικήθη, καὶ ἀφῆκε, πολὺν γέλωτα παρασχὼν τοῖς συμπόταις. καὶ μάλιστα ἐπεὶ ἠγανάκτει μετὰ τοῦτο, ὡς ἂν τὰ μέγιστα ἠδικημένος. οἱ δὲ ἀμφὶ τὸν Ἕρμωνα, καὶ Ζηνόθεμιν, ἅμα κατέκειντο, ὥσπερ εἴρηται. ὁ μὲν, ὑπεράνω, ὁ Ζηνόθεμις, ὁ δ' ὑπ' αὐτόν. παρέκειτο δ' αὐτοῖς τὰ μὲν ἄλλα πάντα, ἴσα. καὶ ἀνείλοντο εἰρηνικῶς. ἡ δὲ ὄρνις ἡ πρὸ τοῦ Ἕρμωνος, πιμελεστέρα. οὕτως οἶμαι τυχόν, ἔδει δὲ καὶ ταύτας ἀναιρεῖσθαι, τὴν ἑαυτοῦ ἑκάτερον. ἐν τούτῳ δὴ ὦ ὁ Ζηνόθεμις, καί μοι ὦ Φίλων πάνυ πρόσεχε τὸν νοῦν, ὁμοῦ γάρ ἐσμεν ἤδη τῷ κεφαλαίῳ τῶν πραχθέντων ὁ δὴ Ζηνόθεμις, φημὶ τὴν παρ' αὐτὸν ἀφεὶς, τὴν πρὸ τοῦ Ἕρμωνος ἀνείλετο, ποτέραν ὡς ἔφην οὖσαν. ὁ δ' ἀντεπελάβετο, καὶ οὐκ εἴα πλεονεκτεῖν. βοὴ τὸ ἐντεῦθεν

τού-

ρύτης. καὶ συμπεσόντες, ἔπαιον ἀλλήλους ταῖς
ὄρνισιν αὐταῖς εἰς τὰ πρόσωπα. καὶ τῶν πωγώ-
νων ἐπειλημμένοι, ἐπεκαλοῦντο βοηθεῖν. ὁ μὲν,
τὸν Κλεόδημον, ὁ Ἕρμων. ὁ δὲ Ζηνόθεμις, Ἀλκι-
δάμαντα, καὶ Δίφιλον. καὶ συνίσταντο οἱ μὲν, ὡς
τοῦτον. οἱ δὲ, ὡς ἐκεῖνον, πλὴν μόνου τοῦ Ἴωνος.
ἐκεῖνος δὲ μέσον ἑαυτὸν ἐφύλαττεν. οἱ δ᾽ ἐμά-
χοντο συμπλακέντες. καὶ ὁ μὲν Ζηνόθεμις, σκύ-
φον ἀράμενος ἀπὸ τῆς τραπέζης κείμενον πρὸ τοῦ
Ἀρισταινέτου, ῥίπτει ἐπὶ τὸν Ἕρμωνα. κἀκείνου
μὲν ἥμαρτε, παρ δέ οἱ ἐξάπε γ᾽ ἄλλη. διεῖλε
δὲ τοῦ νυμφίου τὸ κρανίον ἐς δύο, χρηστῷ μάλα,
καὶ βαθεῖ τραύματι. βοὴ οὖν παρὰ τῶν γυναικῶν
ἐγένετο. καὶ κατεπήδησαν ἐς τὸ μεταίχμιον αἱ
πολλαί. καὶ μάλιστα ἡ μήτηρ τοῦ μειρακίου,
ἐπεὶ τὸ αἷμα εἶδε. καὶ ἡ νύμφη δὲ ἀνεπήδησε,
φοβηθεῖσα περὶ αὐτοῦ. ἐν τοσούτῳ δὲ ὁ Ἀλκι-
δάμας ἠρίστευε, τῷ Ζηνοθέμιδι συμμαχῶν.
καὶ πατάξας τῇ βακτηρίᾳ, τοῦ Κλεοδήμου μὲν
τὸ κρανίον, τοῦ Ἕρμωνος δὲ τὴν σιαγόνα ἐπέ-
τριψε, καὶ τῶν οἰκετῶν ἐνίους βοηθεῖν αὐτοῖς
ἐπιχειροῦντας, κατέτρωσεν. οὐ μὴν ἀπετράποντο
τοι ἐκεῖνοι. ἀλλ᾽ ὁ μὲν Κλεόδημος, ὀρθῷ τῷ δα-
κτύλῳ τὸν ὀφθαλμὸν τοῦ Ζηνοθέμιδος ἐξώ-
ρυττε. καὶ τὴν ῥῖνα προσφὺς, ἀπέτραγεν. ὁ δὲ

ἑρμῶν, τὸν Δίφιλον τῇ ξυμμαχίᾳ ἥκοντα τοῦ
Ζηνοθέμιδος, ἀφῆκεν τὴν κεφαλὴν ἀπὸ τοῦ κλιν-
τῆρος. ἐσώθη δὲ καὶ Ἱστιαῖος ὁ γραμματικὸς,
διαλύειν αὐτοὺς ἐπιχειρῶν, λὰξ οἶμαι εἰς τοὺς ὀ-
δόντας ὑπὸ τοῦ Κλεοδήμου, Δίφιλον εἶναι οἰ-
ηθέντος. ἔκειτο γοῦν ὁ ἄθλιος κατὰ τὸν αὐτοῦ Ὁ-
μηρον, αἷμ' ἐμέων. πλὴν ταραχῆς γε, καὶ δακρύ-
ων μεστὰ ἦν πάντα. καὶ αἱ μὲν γυναῖκες, ἐκώ-
κυον, περὶ Χαιρέα περιχυθεῖσαι. οἱ δὲ ἄλλοι,
κατέπαυον. μέγιστον δὲ ἦν ἁπάντων κακῶν ὁ
Ἀλκιδάμας, ἐπεὶ ἅπαξ τὸν καθ' ἑαυτὸν ἐτρέψατο
παίων τὸν προστυχόντα. καὶ πολλοὶ ἂν εὖ ἴσθι ἔπε-
σον, εἰ μὴ κατέαξε τὴν βακτηρίαν. ἐγὼ δὲ πα-
ρὰ τὸν τοῖχον ὀρθὸς ἐφεστὼς, ἑώρων ἕκαστα, οὐκ
ἀναμιγνὺς ἐμαυτὸν, ὑπὸ τοῦ Ἱστιαίου διδαχθεὶς,
ὡς ἔστιν ἐπισφαλὲς διαλύειν τὰ τοιαῦτα.
Λαπίθας γοῦν, καὶ κενταύρους εἶδες ἂν, τραπέ-
ζας ἀνατετραμμένας, καὶ αἷμα ἐκκεχυμένον,
καὶ σκύφους ῥιπτουμένους. τέλος δὲ, ὁ Ἀλκιδά-
μας ἀνατρέψας τὸ λυχνίον, σκότος μέγα ἐποίη-
σε, καὶ τὸ πρᾶγμα ὡς τὸ εἰκὸς μακρῷ χαλεπώ-
τερον ἐπεγένετο. καὶ γὰρ οὐ ῥᾳδίως εὐπόρησαν φω-
τὸς ἄλλου, ἀλλὰ πολλὰ ἐπράχθη, καὶ δεινὰ ἐν
τῷ σκότῳ. καὶ ἐπεὶ παρῆν τις λύχνον ποτὲ κο-
μίζων, κατελήφθη, Ἀλκιδάμας μὲν, τὴν αὐ-

λητρί

Ληκρίδα ἀπαγομένων, καὶ πρὸς βίαν συνενεχθῆ-
ναι αὐτῇ σπουδάζων. Διονυσόδωρος δὲ, ἄλλο
τι πλοῖον ἐφωράθη πεποιηκώς. σκύφος γὰρ ἐξέ-
πεσεν ἐκ τοῦ κόλπου, ἐξαναστάντος αὐτοῦ. εἶτ'
ἀπολογούμενος, Ἴωνα ἔφη ἀνελόμενον ἐν τῇ
ταραχῇ, δοῦναι αὐτῷ, ὅπως μὴ ἀπόλοιτο. καὶ
ὁ Ἴων κηδεμονικῶς ἔλεγε τοῦτο πεποιηκέναι. ὑπο-
γύρις, διελύθη τὸ συμπόσιον, τελευτῆσαν ἐκ
τῶν δακρύων. αὖθις εἰς γέλωτα τόν τε Ἀλκι-
δάμαντι, καὶ τῷ Διονυσοδώρῳ, καὶ Ἴωνι. καὶ οἱ τε-
τραυματίαι, φοράδην ἐξεκομίζοντο, πονήρως
ἔχοντες. καὶ μάλιστα ὁ πρεσβύτης Ζηνόθεμις
ἀμφοτέρας, τῇ μὲν, τὴν ῥινός. τῇ δὲ, τὸν ὀ-
φθαλμοῦ ἐπειλημμένος, βοῶν ἀπόλλυσθαι ὑ-
π' ἀλγηδόνων. ὥστε καὶ τὸν Ἕρμωνα, καίπερ ἐν
κακοῖς ὄντα, δύο γὰρ ὀδόντας ἐξεκέκοπτο, ἀντι-
μαρτύρεσθαι, λέγοντα, μέμνησο μέντοι ὦ Ζη-
νόθεμι, ὡς οὐκ ἀδιάφορον ἡγῇ τὸν πόνον. καὶ
ὁ νυμφίος δὲ, ἀκεσαμένου τὸ τραῦμα τοῦ Διονί-
κου, ἀπήγετο εἰς τὴν οἰκίαν, ταινίαις κατει-
λημμένος τὴν κεφαλὴν, ἐπὶ τὸ ζεῦγος
ἀνατεθείς, ἐφ' οὗ τὴν νύμφην ἀπάξειν ἔμελ-
λον, πικροὺς ὁ ἄθλιος τοὺς γάμους ἑορτάσας. καὶ
τῶν ἄλλων δὲ ὁ Διόνικος ἐπεμελεῖτο δὴ τὰ
δυνατά. καὶ καθευδήσαντες, ἀπήγοντο ἐμοῦν

τοῦ οἱ πολλοὶ ἐν ταῖς ὁδοῖς. ὁ μέντοι Ἀλκιδά-
μας, αὐτοῦ ἔμενεν. οὐ γὰρ ἐδυνήθησαν ἐκβαλεῖν
τὸν ἄνδρα, ἐπὶ ἅπαξ καταβαλὼν ἑαυτὸν παρὰ τῆς
κλίνης, πλαγίως ἐκάθευδε. τοιοῦτό σοι τέλος ὦ
καλὲ Φίλων, ἐγένετο τοῦ συμποσίου, ἢ ἄμει-
" νον τὸ τραγικὸν ἐκεῖνο εἰπεῖν, τὸ, Πολλαὶ μορφαὶ
" τῶν δαιμονίων. πολλὰ δ' ἀέλπτως κραίνουσι
" θεοί. καὶ τὰ δοκηθέντ', οὐκ ἐτελέσθη. ἀπροσδό-
κητα γὰρ ὡς ἀληθῶς ἀπέβη καὶ ταῦτα. ἐκεῖνό
γε μεμάθηκα ἤδη, ὡς οὐκ ἀσφαλὲς ἀπράγμο-
να ὄντα, συνεστιᾶσθαι τοιούτοις φιλοσόφοις.

## ΠΕΡΙ ΤΗΣ ΣΥΡΙΗΣ ΘΕΟΥ.

Ἔστιν ἐν Συρίῃ πόλις, οὐ πολλὸν ἀπὸ τοῦ Εὐ-
φρήτεω ποταμοῦ. καλέεται δὲ ἱρή. καὶ ἔστιν
ἱρὴ τῆς Ἥρης τῆς Ἀσσυρίης. δοκέει δέ μοι
τόδε τὸ ὄνομα, οὐκ ἅμα τῇ πόλει οἰκεομένῃ
ἐγένετο, ἀλλὰ τὸ μὲν ἀρχαῖον, ἄλλο ἦν: μετὰ
δέ σφισι, τῶν ἱρῶν μεγάλων γιγνομένων, ἐς
τόδε ἡ ἐπωνυμίη ἀπίκετο. περὶ ταύτης ὦν τῆς
πόλιος ἔρχομαι ἐρέων, ὁκόσα ἐν αὐτῇ ἐστί. ἐρέω
δὲ καὶ νόμους, τοῖσι, ἐς τὰ ἱρὰ χρέωνται. καὶ
πανηγύριας, τάς, ἄγουσι. καὶ θυσίας, τάς,
ἐπιτελέουσι. ἐρέω δὲ ὁκόσα καὶ περὶ τῶν τὸ ἱ-
ρὸν εἱσαμένων, μυθολογέουσι, καὶ τὸν νηὸν ὅκως
ἐγένετο. γράφω δέ, Ἀσσύριος ἐών. καὶ τῶν,
ἀπηγέο-

ἀπηγέομαι. τὰ μὲν, αὐτοψίῃ μαθών. τὰ δὲ, παρὰ τῶν ἱρέων ἐδάην. ὁκόσα ἐόντα ἐμεῦ πρεσβύτερα, ἐγὼ ἱστορέω. Πρῶτοι μὲν ὦν ἀνθρώπων, τῶν, ἡμεῖς ἴδμεν, Αἰγύπτιοι λέγονται θεῶν τε ἔννοιην λαβεῖν, καὶ ἱρὰ εἵσασθαι, καὶ τεμένεα, καὶ πανηγύριας ἀποδέξαι. πρῶτοι δὲ καὶ ὀνόματα ἱρὰ ἔγνωσαν, καὶ λόγους ἱροὺς ἔλεξαν. μετὰ δὲ, οὐ πολλὸς τῷ χρόνῳ, παρ' Αἰγυπτίων, λόγον Ἀσσύριοι ἐς θεοὺς ἤκουσαν, καὶ ἱρὰ, καὶ νηοὺς ἤγειραν. ἐν τοῖσι, καὶ ἀγάλματα ἔθεντο, καὶ ξόανα ἐστήσαντο. τὸ δὲ παλαιὸν, καὶ παρ' Αἰγυπτίοισι ἀξόανοι νηοὶ ἔσαν. καὶ ἔστι ἱρὰ καὶ ἐν Συρίῃ, οὐ παρὰ πολὺ τοῖς Αἰγυπτίοισι ἰσοχρονέοντα. τῶν, ἐγὼ πλεῖστα ὄπωπα. τό, γε τοῦ Ἡρακλέος τὸ ἐν Τύρῳ, οὐ τούτου τοῦ Ἡρακλέος, τὸν, Ἕλληνες ἀείδουσιν, ἀλλὰ τὸν, ἐγὼ λέγω, πολλὸν ἀρχαιότερος, καὶ Τύριος ἥρως ἐστί. ἔνι δὲ καὶ ἄλλο ἱρὸν ἐν Φοινίκῃ μέγα, τὸ, Σιδώνιοι ἔχουσι. ὡς μὲν αὐτοὶ λέγουσι, Ἀστάρτης ἐστί. Ἀστάρτην δ' ἐγὼ δοκέω σεληναίην ἔμμεναι. ὡς δέ μοί τις τῶν ἱρέων ἀπηγέετο, Εὐρώπης ἐστὶ τῆς Κάδμου ἀδελφεῆς. ταύτην δ' ἐοῦσαν Ἀγήνορος τοῦ βασιλῆος θυγατέρα, ἐπειδή τε ἀφανὴς ἐγεγόνεε, οἱ Φοίνικες νηῷ ἐτιμήσαντο, καὶ λόγον ἱρὸν ἐπ' αὐτῇ ἔλεξαν, ὅτι ἐοῦσαν καλὴν, Ζεὺς ἐπόθεε. καὶ τὸ εἶδος



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοὺς οἱ πολλοὶ ἐν ταῖς ὁδοῖς. ὁ μέντοι Ἀλκιδά-
μας, αὐτοῦ ἔμενεν. οὐ γὰρ ἐδυνήθησαν ἐκβαλεῖν
τὸν ἄνδρα, ἐπὶ ἅπαξ καταβαλὼν ἑαυτὸν ἐπὶ τῆς
κλίνης, πλαγίως ἐκάθευδε. τοιοῦτό σοι τέλος ὦ
καλὲ Φίλων, ἐγένετο τοῦ συμποσίου, ἢ ἄμει-
νον τὸ τραγικὸν ἐκεῖνο εἰπεῖν, τό, Πολλαὶ μορφαὶ
τῶν δαιμονίων. πολλὰ δ᾽ ἀέλπτως κραίνουσι
θεοί. καὶ τὰ δοκηθέντ᾽, οὐκ ἐτελέσθη. ἀπροσδό-
κητα γὰρ ὡς ἀληθῶς ἀπέβη καὶ ταῦτα. ἐκεῖνό
τε μεμάθηκα ἤδη, ὡς οὐκ ἀσφαλὲς ἀπράγμο-
να ὄντα, συνεστιᾶσθαι τοιούτοις φιλοσόφοις.

## ΠΕΡΙ ΤΗΣ ΣΥΡΙΗΣ ΘΕΟΥ.

Ἔστιν ἐν Συρίῃ πόλις, οὐ πολλὸν ἀπὸ τοῦ Εὐ-
φρήτεω ποταμοῦ. καλέεται δὲ ἱρή. καὶ ἔστιν
ἱρὴ τῆς Ἥρης τῆς Ἀσσυρίης. δοκέει δέ μοι
τόδε τὸ ὄνομα, οὐκ ἅμα τῇ πόλει οἰκεομένῃ
ἐγένετο, ἀλλὰ τὸ μὲν ἀρχαῖον, ἄλλο ἦν: μετὰ
δέ σφισι, τῶν ἱρῶν μεγάλων γιγνομένων, ἐς
τόδε ἡ ἐπωνυμίη ἀπίκετο. περὶ ταύτης ὦν τῆς
πόλιος ἔρχομαι ἐρέων, ὁκόσα ἐν αὐτῇ ἐστι. ἐρέω
δὲ καὶ νόμους, τοῖσι, ἐς τὰ ἱρὰ χρέωνται. καὶ
πανηγύριας, τάς, ἄγουσι. καὶ θυσίας, τάς,
ἐπιτελέουσι. ἐρέω δὲ ὁκόσα καὶ περὶ τῶν τὸ ἱ-
ρὸν εἱσαμένων, μυθολογέουσι, καὶ τὸν νηὸν ὅκως
ἐγένετο. γράφω δέ, Ἀσσύριος ἐών. καὶ τῶν,
ἀπηγέο-

ἀπηγέομαι. τὰ μὲν, αὐτοψίῃ μαθών. τὰ δὲ, παρὰ τῶν ἱρέων ἐδάην. ὁκόσα ἐόντα ἐμεῦ πρεσβύτερα, ἐγὼ ἱστρέω. Πρῶτοι μὲν ὦν ἀνθρώπων, τῶν, ἡμεῖς ἴδμεν, Αἰγύπτιοι λέγονται θεῶν τε ἐννοίην λαβεῖν, καὶ ἱρὰ εἴσασθαι, καὶ τεμένεα, καὶ πανηγύριας ἀποδέξαι. πρῶτοι δὲ καὶ ὀνόματα ἱρὰ ἔγνωσαν, καὶ λόγους ἱροὺς ἔλεξαν. μετὰ δὲ, οὐ πολλῷ χρόνῳ, παρ' Αἰγυπτίων, λόγον Ἀσσύριοι ἐς θεοὺς ἤκουσαν, καὶ ἱρὰ, καὶ νηοὺς ἤγειραν. ἐν τοῖσι, καὶ ἀγάλματα ἔθεντο, καὶ ξόανα ἐστήσαντο. τὸ δὲ παλαιὸν, καὶ παρ' Αἰγυπτίοισι ἀξόανοι νηοὶ ἔσαν. καὶ ἔστι ἱρὰ καὶ ἐν Συρίῃ, οὐ παρὰ πολὺ τοῖς Αἰγυπτίοισι ἰσοχρονέοντα. τῶν, ἐγὼ πλεῖστα ὄπωπα. τό, γε τοῦ Ἡρακλέος τὸ ἐν Τύρῳ, οὐ τούτου τοῦ Ἡρακλέος, τὸν, Ἕλληνες ἀείδουσιν, ἀλλὰ τὸν, ἐγὼ λέγω, πολὺ ἀρχαιότερος, καὶ Τύριος ἥρως ἐστί. ἔνι δὲ καὶ ἄλλο ἱρὸν ἐν Φοινίκῃ μέγα, τὸ, Σιδώνιοι ἔχουσι. ὡς μὲν αὐτοὶ λέγουσι, Ἀστάρτης ἐστί. Ἀστάρτην δ' ἐγὼ δοκέω Σεληναίην ἔμμεναι. ὡς δέ μοί τις τῶν ἱρέων ἀπηγέετο, Εὐρώπης ἐστὶ τῆς Κάδμου ἀδελφεῆς. ταύτην δ' ἐοῦσαν Ἀγήνορος τοῦ βασιλῆος θυγατέρα, ἐπειδή τε ἀφανὴς ἐγεγόνεε, οἱ Φοίνικες νηῷ ἐτιμήσαντο, καὶ λόγον ἱρὸν ἐπ' αὐτῇ ἔλεξαν, ὅτι ἐοῦσαν καλὴν, Ζεὺς ἐπόθεε καὶ τὸ εἶδος

ἐς ταῦρον ἀμειψάμενος, ἥρπασε. καί μιν ἐς Κρή-
την φέρων, ἀπίκετο. τάδε μὲν καὶ τῶν ἄλλων
Φοινίκων ἤκουον. καὶ τὸ νόμισμα, τῷ, Σιδώνιοι
χρέονται, τὴν Εὐρώπην ἐφεζομένην ἔχει τῷ
ταύρῳ τῷ Διΐ. τὸν δὲ νηόν, οὐκ ὁμολογέουσι
Εὐρώπης ἔμμεναι. ἔχουσι δὲ καὶ ἄλλο Φοίνικες
ἱρόν, οὐκ ἀσσύριον, ἀλλ' Αἰγύπτιον. τό, ἐξ Ἡλίου
πόλιος ἐς τὴν Φοινίκην ἀπίκετο. ἐγὼ μέν μιν
οὐκ ὄπωπα. μέγα δὲ καὶ τόδε, καὶ ἀρχαῖόν ἐστι.
εἶδον δὲ καὶ ἐν Βύβλῳ μέγα ἱρὸν Ἀφροδίτης
Βυβλίης. ἐν τῷ, καὶ τὰ ὄργια ἐς Ἄδωνιν ἐπιτε-
λέουσι. ἐδάην δὲ καὶ τὰ ὄργια. λέγουσι γὰρ δὴ ὦν
τὸ ἔργον τὸ ἐς Ἄδωνιν ὑπὸ τοῦ συός, ἐν τῇ χώ-
ρῃ τῇ σφετέρῃ γενέσθαι. καὶ μνήμην τοῦ πάθεος,
τύπτονταί τε ἑκάστου ἔτεος, καὶ θρηνέουσι, καὶ
τὰ ὄργια ἐπιτελέουσι. καί σφισι μεγάλα πέν-
θεα ἀνὰ τὴν χώρην ἵσταται. ἐπεὰν δὲ ἀπο-
τύψωνταί τε, καὶ ἀποκλαύσωνται, πρῶτα
μὲν καταγίζουσι τῷ Ἀδώνιδι, ὅκως ἐόντι νέ-
κυϊ. μετὰ δέ, τῇ ἑτέρῃ ἡμέρῃ, ζώειν τέ μιν μυθο-
λογέουσι, καὶ ἐς τὸν ἠέρα πέμπουσι, καὶ τὰς κεφα-
λὰς ξυρέονται, ὅκως Αἰγύπτιοι, ἀποθανόντος
Ἄπιος. γυναικῶν δέ, ὁκόσαι οὐκ ἐθέλουσι ξυρέ-
εσθαι, τοιήνδε ζημίην ἐκτελέουσι. ἐν μιῇ ἡμέρῃ,
ἐπὶ πρήσει τῆς ὥρης ἵστανται. ἡ δὲ ἀγορή, μούνοισι
ξείνοισι

ξείνοισι παρακέαται. καὶ ὁ μισθὸς ἐς τὴν Ἀφροδίτην, θυσίη γίγνεται. εἰσὶ δὲ ἔνιοι Βυβλίων, οἳ λέγουσι παρὰ σφίσι τεθάφθαι τὸν Ὄσιριν τὸν Αἰγύπτιον. καὶ τὰ πένθεα, καὶ τὰ ὄργια, οὐκ ἐς τὸν Ἄδωνιν, ἀλλ' ἐς τὸν Ὄσιριν πάντα πρήσσεσθαι. ἐρέω δὲ ὁκόθεν καὶ τάδε πιστὰ δοκέουσι. κεφαλὴ ἑκάστου ἔτεος ἐξ Αἰγύπτου ἐς τὴν Βύβλον ἀπικνέεται. πλώουσα τὸν μεταξὺ πλόον, ἑπτὰ ἡμερέων. καί μιν οἱ ἄνεμοι φορέουσι θείῃ ναυτιλίῃ. τρέπεται δὲ οὐδαμᾶ, ἀλλ' ἐς μούνην τὴν Βύβλον ἀπικνέεται. καὶ ἔστι τὸ σύμπαν, θῶυμα. καὶ τοῦτο ἑκάστου ἔτεος γίγνεται, τὸ, καὶ ἐμεῦ παρεόντος ἐν Βύβλῳ ἐγένετο. καὶ τὴν κεφαλὴν ἐθησάμην βυβλίνην. ἔνι δὲ καὶ ἄλλο θῶυμα ἐν τῇ χώρῃ τῇ Βυβλίῃ, ποταμὸς ἐκ τοῦ Λιβάνου τοῦ οὔρεος, ἐς τὴν ἅλα ἐκδιδοῖ. οὔνομα τῷ ποταμῷ Ἄδωνις ἐπικέαται. ὁ δὲ ποταμὸς, ἑκάστου ἔτεος αἱμάσσεται. καὶ τὴν χροιὴν ὀλέσας, ἐσπίπτει ἐς τὴν θάλασσαν, καὶ φοινίσσει τὸ πολλὸν τοῦ πελάγεος, καὶ σημαίνει τοῖς Βυβλίοις τὰ πένθεα. μυθέονται δὲ ὅτι ταύτῃσι τῇσι ἡμέρῃσι, ὁ Ἄδωνις ἀνὰ τὸν Λίβανον τιτρώσκεται, καὶ τὸ αἷμα ἐς τὸ ὕδωρ ἐρχόμενον, ἀλλάσσει τὸν ποταμὸν, καὶ τῷ ῥόῳ τὴν ἐπωνυμίην διδοῖ. ταῦτα μὲν οἱ πολλοὶ λέγουσι. ἐμοὶ δέ τις ἀνὴρ Βύ-

βλιος, ἀληθέα δοκέων λέγειν, ἑτέρην ἀπηγέετο τοῦ πάθεος αἰτίην. ἔλεγε δὲ ὧδε. ὁ ἀδωνις ὁ ποταμὸς ὦ ξεῖνε, διὰ τοῦ Λιβάνου ἔρχεται. ὁ δὲ Λίβανος, κάρτα ξανθόγεώς ἐστι. ἄνεμοι ὦν τρηχέες ἐκείνῃσι τῇσι ἡμέρῃσι ἱστάμενοι, τὴν γῆν τῷ ποταμῷ ἐπιφέρουσι, ἐοῦσαν ἐς τὰ μάλιστα μιλτώδεα. ἡ δὲ γῆ μιν, αἱμώδεα τίθησι. καὶ τοῦ δὲ τοῦ πάθεος οὐ τὸ αἷμα, τὸ λέγουσι, ἀλλ' ἡ χώρη αἰτίη ὁ μέν μοι Βύβλιος, τοσαῦτα ἀπηγέετο. εἰ δὲ ἀτρεκέως ταῦτα ἔλεγε, ἐμοὶ μὲν δοκέει κάρτα θείη καὶ τοῦ ἀνέμου ἡ συντυχίη. ἀνέβην δὲ καὶ ἐς τὸν Λίβανον ἐκ Βύβλου, ὁδὸν ἡμέρης, πυθόμενος αὐτόθι ἀρχαῖον ἱρὸν Ἀφροδίτης ἔμμεναι, τὸ, Κινύρης εἵσατο. καὶ εἶδον τὸ ἱρόν, καὶ ἀρχαῖον ἦν. τάδε μέν ἐστι τὰ ἐν τῇ Συρίῃ ἀρχαῖα, καὶ μεγάλα ἱρά. τοσούτων δὲ ἐόντων, ἐμοὶ δοκέειν, οὐδὲν τῶν ἐν τῇ ἱρῇ πόλει μεῖζον ἔμμεναι, οὐδὲ νηὸς ἄλλος ἁγιώτερος, οὐδὲ χώρη ἄλλη ἱροτέρη. ἔνι δὲ καὶ ἔργα ἐν αὐτῷ πολυτελέα, καὶ ἀρχαῖα ἀναθήματα, καὶ πολλὰ θωύματα, καὶ ξόανα θεοπρεπέα. καὶ θεοὶ δὲ κάρτα αὐτοῖσι ἐμφανέες. ἱδρώει γὰρ δὴ ὦν παρὰ σφίσι τὰ ξόανα, καὶ κινέεται καὶ χρησμηγορέει. καὶ βοὴ δὲ πολλάκις ἐγένετο ἐν τῷ νηῷ, κλεισθέντος τοῦ ἱροῦ. καὶ πολλοὶ ἤκουσαν. ναὶ μὴν καὶ

ὄλβου

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὄλβου πέρι, ἐν τοῖσιν ἐγὼ οἶδα, πρῶτόν ἐστι. πολλὰ γὰρ αὐτοῖσιν ἀπικνέεται χρήματα, ἔκ τε Ἀραβίης, καὶ Φοινίκων, καὶ Βαβυλωνίων. καὶ ἄλλα ἐκ Καππαδοκίης. τὰ δὲ, καὶ Κίλικες φέρουσι. τὰ δὲ, Ἀσσύριοι. εἶδον δὲ ἐγὼ καὶ τὰ, ἐν τῷ νηῷ λάθρη ἀποκέαται, ἐσθῆτα πολλὴν, καὶ ἄλλα, ὁκόσα ἐς ἄργυρον, ἢ ἐς χρυσὸν ἀποκέκειται. ἑορταὶ μὲν γὰρ καὶ πανηγύριες, οὐδαμοῖσιν ἄλλοισιν ἀνθρώπων τοσαίδε ἀποδεδέχαται. ἱστορέοντι δέ μοι ἐτέων πέρι, ὁκόσα τῷ ἱρῷ ἐστι, καὶ τὴν θεὸν αὐτοὶ ἥντινα δοκέουσι, πολλοὶ λόγοι ἐλέγοντο, τῶν, οἱ μὲν, ἱροί. οἱ δὲ, ἐμφανέες. οἱ δὲ, κάρτα μυθώδεες. καὶ ἄλλοι, βάρβαροι, οἱ μὲν, τοῖσιν Ἕλλησιν ὁμολογέοντες. τοὺς, ἐγὼ πάντας μὲν ἐρέω, δέκομαι δὲ οὐδαμά. οἱ μὲν ὦν πολλοὶ, Δευκαλίωνα τὸν Σκύθεα τὸ ἱρὸν εἵσασθαι λέγουσι. τοῦτον Δευκαλίωνα, ἐπὶ τοῦ, τὸ πολλὸν ὕδωρ ἐγένετο. Δευκαλίωνος δὲ πέρι, λόγον ἐν Ἕλλησιν ἤκουσα, τὸν, Ἕλληνες ἐπ' αὐτῷ λέγουσι. ὁ δὲ μῦθος, ὧδε ἔχει. ἥδε ἡ γενεὴ, οἱ νῦν ἄνθρωποι, οὐ πρῶτοι ἐγένοντο. ἀλλ' ἐκείνη μὲν ἡ γενεὴ, πάντες ὤλοντο. οὗτοι δὲ, γένεος τοῦ δευτέρου εἰσί. τὸ, αὖτις ἐκ Δευκαλίωνος ἐς πληθὺν ἀπίκετο. ἐκείνων δὲ πέρι τῶν ἀνθρώπων, τάδε μυθέονται. ὑβρισταὶ κάρτα ἐόντες, ἀθέ-

γίστα ἔργα ἔπρασσον. οὔτε γὰρ ὅρκια ἐφύλασσον·
οὔτε ξείνους ἐδέκοντο, οὔτε ἱκετέων ἠνείχοντο,
ἀντ᾽ ὧν σφίσι ἡ μεγάλη συμφορὴ ἀπίκετο αὐ-
τίκα ἡ γῆ πολλὸν ὕδωρ ἐκδιδοῖ, καὶ ὄμβροι μεγά-
λοι ἐγένοντο, καὶ οἱ ποταμοὶ κατέβησαν μέζονες,
καὶ ἡ θάλασσα ἐπὶ πολλὸν ἀνέβη, ἐς ὃ πάντα
ὕδωρ ἐγένοντο, καὶ πάντες ὤλοντο. Δευκαλίων
δὲ, μοῦνος ἀνθρώπων ἐλίπετο ἐς γενεὴν δευτέ-
ρην, εὐβουλίης τε, καὶ τοῦ εὐσεβέος εἵνεκα. ἡ δὲ
οἱ σωτηρίη, ἥδε ἐγένετο. λάρνακα μεγάλην,
τὴν, αὐτὸς εἶχε, ἐς ταύτην ἐσβιβάσας παῖδάς
τε, καὶ γυναῖκας ἑωυτοῦ, ἐσέβη. ἐσβαίνοντι δέ οἱ,
ἀπίκοντο σύες, καὶ ἵπποι, καὶ λεόντων γένεα, καὶ
ὄφιες, καὶ ἄλλα, ὁκόσα ἐν γῇ νέμονται πάν-
τα ἐς ζεύγεα. ὁ δὲ, πάντα ἐδέκετο. καί μιν
οὐκ ἐσίνοντο, ἀλλά σφισι μεγάλη διόθεν φιλίη
ἐγένετο. καὶ ἐν μιῇ λάρνακι πάντες ἔπλευσαν.
ἔστε τὸ ὕδωρ ἐπεκράτεε. τὰ μὲν Δευκαλίωνος
πέρι, Ἕλληνες ἱστορέουσι. τὰ δὲ ἀπὸ τούτου,
λέγεται λόγος ὑπὸ τῶν ἐν τῇ ἱρῇ πόλει μεγά-
λως ἄξιος θωμάσαι, ὅτι ἐν τῇ σφετέρῃ χώ-
ρῃ, χάσμα μέγα ἐγένετο, καὶ τὸ σύμπαν ὕδωρ κα-
τεδέξατο. Δευκαλίων δὲ, ἐπεὶ τάδε ἐγένετο,
βωμούς τε ἔθετο, καὶ νηὸν ἐπὶ τῷ χάσματι
Ἥρης ἅγιον ἐστήσατο. ἐγὼ δὲ, καὶ τὸ χάσμα εἶ-
δον, καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δον, καὶ ἔστι ὑπὸ τῷ νηῷ κάρτα μικρόν. εἰ μὲν ὦν πάλαι καὶ μέγα ἐὸν, νῦν τοιόνδε ἐγένετο, οὐκ οἶδα. τὸ, δὲ ἐγὼ εἶδον, μικρὸν ἐστί. σῆμα δὲ τῆς ἱστορίης, τόδε πρήσσουσι. δὶς ἑκάστου ἔτεος ἐκ θαλάσσης ὕδωρ ἐς τὸν νηὸν ἀπικνέεται. φέρουσι δὲ οὐκ ἱρέες μοῦνον, ἀλλὰ πᾶσα Συρίη, καὶ Ἀραβίη. καὶ πέρηθεν τοῦ Εὐφρήτεω, πολλοὶ ἄνθρωποι ἐς θάλασσαν ἔρχονται, καὶ πάντες ὕδωρ φέρουσι, τὸ, πρῶτα μὲν ἐν τῷ νηῷ ἐκχέουσι. μετὰ δὲ, ἐς τὸ χάσμα κατέρχεται, καὶ δέκεται τὸ χάσμα μικρὸν ἐὸν, ὕδατος χρῆμα πολλόν. τὰ, δὲ ποιέοντες, Δευκαλίωνα ἐν τῷ ἱρῷ τόνδε νόμον θέσθαι λέγουσι, συμφορῆς τε, καὶ εὐεργεσίης μνῆμα ἔμμεναι. ὁ μὲν ὦν ἀρχαῖος αὐτοῖς λόγος ἀμφὶ τοῦ ἱροῦ, ριόσδέ ἐστι. ἄλλοι δὲ, Σεμίραμιν τὴν Βαβυλωνίην, τῆς, δὴ πολλὰ ἔργα ἐν τῇ Ἀσίῃ ἐστὶ, ταύτην καὶ τόδε τὸ ἕδος εἵσασθαι νομίζουσι. οὐκ Ἥρῃ δὲ εἵσασθαι, ἀλλὰ μητρὶ ἑωυτῆς, τῆς, Δερκετὼ οὔνομα. Δερκετοῦς δὲ εἶδος ἐν Φοινίκῃ ἐθεησάμην, θέημα ξένον, ἡμισέη μὲν, γυνὴ τὸ δὲ ὁκόσον ἐκ μηρῶν ἐς ἄκρους πόδας, ἰχθύος οὐρὴ ἀποτείνεται. ἡ δὲ ἐν τῇ ἱρῇ πόλει, πᾶσα γυνή ἐστι. πίστιες δὲ τοῦ λόγου αὐτοῖσι, οὐ κάρτα ἐμφανέες. ἰχθύας, χρῆμα ἱρὸν νομίζουσι, καὶ οὔκο

τε ἰχθύων ψαύουσι. καὶ ὄρνιθας τοὺς μὲν ἄλλους σιτέονται, περιστερὴν δὲ μούνην, οὐ σιτέονται, ἀλλὰ σφίσι ἥδε ἱρή. τὰ δὲ γιγνόμενα, δοκέει αὐτοῖς ποιέεσθαι, Δερκετοῦς, καὶ Σεμιράμιος εἵνεκα. τὸ μὲν, ὅτι Δερκετὼ μορφὴν ἰχθύος ἔχει. τὸ δὲ, ὅτι τὸ Σεμιράμιος τέλος, ἐς περιστερὴν ἀπίκετο. ἀλλ' ἐγὼ τὸν μὲν νηὸν, ὅτι Σεμιράμιος ἔργον ἐστὶ, τάχα κου δέχομαι. Δερκετοῦς δὲ τὸ ἱρὸν ἔμμεναι, οὐδαμὰ πείθομαι, ἐπεὶ καὶ παρ' Αἰγυπτίων ἔνιοί εἰσι, οἳ ἰχθύας οὐ σιτέονται, καὶ τάδε οὐ Δερκετοῖ χαρίζονται. ἔστι δὲ καὶ ἄλλος λόγος ἱρὸς, τὸν, ἐγὼ σοφοῦ ἀνδρὸς ἤκουσα. ὅτι ἡ μὲν θεὴ, Ῥέη ἐστί. τὸ δὲ ἱρὸν, Ἄττεω ποίημα. Ἄττης δὲ γένος Λυδὸς μὲν ἦν, πρῶτος δὲ τὰ ὄργια τὰ ἐς Ῥέην ἐδιδάξατο. καὶ τὰ, Φρύγες, καὶ Λυδοὶ, καὶ Σαμόθρακες ἐπιτελέουσι, Ἄττεω πάντα ἔμαθον. ὡς γάρ μιν ἡ Ῥέη ἔτεμε, βίου μὲν ἀνδρηΐου ἀπεπαύσατο, μορφὴν δὲ θηλέην ἠμείψατο, καὶ ἐσθῆτα γυναικηΐην ἐνεδύσατο. καὶ ἐς πᾶσαν γῆν φοιτέων, ὄργιά τε ἐπετέλεε, καὶ τὰ, ἔπαθε ἀπηγέετο, καὶ Ῥέην ἤειδε, ἐν τοῖσι, καὶ ἐς Συρίην ἀπίκετο. ὡς δὲ οἱ πέρην Εὐφρήτεω ἄνθρωποι, οὔτε αὐτὸν, οὔτε ὄργια ἐδέκοντο, ἐν τῷδε τῷ χώρῳ τὸ ἱρὸν ἐποιήσατο. σημήϊα δὲ ἡ θεὸς τὰ πολλὰ ἐς Ῥέην ἀπικνέεται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ται. λέοντες γάρ μιν φέρουσι, καὶ τύμπανον ἔχει, καὶ ἐπὶ τῇ κεφαλῇ πυργοφορέει, ὁκοίην Ῥέην Λυδοὶ ποιέουσι. ἔλεγε δὲ καὶ Γάλλων πέρι, οἵ εἰσιν ἐν τῷ ἱρῷ, ὅτι Γάλλοι Ἥρην μὲν οὐδαμά, Ῥέῃ δὲ τέμνονται, καὶ Ἄττεα μιμέονται. τὰ, δέ μοι εὐπρεπέα μὲν δοκέει ἔμμεναι, ἀληθέα δὲ, οὔ. ἐπεὶ καὶ περὶ τομῆς, ἄλλην αἰτίην ἤκουσα πολλὸν πιστοτέρην. ἀνδάνει δέ μοι τά, λέγουσι τοῦ ἱροῦ πέρι, τοῖσι Ἕλλησι τὰ πολλὰ ὁμολογέοντες. τὴν μὲν θεὸν, Ἥρην δοκέοντες, τὸ δ᾽ ἔργον, Διονύσου τοῦ Σεμέλης ποίημα. καὶ γὰρ δὴ Διόνυσος ἐς Συρίην ἀπίκετο, κείνην ὁδὸν, τὴν, ἦλθε ἀπ᾽ Αἰθιοπίην. καὶ ἔστι πολλὰ ἐν τῷ ἱρῷ Διονύσου κτίστεω σήματα. ἐν τοῖσι, καὶ ἐσθῆτες βάρβαροι, καὶ λίθοι ἰνδοὶ, καὶ ἐλεφάντων κέρεα, τὰ, Διόνυσος ἐξ Αἰθιόπων ἤνεικε. καὶ φαλλοὶ δὲ ἑστᾶσιν ἐν τοῖσι προπυλαίοισι δύο κάρτα μεγάλοι. ἐπὶ τῶν, ἐπίγραμμα τοιόνδε ἐπιγέγραπται,

Τούσδε φαλλοὺς Διόνυσος Ἥρῃ μητρυιῇ ἀνέθηκα «

Ἐμοὶ μὲν ὦν, καὶ τάδε ἀρκέει. ἐρέω δὲ καὶ ἄλλο, τὶ ἔστι ἐν τῷ νηῷ Διονύσου ὄργιον. Φαλλοὺς Ἕλληνες, Διονύσῳ ἐγείρουσι. ἐπὶ τῶν, καὶ τοιόνδε τι φέρουσι, ἄνδρας μικροὺς ἐκ ξύλου πεποιημένους, μεγάλα αἰδοῖα ἔχοντας. καλέονται δὲ τάδε, νευρόσπαστα. ἔστι δὲ καὶ τόδε ἐν τῷ ἱ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρῷ. ἐν δεξιῇ τοῦ νηοῦ, κάθηται σμικρὸς ἀνὴρ χάλκεος, ἔχων αἰδοῖον μέγα. στάσιν μιν ἀμφὶ τῶν οἰκιστέων τοῦ ἱροῦ μυθολογέουσι. ἤδη δὲ ἐρέω καὶ τοῦ νηοῦ πέρι, θέσιός τε ὅκως ἐγένετο, καὶ ὅστις μιν ἐποιήσατο. λέγουσι τὸν νηὸν τὸν πρὶν ἐόντα, μὴ ἔμμεναι τὸν τὴν ἀρχὴν γεγενημένον, ἀλλ' ἐκεῖνον μὲν, κατενεχθῆναι χρόνῳ ὕστερον. τὸν δὲ νῦν ἐόντα, Στρατονίκης ἔμμεναι ποίημα, γυναικὸς τοῦ Ἀσσυρίων βασιλῆος. δοκέει δέ μοι ἡ Στρατονίκη ἐκείνη ἔμμεναι, τῆς, ὁ πρόγονος ἠράσατο. τὸν, ἤλεγξε τοῦ ἰητροῦ ἐπινοίη. ὡς γάρ μιν ἡ συμφορὴ κατέλαβε, ἀμηχανέων τῷ κακῷ, αἰσχρῷ δοκέοντι, κατ' ἡσυχίην ἐνόσεε. ἔκειτο δὲ ἀλγέων οὐδὲν, καί οἱ ἥ τε χροιὴ πάμπαν ἐτρέπετο, καὶ τὸ σῶμα δι' ἡμέρης ἐμαραίνετο. ὁ δὲ ἰητρὸς, ὡς εἶδέ μιν ἐς οὐδὲν ἐμφανὲς ἀῤῥωστέοντα, ἔγνω τὴν νοῦσον ἔρωτα ἔμμεναι. ἔρωτος δὲ ἀφανέος πολλὰ σημήϊα, ὀφθαλμοί τε ἀσθενέες, καὶ φωνὴ, καὶ χροιὴ, καὶ δάκρυα, μαθὼν δὲ ταῦτα, ἐποίεε. χειρὶ μὲν τῇ δεξιῇ ἔχε τοῦ νεηνίσκου τὴν καρδίην, ἐκάλεε δὲ τοὺς ἀνὰ τὴν οἰκίην πάντας. ὁ δὲ, τῶν μὲν ἄλλων ἐσιόντων πάντων, ἐν ἠρεμίῃ μεγάλῃ ἦν. ὡς δὲ ἡ μητρυιὴ ἀπίκετο, τήν τε χροιὴν ἤλλαξε, καὶ ἱδρώειν ἄρξατο, καὶ τρόμῳ εἴχετο, καὶ ἡ καρδίη ἀνε

πάλ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πάλλετο. τὰ δὲ, γιγνόμενα ἐμφανέα τοῦ ἰητρῷ, τὸν ἔρωτα ἐποίεε. καί μιν ὧδε ἰήσατο. καλέσας τὸν νεηνίσκου τὸν πατέρα, κάρτα ὀῤῥωδέοντα, ἥδε ἡ νοῦσος ἔφη, τὴν, ὁ παῖς ὅδε ἀῤῥωστέει, οὐ νοῦσός ἐστι, ἀλλὰ ἀδικίη. ὅδε γάρ τοι ἀλγέει μὲν οὐδὲν, ἔρως δέ μιν, καὶ φρενοβλαβείη ἔχει. ἐπιθυμέει δὲ, τῶν, οὐδαμὰ τεύξεται, φιλέων γυναῖκα ἐμὴν, τὴν, ἐγὼ οὔτι μετήσομαι. ὁ μὲν, ὧν τοιῇδε σοφίῃ ἐψεύδετο. ὁ δὲ, αὐτίκα ἐλίσσετο, πρός τε σοφίης, καὶ ἰητρικῆς, μή μοι παῖδα ὀλέσῃς. οὐ γὰρ ἐθέλων ταύτῃ συμφορῇ ἔχεται, ἀλλά οἱ ἡ νοῦσος ἀεκουσίη. τοῦ, σὺ μηδαμὰ ζηλοτυπέων, πένθος ἔγειρε πάσῃ βασιληΐῃ. μηδὲ ἰητρὸς ἐὼν, φόνον προξενέειν ἰητρικῇ. ὁ μὲν, ὧδε ἀγνὼς ἐὼν, ἐδέετο. ὁ δέ, μιν αὖτις ἀμείβετο, ἀνόσια σπεύδεις γάμον ἐμὸν ἀπαιρεόμενος, ἠδὲ ἰητρὸν ἄνδρα βιώμενος. σὺ δὲ, κῶς ἂν αὐτὸς ἔπρηξας, εἴ τοι σὴν γυναῖκα ἐπόθεε ἐμεῦ τάδε δεόμενος; ὁ δὲ, πρὸς τάδε ἔλεγε, ὡς οὐδ' αὐτὸς ἄν κοτε γυναικὸς ἐφείσατο, οὐδὲ παιδὶ σωτηρίης ἐφθόνεε, εἰ καί τι μητρυιῆς ἐπεθύμεε. οὐ γὰρ ὁμοίην συμφορὴν ἔμμεναι, γαμετὴν, ἢ παῖδα ὀλέσαι. ὡς δὲ τάδε ὁ ἰητρὸς ἤκουσε, τί τοι ἔφη ἐμὲ λίσσεαι; καὶ γάρ τοι σὴν γυναῖκα ποθέει. τὰ δὲ ἔλεγον ἐγὼ, πάντα ἔην

ψεύδεα. πείθεται μὲν τουτέοισι, καὶ τὸν μὲν παῖδα, λείπει καὶ γυναῖκα, καὶ βασιληΐην. αὐτὸς δὲ ἐς τὴν Βαβυλωνίην χώρην ἀπικόμενος, καὶ πόλιν ἐπὶ τῷ Εὐφρήτῃ ἐπώνυμον ἑωυτοῦ ἐποιήσατο. ἔνθα οἱ καὶ ἡ τελευτὴ ἐγένετο. ὧδε μὲν ὁ ἰητρὸς ἔρωτα ἔγνω τε, καὶ ἰήσατο. ἡ δὲ δὴ ὦν Στρατονίκη ἔτι τῷ προτέρῳ ἀνδρὶ συνοικέουσα, ὄναρ τοιόνδε ἐθεήσατο, ὥς μιν ἡ Ἥρη ἐκέλευε, ἐγεῖραί οἱ τὸν ἐν τῇ ἱρῇ πόλει νηόν. εἰ δὲ ἀπειθέοι, πολλά οἱ, καὶ κακὰ ἀπείλεε. ἡ δέ, τὰ μὲν πρῶτα, οὐδεμίην ὤρην ἐποιέετο. μετὰ δέ, ὥς μιν μεγάλη νοῦσος ἔλαβε, τῷ τε ἀνδρὶ τὴν ὄψιν ἀπηγήσατο, καὶ τὴν Ἥρην ἱλάσκετο, καὶ στήσειν τὸν νηὸν ὑπεδέξατο. καὶ αὐτίκα ὑγιέα γενομένην, ὁ ἀνὴρ ἐς τὴν ἱρὴν πόλιν ἔπεμπε. σὺν δέ οἱ, καὶ χρήματα, καὶ στρατιὴν πολλήν. τοὺς μέν, οἰκοδομέειν. τοὺς δέ, καὶ τῆς ἀσφαλείης εἵνεκα. καλέσας δέ τινα τῶν ἑωυτοῦ φίλων νεηνίην, κάρτα καλὸν τῷ, οὔνομα ἦν Κομβάβος, ἐγώ τοι ἔφη ὦ Κομβάβε, ἐσθλὸν ἐόντα, φιλέω τε μάλιστα φίλων ἐμῶν, καὶ πάμπαν ἐπαινέω σοφίης τε καὶ εὐνοίης τῆς ἐς ἡμέας, τὴν δὴ ἐπεδέξαο. νῦν δέ μοι χρειὼ μεγάλης πίστιος. τῷ, σε θέλω γυναικὶ ἐμῇ, ἑσπόμενον, ἔργον τέ μοι ἐπιτελέσαι, καὶ ἱρὰ τελέσαι, καὶ στρατιῆς ἐπικρατέειν.

σοὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σοὶ δὲ ἀπικομένῳ, ἐξ ἡμέων τιμὴ μεγάλη ἔ-
σται. πρὸς δὲ τάδε, ὁ Κομβάβος αὐτίκα λίσσε-
το, πολλὰ λιπαρέων μή μιν ἐμπέμπειν, μηδὲ
πιστεύειν οἱ τὰ πολλὸν ἑωυτοῦ μέζονα χρήμα-
τα, καὶ γυναῖκα, καὶ ἔργον ἱρόν. τάδε ὀρρώδεε,
μή κοτέ οἱ ζηλοτυπίη χρόνῳ ὕστερον ἐς τὴν
Στρατονίκην γένοιτο, τὴν, μοῦνος ἀπάξειν ἔμελ-
λε. ὡς δὲ οὐδαμὰ ἐπίθετο, ὁ δὲ, ἱκεσίης δευ-
τέρης ἅπτεται, δοῦναί οἱ χρόνον ἑπτὰ ἡμερέων.
μετὰ δὲ, ἀποστεῖλαί μιν τελέσαντά τι, τῶν, μά-
λιστα ἐδέετο. τυχὼν δὲ ῥηϊδίως, ἐς τὸν ἑωυτοῦ οἶ-
κον ἀπικνέεται. καὶ πεσὼν χαμᾶζε, τοιάδε ὠδύ-
ρετο ὦ δείλαιος, τί μοι ταύτης τῆς πίστιος;
τί δέ μοι ὁδοῦ, τῆς, τέλος ἤδη δέρκομαι; νέος
μὲν ἐγώ, καὶ γυναικὶ καλῇ ἕψομαι. τὸ, δέ μοι
μεγάλη συμφορὴ ἔσεται, εἰ μὴ ἔγωγε πᾶσαν
αἰτίην κακοῦ ἀποθήσομαι. τῷ, με χρὴ μέγα ἔρ-
γον ἀποτελέσαι, τό, μοι πάντα φόβον ἰήσεται.
τάδε εἰπών, ἀτελέα ἑωυτὸν ἐποίεε. καὶ ταμὼν
τὰ αἰδοῖα, ἐς ἀγγήϊον μικρὸν κατέθετο. σμύρ-
νῃ τε ἅμα, καὶ μέλιτι, καὶ ἄλλοισι θυώμασι, καὶ
ἔπειτα, σφρηγῖδι, τήν, ἐφόρεε, σημηνάμενος,
τὸ τρῶμα ἰῆτο. μετὰ δὲ, ὥς μιν ὁδοιπορέειν ἐ-
δόκεε, ἀπικόμενος ἐς τὸν βασιλῆα, πολλῶν
παρεόντων, διδοῖ τε ἅμα τὸ ἀγγήϊον, καὶ λέγει

ὧδε. ὦ δέσποτα, τόδε μοι μέγα κειμήλιον ἐρ
ροῖσι οἰκίοισι ἀπεκέατο, τὸ, ἐγὼ κάρτα ἐπόθεον.
νῦν δὲ, ἐπεὶ μεγάλην ὁδὸν ἔρχομαι, παρὰ σοὶ
τόδε θήσομαι. σὺ δέ μοι ἀσφαλέως ἔχειν. τὸ
δὲ γάρ μοι χρυσοῦ βέλτερον. τόδε μοι ψυχῆς
ἐμῆς ἀντάξιον. εὖτ' ἂν δὲ ἀπίκωμαι, σῶον αὖ
τις ἀποίσομαι. ὁ δὲ, δεξάμενος, ἑτέρῃ σφρηγῖ
δι ἐσημαίνετο, καὶ τοῖσι ταμίῃσι φουρέειν ἐνετέλ
λετο. Κομβάβος μὲν ὦν, τὸ ἀπὸ τοῦδε ἀσφα-
λέα ὁδὸν ἤνυε. ἀπικόμενοι δὲ ἐς τὴν ἱρὴν πό-
λιν, σπουδῇ τὸν νηὸν οἰκοδόμεον. καί σφισι
τρία ἔτεα ἐν τῷ ἔργῳ ἐξεγένετο. ἐν τοῖσι ἀπέβαι
νε τάπερ ὁ Κομβάβος ὀῤῥώδεε. ἡ Στρατονίκη γὰρ
χρόνον ἐπὶ πολλὸν συνόντα μιν, ποθέειν ἄρχετο.
μετὰ δέ οἱ, καὶ κάρτα ἐπεμήνατο. καὶ λέγουσι οἱ ἐν τῇ
ἱρῇ πόλει τὴν Ἥρην τουτέων αἰτίην ἐθέλουσαν γε
νέσθαι, Κομβάβον ἐσθλὸν μὲν ἐόντα, λαθέειν μη-
δαμᾶ. Στρατονίκην δὲ τίσασθαι, ὅτι οὐ ῥηϊδίως
τὸν νηὸν ὑπέσχετο. ἡ δὲ, τὰ μὲν πρῶτα ἐσωφρόνεε,
καὶ τὴν νοῦσον ἔκρυπτε. ὡς δέ οἱ τὸ κακὸν μέζον
ἡσυχίης ἐγίγνετο, ἐς ἐμφανὲς ἐτρύχετο, κλαίε-
σκέ τε δι' ἡμέρης, καὶ Κομβάβον ἀνεκαλέετο. καί
οἱ πάντα Κομβάβος ἦν. τέλος δὲ, ἀμηχανέου
σα τῇ συμφορῇ, εὐπρεπέα ἱκεσίην ἐδίζετο. ἀλ
λῳ μὲν ὦν τὸν ἔρωτα ὁμολογέειν ἐφυλάσσετο, αὐ

τὴ δὲ.

τῇ δὲ ἐπιχειρέειν ἠδέετο. συνειδέων φράσαι. οἴνῳ
ἑωυτὴν μεθύσασα, ἐς λόγους οἱ ἐλθεῖν. ἅμα δὲ
οἴνῳ ἐσιόντι, παῤῥησίη τε ἐσέρχεται, καὶ ἡ ἀποτυ-
χίη οὐ κάρτα αἰσχρὴ, ἀλλὰ τῶν πρησσομένων
ἕκαστα ἐς ἀγνοίην ἀναχωρέει. ὡς δέ οἱ ἐδόκεε,
καὶ ἐποίεε ταῦτα. καὶ ἐπεὶ ἐκ δείπνου ἐγένοντο,
ἀπικνεομένη ἐς τὰ οἰκήια, ἐν τοῖσι Κομβάβος
αὐλίζετο, λίσσετό τε, καὶ γούνων ἅπτετο, καὶ τὸν
ἔρωτα ὡμολόγεε. ὁ δὲ, τόν τε λόγον ἀπηνέως ἀ-
πελέγετο, καὶ τὸ ἔργον ἀναίνετο, καί οἱ τὴν μέ-
θην ἐνεκάλεε. ἀπειλούσης δὲ μέγα τι κακὸν
ἑωυτὴν ἐργάσασθαι, δείσας, πάντα οἱ λόγον ἐξέ-
φηνε, καὶ πᾶσαν τὴν ἑωυτοῦ πάθην ἀπηγή-
σατο, καὶ τὸ ἔργον ἐς ἐμφανὲς ἤνεικε, ἰδοῦσα δὲ
ἡ Στρατονίκη, τά, οὔποτε ἔλπετο, μανίης μὲν
οὕτω ἐκείνης ἔσχετο, ἔρωτος δὲ οὐδαμὰ ἐλήθε-
το, ἀλλὰ πάντα οἱ συνεοῦσα, ταύτην παρα-
μυθίην ἐποιέετο ἔρωτος ἀπρήκτοιο. ἔστι ὁ ἔρως
οὗτος ἐν τῇ ἱρῇ πόλει, καὶ ἔτι νῦν γίγνεται. γυ-
ναῖκες, Γάλλων ἐπιθυμέουσι, καὶ γυναιξὶ Γάλ-
λοι ἐπιμαίνονται, ζηλοτυπέει δὲ οὐδεὶς, ἀλ-
λά σφισι τὸ χρῆμα κάρτα, ἱρὸν νομίζεται. τὰ,
δ' ὦν ἐν τῇ ἱρῇ πόλει, ἀμφὶ τὴν Στρατονίκην,
οὐδαμὰ τὸν βασιλῆα λέληθε, ἀλλὰ πολλοὶ ἀ-
πικνεόμενοι κατηγόρεον, καὶ τὰ γιγνόμενα ἀπη

γέοντα. ἐπεὶ ῥῖσι πουλυαλγέων, ὅς ἀπελείπετο τοῦ ἔργου, Κομβάβον μετεκάλεε. ἄλλοι δὲ λέγουσι λόγον οὔτι ἀληθέα. τὴν Στρατονίκην, ἐπειδὴ ἀπέτυχε τῶν ἐδέετο, αὐτὴν γράψασαν ἐς τὸν ἄνδρα, τοῦ Κομβάβου κατηγορέειν, πείρην οἱ ἐπικαλέουσαν. καὶ τό, Ἕλληνες Σθενεβοίης πέρι λέγουσι, καὶ Φαίδρης τῆς Κνωσσίης, ταυτὶ καὶ Ἀσσύριοι ἐς Στρατονίκην μυθολογέουσι. ἐγὼ μέν νυν οὐδὲ Σθενεβοίην πείθομαι, οὐδὲ Φαίδρην τοιάδε ἐπιτελέσαι, εἰ τὸν Ἱππόλυτον ἀτρεκέως ἐπόθεε Φαίδρη. ἀλλὰ τὰ μὲν, ἐχέτω ὅκως καὶ ἐγένετο. ὡς δὲ ἡ ἀγγελίη ἐς τὴν ἱρὴν πόλιν ἀπίκετο, ἔγνω τε ὁ Κομβάβος τὴν αἰτίην, θαρσέων τε ἤιε, ὅτι οἱ ἡ ἀπολογίη οἴκοι ἐλείπετο. καί μιν ἐλθόντα, ὁ βασιλεὺς αὐτίκα μὲν ἔδησέ τε, καὶ ἐν φρουρᾷ εἶχε. μετὰ δὲ, παρεόντων οἱ τῶν φίλων, οἳ καὶ τότε πεμπομένῳ τῷ Κομβάβῳ παρεγένοντο, παραγαγὼν ἐς μέσον, κατηγορέειν ἄρχετο. καί οἱ μοιχίην τε, καὶ ἀκολασίην προὔφερε. κάρτα δὲ δεινοπαθέων, πίστιν τε, καὶ φιλίην ἀνεκαλέετο, λέγων τρισσὰ Κομβάβον ἀδικέειν, μοιχόν τε ἐόντα, καὶ ἐς πίστιν ὑβρίσαντα, καὶ ἐς θεὸν ἀσεβέοντα, ὅτι ἐν τῷ ἔργῳ τοιάδε ἔπρηξε. πολλοὶ δὲ παρεστῶτες, ἤλεγχον, ὅτι ἀναφανδὸν σφέας ἀλλήλοισι

συνεόν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐσιόντας, εἶδον. πᾶσι δὲ τέλος, ἐδόκεε αὐτίκα θνήσκειν Κομβάβον, θανάτου ἄξια ἐργασμένου. ὁ δὲ, τέως μὲν ἑστήκεε, λέγων οὐδέν. ἐπεὶ δὲ ἤδη ἐς τὸν φόνον ἤγετο, φθέγξατό τε, καὶ τὸ κειμήλιον ᾔτεε, λέγων, ὥς μιν ἀναιρέει οὐχ ὕβριος, οὐδὲ γάμων εἵνεκα, ἀλλὰ ἐκείνων ἐπιθυμέων, τά, οἱ ἀπιὼν παρεθήκατο. πρὸς τάδε ὁ βασιλεὺς καλέσας τὸν ταμίην, ἐκέλευε ἐνεῖκαι τά οἱ φουρέειν ἔδωκε. ὡς δὲ ἤνεικε, λύσας τὴν σφρηγῖδα ὁ Κομβάβος, τά, τε ἐνεόντα ἐπέδειξε, καὶ ἑωυτὸν ὁκοῖα ἐπεπόνθεε. ἔλεξέ τε, ὦ βασιλεῦ, τά, δέ τοι ἐγὼ ὀρρωδέων, εὖτέ με ταύτην ὁδὸν ἔπεμπες, ἀέκων ἤιον. καὶ ἐπεί με ἀναγκαίη μεγάλη ἐκ σέο κατέλαβε, τοιάδε ἐπετέλεσα, ἐσθλὰ μὲν ἐς δεσπότεα, ἐμοὶ δὲ οὐκ εὐτυχέα. τοιόσδε μέν τοι ἐὼν, ἀνδρὸς ἐπ' ἀδικίην ἐγκαλέομαι. ὁ δὲ, πρὸς τάδε θαμβέωνσ, περιέβαλέ τέ μιν, καὶ δακρύων, ἅμα ἔλεγε, ὦ Κομβάβε, τί μέγα κακὸν εἰργάσαο; τί δὲ σεωυτὸν οὕτω ἀεικέλιον ἔργον μοῦνος ἀνδρῶν ἔπρηξας; τά, οὐ πάμπαν ἐπαινέω. ὦ σχέτλιε, ὃς τοιάδε ἔτλης, οἷα μήτε σὲ παθέειν, μήτε ἐμὲ ἰδέσθαι ὤφελε. οὐ γάρ μοι ταύτης ἀπολογίης ἔδεε. ἀλλ' ἐπεὶ δαίμων τοιάδε ἤθελε, πρῶτα μέν σοι, τίσις ἐξ ἡμέων ἔσεται, αὐτέων

συκοφαντέων ὁ θάνατος. μὲν δὲ μεγάλη δω-
ρεὴ ἀπίξετο, χρυσός τε πολλὸς, καὶ ἄργυρος ἄπλε-
τος, καὶ ἐσθῆτες ἀσσύριαι, καὶ ἵπποι βασιλήϊοι. ἀ-
πίξεσθαι δὲ παρ' ἡμέας ἄνευ ἐσαγγελέος. οὐδέ τις
ἀπέρξει σε ἡμετέρης ὄψιος, οὐδ' ἢν γυναικὶ ἅ-
μα συνάζωμαι. τά δὲ εἶπέ τε ἅμα, καὶ ἐποίεε.
καὶ οἱ μὲν, αὐτίκα ἐς φόνον ἤγοντο, ὁ δὲ, τὰ
δῶρα ἐδέδετο, καὶ ἡ φιλίη μέζων ἐγεγόνεε. ἐδό-
κεε δὲ οὐδεὶς ἔτι ἀσσυρίων, Κομβάβῳ σο-
φίην, καὶ εὐδαιμονίην εἴκελος. μετὰ δὲ,
αἰτησάμενος ἐκτελέσαι τὰ λείποντα τοῦ νηοῦ,
ἀτελέα γάρ μιν ἀπολελοίπει, αὖθις ἐπέμπε-
το. καὶ τόν τε νηὸν ἐξετέλεσε, καὶ τὸ λοιπὸν, αὐ-
τοῦ ἔμενε. ἔδωκε δέ οἱ ὁ βασιλεὺς ἀρετῆς τε,
καὶ εὐεργεσίης ἕνεκα, ἐν τῷ ἱρῷ ἑστάναι χάλκε-
ον. καὶ ἔστι ἐς τιμὴν ἐν τῷ ἱρῷ Κομβάβος χάλ-
κεος, Ερμοκλέους τοῦ ῥοδίου ποίημα. μορφὴν
μὲν, ὁκοίη γυνή. ἐσθῆτα δέ, ἀνδρηΐην ἔχει. λέ-
γεται δὲ τῶν φίλων τοὺς μάλιστά οἱ συνοέον-
τας, ἐς παραμυθίην τοῦ πάθεος κοινωνίην ἑλέ-
σθαι τῆς συμφορῆς. ἔτεμον γὰρ ἑωυτοὺς, καὶ δίαιταν
τὴν αὐτὴν ἐκείνῳ διαιτέοντο. ἄλλοι δὲ ἱρο-
λογέουσι ἐπὶ τῷ πρήγματι, λέγοντες, ὡς ἡ
Ἥρη φιλέουσα Κομβάβον, πολλοῖσι τὴν τομὴν ἐς
νόον ἔβαλε, ὅκως μὴ μοῦνος ἐπὶ τῇ ἀνανδρίῃ

λυ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λοιπέοισιν. τὸ δὲ ἔθος τοῦτο, ἐπειδὴ ἅπαξ ἐγένετο, ἔτι νῦν μένει. καὶ πολλοὶ ἑκάστου ἔτεος ἐν τῷ ἱρῷ τάμνονται, καὶ θηλύνονται, εἴτε Κομβάβον παραμυθεόμενοι, εἴτε καὶ Ἥρῃ χαριζόμενοι. τάμνονται δ' ὦν. ἐσθῆτα δὲ οἵδε οὐκ ἔτι ἀνδρηίην ἔχουσι, ἀλλὰ καὶ εἵματά τε γυναικήια φορέουσι, καὶ ἔργα γυναικῶν ἐπιτελέουσι. ὡς δὲ ἐγὼ ἤκουον, ἀνακέαται καὶ τουτέων ἐς Κομβάβον ἡ αἰτίη. συνενείχθη γάρ οἱ καὶ τόδε. ξείνη γυνὴ ἐς πανήγυριν ἀπικομένη, ἰδοῦσα καλόν τε ὄντα, καὶ ἐσθῆτα ἔτι ἀνδρηίην ἔχοντα, ἔρωτι μεγάλῳ ἔσχετο. μετὰ δέ, μαθοῦσα ἀτελέα ἐόντα, ἑωυτὴν διεργάσατο. ἐπὶ τοῖσι Κομβάβος ἀθυμέων ὅτι οἱ ἀτυχέως τὰ ἐς Ἀφροδίτην ἔχει, ἐσθῆτα γυναικηίην ἐνεδύσατο, ὅκως μηκέτι ἑτέρη γυνὴ ἴσα ἐξαπατέοιτο. ἥδε αἰτίη Γάλλοισι στολῆς θηλείης. Κομβάβου μέν μοι πέρι, τοσάδε εἰρήσθω. Γάλλων δὲ αὖτις ἐγὼ λόγῳ ὑστέρῳ μεμνήσομαι, τομῆς τε αὐτέων, ὅκως τάμνονται, καὶ ταφῆς, ὁκοίην θάπτονται, καὶ ὅτευ εἵνεκα ἐς τὸ ἱρὸν οὐκ ἐσέρχονται. πρότερον δέ μοι θυμὸς εἰπεῖν θέσιός τε πέρι τοῦ νηοῦ, καὶ μεγάθεος. καὶ δῆτα ἐρέω. ὁ μὲν χῶρος αὐτός, ἐν τῷ, τὸ ἱρὸν ἵδρυται, λόφος ἐστί. κέαται δὲ κατὰ μέσον μάλιστα τῆς

πόλιος. καὶ οἱ τείχεα δοιὰ περικέαται. τῶν δὲ τειχέων, τὸ μὲν, ἀρχαῖον. τὸ δὲ, οὐ πολλὸν ἡμέων πρεσβύτερον. τὰ δὲ προπύλαια τοῦ ἱροῦ, ἐς ἄνεμον βορέην ἀποκέκεινται, μέγαθος ὅσον τε ἑκατὸν ὀργυιέων. ἐν τούτοισι τοῖσι προπυλαίοισι, καὶ οἱ φαλλοὶ ἑστᾶσι, τοὺς, Διονυσος ἐστήσατο, ἡλικίην καὶ οἵδε τριηκοσίων ὀργυιέων. ἐς τουτέων τὸν ἕνα φαλλὸν ἀνὴρ ἑκάστου ἔτεος δὶς ἀνέρχεται, οἰκέει τε ἐν ἄκρῳ τῷ φαλλῷ χρόνον ἑπτὰ ἡμερέων. αἰτίη δέ οἱ τῆς ἀνόδου, ἥδε λέγεται. οἱ μὲν πολλοὶ, νομίζουσιν ὅτι ὑψοῦ τοῖσι θεοῖσι ὁμιλέει, καὶ ἀγαθὰ πάσῃ Συρίῃ αἰτέει. οἱ δὲ, τῶν εὐχολέων ἀγχόθεν ἐπαΐουσι. ἄλλοισι δέ δοκέει καὶ τάδε Δευκαλίωνος εἵνεκα ποιέεσθαι, ἐκείνης ξυμφορῆς μνήματα, ὁκότε οἱ ἄνθρωποι ἐς τὰ οὔρεα, καὶ ἐς τὰ περιμήκεα τῶν δενδρέων ἤεισαν, τὸ πολλὸν ὕδωρ ὀῤῥωδέοντες. ἐμοὶ μὲν ὦν καὶ τάδε ἀπίθανα. δοκέω γε μὲν Διονύσῳ σφέας καὶ τάδε ποιέειν. συμβάλλομαι δὲ τουτέοισι φαλλοὺς, ὅσοι Διονύσῳ ἐγείρουσι. ἐν τοῖσι φαλλοῖσι, καὶ ἄνδρας ξυλίνους κατίζουσι. ὅτευ μὲν εἵνεκα, ἐγὼ οὐκ ἐρέω. δοκέει δ' ὦν μοι καὶ ὅδε ἐς ἐκείνου μίμησιν τοῦ ξυλίνου ἀνδρὸς ἀνέρχεσθαι. ἡ δέ οἱ ἄνοδος, τοιήδε. σειρῇ μακρῇ ἑωυτόν τε ἅμα, καὶ τὸν φαλλὸν περιβάλλει με-

τὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ δὲ ἐμβαίνει ξύλων προσφυῶν τῷ φαλλῷ, ὁκόσον ἐς χώρην ἄκρου ποδός. ἀνιὼν δὲ ἅμα, ἀναβάλλει τὴν σειρὴν ἀμφοτέρωθεν, ὅκως οἱ ἡνιοχέων. εἰ δέ τις τόδε μὲν οὐκ ὄπωπε, ὄπωπε δὲ φοινικοβατέοντας, ἢ ἐν Ἀραβίῃ, ἢ ἐν Αἰγύπτῳ, ἢ ἄλλοθί κου, οἶδε τὸ λέγω. ἐπὰν δὲ ἐς τέλος ἵκηται τῆς ὁδοῦ, σειρὴν ἑτέρην ἀφεὶς, τὴν αὐτὸς ἔχει, μακρὴν ταύτην, ἀνέλκει τὰ οἱ θυμὸς, ξύλα, καὶ εἵματα, καὶ σκεύεα. ἀπὸ τῶν, ἕδρην συνδέων, ὁκοίην καλιὴν, ἰζάνει. μίμνει τε χρόνον, τὸν, εἶπον ἡμερέων. πολλοὶ δὲ ἀπικνεόμενοι, χρυσόν τε, καὶ ἄργυρον, οἱ δὲ, χαλκὸν, κομίζουσι. εἶτ' ἀφέντες ἐκείνου πρόσθε κείμενα, ἀπιᾶσι, λέγοντες τὰ οὐνόματα ἕκαστος. παρεστεὼς δὲ ἄλλος, ἄνω ἀγγέλλει. ὁ δὲ, δεξάμενος τοὔνομα, εὐχωλὴν ἐς ἕκαστον ποιέεται. ἅμα δὲ εὐχόμενος, κροτέει ποίημα χάλκεον, τὸ, ἀείδει μέγα, καὶ τρηχὺ, κινεόμενον, εὕδει δὲ οὐδαμᾶ. ἢν γάρ μιν ὕπνος ἕλῃ ποτὲ, σκορπίος ἀνιὼν, ἀνεγείρει τε, καὶ ἀεικέα ἐργάζεται. καί οἱ ἥδε ἡ ζημίη τοῦ ὕπνου ἐπικέαται. τὰ, μὲν ὦν ἐς τὸν σκορπίον μυθέονται, ἱρά τε, καὶ θεοπρεπέα. εἰ δὲ ἀτρεκέα ἐστὶ, οὐκ ἔχω ἐρέειν. δοκέει δέ μοι, μέγα ἐς ἀγρυπνίην συμβάλλεται καὶ τοῦ πτώσιος ἡ ὀῤῥωδίη. φαλλοβατέων μὲν δὴ πέρι, τοσαῦτα ἀρ-

κέει. ὁ δὲ νηὸς, ὀρέει μὲν ἐς ἠέλιον ἀνιόντα. εἶ-
δος δὲ, καὶ ἐργασίην ἐστὶ, ὁκοίους νηοὺς ἐν Ἰωνίῃ ποιέ-
ουσι. ἕδρη μεγάλη ἀνέχει ἐκ τῆς, μέγαθος ὀργυιέ-
ων δυοῖν. ἐπὶ ταύτης, ὁ νηὸς ἐπικέαται. ἄνοδος ἐς
αὐτὴν λίθου πεποίηται, οὐ κάρτα μακρή. ἀνελ-
θόντι δὲ, θῶυμα μὲν καὶ ὁ πρόνηος μέγα παρέχε-
ται, θύρῃσί τε ἤσκηται χρυσέοισι. ἔνδοθεν δὲ,
ὁ νηὸς χρυσοῦ τε πολλοῦ ἀπολάμπεται, καὶ ἡ
ὀροφὴ πᾶσα χρυσέη. ἀπόζει δὲ αὐτοῦ ὀδμὴ
ἀμβροσίη, ὁκοίη λέγεται τῆς χώρης τῆς Ἀραβίης.
καί σοι τηλόθεν ἀνιόντι, προσβάλλει πνοιὴν
κάρτα ἀγαθήν. ἢ ἢν αὖτις ἀπίῃς, οὐδαμὰ λεί-
πεται, ἀλλά σευ τά τε εἵματα ἐς πολλὸν ἔχει
τὴν πνοιὴν, καὶ σὺ ἐς πάμπαν αὐτῆς μνήσεαι.
ἔνδοθεν δὲ ὁ νηὸς, οὐκ ἁπλόος ἐστὶ, ἀλλὰ ἐν αὐ-
τῷ θάλαμος ἄλλος πεποίηται. ἄνοδος καὶ ἐς
τοῦτον ὀλίγη. θύρῃσι δὲ οὐκ ἤσκηται, ἀλλ' ἐς ἀν-
τίον ἅπας ἀναπέπταται. ἐς μὲν οὖν τὸν μέγαν
νηὸν, πάντες εἰσέρχονται. ἐς δὲ τὸν θάλα-
μον, οἱ ἱρέες μοῦνον. οὐ μέντοι πάντες ἱρέες, ἀλ-
λὰ οἳ, μάλιστα ἀγχίθεοί τέ εἰσι, καὶ οἷσι πᾶ-
σα ἐς τὸ ἱρὸν μέλεται θεραπείη. ἐν δὲ τῷδε, εἵ-
αται τὰ ἕδεα, ἥτε Ἥρη, καὶ τὸν, αὐτοὶ Δία ἐόν-
τα, ἑτέρῳ οὐνόματι κληΐζουσι. ἄμφω δὲ χρύ-
σεοί τέ εἰσι, καὶ ἄμφω ἕζονται. ἀλλὰ τὴν μὲν Ἥ-

ρην,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρων, λεόντων φορέουσι. ὁ δὲ ταύροισι ἐφέζεται. καὶ δῆτα τὸ μὲν τοῦ Διὸς ἄγαλμα, ἐς Δία πάντα ὁρῇ, καὶ κεφαλὴν, καὶ ὄμματα, καὶ ἕδρην. καί μιν οὐδὲ ἐθέλων ἄλλως εἰκάσεις. ἡ δὲ Ἥρη, σκοπέοντί τοι πολυειδέα μορφὴν ἐκφανέει. καὶ τὰ μὲν ξύμπαντα, ἀτρεκέι λόγῳ Ἥρη ἐστί. ἔχει δέ τι καὶ Ἀθηναίης, καὶ Ἀφροδίτης, καὶ σεληναίης, καὶ Ῥέης, καὶ Ἀρτέμιδος, καὶ Νεμέσιος, καὶ μοιρέων. χειρὶ δὲ, τῇ μὲν ἑτέρῃ, σκῆπτρον ἔχει. τῇ ἑτέρῃ δὲ, ἄτρακτον. καὶ ἐπὶ τῇ κεφαλῇ ἀκτῖνάς τε φορέει, καὶ πύργον, καὶ κεστὸν, τῷ, μούνην τὴν οὐρανίην κοσμέουσι. ἔκτοσθε δέ οἱ χρυσός τε ἄλλος περικέαται, καὶ λίθοι κάρτα πολυτελέες. τῶν, οἱ μὲν, λευκοί. οἱ δὲ, ὑδατώδεες. πολλοὶ δὲ, πυρώδεες. ἔτι δὲ ὄνυχες οἱ σαρδῷοι, πολλοὶ, καὶ ὑάκινθοι, καὶ σμάραγδοι, τὰ, φέρουσι Αἰγύπτιοι, καὶ Ἰνδοὶ, καὶ Αἰθίοπες, καὶ Μῆδοι, καὶ Ἀρμένιοι, καὶ Βαβυλώνιοι. τὸ δὲ δὴ μέζονος λόγου ἄξιον, τοῦτο ἀπηγήσομαι. λίθον ἐπὶ τῇ κεφαλῇ φορέει. λυχνὶς καλέεται. οὔνομα δέ οἱ, τοῦ ἔργου ἡ συντυχίη. ἀπὸ τούτου ἐν νυκτὶ σέλας πολλὸν ἀπολάμπεται. ὑπὸ δέ οἱ, καὶ ὁ νηὸς ἅπας, οἷον ὑπὸ λύχνοισι φαείνεται. ἐν ἡμέρῃ δὲ, τὸ μὲν φέγγος, ἀσθενέει. ἰδέην δὲ ἔχει κάρτα πυρώδεα. καὶ ἄλλο θωμαστόν ἐστιν ἐν τῷ ξοάνῳ. ἢν ἑστεὼς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀντίος ἐσορέῃς, ἐς σὲ ὁρῇ. καὶ μεταβαίνοντι, τὸ βλέμμα ἀκολουθέει. καὶ ἢν ἄλλος ἑτέρωθεν ἱστορέῃ, ἴσα καὶ ἐς ἐκεῖνον ἐκτελέει. ἐν μέσῳ δὲ ἀμφοτέρων, ἕστηκε ξόανον ἄλλο χρύσεον οὐδαμὰ τοῖσι ἄλλοισι ξοάνοισι εἴκελον. τὸ, δὲ, μορφὴν ἰδίην οὐκ ἔχει, φορέει δὲ τῶν ἄλλων θεῶν εἴδεα. καλέεται δὲ σημήϊον καὶ ὑπ᾽ αὐτῶν Ἀσυρίων. οὐδέ τι οὔνομα ἴδιον αὐτῷ ἔθεντο, ἀλλ᾽ οὐδέ γενέσιος αὐτοῦ πέρι, καὶ εἴδεος λέγουσι. καί μιν οἱ μὲν, ἐς Διόνυσον. ἄλλοι δὲ, ἐς Δευκαλίωνα. οἱ δὲ, ἐς Σεμίραμιν ἄγουσι. καὶ γὰρ δὴ ὦν ἐπὶ τῇ κορυφῇ αὐτοῦ, περιστερὴ χρυσέη ἐφέστηκε. τοὔνεκα δὴ μυθέονται Σεμιράμεος ἔμμεναι τόδε σημήϊον. ἀποδημέει δὲ δὶς ἑκάστου ἔτεος ἐς θάλασσαν, ἐς κομιδὴν τοῦ εἶπον ὕδατος. ἐν αὐτῷ δὲ τῷ νηῷ ἐσιόντων, ἐν ἀριστερῇ κέαται πρῶτα μὲν, θρόνος ἠελίου. αὐτοῦ δὲ, εἶδος οὐκ ἔνι. μόνου γὰρ ἠελίου, καὶ σεληναίης ξόανα οὐ δεικνύουσι. ὅτευ δὲ εἵνεκα ὧδε νομίζουσι, ἐγὼ καὶ τόδε ἔμαθον. λέγουσι τοῖσι μὲν ἄλλοισι θεοῖσι, ὅσιον ἔμμεναι ξόανα ποιέεσθαι. οὐ γὰρ σφέων ἐμφανέα πάντεσι τὰ εἴδεα. ἠέλιος δὲ, καὶ σεληναίη, πάμπαν ἐναργέες, καί σφεας πάντες ὁρέουσι. κοίη ὦν αἰτίη ξοανουργίης, τοῖσι ἐν τῷ ἠέρι φαινομένοισι. μετὰ δὲ τὸν θρόνον τοῦ-

τον,

του, κέεται ξόανον Ἀπόλλωνος, οὐκ οἷον ἐώθεε ποιέεσθαι. οἱ μὲν γὰρ ἄλλοι πάντες, Ἀπόλλωνα νέον τε ἥγηνται, καὶ πρωθήβην ποιέουσι. μοῦνοι δὲ οὗτοι Ἀπόλλωνος γενειήτεω ξόανον δεικνύουσι. καὶ τάδε ποιέοντες, ἑωυτοὺς μὲν ἐπαινέουσι, Ἑλλήνων δὲ κατηγορέουσι, καὶ ἄλλων, ὁκόσοι Ἀπόλλωνα παῖδα θέμενοι ἱλάσκονται. αἰτίη δὲ δοκέει αὐτέοισι, ἀσοφίη μεγάλη ἔμμεναι, ἀτελέα ποιέεσθαι τοῖσι θεοῖσι τὰ εἴδεα. τὸ δὲ νέον, ἀτελὲς ἔτι νομίζουσι. ἓν δὲ, καὶ ἄλλο τῷ σφετέρῳ Ἀπόλλωνι καινουργέουσι. μοῦνοι Ἀπόλλωνα εἵμασι κοσμέουσι. ἔργων δὲ αὐτοῦ πέρι, πολλὰ μὲν ἔχω εἰπεῖν. ἐρέω δὲ τὸ, μάλιστα θωμάζειν ἄξιον. πρῶτα δὲ τοῦ μαντηΐου ἐπιμνήσομαι. μαντήϊα πολλὰ μὲν παρ' Ἕλλησι, πολλὰ δὲ καὶ παρ' Αἰγυπτίοισι. τὰ δὲ, καὶ ἐν τῇ Λιβύῃ, καὶ ἐν τῇδε Ἀσίῃ πολλά ἐστι. ἀλλὰ τὰ μὲν, οὔτε ἱρέων ἄνευ, οὔτε προφητέων φθέγγονται. ὅδε δὲ, αὐτός τε κινέεται, καὶ τὴν μαντηΐην ἐς τέλος αὐτουργέει. τρόπος δὲ αὐτῆς τοιόσδε. εὖτ' ἂν ἐθέλῃσι χρησμηγορέειν, ἐν τῇ ἕδρῃ πρῶτα κινέεται. οἱ δέ μιν ἱρέες, αὐτίκα ἀείρουσι. ἢν δὲ μὴ ἀείρωσι, ὁ δὲ, ἱδρώει, καὶ ἐς μέζον ἔτι κινέεται. εὖτ' ἂν δὲ ὑποδύντες φέρωσι, ἄγει σφέας, πάντῃ περιδινέων, καὶ ἐς ἄλλον ἐξ

ἑτέρου μεταπηδέων. τέλος, ὁ ἀρχιερεὺς ἀντίος, ἐπερέεταί μιν περὶ ἁπάντων πρηγμάτων. ὁ δὲ ἤν τι μὴ θέλῃ πρήσσεσθαι, ὀπίσω ἀναχωρέει. ἢν δέ τι ἐπαινέῃ, ἄγει ἐς τὸ πρόσω τοὺς προσφέροντας, ὅκως περ ἡνιοχέων. οὕτω μὲν συναγείρουσι τὰ θέσφατα. καὶ οὔτε ἱρὸν πρῆγμα οὐδὲν, οὔτε ἴδιον τούτου ἄνευ ποιέουσι. λέγει δὲ καὶ τοῦ ἔτεος πέρι, καὶ τῶν ὡρέων αὐτοῦ πασέων. καὶ ὁκότε οὐκ ἔσονται. λέγει δὲ καὶ τοῦ σημηΐου πέρι, κότε χρή μιν ἀποδημέειν, τὴν, εἶπον ἀποδημίην. ἐρέω δὲ καὶ ἄλλο, τὸ ἐμεῦ, παρεόντος ἔπρηξε. οἱ μέν μιν ἱρέες, ἀείροντες ἔφερον. ὁ δὲ, τοὺς μὲν, ἐν γῇ κάτω ἔλιπε. αὐτὸς δὲ ἐν τῷ ἠέρι μοῦνος ἐφορέετο. μετὰ δὲ τὸν Ἀπόλλωνα, ξόανόν ἐστι Ἄτλαντος. μετὰ δὲ, Ἑρμέω, καὶ Εἰλειθυίης. τὰ μὲν ὦν ἐντὸς τοῦ νηοῦ, ὧδε κεκοσμέαται, ἔξω δὲ βωμός τε κέεται μέγας, χάλκεος. ἐν δὲ, καὶ ἄλλα ξόανα μυρία χάλκεα, βασιλέων τε, καὶ ἱρέων. καταλέξω δὲ, τῶν, μάλιστα ἄξιον μνήσασθαι. ἐν ἀριστερῇ τοῦ νεώ, Σεμιράμιος ξόανον ἕστηκε, ἐν δεξιῇ τὸν νηὸν ἐπιδεικνυούσης. ἀνέστη δὲ δι' αἰτίην τοιήνδε. ἀνθρώποισι, ὁκόσοι Συρίην οἰκέουσι, νόμον ἐποιέετο, ἑωυτὴν μὲν ὅκως θεὸν ἱλάσκεσθαι, θεῶν δὲ τῶν ἄλλων, καὶ αὐτῆς Ἥρης ἀλογέειν. καὶ ὧδε.

δὲ ἐποίεον. μετὰ δέ, ὥς οἱ θεόθεν ἀφίκοντο νοῦσοί τε, καὶ συμφορή, καὶ ἄλγεα. μανίης μὲν ἐκείνης ἀπεπαύσατο, καὶ θνητὴν ἑωυτὴν ὁμολόγεε. καὶ τρῖσι ὑπηκόοισι αὖτις ἐκέλευε ἐς Ἥρην τρέπεσθαι. τοὔνεκα δὴ ἔτι τοιήδε ἀνέστηκε, τοῖσι ἀπικνεομένοισι τὴν Ἥρην ἱλάσκεσθαι δεικνύουσα, καὶ θεὸν οὐκ ἔτι ἑωυτήν, ἀλλ᾽ ἐκείνην ὁμολογέουσα. εἶδον δὲ καὶ Ἑλένης αὐτόθι ἄγαλμα, καὶ Ἑκάβης, καὶ Ἀνδρομάχης, καὶ Πάριδος, καὶ Ἕκτορος, καὶ Ἀχιλλέως. εἶδον δὲ καὶ Νιρέως εἶδος τοῦ Ἀγλαΐης, καὶ Φιλομήλην, καὶ Πρόκνην, ἔτι γυναῖκας, καὶ αὐτὸν Τηρέα ὄρνιθα, καὶ ἄλλο ἄγαλμα Σεμιράμιος, καὶ Κομβάβου, τό, κατέλεξα, καὶ Στρατονίκης, κάρτα καλόν, καὶ Ἀλεξάνδρου αὐτέῳ ἐκείνῳ εἴκελον. παρὰ δέ οἱ, Σαρδανάπαλος ἕστηκε, ἄλλῃ μορφῇ, καὶ ἄλλῃ στολῇ. ἐν δὲ τῇ αὐλῇ, ἄφετοι νέμονται βόες μεγάλοι, καὶ ἵπποι, καὶ ἀετοί, καὶ ἄρκτοι, καὶ λέοντες. καὶ ἀνθρώποις οὐδαμὰ σίνονται, ἀλλὰ πάντες ἱροί τέ εἰσι, καὶ χειροήθεες. ἱρέες δὲ αὐτοῖσι πολλοὶ ἀποδέχαται. τῶν, οἱ μέν, τὰ ἱρήϊα σφάζουσι. οἱ δέ, σπονδὴν φορέουσι. ἄλλοι δέ, πυρφόροι καλέονται, καὶ ἄλλοι παραβώμιοι. ἐπ᾽ ἐμεῦ δέ, πλείονες καὶ τριηκοσίων ἐς τὴν θυσίην ἀπικνέοντο. ἐσθὴς δὲ αὐτέοισι πᾶσα λευκή,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ πῖλον ἐπὶ τῇ κεφαλῇ ἔχουσι. ἀρχιερεὺς δὲ ἄλλος ἑκάστου ἔτεος ἐπιγίνεται. πορφυρέην δὲ μοῦνος οὗτος φορέει, καὶ τιάρῃ χρυσέῃ ἀναδέεται. ἔστι δὲ καὶ ἄλλο πλῆθος ἀνθρώπων ἱρῶν, αὐλητέων τε, καὶ συριστέων, καὶ Γάλλων. καὶ γυναῖκες ἐπιμανέες τε, καὶ φρενοβλαβέες. θυσίη δὲ δὶς ἑκάστης ἡμέρης ἐπιτελέεται, ἐς τὴν, πάντες ἀπικνέονται. Διὶ μὲν ὦν κατ' ἡσυχίην θύουσι, οὔτε ἀείδοντες, οὔτε αὐλέοντες. εὖτ' ἂν δὲ τῇ Ἥρῃ κατάρχωνται, ἀείδουσί τε, καὶ αὐλέουσι, καὶ κρόταλα ἐπικροτέουσι. καί μοι τούτου πέρι, σαφὲς οὐδὲν εἰπεῖν ἐδύναντο. ἔστι δὲ καὶ λίμνη αὐτόθι, οὐ πολλὸν ἑκὰς τοῦ ἱροῦ. ἐν τῇ, ἰχθύες ἱροὶ τρέφονται πολλοί, καὶ πολυειδέες. γίνονται δὲ αὐτέων ἔνιοι κάρτα μεγάλοι. οὗτοι δὲ καὶ οὐνόματα ἔχουσι. καὶ ἔρχονται καλεόμενοι. ἐπ' ἐμεῦ δέ τις ἦν ἐν αὐτοῖσι χρυσοφορέων. ἐν τῇ πτέρυγι δὲ, ποίημα χρύσεον αὐτέῳ ἀνεκέατο. καί μιν ἐγὼ πολλάκις ἐθηησάμην, καὶ εἶχε τὸ ποίημα. βάθος δὲ τῆς λίμνης πολλόν. ἐγὼ μὲν, οὐκ ἐπειρήθην. λέγουσι δ' ὦν καὶ διηκοσίων ὀργυιέων πλέον ἔμμεναι. κατὰ μέσον δὲ αὐτῆς, βωμὸς λίθου ἀνέστηκε. δοκέοις ἂν ἄφνω ἰδών, πλώειν τέ μιν, καὶ τῷ ὕδατι ἐποχέεσθαι. καὶ πολλοὶ ὧδε νομίζουσι. ἐμοὶ

δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ δοκέει στῦλος ἐφεστεὼς μέγας, ἀνέχειν τὸν
βωμόν. ἔστι δ' ἀεί, καὶ θυώματα ἔχει. πολ-
λοὶ δὲ καὶ ἑκάστης ἡμέρης κατ' εὐχὴν ἐς αὐτὴν
νηχόμενοι, στεφανηφορέουσι. γίγνονται δὲ αὐτό-
θι καὶ πανηγύριες τε μέγισται. καλέονται δὲ
ἐς τὴν λίμνην καταβάσιες, ὅτι ἐν αὐτῇσι ἐς
τὴν λίμνην τὰ ἱρὰ πάντα κατέρχεται, ἐν τοῖσι
ἡ Ἥρη πρώτη ἀπικνέεται τῶν ἰχθύων εἵνεκα, μὴ
σφέας ὁ Ζεὺς πρῶτος ἴδηται. ἢν γὰρ τόδε γένη-
ται, λέγουσιν ὅτι πάντες ἀπόλλυνται. καὶ δὴ ὁ
μὲν, ἔρχεται ὀψόμενος. ἡ δέ, πρόσω ἱσταμέ-
νη, ἀπείργει τέ μιν. καὶ πολλὰ λιπαρέουσα,
ἀποπέμπει. μέγισται δὲ αὐτοῖσι πανηγύριες,
ταὶ ἐς θάλασσαν νομίζονται. ἀλλ' ἐγὼ του-
τέων πέρι, σαφὲς οὐδὲν ἔχω εἰπεῖν. οὐ γὰρ ἦλ-
θον αὐτός, οὐδὲ ἐπειρήθην ταύτης τῆς ὁδοιπορί-
ης. τὰ δὲ ἐλθόντες ποιέουσιν, εἶδον, καὶ ἀπηγή-
σομαι. ἀγγήιον ἕκαστος ὕδατι σεσαγμένον φέρου-
σι. κηρῷ δὲ τάδε σεσήμανται. καί μιν οὐκ αὐτοὶ
λυσάμενοι χέονται, ἀλλ' ἔστι ἀλεκτρυὼν ἱρός.
οἰκέει δὲ ἐπὶ τῇ λίμνῃ. ὃς ἐπεὶ σφέων δέξηται
τὰ ἀγγήια, τήν, τε σφρηγῖδα ὁρῇ. καὶ μισθὸν
ἀρνύμενος, ἀνά τε λύει τὸν δεσμόν. καὶ τὸν κηρὸν
ἀπαιρέεται. καὶ πολλαὶ μνέες ἐκ τουτέου τοῦ ἔργου
τῷ ἀλεκτρυόνι ἀγείρονται. ἔνθεν δὲ ἐς τὸν νηὸν

αὖθι ἐνείκαντες, ἀπένδοσί τε. καὶ θύσαντες,
ὀπίσω ἀπονοστέουσι. ἑορτέων δὲ πασέων, τῶν,
οἶδα, μεγίστην τοῦ εἴαρος ἀρχομένου ἐπιτελέ
ουσι. καί μιν οἱ μὲν, πυρὴν, οἱ δὲ, λαμπάδα
καλέουσι. θυσίην δὲ ἐν αὐτῇ τοιήνδε ποιέου-
σι, δένδρεα μεγάλα ἐκκόψαντες, ἐν τῇ αὐ-
λῇ ἑστᾶσι. μετὰ δὲ ἀγινέοντες αἶγάς τε, καὶ ὄϊας,
καὶ ἄλλα κτήνεα ζωὰ, ἐκ τῶν δενδρέων ἀπαρ
τέουσι. ἐν δὲ, καὶ ὄρνιθες, καὶ εἵματα, καὶ χρύσεα,
καὶ ἀργύρεα ποιήματα. ἐπεὰν δὲ ἐντελέα
πάντα ποιήσωνται, περιενείκαντες τὰ ἱρὰ πε
ρὶ τὰ δένδρεα πυρὴν ἐνιᾶσι. τὰ δὲ, αὐτίκα
πάντα καίονται. ἐς ταύτην τὴν ἑορτὴν πολ-
λοὶ ἄνθρωποι ἀπικνέονται ἔκ τε Συρίης, καὶ τῶν
πέριξ χωρέων πασέων. φέρουσί τε τὰ ἑωυτῶν
ἱρὰ ἕκαστοι, καὶ τὰ σημήϊα ἕκαστοι ἔχουσι ἐς τά
δε μεμιμημένα. ἐν ῥητῇσι δὲ ἡμέρῃσι, τὸ μὲν
πλῆθος, ἐς τὸ ἱρὸν ἀγείρονται. γάλλοι δὲ πολ
λοὶ, καὶ τοὺς, ἔλεξα, οἱ ἱροὶ ἄνθρωποι τελέουσι
τὰ ὄργια. τάμνονταί τε τοὺς πήχεας, καὶ τοῖσι
νώτοισι πρὸς ἀλλήλους τύπτονται. πολλοὶ δὲ
σφίσι παρεστῶτες, ἐπαυλέουσι, πολλοὶ δὲ τύμ
πανα παταγέουσι. ἄλλοι δὲ ἀείδουσι ἔνθεα, καὶ
ἱρὰ ᾄσματα. τὸ δὲ ἔργον, ἐκτὸς τοῦ νηοῦ τόδε
γίγνεται. οὐδὲ ἐσέρχονται ἐς τὸν νηὸν, ὁκόσοι
τάδε

τάδε ποιέουσι. ἐν ταύτῃσι τῇσι ἡμέρῃσι, καὶ Γάλλοι γίγνονται. ἐπὰν γὰρ οἱ ἄλλοι αὐλέωσί τε, καὶ ὄργια ποιέωνται, ἐς πολλοὺς ἤδη ἡ μανίη ἀπικνέεται, καὶ πολλοὶ οἱ ἐς θέην ἀπικόμενοι. μετὰ δὲ, τοιάδε ἔπρηξαν. καταλέξω δὲ καὶ τὰ, ποιέουσι. ὁ νεηνίης, ὅτῳ τάδε ἀποκέαται, ῥίψας τὰ εἵματα, μεγάλῃ βοῇ ἐς μέσον ἔρχεται, καὶ ξίφος ἀναιρέεται. τὰ δὲ, πολλὰ ἔτεα ἐμοὶ δοκέει, διὰ τοῦτο ἕστηκε. λαβὼν δὲ αὐτίκα, τάμνει ἑωυτὸν, θέει τε διὰ τῆς πόλιος, καὶ τῇσι χερσὶ φέρει, τὰ, ἔταμε. ἐς ὁκοίην δὲ οἰκίην τάδε ἀποῤῥίψῃ, ἐκ ταύτης ἐσθῆτά τε θηλέην, καὶ κόσμον τὸν γυναικήϊον λαμβάνει. τάδε μὲν ἐν τῇσι τομῇσι ποιέουσι. ἀποθανόντες δὲ Γάλλοι, οὐκ ὁμοίην ταφὴν τοῖσι ἄλλοισι θάπτονται. ἀλλ' ἐὰν ἀποθάνῃ Γάλλος, οἱ ἑταῖροι μιν ἀείρουσιν, ἐς τὰ προάστεια φέρουσι. θέμενοι δὲ αὐτὸν, καὶ τὸ φέρετρον, τῷ ἐκόμισαν, ὕπερθε λίθοισι βάλλουσι. καὶ τάδε πρήξαντες, ὀπίσω ἀπονοστέουσι. φυλάξαντες δὲ ἑπτὰ ἡμερέων ἀριθμὸν, οὕτω ἐς τὸ ἱρὸν ἐσέρχονται. πρὸ δὲ τουτέων, ἢν ἐσέλθωσιν, οὐκ ὅσια ποιέουσι. νόμοισι δὲ ἐς ταῦτα χρέωνται τουτέοισι. ἢν μέν τις αὐτέων νέκυν ἴδηται, ἐκείνην τὴν ἡμέρην ἐς τὸ ἱρὸν οὐκ ἀπικνέεται. τῇ ἑτέρῃ δὲ, κα



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θήρας ἑωυτὸν, ἐσέρχεται. αὐτῶν δὲ τῶν οἰκηΐων τοῦ νέκυος ἕκαστοι φυλάξαντες ἀριθμὸν ἡμερέων τριήκοντα, καὶ τὰς κεφαλὰς ξυράμενοι, ἐσέρχονται. πρὶν δὲ τάδε ποιῆσαι, οὔ σφισι ἐσιέναι ὅσιον. θύουσι δὲ βόας ἄρσενάς τε, καὶ θήλεας, καὶ αἶγας, καὶ ὄϊας. σύας δὲ μοῦνον ἐναγέας νομίζοντες, οὔτε θύουσιν, οὔτε σιτέονται. ἄλλοι δ' οὔ σφέας ἐναγέας, ἀλλὰ ἱροὺς νομίζουσιν. ὀρνίθων τε αὐτέοισι περιστερὴ δοκέει χρῆμα ἱρότατον, καὶ οὐδὲ ψαύειν αὐτέων δικαιεῦσι. καὶ ἢν ἀέκοντες ἅψωνται, ἐναγέες ἐκείνην τὴν ἡμέρην εἰσί. τοὔνεκα δὴ αὐτέοισι σύννομοί τέ εἰσι, καὶ ἐς τὰ οἰκήϊα ἐσέρχονται, καὶ τὰ πολλὰ ἐν γῇ νέμονται. λέξω δὲ καὶ τῶν πανηγυριστέων, τὰ ἐκεῖνοι ποιέουσιν. ἀνὴρ εὖτ' ἂν ἐς τὴν ἱρὴν πόλιν πρῶτον ἀπικνέεται, κεφαλὴν μὲν ὅδε, καὶ ὀφρύας ἐξύρατο. μετὰ δὲ ἱρεύσας ὄϊν, τὰ μὲν ἄλλα, κρεουργέει τε, καὶ εὐωχέεται. τὸ δὲ νάκος χαμαὶ θέμενος, ἐπὶ τούτου ἐς γόνυ ἕζεται. πόδας δὲ, καὶ κεφαλὴν τοῦ κτήνεος ἐπὶ τὴν ἑωυτοῦ κεφαλὴν ἀναλαμβάνει. ἅμα δὲ εὐχόμενος, αἰτέει, τὴν μὲν παρεοῦσαν θυσίην δέκεσθαι. μέζω δὲ ἐσαῦθις ὑπισχνέεται. τελέσας δὲ ταῦτα, τὴν κεφαλὴν αὐτοῦ τε στέφεται, καὶ τῶν ἄλλων, ὁκόσοι τὴν αὐτὴν ὁδὸν ἀπικνέονται.

ἄρας

ἄρας δέ, ἀπὸ τῆς ἑωυτοῦ ὁδοιπορέει, ὕδασί τε ψυχροῖσι χρεώμενος, λουτρῶν τε, καὶ πόσιος εἵνεκα. καὶ ἐς πάμπαν χαμοκοιτέων. οὐ γάρ οἱ εὐνῆς ἐπιβῆναι ὅσιον, πρὶν τήν, τε ὁδὸν ἐκτελέσαι, καὶ ἐς τὴν ἑωυτοῦ αὖθις ἀπικέσθαι. ἐν δὲ τῇ ἱρῇ πόλει ἐκδέκεταί μιν ἀνὴρ ξεινοδόκος ἀγνοέοντα. ῥηκτοὶ γὰρ δὴ ὦν ἑκάστης πόλιος, αὐτόθι ξεινοδόκοι εἰσί. καὶ τόδε πατρόθεν οἶκοι δέκονται. καλέονται δὲ ὑπὸ Ἀσσυρίων οἵδε, διδάσκαλοι, ὅτι σφίσι πάντα ὑπηγέονται. θύουσι δέ, οὐκ ἐν αὐτῷ τῷ ἱρῷ. ἀλλ' ἐπὰν παραστήσῃ τῷ βωμῷ τὸ ἱρήιον ἐπισπείσας, αὖθις ἄγει ζωὸν ἐς τὰ οἰκήια. ἐλθὼν δὲ κατ' ἑωυτὸν θύει τέ, καὶ εὔχεται. ἔστι δὲ καὶ ἄλλης θυσίης τρόπος τοιόσδε. στέψαντες τὰ ἱρήια ζωά, ἐκ τῶν προπυλαίων ἀπιᾶσι. τὰ δέ, κατενειχθέντα, πίπτοντα θνήσκουσι. ἔνιοι δὲ καὶ παῖδας ἑωυτῶν, ἐντεῦθεν ἀπιᾶσι, οὐκ ὁμοίως τοῖς κτήνεσι, ἀλλ' ἐς πήρην ἐνθέμενοι, χειρὶ κατάγουσι. ἅμα δὲ αὐτέοισι ἐπικερτομέοντες, λέγουσι ὅτι οὐ παῖδες, ἀλλὰ βόες εἰσί. στίζονται δὲ πάντες, οἱ μέν, ἐς καρπούς. οἱ δέ, ἐς αὐχένας. καὶ ἀπὸ τοῦδε, ἅπαντες Ἀσσύριοι στιγματηφορέουσι. ποιέουσι δὲ καὶ ἄλλο, μούνοισι Ἑλλήνων Τροιζηνίοισι ὁμολογέοντες. λέξω δὲ καὶ τά, κεῖνοι ποιέουσι. Τροιζήνιοι τῇσι παρθένοισι, καὶ

τοῖσι ἠϊθέοισι νόμον ἐποιήσαντο, μή μιν ἄλλως γάμον ἰέναι, πρὶν Ἱππολύτῳ κόμας κείρασθαι. καὶ ὧδε ποιέουσι. τοῦτο καὶ ἐν τῇ ἱρῇ πόλει γίγνεται. οἱ μὲν νεηνίαι, τῶν γενείων ἀπάρχονται. τοῖσι δὲ νέοισι, πλοκάμους ἱροὺς ἐκ γενετῆς ἀπιᾶσι. τοὺς, ἐπὰν ἐν τῷ ἱρῷ γένωνται, τάμνουσί τε. καὶ ἐς ἄγγεα καταθέντες, οἱ μὲν, ἀργύρεα, πολλοὶ δὲ, χρύσεα ἐν τῷ νηῷ προσηλώσαντες ἀπίασι, ἐπιγράψαντες ἕκαστοι τὰ οὐνόματα. τοῦτο καὶ ἐγὼ ἔτι νέος ὤν, ἐπετέλεσα. καὶ ἔτι μευ ἐν τῷ ἱρῷ καὶ ὁ πλόκαμος, καὶ τοὔνομα.

## ΔΗΜΟΣΘΕΝΟΥΣ ΕΓΚΩΜΙΟΝ.

Βαδίζοντί μοι κατὰ τὴν στοάν, τὴν ἐντεῦθεν ἐξιόντων ἐν ἀριστερᾷ, περὶ ἕκτης ὥρᾳ δέκα, σμικρὸν πρὸ μεσημβρίας, Θερσαγόρας προὐτυγχάνει. τάχα τινὲς αὐτὸν ὑμῶν, ἐπίστανται. σμικρός τις ἐστι, γρυπός, ὑπόλευκος, ἀνδρικὸς τὴν φύσιν. ἰδὼν οὖν αὐτὸν ἔτι προσιόντα, Θερσαγόρας ἔφην ὁ ποιητής, ποῖ δή, καὶ πόθεν; οἴκοθεν ἦν δ' ὅς, ἐνταῦθα. πότερον δ' ἦν δ' ἐγώ, διαβαδίσων; ἀμέλει μὲν ἔφη καὶ τούτου δεόμενος. ἀωρὶ γάρ τοι τῶν νυκτῶν ἐξαναστάς, ἔδοξέ μοι χρῆναι τοῖς Ὁμήρου γενεθλίοις τῶν ποιητικῶν ἀπάρξασθαι. καλῶς γε σὺ ποιῶν ἔφην, καὶ τὰ τροφεῖα τῶν παι

δευ

διαχύσεως ἐκείνῳ τινων. ἐκεῖθεν οὖν ἀρξάμενος ἤδη ὅσ, ἔλαθον ἐμαυτὸν, εἰς τοῦτο τῆς μεσημβρίας ἐκπεσών. ὅπερ οὖν ἔφην, δεῖ μέν μοι καὶ τοῦ περιπάτου. πολὺ μέντοι πρότερον ἔφη προσειπεῖν τουτονὶ δεόμενος ἥκω, τῇ χειρὶ τὸν Ὅμηρον ἐπιδείξας. ἴστε δή που τὸν ἐν δεξιᾷ τοῦ τῶν Πτολεμαίων νεὼ, τὸν καθειμένον τὰς κόμας. προσειπών τε οὖν αὐτὸν ἀφικόμην ἔφη, καὶ προσευξόμενος ἀφθόνως μεταδιδόναι τῶν ἐπῶν. εἰ γὰρ ἔφην ἐν εὐχαῖς τὰ πράγματα εἴη, πάλαι γάρ τοι καὶ αὐτὸς ἐνοχλεῖν μοι δοκῶ τὸν Δημοσθένην, ἐπικουρῆσαί τι πρὸς τὴν αὐτοῦ γενέθλιον. εἰ οὖν ἡμῖν ἐπαρκέσοι τὸ εὔχεσθαι, συμβουλοίμην ἄν σοι. κοινὸν γὰρ ἡμῖν τὸ ἕρμαιον. ἐγὼ μὲν ἔφη καὶ τῶν νύκτωρ τε, καὶ τήμερον πεποιημένων, δοκῶ μοι δι' εὐνοίας τὸν Ὅμηρον συγγράψασθαι. θείως γάρ πως, καὶ μαντικῶς εἰς τὴν ποίησιν ἐξεβακχεύθην. κρινεῖς δ' αὐτός. ἐπίτηδες γάρ τοι τουτὶ τὸ γραμματεῖον περιηγόμην, εἰ ἄρα τῳ σχολὴν ἄγοντι τῶν ἑταίρων περιτύχοιμι. δοκεῖς οὖν μοι ἐν καλῷ σὺ τῆς σχολῆς εἶναι. μακάριος γὰρ εἴην δ' ἐγὼ, καὶ πέπονθας τὸ τοῦ τὸν δόλιχον νενικηκότος. ὃς ἤδη λελουμένος τὴν κόνιν, καὶ τὸ λοιπὸν τῆς θέας ψυχαγωγούμενος,

μυθολογεῖν πρὸς τὴν παλαιστὴν διενοεῖτο, ὥστε
δόξου κληθήσεσθαι τῆς πάλης οὔσης. ὁ δ' ἀλλ'
ὥστε τῆς βαλβίδος οὐκ ἂν ἐμυθολόγεις ἔφη. καὶ σὺ
δή μοι δοκεῖς νενικηκὼς τὸν δόλιχον τῶν ἐπῶν,
ἐντρυφᾶν ἀνδρὶ μάλα δὴ καρτερῶς ὀδυνῶντι τῇ
τοῦ σταδίου τύχην. καὶ ὅς πλάττεις, ὡς δή σοι τι τῶν
ἀπόρων εἰπεῖν ἐργασόμενος. ἴσως γὰρ ἔφην ὁ Δη
μοσθένης ἐλάττονος, ἢ καθ' Ὅμηρον εἶναί σοι
λόγοι καταφαίνεται, καὶ σὺ μὲν μέγα φρονεῖς,
Ὅμηρον ἐπαινέσας. ἐμοὶ δὲ ὁ Δημοσθένης σμι
κρὸν, καὶ τὸ μὴ δεινόν; συκοφαντεῖς ἔφη. διατασία
ταιμι δ' οὐκ ἂν τοῦ ἥρως, εἰ καὶ πλείων εἰμὶ τῇ
γνώμην πρὸς Ὁμήρου τετάχθαι ἔμπροσθεν εἶπον. ἐμὲ
δ' οὐκ ἂν νομίζοις πρὸς τοῦ Δημοσθένους; ἀλλ' ἐ
πεί γε μὴ ταύτῃ τὸν λόγον ἀτιμάζεις κατὰ τὴν
ὑπόθεσιν, δῆλον ὡς τὴν κριτικὴν ἔργον ἡγῇ
μόνον, τοὺς ῥητορικοὺς λόγους καταφρονεῖς ἀτεχ
νῶς, οἷον ἱππεὺς παρὰ πεζοὺς ἐλαύνων. μὴ μανεί
ην ἔφη ταῦτά γε, κἂν εἰ πλῆθος δεῖ τῆς μανίας
ἐπὶ τὰς κριτικὰς ἰοῦσι θύρας. δεῖ γάρ τοι καὶ
ῥῖς καταλιγάδην ἔφην ἐνθέου τινὸς ἐπινοί
ας, εἰ μέλλοιεν μὴ ταπεινοὶ φανεῖσθαι, καὶ
φαύλης φροντίδος. οἶδά γε ἔφη ὡς ἔπαιζε, καὶ
χαίρω πολλάκις, ἄλλων τε δὴ λογοποιιῶν,
καὶ τὰ Δημοσθένους ἐγγὺς τῶν Ὁμήρου τιθείς.

οἷον

οἷον λέγω, τὴν σφοδρότητα, καὶ πικρίαν, καὶ τὸν ἐνθουσιασμόν. ἢ τὸ μὲν οἰνοβαρές, πρὸς τὰς Φιλίππου μέθας, καὶ κορδακισμούς, καὶ τὴν ἀσέλγειαν· τὸ δ', εἷς οἰωνὸς ἄριστος, πρὸς τό, δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας, τὰς ἀγαθὰς ὑποθεμένους ἐλπίδας, ἢ τό, ἦ κε μέγ' οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς, πρὸς τό, πηλίκον ποτὲ στενάξειεν ἂν οἱ ἄνδρες ἐκεῖνοι, οἱ ὑπὲρ δόξης, καὶ ἐλευθερίας τελευτήσαντες. παραβάλλω δὲ καὶ τὸν ῥέοντα Πύθωνα, πρὸς τὰς Ὀδυσσέως νιφάδας τῶν λόγων. ἢ τό, εἰ μὲν μέλλοιμεν ἀγήρω τ' ἀθανάτω τε ἔσεσθαι, πρὸς τό, πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὑτὸν καθείρξας τηρῇ. ἢ μυρίαι πηγάσιν αὖθις αὐτοῖς ἢ ταύτην τῆς διανοίας ἐπιδρομαί. ἥδομαι δὲ καὶ πάθη, καὶ διαθέσεις, καὶ τροπὰς λέξεως καταμανθάνων, καὶ τὰς ἀφαιρούσας τὸν κόρον μεταβολάς, καὶ τὰς ἐκ τῶν παρατρόπων ἐπανόδους, καὶ τὰς τῶν παραβολῶν σὺν τῷ καιρῷ γλαφυρότητας, ἢ τὸ τοῦ τρόπου μισοβάρβαρον πανταχοῦ. καί μοι πολλάκις ἔδοξεν, οὐ γὰρ ἂν τἀληθὲς ἀποκρυψαίμην, οὐ περιπέστερον μὲν ῥαθυμίας ἀττικῆς καθάπτεσθαι Δημοσθένης, ὁ τὴν παρρησίαν ὥς φασιν ἀνειμένος, τοῦ τοὺς Ἀχαιοὺς Ἀχαΐδας προσειπόντος. διαρκεστέρῳ δὲ

τόνῳ πνεύματος, τὰς ἑλληνικὰς ἀποπληροῦν τραγῳδίας, τὸ μεταξὺ τὰ ἀκμαιότατα τῆς μάχης διαλόγους ἀναπλάττοντας, καὶ μύθοις τὴν φορὰν σκεδαννύντας. πολλάκις δέ με τὰ τοῦ δημοσθένους, καὶ μέτρα κώλων, καὶ ῥυθμοὶ, καὶ βάσεις, οὐκ ἔξω τῆς ποιητικῆς ἡδονῆς ἐμβιβάζουσιν, ὥσπερ οὐδ' Ὅμηρος ἐλλιπὴς ἀντιθέσεων, ἢ παρισώσεων, ἢ σχημάτων βραχύτητος, ἢ καθαρότητος, ἀλλ' ἔοικε φύσει πως ὑπάρχειν ταῖς δυνάμεσι τὰς ἀρετὰς ἐπιπεπλέχθαι. πόθεν γὰρ δὴ παραφρονοίην ἂν τὴν σὴν Καλλιόπην, ταύτην δὲ γιγνώσκων; ἀλλ' οὐδὲν ἧττον ῥᾷον ἀγώνισμα τῶν εἰς Ὅμηρον ἐγκωμίων διπλάσιον ἔργον, ἢ τοὺς σοὺς εἰς Δημοσθένην ἐπαίνους τίθημι, οὐ τοῖς μέτροις, ἀλλὰ τῇ ὑποθέσει φημὶ, τῷ ῥᾷον μὲν, οὐκ ἔχειν ἑδραίαν τινὰ κρηπῖδα ὑποβαλέσθαι τῶν ἐπαίνων, πλήν γε τῆς ποιητικῆς αὐτῆς. τὰ δ' ἄλλα, τὰ μὲν ἀσαφῆ, πατρὶς, καὶ γένος, καὶ χρόνος. εἰ γοῦν τι σαφὲς αὐτῶν ἦν, οὐκ ἦν ἂν ἀμφίλεκτος ἀνθρώποις ἔρις. πατρίδα μὲν διδόντων αὐτοῦ, ἰωνικὴν Κολοφῶνα, ἢ Κύμην, ἢ Χίον, ἢ Σμύρναν, ἢ Θήβας τὰς αἰγυπτίας, ἢ μυρίας ἄλλας. πατέρα δὲ Μαίονα τὸν Λυδὸν, ἢ ποταμόν. τὴν μητέρα Μελανώπην φασὶν, ἢ νύμφην τῶν δρυάδων, ἀνθρωπίνου γένους

ἀπο-

ἀπειρίᾳ. χρόνου δέ, τὸν ἡρωϊκὸν, ἢ τὸν ἰωνικόν. καὶ μηδ' ὅπως πρὸς τὸν Ἡσίοδον εἶχεν ἡλικίας σαφῶς εἰδέναι, ὅπουγε καὶ τοὔνομα πρὸ τοῦ γνωρίμου, τὸ μελησιγενῆ προκρίνουσι. τύχην δέ, πενίας, ἢ πάθος ὀμμάτων, ἀλλὰ μὴ βέλτιον εἴη καὶ ταῦτα ἐᾶν ἐν ἀσαφεῖ κείμενα. τοῦ δὲ στενὸν δή μοι κομιδῇ τὸ ἐγκώμιον, ποίησιν ἄπρακτον ἐπαινέσαι, καὶ σοφίαν ἐκ τῶν ἐπῶν εἰκαζομένην συλλέγειν. τὸ δὲ σὸν ἔφη κατὰ χειρὸς, ἐπίδρομόν τε, καὶ λεῖον, ἐφ' ὡρισμένοις τέ, καὶ γνωρίμοις μόνον ὀνομάτων, οἷον, ὄψου ἔριμον, ἡδυσμάτων παρὰ σοῦ δεόμενον, τί γοῦν οὐ μέγα, καὶ λαμπρὸν ἡ τύχη τοῦ Δημοσθένει προσῆψε; τί δ' οὐ γνώριμον; οὐκ Ἀθῆναι μὲν, αὐτοῦ πατρὶς, αἱ λιπαραί, καὶ ἀοίδιμοι, ἡ τῆς Ἑλλάδος ἔρεισμα; καί τοι λαβόμενος ἂν ἐγὼ τῶν Ἀθηνῶν, ὑπὸ τῆς ποιητικῆς ἐξουσίας ἐπεισῆγον ἂν ἔρωτας θεῶν, καὶ κρίσεις, καὶ κατοικήσεις, καὶ δωρεάς, καὶ τὴν Ἐλευσῖνα. νόμων δέ, καὶ δικαστηρίων, καὶ πανηγύρεων, καὶ Πειραιῶς, καὶ ἀποικιῶν, καὶ τροπαίων θαλαττίων τέ, καὶ χρυσίων ἐπεισηγμένων, οὐδ' ἂν εἷς ἐπίσης ἀξίως ἐφικέσθαι δύναιτο τῷ λόγῳ, φησὶν, ὁ Δημοσθένης. ἀφθονία μὲν ἦν ἄν μοι πρὸς τὴν πάντως. τὸ δ' ἐγκώμιον, οὐκ ἂν ἀπαρτᾶν ἐνο-

μιζόμην, ἐν νόμῳ τοῖς ἐπαινοῦσιν ὄν, ἐκ τῶν πατρίδων συγκοσμεῖν τοὺς ἐπαινουμένους. Ἰσοκράτης δέ, περὶ μὲν τὸ ὄρθευμα τῆς Ἑλένης φέρων ἐνέθηκε τὸν Θησέα. τὸ μὲν δὴ κριτικὸν φῦλον, ἐλεύθερον. σοὶ δ' ἴσως εὐλάβεια τὸ τῆς προοιμίας σκῶμμα ὦδε τῇ ἀσυμμετρίᾳ ἐπαγαγέσθαι, μή σοι μεῖζον προσκέοιτο τὸ ἐπίγραμμα τοῦ θυλάκου. περίεστι δὴ τὰς Ἀθήνας, ἐκλέγεται τὸν λόγον πατὴρ τριήραρχος, χρυσέα κρηπὶς κατὰ Πίνδαρον. οὐ γὰρ ἦν Ἀθήνησι λαμπρότερον τιμήματος τριηραρχικοῦ. εἰ δὲ τῷ Δημοσθένους ἔτι κομιδῇ παιδὸς ὄντος, ἐτελεύτα, τὴν ὀρφανίαν οὐ συμφορὰν ὑπολήψεσθαι, ἀλλὰ δόξης ὑπόθεσιν, τὸ τῆς φύσεως γενναῖον ἀποκαλυπτούσης. Ὁμήρου μὲν οὖν, οὔτε παίδευσιν, οὔτ' ἄσκησιν μνήμῃ καθ' ἱστορίαν παρειλήφαμεν. ἀλλ' εὐθὺς ἀνάγκη τῶν ἐπαίνων ἅπτεσθαι τῶν ὑπ' αὐτοῦ δεδημιουργημένων, ὕλην ἐκ τροφῆς, καὶ μελέτης, καὶ διδασκαλίας οὐκ ἔχοντα. μὴ δ' οὖν ὑπὸ τὴν Ἡσιόδου δάφνην καταφυγόντα, τὴν ῥαθύμως, καὶ τοῖς ποιμέσι τῶν ἐπῶν ἐπιπνεῦσαν. σοὶ δὲ ἐνταῦθα δήπου, πολὺς μὲν ὁ Καλλίστρατος, λαμπρὸς δ' ὁ κατάλογος, Ἀλκιδάμας, Ἰσοκράτης, Ἰσαῖος, Εὐβουλίδης, μυρίων μὲν ἐφελκομένων Ἀθήνησι τῶν ἡδονῶν.

καὶ

καὶ τοὺς παρονομίας ἀνάγκαις ὑποκειμένους. ταχείας δ' οὔσης τοῖς μειρακίοις τῆς ἡλικίας εἰς τὰς τέρψεις ἀπολισθαίνειν, παρὸν δ' αὐτοῖς κατ' ἐξουσίαν κωμάν, ἐκ τῆς τῶν ἐπιτρόπων ὀλιγωρίας, ὁ τῆς φιλοσοφίας, καὶ τῆς πολιτικῆς ἀρετῆς κατεῖχε πόθος. ὃς αὐτὸν ἤγαγεν οὐκ ἐπὶ τὰς Φρύνης, ἀλλ' ἐπὶ τὰς Ἀριστοτέλους, καὶ Θεοφράστου, καὶ Ξενοκράτους, καὶ Πλάτωνος θύρας. κἀνταῦθα ὦ βέλτιστε, φιλοσοφοίης τῷ λόγῳ, διττὰς ἐπ' ἀνθρώποις ἐρώτων ἀρχάς, τὴν μὲν, θαλαττίου τινὸς ἔρωτος παράφορόν τε, καὶ ἀγρίαν, καὶ κυμαίνουσαν ἐν ψυχῇ ἀφροδίτης πανδήμου κλύδωνα, φλεγμαινούσαις νέων ὁρμαῖς, αὐτόχρημα θαλάττιον. τὴν δ' οὐρανίου χρυσῆς τινος σειρᾶς ἕλξιν, οὐ πυρί, καὶ τόξοις ἐντιθεῖσαν δυσαλθεῖς νόσους τραυμάτων, ἀλλ' ἐπὶ τὴν αὐτοῦ τοῦ κάλλους ἄχραντόν τε, ἢ καθαρὰν ἰδέαν ἐξορμῶσαν, μανίᾳ σώφρονι τῶν ψυχῶν, ὅσαι ζηνὸς ἐγγὺς, καὶ θεῶν ἀγχίσποροι φησὶν ὁ τραγικός. ἔρωτι δὴ πάντα πόριμα, κουρά. σπήλαιον. κάτοπτρον. ξίφος. γλῶτταν διαρθρῶσαι. μετελθεῖν ὅ,τι τῆς ἡλικίας ὑπόκειται. μνήμην ἀκριβῶσαι. θορύβου καταφωνῆσαι. συνάψαι νύκτας ἐπιπόνοις ἡμέραις. ἐξ ὧν τίς οὐκ οἶδεν ὅπως ὁ Δημοσθένης ἔφη σοι τὴν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ῥητορικὴν ἐγένετο, ταῖς μὲν ἐννοίαις, καὶ τοῖς ὀνόμασι, καταπυκνῶν τὸν λόγον. ταῖς δὲ ἀποδείξεσιν, ἐξακριβῶν τὰς πιθανότητας. λαμπρὸς μὲν τῷ μεγέθει, σφοδρὸς δὲ τῷ πνεύματι, σωφρονέστατος δὲ τὴν τῶν ὀνομάτων καὶ νοημάτων ἐγκράτειαν, ποικιλώτατος δ' ἐναλλαγαῖς σχημάτων. μόνος γέ τοι τῶν ῥητόρων, ὡς ὁ Λεωσθένης ἐτόλμησεν εἰπεῖν, ἔμψυχον, οὐ σφυρήλατον ἦγε τὸν λόγον. οὐ γὰρ ὡς τὸν Αἰσχύλον ὁ Καλλισθένης ἔφη που λέγων, τὰς τραγῳδίας ἐν οἴνῳ γράφειν, ἐξορμῶντα, καὶ ἀναθερμαίνοντα τὴν ψυχήν, οὕτως ὁ Δημοσθένης συνετίθει πρὸς μέθην τοὺς λόγους. ἀλλ' ὕδωρ πίνων, ἣ καὶ τὸν Δημάδην παῖξαί φασιν εἰς ταύτην αὐτοῦ τὴν ὑδροποσίαν, ὡς οἱ μὲν ἄλλοι, πρὸς ὕδωρ λέγοιεν, τὸν Δημοσθένην δὲ, πρὸς ὕδωρ γράφειν. Πυθέας δὲ, ὁ κρότος τῶν δημοσθενικῶν λόγων, ἀπόζειν ἔφαινετο τοῦ νυκτερινοῦ λύχνου. ταυτὶ μὲν ἔφη σοι τὸ χωρίον τοῦ λόγου, κοινὸν πρὸς τὴν ἐμὴν ὑπόθεσιν. οὐ γάρ τοι μείων ὁ περὶ τὴν Ὁμήρου ποίησιν, ὑπῆρχε κἀμοὶ λόγος. ἀλλ' εἰ μετρίοις τὰς φιλανθρωπίας, καὶ τὴν ἐν τοῖς χρήμασι φιλοτιμίαν, καὶ τῆς πολιτείας τὴν ὅλην λαμπρότητα. καὶ ὁ μὲν, ᾔει συνείρων, ὡς τὰ λοιπὰ προσθήσων. ἐγὼ δὲ, γελάσας, ἦ πού γε ἔφην

διανοη

διὰ νοῦ ἢ καταχεῖν μου τῶν ὤτων, ὥσπερ βαλανεὺς καταντλήσας τὸν λοιπὸν λόγον; νὴ Δία γε εἶπε, δημοσθενείας τε, καὶ χορηγίας ἐθελουσίους, καὶ τειηραρχίας, καὶ τεῖχος, καὶ τάφρον, καὶ λύσεις αἰχμαλώτων, καὶ παρθένων ἐκδόσεις, ἀεὶ στην πολιτείαν. καὶ πρέσβεις, καὶ νομοθεσίας, καὶ μέγεθος πολιτευμάτων ἐμπεσὸν, γελᾶν ἔπεισί μοι, τὸ τὰς ὀφρῦς συνάγοντος, καὶ δεδιότος, μὴ λόγοι τῶν Δημοσθένους αὐτὸν ἔργων ἐπιλίποιεν. ἴσως γὰρ ἔφην ὦ 'γαθὲ, νομίζεις ἐμὲ δὴ μόνον τῶν ἐν τῇ οἰκουμένῃ βεβιωκότων, μὴ διατεθρυλλῆσθαι τὰ ὦτα ταῖς Δημοσθένους πράξεσιν; εἴ γε ἔφη περὶ τὸν λόγον ἐπικουρίας τινὸς ὡς σὺ φῄς, δέομαι. πλὴν εἰ μή σε τοὐναντίον κατέχει πάθος, οἷον αὐγῆς περιλαμπούσης, οὐκ ἔχεις πρὸς λαμπρὰν τὴν Δημοσθένους δόξαν, τὴν ὄψιν ἀπερείσαι. καὶ γὰρ αὐτὸς τοιοῦτον ἐφ' Ὁμήρῳ κατὰ τὰς ἀρχὰς πέπονθα. κατέβαλον γοῦν μικροῦ δεῖν, ὡς οὐκ ἀντιβλέπειν ἐν ὄν μοι πρὸς τὴν ὑπόθεσιν. εἶτ' ἐγὼ μὲν, οὐκ οἶδ' ὅπως ἀνήνεγκα, δοκῶ μοι κατὰ σμικρὸν προσεθιζόμενος ἀντίον ὁρᾶν. καὶ μὴ δ' ἀποτρέπων, ὥσπερ ἡλίου τὰς ὄψεις, νόθος ἐκ τῶν ὁμηρειδῶν γένους ἐλέγχεσθαι. σοὶ δέ μοι φαίνεται καὶ τοῦτο ἔφη πολὺ ῥᾷον, ἢ κατ' ἐμὲ εἶναι. τὸν μὲν γὰρ Ὁμή-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρου δόξης, οἷον ἐπὶ μιᾶς ὁρμώσης τῆς ποιητικῆς δυνάμεως, ἀθρόως δ' ἐξ ἀνάγκης ἦν ἁπάσης λαβέσθαι. σὺ δ' εἰ μὲν ἐπὶ τὸν Δημοσθένην ὅλον ἐφάπαξ τῇ γνώμῃ τράποιο, καὶ μάλα ἂν ἀποροίης περὶ τὸν λόγον αἴτιον, οὐκ ἔχων ὅτου πρῶτα τὴν γνώμην λάβοις, καθάπερ οἱ λίχνοι πάσχουσι περὶ τὰς Συρακουσίους τραπέζας, ἢ οἱ φιλήκοοι, καὶ φιλοθεάμονες, εἰς μυρίας ἀκουσμάτων, καὶ θεαμάτων ἡδονὰς ἐμπεσόντες. οὐκ ἔχοντες ἐφ' ἣν ἔλθωσιν, ἀεὶ τὴν ἐπιθυμίαν μετατιθέντες. οἶμαι δὲ καὶ σὲ μεταπηδᾷν, οὐκ ἔχοντα ἐφ' ὅ, τι στῇς, ἐν κύκλῳ περιελκόντων, φύσεως μεγαλοπρεποῦς, ὁρμῆς διαπύρου, βίου σώφρονος, λόγου δεινότητος, τῆς ἐν ταῖς πράξεσιν ἀνδρίας, λημμάτων πολλῶν, καὶ μεγάλων, ὑπεροψίας, δικαιοσύνης, φιλανθρωπίας, πίστεως, φρονήματος, συνέσεως, ἑκάστου τῶν πολλῶν, καὶ μεγάλων πολιτευμάτων. ἴσως γὰρ ὁρῶν ἔνθεν μὲν, ψηφίσματα, πρεσβείας, δημηγορίας, νόμους, ἐκεῖθεν, ἀποστόλους, Εὔβοιαν, Μέγαρα, τὴν Βοιωτίαν, Χίον, Ῥόδον, τὸν Ἑλλήσποντον, Βυζάντιον, οὐκ ἔχεις ὅποι τὴν γνώμην ἀποκλίνῃς, συμπεριφερόμενος τοῖς πλεονεκτήμασιν. ὥσπερ γὰρ ὁ Πίνδαρος, ὑπὸ πολλὰ τῷ νῷ
„ τραπόμενος, οὕτω πως ἠπόρηκεν, Ἰσμηνὸν, ἢ χρυ

σηλά-

σηλάκα τὸν Μελίαν, ἢ Κάδμον, ἢ σπαρτῶν ἱε- ‘‘
ρὸν γένος, ἢ τὰν κυανάμπυκα Θήβαν, ἢ τὸ πάν- ‘‘
τολμον σθένος Ἡρακλέος, ἢ τὰν Διονύσου πολυ- ‘‘
γαθέα τιμὰν, ἢ γάμον λευκωλένου Ἁρμονίας, ‘‘
ὑμνήσομεν, οὑτωσὶ δὲ καὶ σύ γε ταὐτὸν ἔοικας ἀπο- ‘‘
ρεῖν, λόγον, ἢ βίον, ἢ ῥητορικὴν, ἢ φιλοσοφίαν,
ἢ δημαγωγίαν, ἢ τὸν θάνατον τἀνδρὸς ὑμνητέον.
ἔστι δ' οὐδὲν ἔργον ἐκφυγεῖν ἔφη τὴν πλάνην,
ἀλλ' ἑνὸς, ὅτου δὴ λαβόμενος, ἢ τῆς ῥητορικῆς
καθ' αὑτὴν, εἰς ταύτην καταθοῦ σύμπαντα τὸν λόγον.
ἱκανὴ γοῦν σοι ἡ Περικλέους. ἐκείνου μέν γε,
τὰς ἀστραπὰς, καὶ βροντὰς, καὶ πειθοῦς τὸ κέντρον, αὐτὴν
δόξῃ παραλαβόντες, ἀλλ' αὐτόν γε οὐχ ὁρῶμεν, γε.
δηλαδὴ ὡς ὑπὲρ τὴν φαντασίαν, οὐδὲν ἔμμονον
ἔχοντες, οὐδ' οἵαν ἐξαρκέσαι πρὸς τὴν τοῦ χρό-
νου βάσανον, καὶ κρίσιν. τὰ δὲ τοῦ Δημοσθένους,
ἀλλὰ σοὶ καταλελείφθω λέγειν, εἰ ταύτῃ
χαίροιο. πρός γε μὴν τὰς τῆς ψυχῆς ἀρετὰς,
ἢ τὰς πολιτείας αὐτοῦ σφαττομένῳ, καλὸν
μίαν, ἥντινα οὖν ἀποτέμνεσθαι τὴν διατριβήν.
εἰ δὲ βούλοιο διττῶς, δύο, καὶ σύνζευξις ἑλο-
μένον, ἔχειν ἀποχρῶσαν λόγων ὑπερβολήν. ὑπερβο-
πολλὴ γὰρ ἐν ἅπασιν ἡ λαμπρότης. εἰ δ' οὐκ λήν.
ἐκ τοῦ παντὸς, ἀλλ' ἐκ μέρους ἐπαινεσόμεθα,
νόμος μὲν γὰρ ὁμηρικὸς, ἡρώων ἐπαίνους ἐκ με-

ρων διατίθεσθαι, πλων, ἢ κεφαλῆς, ἢ κό-
μης. ἤδη δὲ καὶ τῶν φορημάτων, ἢ ἀσπίδων. μεμ
πτὸν δ' οὐδὲ τοῖς θεοῖς ἐγένετο, ὑμνεῖσθαι
πρὸς τῶν ποιητῶν, ἐξ ἠλακάτης, ἢ τόξων, ἢ περὶ
αἰγίδος, μή τι γε δὴ μέρους σώματος, ἢ περὶ ψυ
χῆς. τῶν εὐεργεσιῶν δὲ, οὐδὲ δυνατὸν ἐφάπαξ
ἐλθεῖν. οὐκοῦν οὐδ' ὁ Δημοσθένης αἰτιάσεται,
καθ' ἓν τῶν αὐτοῦ καλῶν ἐπαινούμενος. ἐπεί
τοι γε σύμπαν, οὐδ' αὐτὸς ἂν αὐτὸν ἐξαρκέ-
σειεν ἐπαινέσαι. ταῦτα τοῦ Θερσαγόρου διελθόν-
τος, οἶμαί σε ἔφην ἐν ἐπιδεῖχθαί μοι βουλό
μενον, τὸ μὴ μόνον ποιητὴν ἀγαθὸν εἶναι, τῶν λό
γων περιεμπόρευμα περιῆφθαι τὸν Δημοσθένην,
τὰ πεζὰ τοῖς ἐμμέτροις προστιθέντα. σοὶ μὲν οὖν
ἔφη τὴν ῥαστώνην ὑποπτεύσας, προήχθην ἐπι-
δραμεῖν τὸν λόγον, εἴ τι περὶ φροντίδος ἀνεῖς,
ἀκροατὴς ἡμῖν γένοιο. προὔργου τοίνυν ἔφην
σοι γέγονεν οὐδὲν εὖ ἴσθι. σκόπει δὲ μὴ καὶ πλέ
ον ἢ γεγονὸς θάτερον. καλὸν ἂν λέγοις ἔφη τὸ
ἴαμα. σὺ γοῦν ἔφην ἀγνοεῖς οἶμαι τὸ πρὸν ἄπο-
ρον. εἶτα ἰατροῦ δίκην τοῦ νοσοῦντος σαθρὸν
ἀγνοήσαντος, ἄλλο θεραπεύεις. ὅτι τί δή; σὺ
μὲν ἃ ταράξειεν ἄν, τὸν πρῶτον ἰόντα πρὸς τὸν
λόγον, ἐπεχείρησας ἰᾶσθαι, τὰ δ' ἤδη κατηνά-
λωται παλαιαῖς ἐτῶν περιόδοις. ὥστε ταύ-

της

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆς δὲ ἀπειθείας ἔωλά σοι τὰ ἰάματα. τοῦτο δ' οὖν ἔφη σοι τὸ δὴ ἴαμα. χρὴ μέντοι καθάπερ ὁδοῦ, θαῤῥαλεωτάτην εἶναι τὴν συνηθεστάτην. τὴν ἐναντίαν γὰρ εἶπεν προὐθέμην. ἦ φασὶν Ἀννίκεριν τὸν κυρηναῖον φιλοτιμηθῆναι πρὸς Πλάτωνά τε, καὶ τοὺς ἑταίρους. τὸν μὲν γὰρ κυρηναῖον ἁρματηλασίαν ἐπιδεικνῦντα, πολλοὺς περὶ τὴν ἀκαδημίαν ἐξελαύνειν δρόμους, ὥστε δὲ αὐτοῦ ἁρματοτροχίας ἅπαντας, μηδὲν παραβάντα, ὡσθ' ἑνὸς δρόμου σημεῖα κατὰ τῆς γῆς ἀπολείπεσθαι. τοὐμὸν δέ γε, τοὐναντίον σπεύδει, τὰς ἁρματοτροχίας ἀλεείνειν. οὐ μάλα ῥάδιον δ' οἶμαι καινουργεῖν ὁδοὺς τῶν τετριμμένων ἐκτρεπόμενον, ἀλλ' ἆρ' οὐ τὸ Παύσωνος ἔφη σοφόν. ποῖον ἔφην; οὐ γὰρ ἀκήκοα. Παύσωνι τῷ ζωγράφῳ φασὶν ἐκδοθῆναι γράψαι ἵππον καλινδούμενον. τὸν δέ, γράψαι τρέχοντα, καὶ πολὺν κονιορτὸν περὶ τὸν ἵππον. ὡς δ' ἔτι γράφοντος, ἐπιστῆναι τὸν ἐκδόντα, μέμφεσθαι, μὴ τοῦτο προστάξαι. τὸν οὖν Παύσωνα τοῦ πίνακος τὰ μετέωρα κάτω περιαγαγόντα, τῷ παιδὶ τὴν γραφὴν ἐπιδεῖξαι κελεῦσαι, καὶ τὸν ἵππον ἔμπαλιν κείμενον ὀφθῆναι καλινδούμενον. ἡδίους εἶπ' ἔφην Θερσαγόρα, ἂν μίαν οἴει με στροφὴν μεμηχανῆσθαι τοσούτων ἐτῶν, ἀλλ'

οὐχὶ πάσας στροφάς, καὶ διαστροφὰς ἐναλλάτ-
τοντα, καὶ μετατιθέντα, δεδιέναι μὴ τὸ τελευ-
ταῖον πάθοιμι τὸ τοῦ Πρωτέως. ποῖον ἔφη πά-
θος; τὸ γενόμενον, ὅ φασιν αὐτὸν γενέσθαι, δρασ-
μὸν ἐξευρίσκοντα τῆς ἀνθρωπίνης ὄψεως. ἐπεὶ
κατηναλώκει πάσας ἰδέας ἂν, θηρίων, καὶ
φυτῶν, καὶ στοιχείων, αὖθις αὖ πενίᾳ μορφῆς
ἐπεισάκτου, Πρωτέα γενέσθαι. σὺ μὲν εἶπεν
ὑπὲρ τὸν Πρωτέα μηχανᾷ τὴν ἐμὴν ἀκρόασιν
ἀποδιδράσκειν. οὐκ ὦ 'γαθὲ ἔφην οὕτως. παρέξω
γοῦν ἐμαυτὸν ἀκροᾶσθαι, παρεὶς τὴν ἐπηρτημέ-
νην φροντίδα. τάχα δ' ἂν τι περὶ τοῦ σοῦ κυήμα-
τος ἄφρον τις γενόμενος, καὶ τῆς ἐμῆς ὠδῖνος συμ-
φροντίσαις. ὡς δὲ ἐδόκει ταῦτα αὐτοῖς, καθίσαν-
τες ἐπὶ τῆς πλησίον κρηπῖδος, ἐγὼ μὲν ἠκροώ-
μην, ὁ δ' ἀνελέγετο μάλα γενναῖα ῥήματα.
μεταξὺ δ' ὥσπερ ἔνθους γενόμενος, ἐπιπτύξας
τὸ γραμματεῖον, κομίζου τὸν ἀκροατικὸν ἔφη
μισθόν, καθάπερ Ἀθήνησιν ἐκκλησιαστικόν, ἢ δι-
καστικόν. ἀλλ' ὅπως εἴσῃ μοι χάριν. χάριν μὲν
ἔφην εἴσομαι, καὶ πρὶν ὅ,τι καὶ λέγοις εἰδέναι. τί δ'
ἐστιν ὅ,τι καὶ λέγοις; μακεδονικοῖς εἶπεν ἐντυχὼν
τῆς βασιλικῆς οἰκίας ὑπομνήμασι, καὶ τότε ὑπε-
ρησθείς, τὸ βιβλίον οὐ κατὰ τὸ πάρεργον ἐκτησά-
μην. καὶ νῦν ὑπεμνήσθην ἔχων οἴκαδε. γέγραπται

δὲ

λ' ἄλλα καί τε τῶν Ἀντιπάτρῳ πραχθέντων ὑπὲρ
τῆς οἰκίας, καὶ περὶ Δημοσθένους. ἅ μοι δοκεῖς
οὐκ ἂν παρέργως ἀκοῦσαι. καὶ μὴν εἶπεν ἤδη γέ σοι
τῶν εὐαγγελίων χάριν, καὶ τὰ λοιπὰ τῶν ἑτέρων. ἐ-
γὼ μὲν γὰρ οὐκ ἀπολείψομαί σου, πρὶν ἢ τὴν ὑπό-
σχεσιν ἔργον σοι γενέσθαι. σὺ δ' εἱστίακας μέν με
λαμπρῶς τὴν Ὁμήρου γενέθλιον, ἔοικας δ' ἑστι-
άσειν αὖθις καὶ τὴν Δημοσθένους. ὡς γὰρ ἀνέγνω
τὰ λοιπὰ τοῦ γραμματείου, διαλείψ αὐτοῦ ὀλί-
γον, ὅσον ἀποδοῦναι τῷ ποιήματι τοὺς δικαί-
ους ἐπαίνους, ἥκει μὲν εἰς τοῦ Θερσαγόρου. καὶ μόλις
μὲν, ἐπιτυγχάνει δὲ τῷ βιβλίῳ. κἀγὼ λα-
βὼν τότε μὲν, ἀπηλλαττόμην. ἐντυχὼν δ' οὕ-
τω τὴν γνώμην διετέθην, ὡς οὐδέν τι παραφρέ-
ψας, ἀλλ' ἐπ' αὐτῶν ὀνομάτων τε, καὶ ῥημάτων
ὑμῖν ἀναλέξομαι. οὐδὲ γὰρ τῷ Ἀσκληπιῷ μεῖόν
τι γίγνεται τῆς τιμῆς, εἰ μὴ τῶν προσιόντων αὐ-
τῶν ποιησάντων ἄσματα, τὰ Ἰσοδήμου τοῦ
Τροιζηνίου, καὶ Σοφοκλέους, ᾄδεται. καὶ τῷ Διονύσῳ,
τὸ μὲν ποίησιν καινὴν ποιεῖν, κωμῳδίας, ἢ τραγῳ-
δίας, ἐκλέλειπται. τὰ δ' ἑτέροις συντεθέντα,
τοῖς νῦν εἰς μέσον ἐν καιρῷ κομίζουσι, χάριν οὐκ
ἐλάττω φέρει, τῷ τὸν θεὸν δοκεῖν τετιμηκέναι. τὸ
μὲν οὖν βιβλίον, τοῦτ' ἐστι. τοῦ δὲ ὑπομνήματος τὸ προσῆ-
κον ἡμῖν μέρος. τὸ δὲ δρᾶμα τοῦ βιβλίου, φησὶν Αὐ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πράξῳ μεμηνύσθη ποιοῦντα τὸν Ἀρχίαν. ὁ δ' Ἀρχίας, εἴ τις ἄρα τῶν νεωτέρων ἀγνοεῖ, τοὺς φυγάδας ἐτέτακτο συλλαμβάνειν. ἐπέσταλτο δ' αὐτῷ καὶ Δημοσθένην ἀπὸ τῆς Καλαυρείας πεῖσαι μᾶλλον, ἢ βιάσασθαι πρὸς τὸν Ἀντίπατρον ἥκειν. καὶ δὴ καὶ μετέωρος ὁ Ἀντίπατρος ἐπὶ ταύτης ἦν τῆς ἐλπίδος, τὸν Δημοσθένην ἀεὶ προσδοκῶν. ὡς δ' ἤκουσεν ἀπὸ τῆς Καλαυρείας ἥκοντα τὸν Ἀρχίαν, εὐθὺς ὡς εἶχεν, ἐκέλευσεν εἴσω καλεῖν. ἐπεὶ δ' εἰσῆλθεν, αὐτὸ φράσει τὰ λοιπὰ τὸ βιβλίον, χαῖρε ὦ Ἀντίπατρε. τί δ' οὐ μέλλω χαίρειν, εἰ Δημοσθένην ἤγαγες; ἤγαγον ὡς ἐδυνάμην. ὑδρίαν γὰρ κομίζω τῶν Δημοσθένους λειψάνων. ἀπ' ἐλπίδος γε μὴν ἐσφηλας ὦ Ἀρχία. τί μοι τῶν ὀστῶν, καὶ τῆς ὑδρίας, Δημοσθένην οὐκ ἔχοντι; τὴν γὰρ ψυχὴν αὐτοῦ ὦ βασιλεῦ, πρὸς βίαν κατέχειν ἀδύνατον. οὐ Βοιωτίας, οὐδ' ἔνθα τι παρ' ἐμοῦ λαβόντος. ἡμεῖς δέ, θᾶττον ἂν τὸ Βυζαντίων τεῖχος ἕλοιμεν μηχαναῖς, ἢ Δημοσθένην χρυσίῳ. ἐγὼ δὲ ὦ Παρμενίων ἔφη, εἰ μέν τις Ἀθηναῖος ὢν ἐν Ἀθήναις λέγων, ἐμὲ τῆς πατρίδος προτιμᾷ, τούτῳ ἀργύριον μὲν προείμην ἄν, φιλίαν δ' οὐκ ἄν. εἰ δέ τις ὑπὲρ τῆς πατρίδος ἐμὲ μισεῖ, τούτῳ προσπολεμῶ μέν, ὡς ἀκροπόλει, καὶ τείχει,

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

…ρεωρίοις, καὶ ταφρῶ. θαυμάζω δὲ τὴν ἀρετήν,
…ακαρίζω τοῦ κτήματος τὴν πόλιν. καὶ σοῦ
μ…, ἔξω τῆς χρείας γενόμενος, ἥδιστ' ἂν προσα-
…λέσαιμι. σὺ δέ, βουλοίμην ἂν ἐνταυθοῖ
…' ἡμῖν τυχεῖν γενόμενον μᾶλλον, ἢ τὴν
…ινείων ἵππον, καὶ τειβαλλῶν, καὶ πᾶν τὸ
…θοφορικὸν τῶν ὅπλων βίας, τὴν τοῦ λόγου πει-
…, καὶ τὸ τῆς γνώμης ἐμβριθὲς δύναμιν τιθεὶς
…ίτερον. πρὸς Παρμενίωνα μὲν ταῦτα. τοιού-
…ους δέ τινας καὶ πρὸς ἐμὲ λόγους ἐποιήσατο. τῶν
…μετὰ Διοπείθους Ἀθήνηθεν ἀπεσταλμένων,
…ὦ μὲν εἶχον διὰ φροντίδος. ὁ δ' εὖ μάλα γε
…χετο, ἔφη. σὺ δ' Ἀττικὸν στρατηγόν, ἢ στρα-
…ώτην δέδοικας ἡμῖν. αἱ μὲν τριήρεις, καὶ ὁ πει-
…αιεύς, καὶ τὰ νεώρια, λῆρος ἔμοιγε, καὶ φλήνα-
…ος. τί δ' ἂν ἄνθρωποι πράξαιεν, διονυσιάζον-
…ες, ἐν κρεανομίαις καταζῶντες, καὶ χοροῖς; εἰ
…μὴ Δημοσθένης εἷς ἐν Ἀθηναίοις ἐγένετο, ῥᾷον
…εἰχομεν τὴν πόλιν, ἢ Θηβαίους, καὶ Θετταλοὺς
…πατῶντες, βιαζόμενοι, φθάνοντες, ὠνούμενοι.
…νῦν δὲ εἷς ἐκεῖνος ἐγρήγορε, καὶ πᾶσι τοῖς καιροῖς ἐ-
…φέστηκε, καὶ ταῖς ἡμετέραις ὁρμαῖς ἐπακολουθεῖ,
…' ροῖς στρατηγήμασιν ἀντιπαρατάττεται. λαν-
…θάνομεν δὲ αὐτὸν οὐ τεχνάζοντες, οὐκ ἐπιχει-
…ροῦντες, οὐ βουλευόμενοι, καὶ καθάπαξ κώλυ-

μάτι, καὶ πρόβολος ἡμῖν ἄνθρωπός ἐστι, μὴ πάντ' ἔχειν ἐξ ἐπιδρομῆς. τό γέ τοι κατ' αὐτὸν οὐκ Ἀμφίπολιν εἵλομεν; οὐκ Ὄλυνθον; οὐ Φωκέας, καὶ Πύλας οὐκ ἔχομεν; οὐχὶ Χερρονήσου, καὶ τῶν περὶ τῶν Ἑλλήσποντον κεκρατήκαμεν; ἀλλ' ἀνίστησι μὲν ἄκοντας, οἷον, ἐκ μανδραγόρου καθεύδοντας τοὺς αὐτοῦ πολίτας, ὥσπερ τομῇ τινι, καὶ καύσει τῆς ῥαθυμίας τῇ παρρησίᾳ χρώμενος, ὀλίγον τοῦ πρὸς ἡδονὴν φροντίσας. μετατίθησι δὲ τῶν χρημάτων τοὺς πόρους, ἀπὸ τῶν θεάτρων, ἐπὶ τὰ στρατόπεδα. συντίθησι δὲ τὸ ναυτικὸν, νόμοις τριηραρχικοῖς ὑπὸ τῆς ἀταξίας μονονοὺ τελέως διεφθαρμένον. ἐπαίρει δ' ἐρριμμένον ἤδη χρόνου πρὸς τὴν δραχμὴν, καὶ τὸ τριώβολον, τὸ τῆς πόλεως ἀξίωμα, πάλαι τούτοις κατακεκλιμένους, εἰς τοὺς προγόνους ἐπανάγων. καὶ τὸν ζῆλον τῶν Μαραθῶνι, καὶ Σαλαμῖνι κατειργασμένων, συνίστησι δ' ἐπὶ συμμαχίας καὶ συντάξεις ἑλληνικάς. τοῦτον οὐ λαθεῖν ἐστιν, οὐ φενακίζει, οὐ πρίασθαι δ' οὐ μᾶλλον, ἢ τὸν Ἀριστείδην ἐκεῖνον ὁ Περσῶν βασιλεὺς ἐπρίατο. τοῦτον οὖν ὦ Ἀντίπατρε, χρὴ δεδιέναι μᾶλλον, ἢ πάσας τριήρεις, καὶ πάντας ἀποστόλους. ὃ γὰρ Ἀθηναίοις τοῖς πάλαι Θεμιστοκλῆς, καὶ Περικλῆς ἐγένετο, τούτοις νῦν ὁ Δημοσθένης ἐφάμιλλος.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Θεμιστοκλεῖ μὲν, τὴν σύνεσιν, Περικλεῖ δὲ, τὸ φρόνημα. ἐκ τούτου γοῦν αὐτοῖς ἀκούειν, Εὔβοιαν, Μέγαρα, τὰ περὶ τὸν Ἑλλήσποντον, τὴν Βοιωτίαν, καὶ καλῶς γε ἔφη ποιοῦσιν Ἀθηναῖοι, Χάρητα μὲν, καὶ Διοπείθην, καὶ Πρόξενον, καὶ τούτους τινὰς ἀποδεικνύντες στρατηγεῖν, Δημοσθένην δὲ, εἴσω κατέχοντες ἐπὶ τοῦ βήματος. ὡς εἰ τοῦτον τὸν ἄνθρωπον ὅπλων ἀπέφηναν, καὶ νεῶν, καὶ στρατοπέδων, καὶ καιρῶν, καὶ χρημάτων κύριον, ὀκνῶ μὴ περὶ τῆς μακεδονίας ἂν κατέστησέ μοι τὸν λόγον. ὃς καὶ νῦν ἀπὸ ψηφισμάτων ἀνταγωνιζόμενος ἡμῖν, πανταχοῦ συμπεριτρέχει, καταλαμβάνει, πόρους εὑρίσκει, δύναμιν συλλέγει. τί δ᾽ οὐ ζῶντα κατειλήφατε; κατειλήφαμεν. κατὰ τὴν ὁδὸν οὖν τέθνηκεν; οὐκ, ἀλλ᾽ οὗπερ ἦν ἐν Καλαυρίᾳ. τάχα τῆς ὑμετέρας γέγονεν ἔργον ὀλιγωρείας, οὐ θεραπευόντων τὸν ἄνθρωπον; ἀλλ᾽ οὐδ᾽ ὑφ᾽ ἡμῖν ἐγένετο. τί φής; αἰνίγματα λέγεις ὦ Ἀρχία. ζῶντα λαβόντες οὐκ ἔχετε; οὐ γὰρ ἐκέλευες τήν γε πρώτην μὴ βιάζεσθαι; καίτοι πλέον ἂν οὐδὲ βιασαμένοις οὐδὲν ἦν. καὶ τοῦτο ἐμελήσαμεν. οὐκ εὖ γε ὑμεῖς οὐδὲ μελήσαντες. ἴσως οὖν ἐκ τῆς ὑμετέρας τέθνηκε βίας. ἡμεῖς μὲν αὐτὸν οὐκ ἀπεκτείναμεν, βιάζεσθαι δὲ αὐτὸν μὴ πειθόμενον ἀναγκαῖον ἦν. σοὶ δ᾽ ὦ βασιλεῦ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τί δ' πλέον, εἰ ζῶν ἀφίκετο; πάντως οὐδὲν ἂν αὐτόν, ἢ ἀπέκτεινας. εὐφήμει ὦ Ἀρχία. δοκεῖς μοι μὴ συνεγνωκέναι, μήθ' ὅστις ὁ Δημοσθένης, μήτε τὴν ἐμὴν γνώμην, ἀλλὰ νομίζειν ὅμοιον τὸ Δημοσθένην εὑρεῖν, καὶ τούτους ζητεῖν τοὺς κακῶς ἀπολωλότας, Ἱμεραῖον τὸν Φαληρέα, καὶ τὸν Μαραθώνιον Ἀριστόνικον, καὶ τὸν ἐκ Πειραιῶς Εὐκράτην, τῶν ῥαγδαίων ῥευμάτων οὐδὲν διαφέροντας, ἀνθρώπους ταπεινούς, ἀφορμῇ προσκαίρων θορύβων ἐπιπολάσαντας, καὶ πρὸς μικρὰν ταραχῆς ἐλπίδα θρασέως ἐξαναστάντας, εἶτα πτήξαντας οὐκ εἰς μακράν, δίκην τῶν δειλινῶν πνευμάτων. καὶ τὸν ἄπιστον Ὑπερείδην, καὶ τὸν ἄφιλον δημόλακα, τὸν οὐδὲν αἰσχρὸν νομίσαντα κολακείᾳ τοῦ πλήθους, συκοφαντῆσαι Δημοσθένην, οὐδ' αὐτὸν εἰς ταῦτα πραχθῆναι διάκονον, ἐφ' οἷς αὐτοὶ μετενόησαν, οἷς ἐχαρίζετο. μετ' οὐ πολὺ γοῦν τῆς συκοφαντίας λαμπροτέραν ἢ κατ' Ἀλκιβιάδην αὐτοῦ τὴν κάθοδον ἀκηκόαμεν γενέσθαι. τῷ δέ, οὐκ ἔμελεν, οὐδ' ἐπῃσχύνετο κατὰ τῶν περὶ φιλτάτων τῇ γλώττῃ χρώμενος, ἣν ἐχρῆν λήπτου τῆς ἀγνωμοσύνης ἐκτεμεῖν. Τί δ' οὐκ ἐχθρῶν ἡμῖν ἔχθιστος ὁ Δημοσθένης; οὐχ οὕτω μέλοι τρόπου πίστεως, φίλον πᾶν ἀδόλον,
» καὶ βέβαιον ἦθος ἡγουμένῳ. Τὰ γάρ τοι

καλὰ

καλὰ, καὶ τοῖς ἐχθροῖς καλά. καὶ τὸ τῆς ἀρετῆς, "
πανταχοῦ τίμιον. οὐδὲ κακίων ἐγὼ Ξέρξου "
τοῦ Βοῦλιν, καὶ Σπέρχιν τοὺς Λακεδαιμονίους θαυ-
μάσαντος, καὶ κτεῖναι παρὸν, ἀφέντος. ἀλ-
λ᾽ εἰ δή τινα πάντων, καὶ Δημοσθένην, αὐτὸς
τε δὶς Ἀθήνησιν, εἰ καὶ μὴ κατὰ πολλὴν σχολὴν
συγγενόμενος, τῶν τε παρὰ τῶν ἄλλων ἀναπυνθα-
νόμενος, ἔκ τε τῶν πολιτευμάτων αὐτῶν εἶχον
θαυμάζειν, οὐχ ὡς ἂν νομίσειέ τις ἐπὶ τῶν λό-
γων δεινότητος. εἰ καὶ μηδὲν μὲν ὁ Πύθων πρὸς
αὐτὸν, οἱ δ᾽ ἀττικοὶ ῥήτορες παιδιὰ, παραβάλ-
λειν τοῦ ῥύτου κρότῳ, καὶ τόνῳ, καὶ λέξεων εὐ-
ρυθμίᾳ, καὶ ταῖς τῶν διανοιῶν περιγραφαῖς, καὶ
συνεχείαις ἀποδείξεων, καὶ τῷ συνακτικῷ,
καὶ κρουστικῷ. μετενοοῦμεν γοῦν ὅτε τοὺς Ἕλληνας
Ἀθήναζε συνηγάγομεν, ὡς ἐλέγξοντες Ἀθηναί-
οις, Πύθωνι, καὶ τοῖς Πύθωνος ἐπαγγέλμασι πε-
πιστευκότες. εἶτα Δημοσθένει, καὶ τοῖς Δημοσθέ-
νους ἐλέγχοις περιπεσόντες. ἀλλ᾽ ἡμῖν ἀπρόσι-
τος ἡ δύναμις αὐτοῦ τοῦ λόγου. ἐγὼ δὲ ταύτην
μὲν δευτέραν ἔταττον, ἐν χώρᾳ τεθεὶς ὀργά-
νου. Δημοσθένην δ᾽ αὐτὸν ὑπερηγάμην τοῦ τε
φρονήματος, καὶ τῆς συνέσεως, ἀκλινῆ τὴν ψυ-
χὴν ἐπ᾽ ὀρθῆς ἐν ἁπάσαις φυλάττοντα τεικω-
μίαις τῆς τύχης, καὶ πρὸς μηδὲν τῶν δεινῶν ἐνδι-

δόντα. καὶ Φίλιππον δὲ τὴν ἐμὴν γνώμην ἔχοντα, περὶ τἀνδρὸς ἠπιστάμην. οὗτος μὲν γάρ, δημηγορίας ἐξαγγελθείσης Ἀθήνηθέν ποτε, καθαπτομένης τοῦ Φιλίππου, καὶ Παρμενίωνος ἀγανακτικῶς, καί τι καὶ σκωπτικὸν εἰς τὸν Δημοσθένην ἐπειπόντος, ὦ Παρμενίων ἔφη, δίκαιος ὁ Δημοσθένης παρρησίας τυγχάνειν. μόνος γέ τοι τῶν ἀπὸ τῆς Ἑλλάδος δημαγωγῶν, οὐδαμοῦ τοῖς ἀπολογισμοῖς ἐγγέγραπται τῶν ἐμῶν ἀναλωμάτων. καί τοι μᾶλλον ἐβουλόμην, ἢ γραμματεῦσι ξινθέταις ἐμαυτὸν πεπιστευκέναι. νῦν δ' ἐκείνων μὲν ἕκαστος ἀπογέγραπται, χρυσίον, ξύλα, φόρους, θρέμματα, γῆν. ὁ δέ, ἐπιμήκεις στόλους ἀποπέμπει, συντάττει δυνάμεις, ἀντιμεθίσταται. τοιαῦτα καὶ τότε, καὶ πολλάκις πρός με Φίλιππος περὶ τἀνδρὸς ἔλεγεν, ἐν τῶν παρὰ τῆς τύχης χρηστῶν τιθέμενος, τὸ μὴ στρατηγεῖν τὸν Δημοσθένην. οὔτε γὰρ τοὺς λόγους ὥσπερ κεραυνούς, ἢ καταπέλτας Ἀθήνηθεν ὡρμωμένους, διαφεύγειν αὐτόν, ἢ καταράττειν τὰ βουλεύματα. περὶ μὲν τῆς Χαιρωνείας, οὐδὲ μετὰ τὴν νίκην ἐπαύετο πρὸς ἡμᾶς λέγων, εἰς ὅσον ἀνέρριψεν ἄνθρωπος ἡμᾶς κινδύνου κατέστησε. μὴ γὰρ εἰ παρ' ἐλπίδα, καὶ κακίᾳ στρατηγῶν, καὶ στρατιωτῶν ἀταξίᾳ, καὶ τῇ παραλόγῳ ῥοπῇ τῆς τύχης, τῇ

πολλά

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πολλὰ πολλάκις ἡμῖν συνειργασμένη, κεκρατήκαμεν. ἀλλ' ἐπὶ μιᾶς γε ταύτης ἡμέρας, τὸν περὶ τῆς ἀρχῆς, καὶ τῆς τύχης κίνδυνον ἐπέστησέ μοι, τὰς ἀρίστας πόλεις εἰς ἓν συναγαγών, καὶ πᾶσαν τὴν ἑλληνικὴν δύναμιν ἀθροίσας, Ἀθηναίους ἅμα, καὶ Θηβαίους, Βοιωτούς τε τοὺς ἄλλους, καὶ Κορινθίους, Εὐβοέας τε, καὶ Μεγαρέας, καὶ τὰ κράτιστα τῆς Ἑλλάδος διακινδυνεύειν καταναγκάσας, καὶ μηδ' εἴσω με τῆς Ἀττικῆς ἐπιτρέψας προελθεῖν. τοιοῦτοί τινες ἦσαν αὐτῷ συνεχεῖς περὶ Δημοσθένους οἱ λόγοι. ἢ πρός γε τοὺς λέγοντας, ὡς μέγαν ἔχοι τὸν Ἀθηναίων δῆμον ἀνταγωνιστὴν, ἐμοὶ δημοσθένης μόνος εἴπερ ἀνταγωνιστής. Ἀθηναῖοι δὲ, δημοσθένην οὐκ ἔχοντες, Αἰνιᾶνές εἰσι, καὶ Θετταλοί. ἢ πρέσβεις ὁπότε πρὸς τὰς πόλεις πέμποι, τῶν μὲν ἄλλων ῥητόρων, εἴ τινας ἡ τῶν Ἀθηναίων πόλις ἀντεπιστέλλοι, τῇ πρεσβείᾳ ῥᾷστα ἦν κεκρατηκώς. τοῦ δημοσθένους δ' ἀντιστάντος, μάτην εἶπεν ἂν ἐπρεσβεύσαμεν. οὐ γάρ ἐστι κατὰ τῶν δημοσθένους λόγων ἐπιστῆσαι τρόπαιον. ταῦτα ὁ Φίλιππος. ἢ μέντοι καὶ πάντως, ἔλαττον ἂν ἔχοντες, εἰ λάβοιμεν τοιοῦτον ἄνδρα. πρὸς Διὸς Ἀρχία, τί ποτε νομίζεις, βοῦν ἂν ἐπὶ σφαγὴν ἤγομεν, ἢ πολὺ μᾶλλον ἂν σύμβουλον περὶ τῶν ἑλ-

ληνικῶν πραγμάτων, καὶ τῆς ἀρχῆς πάσης ἐπι-
ούμεθα. φύσει μὲν γὰρ αὐτοῦ, καὶ κατ' ἀρχὰς
προσπεπόνθειν ἐξ αὐτῶν τῶν πολιτευμάτων. ἔτι
δὲ μᾶλλον Ἀριστοτέλει μάρτυρι. πρός τ' οὖν
τὸν Ἀλέξανδρον, καὶ πρὸς ἡμᾶς πράξειν, οὐδὲν
ἐπταίετο. τοσούτων ὄντων αὐτοῦ τῶν προσπεφοι-
τηκότων, μηδεὶς οὕτω πώποτε θαυμάσαι, με-
γέθους τε φύσεως, καὶ τῆς περὶ τὴν ἄσκησιν ἐγκρα-
τείας, καὶ βάρους, καὶ τάχους, καὶ παρρησίας, καὶ
καρτερίας. ὑμεῖς δέ ἔφη διανοεῖσθε ὡς ὑπὲρ
Εὐβούλου, καὶ Φρύνωνος, καὶ Φιλοκράτους, καὶ πει-
ρᾶσθε δώροις καὶ αὐτὸν ἀναπείθειν, ἄνθρωπον,
καὶ τὴν πατρῴαν οὐσίαν εἰς Ἀθηναίους, ἰδίᾳ τε
ροῖς δεηθεῖσι, καὶ δημοσίᾳ τῇ πόλει κατηνα-
λωκότα. διαμαρτάνοντες δέ, φοβήσειν οἴε-
σθε, πάλαι βεβουλευμένον τὴν ψυχὴν ὑποθεῖ-
ναι ταῖς τῆς πατρίδος ἀδήλοις τύχαις. καὶ καθα-
πτομένου τῶν πραττομένων ὑμῖν, ἀγανακτεῖ-
τε. ὅς οὐδὲ τὸν Ἀθηναίων δῆμον ὑποστέλλεται.
λέληθεν ὑμᾶς ἔφη, τῇ μὲν τῆς πατρίδος εὐνοίᾳ
πολιτευόμενος, αὐτοῦ δὲ τὴν πολιτείαν γυμνά-
σιον φιλοσοφίας προθέμενος. τὰ τοιαῦτα ὦ Ἀρ-
χία, ὑπὲρ ἐπιθυμιῶν αὐτοῦ συγγενόμενος, τήν
τε γνώμην, ἣν ἔχει περὶ τῶν παρόντων ἀκοῦ-
σαι λέγοντος, καὶ τῶν ἀεὶ παραπεπτωκότων ἡμῖν

κολά

κολακεύει ἐδεόμην, ἀπατώσας, ἁπλοῦ τινος
ἐξ ἐλευθέρας γνώμης ἀκοῦσαι λόγου, καὶ φι-
λαλήθους συμβουλῆς μεταλαβεῖν. καὶ τὸ
νουθετῆσαι δίκαιον, ὑπὲρ οἵων ὄντων Ἀθηναίων
τὴν ἀχαριστίαν, πάντα παραβάλλοιτο τὸν αὐτοῦ
βίον, δέον εὐγνωμονεστέροις, καὶ βεβαιοτέροις κε-
χρῆσθαι φίλοις. ὦ βασιλεῦ, τῶν μὲν ἄλλων,
ἴσως ἂν ἔτυχες. ταυτὶ δὲ, μάτην ἂν ἔλεγες.
οὕτω μανικῶς φιλαθήναιος ἦν. ταῦτα ὦ Ἀρ-
χία, τί γὰρ ἄν τις λέγοι μέν; ἀλλὰ πῶς ἀπέθα-
νεν; ἔοικας ἔτι μᾶλλον ὦ βασιλεῦ θαυμάσειν.
τὸ γὰρ ἡμεῖς οἱ τεθεαμένοι, διεφέρομεν οὐδὲν
ἐκπλήξει τε, καὶ ἀπιστίᾳ τῶν ὁρώντων. ἔοικε γὰρ
δὴ πάλαι ἄνωθεν βεβουλευμένος περὶ τῆς ὑστά-
της ἡμέρας. δηλοῖ δὲ ἡ παρασκευή. καθῆστο
μὲν γὰρ ἔνδον ἐν τῷ νεῷ. μάτην δὲ τῶν πρό-
σθεν ἡμερῶν λόγους ἤδη μὲν ἀναλωκότες. τίνες δὲ
ἦσαν οἱ παρ' ὑμῶν λόγοι. πολλὰ καὶ φιλάνθρω-
πα προὐτεινόμην, ἔλεόν τινα παρὰ σοῦ καθυ-
πισχνούμενος. οὐ μάλα μὲν προσδοκῶν. οὐ γὰρ
ἠπιστάμην. ἀλλὰ σὲ ᾤμην δι' ὀργῆς ἔχειν τὸν
ἄνθρωπον, χρήσιμον δ' οὖν πρὸς τὸ πείθειν νομί-
ζων. ὁ δὲ, πῶς προσίετο τοὺς λόγους, καί με
μηδὲν ἀποκρύψῃ. μάλιστα μὲν γὰρ αὐτήκοος
ἂν ἐβουλόμην παρὼν εἶναι νῦν. ἀλλὰ σύ γε μὴ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παραλίπῃς μηδέν. οὐ γάρ τι σμικρὸν ἔργον, ἦθος ἀνδρὸς γενναίου πρὸς αὐτῷ τῷ τέλει τοῦ βίου καταμαθεῖν. πότερον, ἄτονος, καὶ νωθρὸς ἦν, ἢ παντάπασιν ἀκλινὲς τὸ τῆς ψυχῆς ὄρθιον ἐφύλαττεν. οὐδὲν ὑπέπτηξεν ἐκεῖνος. πῶς γάρ; ὅς ἤδη γελάσας, καί με δὴ σκώπτων εἰς τὸν πρότερον βίον, ἀπίθανον ἔφη με ὑποκεῖσθαι τὴν ἐπὶ τῶν σῶν ψευσμάτων. ἀπιστήσας ἄρα τοῖς ἐπαγγέλμασι, προεῖτο τὴν ψυχήν. οὐκ, εἴ γε τῶν λοιπῶν ἀκούσειας, οὐ δόξει σοι μόνον ἀπιστεῖν. ἀλλ' ἐπεὶ κελεύεις ὦ βασιλεῦ λέγειν, Μακεδόσι μὲν εἶπεν οὐδὲν ἀπάμοτον, οὐδὲ παράδοξον, εἰ Δημοσθένην οὕτω λαμβάνουσιν, ὡς Ἀμφίπολιν, ὡς Ὄλυνθον, ὡς Ὠρωπόν. τοιαῦτα πολλὰ ἔλεγε. καὶ γὰρ τοὺς ὑπογραφέας παρεστήσαμεν, ἵνα σοι τὰ λεχθέντα σώζοιτο. ἐγὼ μέντοι ἔφη ὦ Ἀρχία, βασάνων, ἢ θανάτου φόβῳ κατ' ὄψιν οὐκ ἂν Ἀντιπάτρῳ γενοίμην. ἀλλ' εἰ ταῦτ' ἀληθεύετε, πολύ μοι μᾶλλον ἔτι φυλακτέον, μὴ τὴν ψυχὴν αὐτὴν παρ' Ἀντιπάτρου δεδωροδοκηκέναι, μηδ' ἣν ἐμαυτὸν ἔταξα τάξιν λιπὼν τὴν ἑλληνικὴν, εἰς τὴν μακεδονικὴν μεταβαλέσθαι. καλόν τι ὦ Ἀρχία, εἰ τὸ ζῆν ἐμοί, Πειραιεὺς αὐτὸ παρέχοι, καὶ τριήρης, ἣν ἐπιδέδωκα, καὶ τεῖχος, καὶ τάφρος τοῖς ἐμοῖς τέλε-

σιν

τὴν ἐξειργασμένα, καὶ φυλὴ Πανδιονὶς, εἰς ἣν ἐθελοντὴς ἐχωρήθην ἐγὼ, καὶ Σόλων, καὶ Δράκων, καὶ παῤῥησία βήματος, καὶ δῆμος ἐλεύθερος, καὶ ψηφίσματα στρατιωτικὰ, καὶ νόμοι τριηραρχικοὶ, αἱ προγόνων ἀρεταὶ, καὶ τρόπαια, καὶ πολιτῶν εὔνοια, τῶν ἐμὲ πολλάκις ἐστεφανωκότων, καὶ δύναμις Ἑλλήνων, τῶν ὑπ' ἐμοῦ μέχρι νῦν τετηρημένων. εἰ δὲ καὶ βιωθὲν ἐλεηθέντι, ταπεινὸν μὲν, ἀνεκτὸς δ' οὖν ὁ ἔλεος παρὰ τοῖς οἰκείοις, ὧν ἐλυσάμην αἰχμαλώτους, ἢ τοῖς πατράσιν, ὧν συνεξέδωκα τὰς θυγατέρας, ἢ οἷς τοὺς ἐράνους συνδιελυσάμην. εἰ δέ με μὴ σώζοι νήσων ἀρχὴ, καὶ θάλαττα, παρά τε πυρὸς τοῦ Ποσειδῶνος αὐτῷ οὖν σώζεσθαι, καὶ τοῦ δὲ τοῦ βωμοῦ, καὶ τῶν ἱερῶν νόμων. εἰ δὲ Ποσειδῶν ἔφη μὴ δύναται φυλάττειν τὴν ἀσυλίαν τοῦ νεὼ, μηδ' ἐπαισχύνεται προδοῦναι Δημοσθένην Ἀρχίᾳ, τεθναίην, οὐδὲ Ἀντίπατρος ἡμῖν ἀντὶ τοῦ θεοῦ κολακευτέος. ἐξῆν μοι φιλτέρους ἔχειν Ἀθηναίων Μακεδόνας, καὶ νῦν μετέχειν τῆς ὑμετέρας τύχης, εἰ μετὰ Καλλιμέδοντος, καὶ Πυθίου, καὶ Δημάδου συνεταττόμην. ἐξῆν γὰρ κἂν ὀψὲ τῆς ψυχῆς μεθαρμόσασθαι, εἰ μὴ τὰς Ἐρεχθέως θυγατέρας, καὶ τὸν Κόδρον ἐπῃσχυνόμην, οὐκοῦν ἡρούμην αὐτομολοῦντι τῷ δαίμονι συμ

μεταβάλλεσθαι. καλὸν γὰρ κρησφύγετον θάνατον ἐν ἀκινδύνῳ παντὸς αἰσχροῦ γενέσθαι. καὶ νῦν Ἀρχία, τοῦ κατ' ἐμαυτὸν οὐ καταισχυνῶ, τὰς Ἀθήνας ἑκὼν δουλείαν ἑλόμενος, ἐντάφιον δὲ τὸ κάλλιστον τὴν ἐλευθερίαν προϊέμενος. ἀλλὰ δίκαιον γὰρ ἔφη σοι τῶν τραγῳδιῶν μνημονεύειν. οὐ σεμνὸν τὸ λεχθέν, Ηδ' ἑ, καὶ θνήσκουσ' ὅμως,, πολλὴν πρόνοιαν εἶχεν εὐσχημόνως πεσεῖν. κόρη καὶ ταῦτα. Δημοσθένης δὲ, εὐσχήμονος θανάτου, βίον προκρινεῖ ἀσχήμονα, τῶν Ξενοκράτους, καὶ Πλάτωνος ὑπὲρ ἀθανασίας λόγων ἐκλαθόμενος; καί τινα πικρότερον ἔλεγε παροξυνθεὶς εἰς τοὺς ταῖς τύχαις ἐξυβρίζοντας. ἀλλὰ τί δεῖ λέγειν νῦν ἐμέ; τέλος δ' ἐμοῦ, τὰ μὲν, δεομένου, τὰ δ' ἀπειλοῦντος. ἁπαλὴν μοῦσαν στερρᾷ κεραννύντος, ἐπείσθην ἂν ἔφη τούρις Ἀρχίας ὤν. ἐπεὶ δὲ Δημοσθένης εἰμί, συγγίνωσκέ μοι ὦ δαιμόνιε, μὴ πεφυκότι κακῷ γενέσθαι. τότε δὴ τότε πρὸς βίαν αὐτὸν ἀποσπᾶν διενοούμην. ὁ δ' ὡς ᾔσθετο, δῆλος ἦν καταγελῶν. καὶ τὸν θεὸν προσβλέψας, ἔοικεν Ἀρχίας εἶπεν ὅπλα μόνα, καὶ τριήρεις, καὶ τείχη, καὶ στρατόπεδα, δυνάμεις εἶναι, καὶ κρησφύγετα, ταῖς ἀνθρωπίναις ψυχαῖς ὑπολαμβάνειν, τῆς δ' ἐμῆς παρασκευῆς, καταφρονεῖν. ἣν οὐκ ἂν ἐλέγξαιεν Ἰλλυριοί, καὶ

Τριβαλ

τείχη ἄλλοι, ὦ Μακεδόνες, ὀχυρώτερα, ἢ ξύ-
λινόν ποτε τεῖχος ἡμῖν, ὃ θεὸς ἀνεῖλεν ἀπόρ-
θητον εἶναι, μεθ' ἧς ἂν τῆς προνοίας, ἀδεῶς μὲν
ἐπολιτευσάμην, ἀδεὲς δέ μοι τὸ κατὰ Μακε-
δόνων θάρσος. ἐμέλησε δ' οὐδὲν οὐκ Εὐκτήμο-
νος, οὐκ Ἀριστογείτονος, οὐ Πυθέου, καὶ Καλλι-
μέδοντος, οὐ Φιλίππου τότε, οὐ τανῦν Ἀρχίου.
ταῦτ' εἰπών, μὴ προσαγάγῃς μοι τὴν χεῖρα ἔ-
χει τὸ κατ' ἐμὲ γάρ, οὐδὲν παράνομον ὁ νεὼς πεί-
σεται. τὸν δὲ θεὸν προσειπών, ἑκὼν ἕψομαι.
κἀγὼ μὲν ἦν ἐπὶ τῆς ἐλπίδος ταύτης. καὶ τὴν
χεῖρα τῷ στόματι προσαγαγόντος, οὐδὲν ἄλλ'
ἢ προσκυνεῖν ὑπελάμβανον. τὸ δέ, τί δή ποτε
ἦν; ὕστερον βασάνοις θεραπαίνης ἐφωράσαμεν,
πάλαι φάρμακον αὐτῷ πεταμιεῦσθαι, λύσιν
ψυχῆς ἀπὸ σώματος ἐλευθέριον κτώμενον.
οὔτε γὰρ ἔφθασεν ὑπερβὰς τὸν οὐδὸν τοῦ νεώ,
καὶ πρὸς ἐμὲ βλέψας, ἄπει δὴ ταύτην ἔφη πρὸς Ἀν-
τίπατρον. Δημοσθένην δ' οὐκ ἄξεις. οὐ μὰ τοὺς,
κἀμοὶ μὲν ἐφαίνετο προσθήσειν τοὺς ἐν Μαραθῶ-
νι πεπτωκότας. ὁ δὲ χαίρειν εἰπών, ἀπέπτη.
τοιοῦτό σοι τὸ τέλος ὦ βασιλεῦ τῆς Δημοσθένους πο-
λιορκίας κομίζειν ἔχω. Δημοσθένους γε καὶ ταῦ-
τα ὦ Ἀρχία. βαβαὶ τῆς ἀηττήτου ψυχῆς, καὶ μα-
καρίας, ὡς ἀνδρεῖον μὲν αὐτοῦ τὸ λῆμα, πολι



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πικὴ ἡ πρόνοια, μετὰ χεῖρα τὸ πιστὸν τῆς ἐλευθερίας ἔχειν. ἀλλ᾽ ὁ μὲν οἴχεται, βίον ἕξων τὸν ἐν μακάρων νήσοις ἡρώων λεγόμενον, εἰ τὰς εἰς οὐρανὸν ψυχῶν νομιζομένας ὁδοὺς, ὁ παλαιός τις δαίμων ἐσόμενος ἐλευθερίου Διός. τὸ σῶμα δ᾽ ἡμεῖς εἰς Ἀθήνας ἀποπέμψομεν, κάλλιον ἀνάθημα τῇ γῇ τῶν ἐν Μαραθῶνι πεπτωκότων.

## ΘΕΩΝ ΕΚΚΛΗΣΙΑ. ΖΕΥΣ.

Μηκέτι τονθορύζετε ὦ θεοί, μηδὲ κατὰ γωνίας συστρεφόμενοι, πρὸς οὖς ἀλλήλοις κοινολογεῖσθε, ἀγανακτοῦντες, εἰ πολλοὶ ἀνάξιοι μετέχουσιν ἡμῖν τοῦ συμποσίου. ἀλλ᾽ ἐπείπερ ἀποδέδοται περὶ τούτων ἐκκλησία, λεγέτω ἕκαστος ἐς τὸ φανερὸν τὰ δοκοῦντά οἱ, καὶ κατηγορείτω. σὺ δὲ κήρυττε ὦ Ἑρμῆ τὸ κήρυγμα τὸ ἐκ τοῦ νόμου. Ερ. ἄκουε. σίγα. τίς ἀγορεύειν βούλεται τῶν τελείων θεῶν, οἷς ἔξεστιν; ἡ δὲ σκέψις, περὶ τῶν μετοίκων, καὶ ξένων. Μω. ἐγὼ ὁ Μῶμος ὦ Ζεῦ, εἴ μοι ἐπιτρέψειας εἰπεῖν. Ζ. τὸ κήρυγμα ἤδη ἐφίησιν. ὥστε οὐδὲν ἐμοῦ δεήσει. Μω. Φημὶ τοίνυν δεινὰ ποιεῖν ἐνίους ἡμῶν, οἷς οὐκ ἀπόχρη θεοὺς ἐξ ἀνθρώπων αὐτοὺς γεγενῆσθαι. ἀλλ᾽ εἰ μὴ καὶ τοὺς ἀκολούθους, καὶ θεράποντας αὐτῶν ἰσοτίμους ἡμῖν ἀποφανοῦσιν, οὐδὲν μέγα, οὐδὲ νεανικὸν οἴονται εἰργάσθαι. ἀξιῶ δὲ ὦ Ζεῦ,

μετὰ

μετὰ παρρησίας μοι δοῦναι εἰπεῖν. οὐδὲ γὰρ ἂν ἄλλως δυναίμην. ἀλλὰ πάντες με ἴσασιν ὡς ἐλεύθερός εἰμι τὴν γλῶτταν, καὶ οὐδὲν ἂν κατασιωπήσαιμι τῶν οὐ καλῶς γιγνομένων. διελέγχω γὰρ ἅπαντα, καὶ λέγω τὰ δοκοῦντά μοι ἐς τὸ φανερὸν, οὔτε δεδιὼς τινα, οὔτε ὑπ᾽ αἰδοῦς ἐπικαλύπτων τὴν γνώμην. ὥστε καὶ ἐπαχθὴς δοκῶ τοῖς πολλοῖς, καὶ συκοφαντικὸς τὴν φύσιν, δημόσιός τις κατήγορος ὑπ᾽ αὐτῶν ἐπονομαζόμενος. πλὴν ἀλλ᾽ ἐπείπερ ἔξεστι, καὶ κεκήρυκται, καὶ σὺ ὦ Ζεῦ δίδως μετ᾽ ἐξουσίας εἰπεῖν, οὐδὲν ὑποστειλάμενος, ἐρῶ. πολλοὶ γάρ φημι οὐκ ἀγαπῶντες ὅτι αὐτοὶ μετέχουσι τῶν αὐτῶν ἡμῖν ξυνεδρίων, καὶ εὐωχοῦνται ἐπίσης, καὶ ταῦτα, θνητοὶ ἐξ ἡμισείας ὄντες, ἔτι καὶ τοὺς ὑπηρέτας, καὶ θιασώτας τοὺς αὑτῶν ἀνήγαγον ἐς τὸν οὐρανὸν, καὶ παρενέγραψαν. καὶ νῦν ἐπίσης διανομάς τε νέμονται, καὶ θυσιῶν μετέχουσιν, οὐδὲ καταβαλόντες ἡμῖν τὸ μετοίκιον. ΖΕ. μηδὲν αἰνιγματωδῶς ὦ Μῶμε, ἀλλὰ σαφῶς, καὶ διαρρήδην λέγε, προστιθεὶς καὶ τοὔνομα. νῦν γὰρ ἐς τὸ μέσον ἀπέρριπταί σοι ὁ λόγος, ὡς πολλοὺς εἰκάζειν, καὶ ἐφαρμόζειν ἄλλοτε ἄλλον τοῖς λεγομένοις. χρὴ δὲ παρρησιαστὴν ὄντα, μηδὲν ὀκνεῖν λέγειν. ΜΩ. εὖγε ὦ Ζεῦ, ὅτι καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

προσκρούσει μὲ πρὸς τὴν παῤῥησίαν. πολλοῖς γὰρ τοῦτο βασιλικὸν ὡς ἀληθῶς, καὶ μεγαλόφον. ὥστε ἐρῶ καὶ τοὔνομα. ὁ γάρ τοι γενναιότατος Διόνυσος, ἡμιάνθρωπος ὢν, οὐδὲ ἕλλην μητρόθεν, ἀλλὰ συροφοινικός τινος ἐμπόρου, τοῦ Κάδμου θυγατριδοῦς, ἐπεὶ περ ἠξιώθη τῆς ἀθανασίας, οἷος μὲν αὐτός ἐστιν, οὐ λέγω, οὔτε τὴν μίτραν, οὔτε τὴν μέθην, οὔτε τὸ βάδισμα. πάντες γὰρ οἶμαι ὁρᾶτε ὡς θῆλυς, καὶ γυναικεῖος τὴν φύσιν, ἡμιμανὴς, ἀκράτου ἕωθεν ἀποπνέων. ὁ δὲ, καὶ ὅλην φατρίαν εἰσεποίησεν ἡμῖν, καὶ τὸν χορὸν ἐπαγόμενος πάρεστι, καὶ θεοὺς ἀπέφηνε, τὸν Πᾶνα, καὶ τὸν Σιληνὸν, καὶ σατύρους, ἀγροίκους τινὰς, καὶ αἰπόλους τοὺς πολλοὺς, σκιρτητικοὺς ἀνθρώπους, καὶ τὰς μορφὰς ἀλλοκότους. ὧν ὁ μὲν, κέρατα ἔχων, καὶ ὅσον ἐξ ἡμισείας ἐς τὸ κάτω αἰγὶ ἐοικὼς, καὶ γένειον βαθὺ καθειμένος, ὀλίγον τράγου διαφέρων ἐστίν. ὁ δὲ, φαλακρὸς γέρων, σιμὸς τὴν ῥῖνα, ἐπὶ ὄνου τὰ πολλὰ ὀχούμενος, λυδὸς οὗτος. οἱ δὲ σάτυροι, ὀξεῖς τὰ ὦτα, καὶ αὐτοὶ φαλακροὶ, κεράσται, οἷα τοῖς ἄρτι γεννηθεῖσιν ἐρίφοις τὰ κέρατα ὑποφύεται, φρύγες τινὲς ὄντες. ἔχουσι δὲ καὶ οὐρὰς ἅπαντες. ὁρᾶτε οἵους ἡμῖν θεοὺς ποιεῖ ὁ γεννάδας; εἶτα θαυμάζομεν, εἰ καταφρονοῦσιν ἡμῶν οἱ ἄνθρωποι, ὁρῶντες οὔ

τω

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοὺς γελοίους θεοὺς καὶ τερατίους; ἐῶ γὰρ λέγειν, ὅτι καὶ δύο γυναῖκας ἀνήγαγε, τὴν μὲν, ἐρωμένην οὖσαν αὐτοῦ, τὴν Ἀριάδνην. ἧς καὶ τὸν στέφανον ἐγκατέλεξε τῷ τῶν ἀστέρων χορῷ. τὴν δὲ Ἰκαρίου τοῦ γεωργοῦ θυγατέρα. καὶ ὃ πάντων γελοιότατον ὦ θεοί, καὶ τὴν κύνα τῆς Ἠριγόνης, καὶ ταύτην ἀνήγαγεν, ὡς μὴ ἀνιῷτο ἡ παῖς, εἰ μὴ ἕξει ἐν τῷ οὐρανῷ τὸ ξύνηθες ἐκεῖνο, καὶ ὅπερ ἠγάπα κυνίδιον. ταῦτα οὐχ ὕβρις ὑμῖν δοκεῖ, καὶ παροινία, καὶ γέλως; ἀκούσατε δ' οὖν καὶ ἄλλους. Ζ. μηδὲν ὦ Μῶμε εἴπῃς, μήτε περὶ Ἀσκληπιοῦ, μήτε περὶ Ἡρακλέους. ὁρῶ γὰρ οἷ φέρῃ τῷ λόγῳ. οὗτοι γὰρ, ὁ μὲν αὐτῶν, ἰᾶται, καὶ ἀνίστησιν ἐκ τῶν νόσων, καὶ ἔστι πολλῶν ἀντάξιος ἄλλων. ὁ δ' Ἡρακλῆς, υἱὸς ὢν ἐμὸς, οὐκ ὀλίγων πόνων ἐπρίατο τὴν ἀθανασίαν. ὥστε μὴ κατηγόρει αὐτῶν. Μῶ. σιωπήσομαι διὰ σὲ ὦ Ζεῦ, πολλὰ εἰπεῖν ἔχων. καίτοι εἰ μηδὲν ἄλλο ἔτι τὰ σημεῖα ἔχουσι τοῦ πυρός. εἰ δὲ ἐξῆν καὶ πρὸς αὐτόν σε τῇ παρρησίᾳ χρῆσθαι, πολλὰ ἂν εἶχον εἰπεῖν. Ζ. καὶ μὴν πρὸς ἐμὲ ἔξεστι μάλιστα. μῶν δ' οὖν κἀμὲ ξενίας διώκεις; Μῶ. ἐν Κρήτῃ μὲν οὐ μόνον τοῦτο ἀκοῦσαι ἔστιν, ἀλλὰ καὶ ἄλλο τι περὶ σοῦ λέγουσι, καὶ τάφον ἐπιδεικνύουσιν. ἐγὼ δὲ οὔτε ἐκείνοις πείθομαι, οὔτε Ἀχαιῶν αἰγιεῦσιν, ὑποβολιμαῖόν σε φά-

φάσκοντων. ἃ δὲ μάλιστα ἐλεγχθῆναι δεῖν ἡγοῦμαι, ταῦτα ἐρῶ. τὴν γὰρ ἀρχὴν τῶν τοιούτων παρανομημάτων, καὶ τὴν αἰτίαν τοῦ νοθευθῆναι ἡμῶν τὸ ξυνέδριον, σὺ ὦ Ζεῦ παρέσχες, θνηταῖς ἐπιμιγνύμενος, καὶ κατιὼν παρ' αὐτάς, ἐν ἄλλοτε ἄλλῳ σχήματι. ὥστε ἡμᾶς δεδιέναι, μή σε καταθύσῃ τις ξυλλαβών, ὁπότ' ἂν ταῦρος ᾖς, ἢ τῶν χρυσοχόων τις κατεργάσηται χρυσὸν ὄντα. καὶ ἀντὶ Διὸς, ἢ ὅρμος, ἢ ψέλλιον, ἢ ἐλλόβιον ἡμῖν γένῃ. πλὴν, ἀλλὰ ἐμπεπλήκας τὸν οὐρανὸν τῶν ἡμιθέων τούτων. οὐ γὰρ ἂν ἄλλως εἴποιμι. καὶ τὸ πρᾶγμα γελοιότατόν ἐστιν, ὁπότ' ἄν τις ἄφνω ἀκούσῃ ὅτι Ἡρακλῆς μὲν, θεὸς ἀπεδείχθη. ὁ δὲ Εὐρυσθεὺς, ὃς ἐπέταττεν αὐτῷ, τέθνηκε. καὶ πλησίον Ἡρακλέους νεὼς, οἰκέτου ὄντος, καὶ Εὐρυσθέως τάφος, τοῦ δεσπότου αὐτοῦ. καὶ πάλιν ἐν Θήβαις, Διόνυσος μὲν, θεός. οἱ δ' ἀνεψιοὶ αὐτοῦ, ὁ Πενθεὺς, καὶ ὁ Ἀκταίων, καὶ ὁ Λέαρχος, ἀνθρώπων ἁπάντων κακοδαιμονέστατοι. ἀφ' οὗ γὰρ ἅπαξ σὺ ὦ Ζεῦ ἀνέῳξας τοῖς τοιούτοις τὰς θύρας, καὶ ἐπὶ τὰς θνητὰς ἐτράπου, ἅπαντες μεμίμηνταί σε. καὶ οὐχὶ ἄρρενες μόνον, ἀλλ' ὅπερ αἴσχιστον, καὶ αἱ θήλειαι θεαί. τίς γὰρ οὐκ οἶδε τὸν Ἀγχίσην, καὶ τὸν Τιθωνὸν, καὶ τὸν Ἐνδυμίωνα, καὶ τὸν Ἰάσωνα, καὶ τοὺς ἄλλους.

ὥστε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὥστε ταῦτα μὲν ἐάσειν μοι δοκῶ. μακρὸν γὰρ ἂν τὸ διελέγχειν γένοιτο. Ζ. μηδὲν περὶ τοῦ Γανυμήδους ὦ Μῶμε εἴπῃς. χαλεπανῶ γὰρ, εἰ λυπήσεις τὸ μειράκιον, ὀνειδίσας ἐς τὸ γένος. Μω. οὐκοῦν μηδὲ περὶ τοῦ ἀετοῦ εἴπω, ὅτι καὶ οὗτος ἐν τῷ οὐρανῷ ἐστιν, ἐπὶ τοῦ βασιλείου σκήπτρου καθεζόμενος, καὶ μονονουχὶ ἐπὶ τὴν κεφαλήν σου νεοττεύων, θεὸς εἶναι δοκῶν; ἢ καὶ τοῦτον τοῦ Γανυμήδους ἕνεκα ἐάσομεν. ἀλλ' ὁ Ἄττις γε ὦ Ζεῦ, καὶ ὁ Κορύβας, καὶ ὁ Σαβάζιος, πόθεν ἡμῖν ἐπεισεκυκλήθησαν οὗτοι. ἢ ὁ Μίθρης ἐκεῖνος ὁ Μῆδος, ὁ τὸν κάνδυν, καὶ τὴν τιάραν, οὐδὲ ἑλληνίζων τῇ φωνῇ. ὥστε οὐδ' ἢν προπίῃ τίς, ξυνίησι, τοιγαροῦν οἱ Σκύθαι, καὶ οἱ Γέται ταῦτα ὁρῶντες αὐτῶν; μακρὰ ἡμῖν χαίρειν εἰπόντες, αὐτοὶ ἀπαθανατίζουσι, καὶ θεοὺς χειροτονοῦσιν, οὓς ἂν ἐθελήσωσι, τὸν αὐτὸν τρόπον, ὅνπερ καὶ Ζάμολξις δοῦλος ὢν, παρενεγράφη, οὐκ οἶδ' ὅπως διαλαθών. καίτοι ταῦτα πάντα ὦ θεοὶ, μέτρια. σὺ δὲ ὦ κυνοπρόσωπε, καὶ σινδόσιν ἐσταλμένε αἰγύπτιε, τίς εἶ ὦ βέλτιστε, ἢ πῶς ἀξιοῖς θεὸς εἶναι ὑλακτῶν; τί δὲ βουλόμενος καὶ ὁ μεμφίτης οὗτος ταῦρος, ὁ ποικίλος, προσκυνεῖται, καὶ χρᾷ, καὶ προφήτας ἔχει; αἰσχύνομαι γὰρ ἴβιδας, καὶ πιθήκους εἰπεῖν, καὶ τράγους, καὶ ἄλλα πολλῷ

γελοιότερα, οὐκ οἶδ' ὅπως ἐξ Αἰγύπτου παρα-
βυσθέντα ἐς τὸν οὐρανόν. ἃ ὑμεῖς ὦ θεοί, πῶς ἀ-
νέχεσθε ὁρῶντες ἐπίσης, ἢ καὶ μᾶλλον ὑμῶν προ-
σκυνούμενα; ἢ σὺ ὦ Ζεῦ, πῶς φέρεις, ἐπειδὰν
κριοῦ κέρατα φύσωσί σοι; Ζ. αἰσχρὰ ὡς ἀλη-
θῶς ταῦτα φὴς τὰ περὶ τῶν Αἰγυπτίων. ὅ-
μως δ' οὖν ὦ Μῶμε, τὰ πολλὰ αὐτῶν, αἰνίγματά
ἐστι, καὶ οὐ πάνυ χρὴ καταγελᾶν ἀμυή-
τον ὄντα. Μῶ. πάνυ γοῦν μυστηρίων ὦ Ζεῦ δεῖ ἡ-
μῖν, ὡς εἰδέναι, θεοὺς μέν, τοὺς θεούς, κυνοκεφά-
λους δὲ, τοὺς κυνοκεφάλους. Ζ. ἔα φημὶ τὰ περὶ τῶν
Αἰγυπτίων. ἄλλοτε γὰρ περὶ τούτων ἐπισκεψό-
μεθα ἐπὶ σχολῆς. σὺ δὲ τοὺς ἄλλους λέγε. Μῶ.
τὸν Τροφώνιον ὦ Ζεῦ, καὶ ὃ μάλιστά με ἀποπνίγει,
τὸν Ἀμφίλοχον. ὅς ἐναγοῦς ἀνθρώπου, καὶ μη-
τραλοίου υἱὸς ὢν θεσπιῳδεῖ ὁ γενναῖος ἐν Κι-
λικίᾳ, ψευδόμενος τὰ πολλά, καὶ γοητεύων
τοῖν δυοῖν ὀβολοῖν ἕνεκα. τοιγαροῦν οὐκέτι σὺ ὦ
Ἄπολλον εὐδοκιμεῖς, ἀλλὰ ἤδη πᾶς λίθος, καὶ
πᾶς βωμὸς χρησμῳδεῖ, ὃς ἂν ἐλαίῳ περιχυ-
θῇ, καὶ στεφάνους ἔχῃ, καὶ γόητος ἀνδρὸς εὐπορή-
σῃ, οἷοι πολλοί εἰσιν. ἤδη καὶ ὁ Πολυδάμαντος τοῦ
ἀθλητοῦ ἀνδριάς, ἰᾶται τοὺς πυρέττοντας ἐν Ὀλυμ-
πίᾳ. καὶ ὁ Θεαγένους ἐν Θάσῳ. καὶ Ἕκτορι θύουσιν
ἐν Ἰλίῳ, καὶ Πρωτεσιλάῳ καταντικρὺ ἐν Χερ-

ῥονήσῳ

γονήσω. ἀφ' οὗ δ' οὖν τοσοῦτοι γεγόναμεν, ἐπιδέ-
δωκε μᾶλλον ἡ ἐπιορκία, καὶ ἱεροσυλία. καὶ ὅλως,
καταπεφρονήκασιν ἡμῶν, εὖ ποιοῦντες. καὶ ταῦ-
τα μὲν περὶ τῶν νόθων, καὶ παρεγγράπτων. ἐγὼ
δὲ καὶ ξένα ὀνόματα πολλὰ ἤδη ἀκούων, οὔτε ὄν-
των τινῶν παρ' ἡμῖν, οὔτε συστῆναι ὅλως δυνα-
μένων, πάνυ ὦ Ζεῦ, καὶ ἐπὶ τούτοις γελῶ. ἢ ποῦ γάρ
ἐστιν ἡ πολυθρύλητος ἀρετή, καὶ φύσις, καὶ εἱμαρ-
μένη, καὶ τύχη, ἀνυπόστατα, καὶ κενὰ πραγμά-
των ὀνόματα, ὑπὸ βλακῶν ἀνθρώπων τῶν φι-
λοσόφων ἐπινοηθέντα. καὶ ὅμως αὐτοσχέδια
ὄντα, οὕτω τοὺς ἀνοήτους πέπεικεν, ὥστε οὐ-
δεὶς ἡμῖν οὐδὲ θύειν βούλεται, εἰδὼς ὅτι κἂν
μυρίας ἑκατόμβας παραστήσῃ, ὅμως τὴν τύ-
χην πράξουσαν τὰ μεμοιραμένα, καὶ ἃ ἐξ ἀρχῆς
ἑκάστῳ ἐπεκλώσθη. ἡδέως ἂν οὖν ἐροίμην σε ὦ
Ζεῦ, εἴ που εἶδες ἢ ἀρετὴν, ἢ φύσιν, ἢ εἱμαρμέ-
νην. ὅτι μὲν γὰρ καὶ σὺ ἀκούεις ἐν ταῖς τῶν φιλοσό-
φων διατριβαῖς, οἶδα, εἰ μὴ καὶ κωφός τις εἶ, ὡς
βοώντων αὐτῶν, μὴ ἐπαΐειν. πολλὰ ἔτι ἔχων
εἰπεῖν καταπαύσω τὸν λόγον. ὁρῶ γοῦν τοὺς
πολλοὺς ἀχθομένους μοι λέγοντι, καὶ συρίτ-
τοντας. ἐκείνους μάλιστα, ὧν καθήψατο ἡ παρ-
ρησία τῶν λόγων. πέρας γοῦν εἰ ἐθέλεις ὦ Ζεῦ,
ψήφισμά τι περὶ τούτων ἀναγνώσομαι ἤδη ξυγ-

γεγραμμένον. Ζ. ἀνάγνωθι. οὐ πάντα γὰρ ἀλόγως ἠτιάσω. καὶ δεῖ τὰ πολλὰ αὐτῶν ἐπισχεῖν, ὡς μὴ ἐπὶ πλεῖον ἂν γίνηται.

ΨΗΦΙΣΜΑ ΑΓΑΘΗ ΤΥΧΗ.

Ἐκκλησίας ἐννόμου ἀγομένης, ἑβδόμῃ ἱσταμένου, ὁ Ζεὺς ἐπρυτάνευε, καὶ προήδρευε Ποσειδῶν. ἐπεστάτει Ἀπόλλων. ἐγραμμάτευε Μῶμος ὁ νυκτός. καὶ ὁ ὕπνος τὴν γνώμην εἶπεν. Ἐπειδὴ πολλοὶ τῶν ξένων, οὐ μόνον Ἕλληνες, ἀλλὰ καὶ βάρβαροι, οὐδαμῶς ἄξιοι ὄντες κοινωνεῖν ἡμῖν τῆς πολιτείας παρεγγραφέντες, οὐκ οἶδ᾽ ὅπως, καὶ θεοὶ δόξαντες, ἐμπεπλήκασι μὲν τὸν οὐρανόν, ὡς μεστὸν εἶναι τὸ συμπόσιον ὄχλου ταραχώδους, πολυγλώσσων τινῶν, καὶ ξυγκλύδων, ἐπιλέλοιπε δὲ ἡ ἀμβροσία, καὶ τὸ νέκταρ, ὥστε μνᾶς ἤδη τὴν κοτύλην εἶναι, διὰ τὸ πλῆθος τῶν πινόντων, οἱ δὲ, ὑπὸ αὐθαδείας παρωσάμενοι τοὺς παλαιούς τε, καὶ ἀληθεῖς θεοὺς, προεδρίας ἠξιώκασιν ἑαυτοὺς παρὰ πάντα τὰ πάτρια, καὶ ἐν τῇ γῇ προτιμᾶσθαι θέλουσι, δεδόχθω τῇ βουλῇ, καὶ τῷ δήμῳ ξυλλεγῆναι μὲν ἐκκλησίαν ἐν τῷ ὀλύμπῳ περὶ τροπὰς χειμερινάς, ἑλέσθαι δὲ ἐπιγνώμονας τελείους θεοὺς ἑπτά, τρεῖς μὲν, ἐκ τῆς παλαιᾶς βουλῆς τῆς ἐπὶ Κρόνου, τέτταρας δὲ, ἐκ τῶν δώδεκα. καὶ ἐν αὐ-

τοῖς

ρῖς, τὸν Δία. τούτους δὲ τοὺς ἐπιγνώμονας, αὐτοὺς μὲν, καθίζεσθαι ὀμόσαντας τὸν νόμιμον ὅρκον, τὴν Στύγα. τὸν Ἑρμῆν δὲ, κηρύξαντα ξυναγαγεῖν ἅπαντας, ὅσοι ἀξιοῦσι ξυντελεῖν εἰς τὸ συνέδριον. τοὺς δὲ, ἥκειν, μάρτυρας ἐπαγομένους ἐνωμότους, καὶ ἀποδείξεις τοῦ γένους. τοὐντεῦθεν δὲ, οἱ μὲν, παρίτωσαν καθ' ἕνα, οἱ δὲ, ἐπιγνώμονες ἐξετάζοντες, ἢ θεοὺς εἶναι ἀποφανοῦνται, ἢ καταπέμψουσιν ἐπὶ τὰ σφέτερα ἠρία, καὶ τὰς θήκας τὰς προγονικάς. ἢν δέ τις ἁλῷ τῶν ἀδοκίμων, καὶ ἅπαξ ὑπὸ τῶν ἐπιγνωμόνων ἐκκριθεὶς ἐπιβαίνων τοῦ οὐρανοῦ, ἐς τὸν τάρταρον ἐμπεσεῖν τοῦτον. ἐργάζεσθαι δὲ τὰ αὑτοῦ ἕκαστον. καὶ μήτε τὴν Ἀθηνᾶν ἰᾶσθαι, μήτε τὸν Ἀσκληπιὸν χρησμῳδεῖν, μήτε τὸν Ἀπόλλω τοσαῦτα μόνον ποιεῖν, ἀλλ' ἕν τι ἐπιλεξάμενον, μάντιν, ἢ κιθαρῳδὸν, ἢ ἰατρὸν εἶναι. τοῖς δὲ φιλοσόφοις προειπεῖν μὴ ἀναπλάττειν καινὰ ὀνόματα, μηδὲ ληρεῖν περὶ ὧν οὐκ ἴσασιν. ὁπόσοι δὲ ἤδη ναῶν, ἢ θυσιῶν ἠξιώθησαν, ἐκείνων μὲν καθαιρεθῆναι τὰ ἀγάλματα, ἐντεθῆναι δὲ ἢ Διὸς, ἢ Ἥρας, ἢ Ἀπόλλωνος, ἢ τῶν ἄλλων τινὸς, ἐκείνοις δὲ, τάφον χῶσαι τὴν πόλιν, καὶ στήλην ἐπιστῆσαι ἀντὶ βωμοῦ. ἢν δέ τις παρακούσῃ τοῦ κηρύγματος, καὶ μὴ ἐθελήσῃ ἐπὶ τοὺς ἐπιγνώ-

μονας ἐλθεῖν, ἐρήμην αὐτοῦ καταδιαιτησάντων. Ζ. τοῦτο μὲν ἡμῖν τὸ ψήφισμα, δικαιότατον ὦ Μῶμε, καὶ ὅτῳ δοκεῖ, ἀνατεινάτω τὴν χεῖρα. μᾶλλον δὲ οὕτω γινέσθω. πλείους γὰρ οἶδ᾽ ὅτι ἔσονται οἱ μὴ χειροτονήσοντες. ἀλλὰ νῦν μὲν, ἄπιτε. ὁπόταν δὲ κηρύξῃ ὁ Ἑρμῆς, ἥκετε, κομίζοντες ἕκαστος ἐναργῆ τὰ γνωρίσματα, καὶ σαφεῖς τὰς ἀποδείξεις, πατρὸς ὄνομα, καὶ μητρὸς, καὶ ὅθεν, καὶ ὅπως θεὸς ἐγένετο, καὶ φυλὴν, καὶ φράτορας. ὡς ὅστις ἂν μὴ παράσχηται, οὐδὲν μελήσει τοῖς ἐπιγνώμοσιν, εἰ νεὼν τις μέγαν ὧδε γῆς ἔχει, καὶ εἰ οἱ ἄνθρωποι θεὸν αὐτὸν εἶναι νομίζουσιν.

### Οἱ ἑξῆς δύο διάλογοι, τῶν διαλόγων εἰσὶ τῶν θεῶν.

### ΖΕΥΣ, ΚΑΙ ΗΛΙΟΣ. ΖΕΥΣ.

Οἷα πεποίηκας ὦ Τιτάνων κάκιστε. ἀπολώλεκας τὰ ἐν τῇ γῇ ἅπαντα, μειρακίῳ ἀνοήτῳ πιστεύσας τὸ ἅρμα. ὃς τὰ μὲν, κατέφλεξε, πρόσγειος ἐνεχθείς. τὰ δὲ, ὑπὸ κρύους διαφθαρῆναι ἐποίησε, πολὺ αὐτῶν ἀποσπάσας τὸ πῦρ. καὶ ὅλως, οὐδὲν ὅ, τι οὐ ξυνετάραξε, καὶ ξυνέχεε. καὶ εἰ μὴ ἐγὼ ξυνεὶς τὸ γινόμενον, κατέβαλον αὐτὸν τῷ κεραυνῷ, οὐδὲ λείψανον ἀνθρώπων ἐπέμεινεν ἄν. τοιοῦτον ἡμῖν τὸν καλὸν

ἡνίοχον, καὶ διφρηλάτην ἐκπέπομφας.

ΗΛΙ. ἥμαρτον ὦ Ζεῦ. ἀλλὰ μὴ χαλέπαινε, εἰ ἐπείσθην υἱῷ πολλὰ ἱκετεύοντι. πόθεν γὰρ ἂν καὶ ἤλπισα τηλικοῦτον γενήσεσθαι κακόν; Ζ. οὐκ ᾔδεις ὅσης ἐδεῖτο ἀκριβείας τὸ πρᾶγμα, καὶ ὡς εἰ βραχύ τις ἐκβαίη τῆς ὁδοῦ, οἴχεται πάντα; ἠγνόεις δὲ καὶ τῶν ἵππων τὸν θυμὸν, ὡς δεῖ συνέχειν ἀνάγκῃ τὸν χαλινόν; εἰ γὰρ ἐνδοίη τις, ἀφηνιάζουσιν εὐθύς. ὥσπερ ἀμέλει καὶ τοῦτον ἐξήνεγκαν, ἄρτι μὲν, ἐπὶ τὰ λαιά. μετ' ὀλίγον δὲ, ἐπὶ τὰ δεξιά. καὶ ἐς τὸ ἐναντίον τοῦ δρόμου ἐνίοτε, καὶ ἄνω, καὶ κάτω ὅλως, ἔνθα ἐβούλοντο αὐτοί. ὁ δὲ, οὐκ εἶχεν ὅ, τι χρήσαιτο αὐτοῖς. ΗΛΙ. ταῦτα μὲν πάντα ἠπιστάμην, καὶ διὰ τοῦτο ἀντεῖχον ἐπὶ πολὺ, καὶ οὐκ ἐπίστευον αὐτῷ τὴν ἔλασιν. ἐπεὶ δὲ κατελιπάρησε δακρύων, καὶ ἡ μήτηρ Κλυμένη μετ' αὐτοῦ, ἀναβιβασάμενος ἐπὶ τὸ ἅρμα, ὑπεθέμην ὅπως μὲν χρὴ βεβηκέναι αὐτὸν, ἐφ' ὁπόσον δὲ ἐς τὸ ἄνω ἀφέντα, ὑπερενεχθῆναι. εἶτα ἐς τὸ κάταντες αὖθις ἐπινεύειν, καὶ ὡς ἐγκρατῆ εἶναι τῶν ἡνιῶν, καὶ μὴ ἐφιέναι τῷ θυμῷ τῶν ἵππων. εἶπον δὲ καὶ ἡλίκος ὁ κίνδυνος, εἰ μὴ ὀρθὴν ἐλαύνοι. ὁ δὲ, παῖς γὰρ ἦν, ἐπιβὰς τοσούτου πυρὸς, καὶ ἐπικύψας ἐς

βάθος ἀχανὲς, ἐξετράπη, ὡς τὸ εἰκός. οἱ δὲ ἵπποι, ὡς ᾔσθοντο οὐκ ὄντα ἐμὲ τὸν ἐπιβεβηκότα, καταφρονήσαντες τοῦ μειρακίου, ἐξετράποντο τῆς ὁδοῦ, καὶ τὰ δεινὰ ταῦτα ἐποίησαν. ὁ δὲ, τὰς ἡνίας ἀφεὶς, οἶμαι δεδιὼς μὴ ἐκπέσῃ, αὐτὸς εἴχετο τῆς ἄντυγος. ἀλλὰ ἐκεῖνός τε ἤδη ἔχει τὴν δίκην, κἀμοὶ ὦ Ζεῦ, ἱκανὸν τὸ πένθος. Ζ. ἱκανὸν λέγεις, τοιαῦτα τολμήσας; νῦν μὲν οὖν συγγνώμην ἀπονέμω σοι. ἐς δὲ τὸ λοιπὸν ἤν τι ὅμοιον παρανομήσῃς, ἤ τινα τοιοῦτον σεαυτοῦ διάδοχον ἐκπέμψῃς, αὐτίκα εἴσῃ ὁπόσον τοῦ σοῦ πυρὸς ὁ κεραυνὸς πυρωδέστερος. ὥστ' ἐκεῖνον μὲν, αἱ ἀδελφαὶ θαπτέτωσαν ἐπὶ τῷ Ἠριδανῷ, ἵναπερ ἔπεσεν ἐκδιφρευθεὶς, ἤλεκτρον ἐπ' αὐτῷ δακρύουσαι. καὶ αἴγειροι γενέσθωσαν ἐπὶ τῷ πάθει. σὺ δὲ, συμπηξάμενος τὸ ἅρμα, κατέαγε γὰρ καὶ ὁ ῥυμὸς αὐτοῦ, καὶ ἅτερος τῶν τροχῶν συντέτριπται, ἔλαυνε, ὑπαγαγὼν τοὺς ἵππους. ἀλλὰ μέμνησο τούτων ἁπάντων.

## ΑΠΟΛΛΩΝ, ΚΑΙ ΕΡΜΗΣ.

Ἔχεις μοι εἰπεῖν ὦ Ἑρμῆ, πότερος ὁ Κάστωρ ἐστὶ τούτων, ἢ πότερος ὁ Πολυδεύκης; ἐγὼ γὰρ οὐκ ἂν διακρίναιμι αὐτούς. Ερ. ὁ μὲν χθὲς ἡμῖν ξυγγενόμενος, ἐκεῖνος Κάστωρ ἦν, οὗτος δὲ, Πολυδεύκης. Απ.

πῶς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πῶς διαγινώσκεις; ὅμοιοι γάρ. Ερ. ὅτι οὗτος μὲν ὦ Ἄπολλον, ἔχει ἐπὶ τοῦ προσώπου τὰ ἴχνη τῶν τραυμάτων, ἃ ἔλαβε παρὰ τῶν ἀνταγωνιστῶν πυκτεύων. καὶ μάλιστα ὁπόσα ὑπὸ τοῦ Βέβρυκος Ἀμύκου ἐτρώθη, τῷ Ἰάσονι συμπλέων. ἅτερος δὲ, οὐδὲν τοιοῦτον ἐμφαίνει, ἀλλὰ καθαρός ἐστι, καὶ ἀπαθὴς τὸ πρόσωπον. Απο. ὤνησας, διδάξας τὰ γνωρίσματα. ἐπεὶ τάγε ἄλλα πάντα, ἴσα, τοῦ ᾠοῦ τὸ ἡμίτομον, καὶ ἀστὴρ ὑπεράνω, καὶ ἀκόντιον ἐν τῇ χειρὶ, καὶ ἵππος ἑκατέρῳ λευκός. ὥστε πολλάκις ἐγὼ τὸν μὲν, προσεῖπον Κάστορα, Πολυδεύκην ὄντα. τὸν δὲ, τῷ τοῦ Πολυδεύκους ὀνόματι. ἀτὰρ εἰπέ μοι καὶ τόδε, τί δήποτε οὐκ ἄμφω ξύνεισιν ἡμῖν, ἀλλ᾽ ἐξ ἡμισείας, ἄρτι μὲν, νεκρὸς, ἄρτι δὲ, θεός ἐστιν ἅτερος αὐτῶν, Ερ. ὑπὸ φιλαδελφίας τοῦτο ποιοῦσιν, ἐπεὶ γὰρ ἔδει ἕνα μὲν τεθνάναι τῶν Λήδας υἱέων. ἕνα δὲ ἀθάνατον εἶναι, ἐνείμαντο οὕτως αὐτοὶ τὴν ἀθανασίαν. Απο. οὐ ξυνετὴν ὦ Ἑρμῆ τὴν νομὴν, εἴγε οὐδὲ ὄψονται οὕτως ἀλλήλους, ὅπερ ἐπόθουν οἶμαι μάλιστα. πῶς γὰρ, ὁ μὲν, παρὰ θεοῖς, ὁ δὲ, παρὰ τοῖς φθιτοῖς ὤν; πλὴν ἀλλὰ ὥσπερ ἐγὼ μαντεύομαι, ὁ δὲ Ἀσκληπιὸς ἰᾶται, σὺ δὲ παλαίειν διδάσκεις, παιδοτρίβης ἄριστος ὤν. ἡ δὲ Ἄρτεμις, μαιεύεται,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τῶν ἄλλων ἕκαστος ἔχει τινὰ τέχνην, ἢ θεοῖς, ἢ ἀνθρώποις χρησίμην. οὗτοι δὲ, τί ποιήσουσιν ἡμῖν, ἢ ἀργοὶ εὐωχήσονται τηλικοῦτοι ὄντες; Ερ. οὐδαμῶς. ἀλλὰ προστέτακται αὐτοῖν ὑπηρετεῖν τῷ Ποσειδῶνι. καὶ καθιππεύειν δεῖ τὸ πέλαγος. καὶ ἄν που ναύτας χειμαζομένους ἴδωσιν, ἐπικαθίσαντας ἐπὶ τὸ πλοῖον, σώζειν τοὺς ἐμπλέοντας. Από. ἀγαθὴν ὦ Ἑρμῆ, καὶ σωτήριον λέγεις τὴν τέχνην.

## ΚΥΝΙΚΟΣ, ΚΑΙ ΛΥΚΙΝΟΣ.

Τί ποτε ὦ οὗτος, πώγωνα μὲν ἔχεις, καὶ κόμην, χιτῶνα δὲ οὐκ ἔχεις, καὶ γυμνοδερκῆ, καὶ ἀνυποδητεῖς, τὸν ἀλήτην, καὶ ἀπάνθρωπον βίον, καὶ θηριώδη ἐπιλεξάμενος, καὶ ἀεὶ τοῖς ἐναντίοις τὸ ἴδιον δέμας οὐχ ὡς οἱ πολλοὶ διαχρησάμενος, περινοστεῖς ἄλλοτε ἀλλαχοῦ, καὶ εὐναζόμενος ἐπὶ ξηροῦ δαπέδου, ὡς ἄσην πάμπολλον τουτὶ τὸ τριβώνιον φέρειν; οὐ μέντοι καὶ τοῦτο λεπτὸν, οὐδὲ μαλακὸν, οὐδὲ ἀνθηρόν. Κυ. οὐδὲ γὰρ δέομαι. τοιοῦτον δὲ, ὁποῖον ἂν παρείη ῥᾷστα, καὶ τῷ κτησαμένῳ πράγματα ὡς ἐλάχιστα παρέχον. τοιοῦτον γὰρ ἀρκεῖ μοι. σὺ δὲ πρὸς θεῶν, εἰπέ μοι, τῇ πολυτελείᾳ οὐ νομίζεις κακίαν προσεῖναι; Λυ. καὶ μάλα. Κυ. τῇ δ' εὐτελείᾳ, ἀρετήν;

Λυ.

Λύ. καὶ μάλα. Κυ. τί ποτ' οὖν ὁρῶν ἐμὲ τῶν πολλῶν εὐτελέστερον διαιτώμενον, σὺ δὲ, πολυτελέστερον, ἐμὲ αἰτιᾷ, σὺ οὐκ ἐκείνους; Λυ. ὅτι οὐκ εὐτελέστερόν μοι μὰ Δία τῶν πολλῶν διαιτᾶσθαι δοκεῖς, ἀλλ' ἐνδεέστερον. μᾶλλον δὲ τελέως, ἐνδεῶς, καὶ ἀπόρως. διαφέρεις γὰρ οὐδὲν σὺ τῶν πτωχῶν, οἳ τὴν ἐφήμερον τροφὴν μεταιτοῦσι. Κυ. βούλει οὖν ἴδωμεν, ἐπεὶ προελήλυθεν ἐνταῦθα ὁ λόγος, τί τὸ ἐνδεὲς, καὶ τί τὸ ἱκανόν ἐστιν; Λυ. εἴ σοι δοκεῖ. Κυ. ἆρ' οὖν ἱκανὸν μὲν ἑκάστῳ, ὅπερ ἂν ἐξικνῆται πρὸς τὴν ἐκείνου χρείαν, ἢ ἄλλο τι λέγεις; Λυ. ἔστω τοῦτο. Κυ. ἐνδεὲς δὲ, ὅπερ ἂν ἐνδεέστερον ᾖ τῆς χρείας, καὶ μὴ ἐξικνῆται πρὸς τὸ δέον; Λυ. ναί. Κυ. οὐδὲν ἄρα τῶν ἐμῶν ἐνδεές ἐστιν. οὐδὲν γὰρ αὐτῶν ὅ, τι οὐ τὴν χρείαν ἐκπληροῖ τὴν ἐμήν. Λυ. πῶς τοῦτο λέγεις; Κυ. ἐὰν σκοπῇς πρὸς ὅ, τι γέγονεν ἕκαστον, ὧν δεόμεθα. οἷον, οἰκία, ἆρ' οὐχὶ σκέπης; Λυ. ναί. Κυ. τί δὲ, ἐσθής; τοῦ χάριν; ἆρα οὐχὶ αὐτὴ τῆς σκέπης; Λυ. ναί. Κυ. τῆς δὲ σκέπης αὐτῆς πρὸς θεῶν, τίνος ἐδεήθημεν ἕνεκα, οὐχ ὥστε ἄμεινον ἔχειν τὸν σκεπόμενον; Λυ. δοκεῖ μοι. Κυ. πότερ' οὖν, τὼ πόδε κάκιον ἔχειν δοκεῖ σοι; Λυ οὐκ οἶδα. Κυ. ἀλλ' οὕτως ἂν μάθοις τί ποδῶν ἐστ' ἔργον. Λυ. πορεύεσθαι. Κυ. κά-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κιον τῶν πορεύεσθαί σοι δοκοῦσιν οἱ ἐμοὶ πόδες, ἢ οἱ τῶν πολλῶν; Λυ. τοῦτο μὲν, οὐκ ἴσως. Κυ. οὐ τοίνυν οὐδ' εἰ χεῖρον ἔχουσιν, ἢ μὴ χεῖρον, τὸ ἑαυτῶν ἔργον ἀποδιδόασιν. Λυ. ἴσως. Κυ. τοὺς μὲν δὴ πόδας, οὐδὲν φαίνομαι χεῖρον διακείμενος τῶν πολλῶν ἔχειν. Λυ. οὐκ ἔοικας. Κυ. τί δαὶ, τοὐμὸν σῶμα τῶν λοιπῶν ἆρα κάκιον; εἰ γὰρ κάκιον, καὶ ἀσθενέστερον. ἀρετὴ γὰρ σώματος, ἰσχύς. ἆρ' οὖν τὸ ἐμὸν ἀσθενέστερον; Λυ. οὐ φαίνεται. Κυ. οὐ τοίνυν οὔθ' οἱ πόδες φαίνοιντό μοι σκέπης ἐνδεῶς ἔχειν, οὔτε τὸ λοιπὸν σῶμα. εἰ γὰρ ἐνδεῶς εἶχον, κακῶς ἂν εἶχον. ἡ γὰρ ἔνδεια, πανταχοῦ κακὸν, καὶ χεῖρον ἔχειν ποιεῖ ταῦτα, οἷς ἂν προσῇ. ἀλλὰ μὴν, οὐδὲ τρέφεσθαί γε φαίνεται χεῖρον τὸ σῶμα τοὐμὸν, ὅτι ἀπὸ τῶν τυχόντων τρέφεται. Λυ. δῆλον γάρ. Κυ. οὐδὲ εὔρωστον, εἰ κακῶς ἐτρέφετο. λυμαίνονται γὰρ αἱ πονηραὶ τροφαὶ τὰ σώματα. Λυ. ἔστι ταῦτα. Κυ. πῶς οὖν εἰπέ μοι τούτων οὕτως ἐχόντων, αἰτιᾷ μου, καὶ φαυλίζεις τὸν βίον, καὶ φὴς ἄθλιον; Λυ. ὅτι νὴ Δία τῆς φύσεως, ἣν σὺ τιμᾷς, καὶ τῶν θεῶν, γῆν ἐν μέσῳ καταπεθεικότων, ἐκ δ' αὐτῆς ἀναδεδωκότων πολλὰ, κἀγαθὰ, ὥστ' ἔχειν ἡμᾶς πάντα ἄφθονα, μὴ πρὸς τὴν χρείαν μόνον, ἀλλὰ καὶ πρὸς ἡδο

νὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νὴν, σὺ πάντων τούτων, ἢ τῶν γε πλείστων ἄ-
μοιρος εἶ, καὶ οὐδενὸς μετέχεις αὐτῶν, οὐδὲν μᾶλ
λον ἢ τὰ θηρία. πίνεις μὲν γὰρ ὕδωρ, ὅπερ καὶ τὰ
θηρία σιτῇ δὲ, ὅπερ ἂν εὑρίσκῃς, ὥσπερ οἱ κύ-
νες. εὐνὴν δὲ οὐδὲν κρείττω τῶν κυνῶν ἔχεις. χόρ
τος γὰρ ἀρκεῖ σοι, καθάπερ ἐκείνοις. ἔτι δὲ ἱ
μάτιον φορεῖς, οὐδὲν ἐπιεικέστερον ἀκλήρου. καί
τοι εἰ σὺ τούτοις ἀρκούμενος ὀρθῶς φρονήσεις,
ὁ θεὸς οὐκ ὀρθῶς ἐποίησε. τοῦτο μὲν, πρόβατα ποι
ήσας ἔμμαλλα. τοῦτο δ᾽ ἀμπέλους ἡδυοίνους.
τοῦτο δὲ, τὴν ἄλλην παρασκευὴν θαυμαστῶς ποικί
λην, καὶ ἔλαιον, καὶ μέλι, καὶ τὰ ἄλλα, ὡς ἔχειν
μὲν ἡμᾶς σιτία παντοδαπὰ, ἔχειν δὲ ποτὸν ἡδὺ,
ἔχειν δὲ χρήματα, ἔχειν δ᾽ εὐνὴν μαλακὴν, ἔ-
χειν δὲ οἰκίας καλὰς, καὶ τὰ ἄλλα πάντα θαυ
μαστῶς κατεσκευασμένα. καὶ γὰρ αὖ τὰ τῶν τεχ
νῶν ἔργα, δῶρα τῶν θεῶν ἐστι. τὸ δὲ πάντων τού-
των ζῆν ἀπεστερημένον, ἄθλιον μὲν, εἰ καὶ ὑπ᾽
ἄλλου τινὸς ἀπεστέρηται, καθάπερ οἱ ἐν τοῖς δεσ
μωτηρίοις. πολὺ δὲ ἀθλιώτερον, εἴ τις αὐτὸς ἑαυ
τὸν ἀποστεροίη πάντων τῶν καλῶν. μανία τε ἤδη
τοῦτό γε σαφής. Κυ. ἀλλ᾽ ἴσως ὀρθῶς λέγεις,
ἐκεῖνο δέ μοι εἰπὲ, εἴ τις ἀνδρὸς πλουσίου προ
θύμως, καὶ φιλανθρώπως, ἔτι τε φιλοφρόνως
ἑστιῶντος, καὶ ξενίζοντος πολλοὺς ἅμα, καὶ

17340

παντοδαπούς, τοὺς μὲν, ἀσθενεῖς, τοὺς δὲ, ἐρρωμένους,
κᾆπειτα παραθέντος πολλά, καὶ παντοδαπά, πάν
τα ἁρπάζοι, καὶ πάντα ἐσθίοι, μὴ τὰ πλησίον
μόνον, ἀλλὰ καὶ τὰ πόρρω, τὰ τοῖς ἀσθενοῦσι πα
ρεσκευασμένα, ὑγιαίνων αὐτός, καὶ ταῦτα, μίαν
μὲν κοιλίαν ἔχων, ὀλίγων δὲ ὥστε τραφῆναι δε-
όμενος, ὑπὸ τῶν πολλῶν ἐπιτριβήσεσθαι μέλλων,
οὗτος ὁ ἀνὴρ, ποῖός τις δοκεῖ σοι εἶναι; ἆρά γε φρόνι-
μος; Λυ. οὐκ ἔμοιγε. Κυ. τί δέ, σώφρων;
Λυ. οὐδὲ τοῦτο. Κυ. τί δέ, εἴ τις μετέχων τῆς
αὐτῆς ταύτης τραπέζης, τῶν μὲν πολλῶν, καὶ
ποικίλων ἀμελεῖ, ἓν δὲ τῶν ἔγγιστα κειμένων
ἐπιλεξάμενος, ἱκανῶς ἔχων πρὸς τὴν ἑαυτοῦ
χρείαν, τοῦτ᾽ ἐσθίοι κοσμίως, καὶ τούτῳ μόνῳ
χρῶτο, τοῖς δὲ ἄλλοις οὐδὲ προσβλέποι, τοῦ-
τον οὐχ ἡγῇ σωφρονέστερον, καὶ ἀμείνω ἄνδρα ἐ-
κείνου; Λυ. ἔγωγε. Κυ. πότερον οὖν, συνίης,
ἢ ἐμὲ δεῖ λέγειν; Λυ. τὸ ποῖον; Κυ. ὅτι ὁ
μὲν θεὸς, τῷ ξενίζοντι καλῶς ἐκείνῳ ἔοικε, πα-
ρατιθεὶς πολλά, καὶ ποικίλα, καὶ παντοδαπά,
ὅπως ἔχωσιν ἁρμόζοντα. τὰ μὲν, ὑγιαίνουσι.
τὰ δὲ, νοσοῦσι. καὶ τὰ μὲν, ἰσχυροῖς τὰ δὲ, ἀ-
σθενοῦσιν οὐχ ἵνα χρώμεθα ἅπασι πάντες, ἀλ
λ᾽ ἵνα τοῖς καθ᾽ ἑαυτὸν ἕκαστος, καὶ τῶν καθ᾽ ἑαυ
τὸν, ὅτου περ ἂν τύχοι μάλιστα δεόμενος. ὑμεῖς
δέ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λέ, διὰ δ' ἀπληστίαν τε, καὶ ἀκρασίαν ἁρπάζον-
τι πάντα, τούτῳ μάλιστα ἐοίκατε, πᾶσι χρῆ-
σθαι ἀξιοῦντες, καὶ τοῖς ἁπανταχοῦ, μὴ τοῖς πα-
ρ' ὑμῖν μόνον, οὐ γῆν, οὐ θάλασσαν τὴν καθ' αὐ-
τοὺς αὐτάρκη νομίζοντες, ἀλλ' ἀπὸ περάτων γῆς
ἐμπορευόμενοι τὰς ἡδονάς, καὶ τὰ ξενικὰ τῶν ἐπι-
χωρίων ἀεὶ προτιμῶντες, καὶ τὰ πολυτελῆ τῶν
εὐτελῶν, καὶ τὰ δυσπόριστα τῶν εὐπορίστων. καθό-
λου δέ, πράγματα, καὶ κακὰ ἔχειν μᾶλλον ἐθέ-
λοντες, ἢ δίχα πραγμάτων ζῆν. τὰ γὰρ δὴ πολ-
λά, καὶ τίμια, καὶ εὐδαιμονικὰ παρασκευάσμα-
τα, ἐφ' οἷς ἀγάλλεσθε, διὰ πολλῆς ὑμῖν ταῦτα
κακοδαιμονίας, καὶ ταλαιπωρίας παραγίνεται.
σκόπει γὰρ εἰ βούλει, τὸν πολυεύκτον χρυσόν, καὶ
τὸν ἄργυρον. σκόπει τὰς οἰκίας τὰς πολυτε-
λεῖς. σκόπει τὰς ἐσθῆτας τὰς ἐσπουδασμέ-
νας. σκόπει τὰ τούτοις ἀκόλουθα πάντα, πό-
σων πραγμάτων ἐστὶν ὤνια, πόσων πόνων, πό-
σων κινδύνων, μᾶλλον δὲ αἵματος, καὶ θανά-
του, καὶ διαφθορᾶς ἀνθρώπων πόσης. οὐ μόνον
ὅτι πλέοντες ἀπόλλυνται διὰ ταῦτα πολλοί, καὶ
ζητοῦντες, καὶ δημιουργοῦντες, δεινὰ πάσχουσιν,
ἀλλ' ὅτι καὶ πολυμάχητά ἐστι, καὶ ἐπιβουλεύονται
ἀλλήλοις διὰ ταῦτα, φίλοις φίλοι, καὶ πατρά-
σι παῖδες, καὶ γυναῖκες ἀνδράσιν. οὕτως οἶμαι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τὴν Ἐριφύλην, διὰ τὸν χρυσὸν προδοῦναι τὸν ἄνδρα. καὶ ταῦτα μέντοι πάντα γίνεται, τῶν μὲν ποικίλων ἱματίων, οὐδέν τι μᾶλλον θάλπειν δυναμένων. τῶν δὲ χρυσορόφων οἰκιῶν, οὐδέν τι μᾶλλον σκεπουσῶν. τῶν δ' ἐκπωμάτων τῶν ἀργυρῶν, οὐκ ὠφελούντων τὸν πότον, οὐδὲ τῶν χρυσῶν, οὐδὲ τῶν ἐλεφαντίνων αὖ κλινῶν, τὸν ὕπνον ἡδίω παρεχομένων. ἀλλ' ὄψει πολλάκις ἐπὶ τῆς ἐλεφαντίνης κλίνης, καὶ τῶν πολυτελῶν στρωμάτων, τοὺς εὐδαίμονας, ὕπνου λαχεῖν οὐ δυναμένους. ἔτι δὲ καὶ αἱ παντοδαπαὶ περὶ τὰ βρώματα πραγματεῖαι, τρέφουσι μὲν οὐδὲν μᾶλλον, λυμαίνονται δὲ τὰ σώματα, καὶ τοῖς σώμασι νόσους ἐμποιοῦσι. τί δὲ δεῖ λέγειν ὅσα τῶν ἀφροδισίων ἕνεκα πράγματα ποιοῦσί τε, καὶ πάσχουσιν οἱ ἄνθρωποι; καίτοι ῥᾴδιον θεραπεύειν ταύτην τὴν ἐπιθυμίαν, εἰ μή τις ἐθέλοι τρυφᾶν. καὶ οὐδ' εἰς ταύτην ἡ μανία, καὶ διαφθορὰ φαίνεται τοῖς ἀνθρώποις ἀρκεῖν, ἀλλ' ἤδη καὶ τῶν ὄντων τὴν χρῆσιν ἀναστρέφουσιν, ἑκάστῳ χρώμενοι, πρὸς ὃ μὴ πέφυκεν, ὥσπερ εἴ τις ἀνθ' ἁμάξης ἐθέλοι τῇ κλίνῃ χρήσασθαι, καθάπερ ἁμάξῃ. Λυ. καὶ τίς οὗτος; Κυ. ὑμεῖς οἱ τοῖς ἀνθρώποις ἅτε ὑποζυγίοις χρῆσθε, κελεύετε δὲ αὐτοὺς ὥσπερ ἁμάξας τὰς κλίνας τοῖς τραχήλοις ἄγειν. αὐτοὶ δ' ἄνω κα-

τάκεισθε

τάκεισθε τρυφῶντες, καὶ ἐκεῖθεν, ὥσπερ ὄνους ἡνιοχεῖτε τοὺς ἀνθρώπους, ταύτην, ἀλλὰ μὴ ταύτην τρέπεσθαι κελεύοντες. καὶ οἱ ταῦτα μάλιστα ποιοῦντες, μάλιστα μακαρίζεσθε. οἱ δὲ τοῖς κρέασι, καὶ μὴ τροφῇ χρώμενοι μόνον, ἀλλὰ καὶ βαφὰς μηχανώμενοι δι' αὐτῶν, οἷοί γέ εἰσιν οἱ τὴν πορφύραν βάπτοντες, οὐχὶ καὶ αὐτοὶ παρὰ φύσιν χρῶνται τοῖς τοῦ θεοῦ κατασκευάσμασι; Λυ. νὴ Δία. δύναται γὰρ βάπτειν, οὐκ ἐσθίεσθαι μόνον τὸ τῆς πορφύρας κρέας. Κυ. ἀλλ' οὐ πρὸς τοῦτο γέγονεν. ἐπεὶ καὶ τῷ κρατῆρι δύναιτ' ἄν τις βιαζόμενος, ὥσπερ χύτρᾳ χρήσασθαι. πλὴν οὐ πρὸς τοῦτο γέγονεν. ἀλλὰ γὰρ πῶς ἅπασαν τὴν τούτων τίς κακοδαιμονίαν διελθεῖν δύναιτ' ἄν; τοσαύτη τίς ἐστι. σὺ δέ μοι διότι μὴ βούλομαι ταύτης μετέχειν ἐγκαλεῖς; ζῶ δὲ καθάπερ ὁ κόσμιος ἐκεῖνος, εὐωχούμενος τοῖς κατ' ἐμαυτὸν, καὶ τοῖς εὐτελεστάτοις χρώμενος. τῶν δὲ ποικίλων, καὶ παντοδαπῶν, οὐκ ἐφιέμενος. κἄπειτα θηρίου βίον, βραχέων δεόμενος, καὶ ὀλίγοις χρώμενος, δοκῶ σοι ζῆν, κινδυνεύουσιν οἱ θεοὶ καὶ τῶν θηρίων εἶναι χείρονες, κατά γε τὸν σὸν λόγον. οὐδενὸς γὰρ δέονται. ἵνα δὲ καταμάθῃς ἀκριβέστερον τό, τε ὀλίγων, καὶ τὸ πολλῶν δεῖσθαι, ποῖόν τι ἑκάτερόν ἐστιν, ἐννόη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σου ὅτι δέονται πλειόνων. οἱ μὲν παῖδες, τῶν τελείων. αἱ δὲ γυναῖκες, τῶν ἀνδρῶν. οἱ δὲ νοσοῦντες, τῶν ὑγιαινόντων. καθόλου δὲ πανταχοῦ τὸ χεῖρον τοῦ κρείττονος πλειόνων δεῖται. διὰ τοῦτο, θεοὶ μὲν, οὐδενός. οἱ δ' ἔγγιστα θεῶν, ἐλαχίστων δέονται. ἢ νομίζεις τὸν Ἡρακλέα τῶν πάντων ἀνθρώπων ἄριστον, θεῖον δὲ ἄνδρα, καὶ θεὸν ὀρθῶς νομισθέντα, διὰ κακοδαιμονίαν περιιέναι γυμνὸν, δέρμα μόνον ἔχοντα, καὶ μηδενὸς τῶν αὐτῶν ὑμῖν δεόμενον; ἀλλ' οὐ κακοδαίμων ἦν ἐκεῖνος, ὃς καὶ τῶν ἄλλων ἀπήμυνε τὰ κακά. οὐδ' αὖ πένης, ὃς γῆς, καὶ θαλάττης ἦρχεν. ἐφ' ὅ,τι γὰρ ὁρμήσειεν, ἁπανταχοῦ πάντων ἐκράτει, καὶ οὐδενὶ τῶν τότε ἐνέτυχεν ὁμοίῳ, οὐδὲ κρείττονι ἑαυτοῦ, μέχρι περ ἐξ ἀνθρώπων ἀπῆλθεν. ἢ σὺ δοκεῖς στρωμάτων, καὶ ὑποδημάτων ἀπόρως ἔχειν, καὶ διὰ τοῦτο περιιέναι τοιοῦτος; οὐκ ἔστιν εἰπεῖν, ἀλλ' ἐγκρατὴς, καὶ καρτερικὸς ἦν, καὶ κρατεῖν ἤθελε, καὶ τρυφᾶν οὐκ ἐβούλετο. ὁ δὲ Θησεὺς ὁ τούτου μαθητὴς, οὐ βασιλεὺς μὲν ἦν πάντων Ἀθηναίων, υἱὸς δὲ Ποσειδῶνος ὥς φασιν, ἄριστος δὲ τῶν καθ' αὑτόν; ἀλλ' ὅμως κἀκεῖνος ἤθελεν ἀνυπόδητος εἶναι, καὶ γυμνὸς βαδίζειν. καὶ πώγωνα, καὶ κόμην ἔχειν, ἤρεσκεν αὐτῷ. καὶ οὐκ ἐκείνῳ μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς παλαιοῖς ἤρεσκεν.

σκεψ. ἀμείνους γὰρ ἦσαν ὑμῶν. καὶ οὐκ ἂν ὑπέμει
νεν οὐδεὶς αὐτῶν οὐδὲν μᾶλλον, ἢ τῶν λεόντων
τὶς ξυρώμενος. ὑγρότητα γὰρ, καὶ λειότητα σαρ
κὸς, γυναιξὶ πρέπειν ἡγοῦντο. αὐτοὶ δ' ὥσπερ
ἦσαν, καὶ φαίνεσθαι ἄνδρες ἤθελον. καὶ τὸν πώγω
να, κόσμον ἀνδρὸς ἐνόμιζον, ὥσπερ καὶ ἵππων
χαίτην, καὶ λεόντων γένεια. οἷς ὁ θεὸς ἀγλαΐας,
καὶ κόσμου χάριν προσέθηκέ τινα. οὑτωσὶ δὲ καὶ
τοῖς ἀνδράσι τὸν πώγωνα προσέθηκεν. ἐκείνους
οὖν ἐγὼ ζηλῶ τοὺς παλαιοὺς, καὶ ἐκείνους μιμεῖ
σθαι βούλομαι. τοὺς δὲ νῦν, οὐ ζηλῶ τῆς θαυμα-
στῆς ταύτης εὐδαιμονίας, ἣν ἔχουσι. καὶ περὶ
τραπέζας, τὰς ἐσθῆτας, καὶ λεαίνοντες, καὶ ψιλού
μενοι πᾶν τοῦ σώματος μέρος, καὶ μὴ δὲ τῶν ἀπορρή
των οὐδὲν, ᾗ πέφυκεν ἔχειν ἐῶντες. εὔχομαι
δέ μοι τοὺς μὲν πόδας, ὁπλῶν ἱππείων οὐδὲν
διαφέρειν, ὥσπερ φασὶ Χείρωνος. αὐτὸς δὲ μὴ
δεῖσθαι στρωμάτων, ὥσπερ οἱ λέοντες, οὔτε τρο
φῆς δεῖσθαι πολυτελοῦς μᾶλλον, ἢ οἱ κύνες.
εἴη δέ μοι, γῆν μὲν ἅπασαν εὐνὴν αὐτάρκη ἔχειν,
οἶκον δὲ τὸν κόσμον νομίζειν, τροφὴν δὲ αἱρεῖσθαι
τὴν ῥᾴστην πορισθῆναι. χρυσοῦ δὲ, καὶ ἀργύρου,
μὴ δεηθείην, μήτ' οὖν ἐγὼ, μήτε τῶν ἐμῶν φί-
λων μηδείς. πάντα γὰρ τὰ κακὰ τοῖς ἀνθρώ-
ποις ἐκ τῆς τούτων ἐπιθυμίας φύονται, καὶ στάσεις,

καὶ πόλεμοι, καὶ ἐπιβουλαί, καὶ σφαγαί. ταῦτα
πάντα, πηγὴν ἔχει τὴν ἐπιθυμίαν τοῦ πλείονος.
ἀλλ' ἡμῶν αὕτη, ἀπείη, καὶ πλεονεξίας μή πο-
τε ὀρεχθείην. μειονεκτῶν δ' ἀνέχεσθαι δυναί-
μην. τοιαυτά σοι τάγε ἡμέτερα. πολὺ δή που
διάφωνα τοῖς τῶν πολλῶν βουλήμασι. καὶ θαυμα
στὸν οὐδέν, εἰ τῷ σχήματι διαφερόμεθα αὐτῶν,
ὁπότε καὶ τῇ προαιρέσει τοσοῦτον διαφερόμεθα.
θαυμάζω δέ σου πῶς ποτε κιθαρῳδοῦ μέν τινα
νομίζεις στολήν, καὶ σχῆμα, καὶ αὐλητοῦ νὴ Δία
σχῆμα, καὶ στολὴν τραγῳδοῦ, ἀνδρὸς δὲ ἀγαθοῦ
σχῆμα, καὶ στολήν, οὐκ ἔτι νομίζεις, ἀλλὰ τὴν αὐ
τὴν αὐτὸν οἴει δεῖν ἔχειν τοῖς πολλοῖς. καὶ ταῦ
τα, τῶν πολλῶν κακῶν ὄντων, εἰ μὲν δεῖ ἑνὸς
ἰδίου σχήματος τοῖς ἀγαθοῖς, τί πρέποι ἂν μᾶλ
λον, ἢ τοῦθ', ὅπερ ἀναιδέστατον μᾶλλον τοῖς ἀ
κολάστοις ἐστί, καὶ ὅπερ ἀπεύξαιντ' ἄν, οὗτοι μά-
λιστα ἔχειν. οὐκοῦν τό γε ἐμὸν σχῆμα, τοιοῦτόν
ἐστιν, αὐχμηρὸν εἶναι, λάσιον εἶναι, τρίβωνα ἔχειν,
κομᾶν, ἀνυποδητεῖν. τὸ δ' ὑμέτερον, ὅμοιον τῷ
τῶν κιναίδων. καὶ διακρίνειν οὐδὲ εἷς ἂν ἔχοι,
οὐ τῇ χροιᾷ τῶν ἱματίων, οὐ τῇ μαλακότητι,
οὐ τῷ πλήθει τῶν χιτωνίσκων, οὐ τοῖς ἀμφιέ
σμασιν, οὐχ ὑποδήμασιν, οὐ κατασκευῇ τρι-
χῶν, οὐκ ὀδμῇ. καὶ γὰρ ἀπόζετε ἤδη παραπλή-

σιον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σιον ἐκείνοις, οἱ εὐδαιμονέστατοι οὗτοι μάλιστα. καίτοι, τί ἂν δῴη τις ἀνδρὸς τὴν αὐτὴν τοῖς κιναίδοις ὀδμὴν ἔχοντος; τοιγαροῦν, τοὺς μὲν πόνους, οὐδὲν ἐκείνων μᾶλλον ἀνέχεσθε. τὰς δὲ ἡδονάς, οὐδὲν ἐκείνων ἧττον. καὶ τρέφεσθε τοῖς αὐτοῖς, καὶ κοιμᾶσθε ὁμοίως, καὶ βαδίζετε. μᾶλλον δὲ βαδίζειν οὐκ ἐθέλετε. φέρεσθε δέ, ὥσπερ τὰ φορτία. οἱ μέν, ὑπ' ἀνθρώπων. οἱ δέ, ὑπὸ κτηνῶν. ἐμὲ δὲ οἱ πόδες φέρουσιν ὅποι περ ἂν δέωμαι. κἀγὼ μὲν ἱκανὸς καὶ ῥίγους ἀνέχεσθαι, καὶ θάλπος φέρειν, καὶ τοῖς τῶν θεῶν ἔργοις μὴ δυσχεραίνειν, διότι ἄθλιός εἰμι. ὑμεῖς δέ, διὰ τὴν εὐδαιμονίαν, οὐδενὶ τῶν γινομένων ἀρέσκεσθε, καὶ πάντα μέμφεσθε. καὶ τὰ μὲν παρόντα, φέρειν οὐκ ἐθέλετε. τῶν δὲ ἀπόντων, ἐφίεσθε. χειμῶνος μὲν εὐχόμενοι θέρος, θέρους δὲ χειμῶνα. καὶ καύματος μὲν ῥῖγος, ῥίγους δὲ καῦμα, καθάπερ οἱ νοσοῦντες δυσάρεστοι, καὶ μεμψίμοιροι ὄντες. αἰτία δὲ ἐκείνοις μέν, ἡ νόσος. ἡμῖν δέ, ὁ τρόπος. κἄπειτα δὲ ἡμᾶς μετατίθεσθαι, καὶ ἀπανορθοῦν τὰ ἡμέτερα ἀλλήλοις ἐπιτιμῶμεν, κακῶς βουλευομένοις πολλάκις περὶ ὧν πράττομεν, αὐτοὶ ἄσκεπτοι ὄντες περὶ τῶν ἰδίων, καὶ μηδὲν αὐτῶν κρίσει, καὶ λογισμῷ ποιοῦντες, ἀλλ' ἔθει, καὶ ἐπιθυμίᾳ. τοιγαροῦν οὐδὲν ὑμεῖς

διαφέρετε τῶν ὑπὸ χειμάρρου φερομένων. ἐκεῖνοί τε γὰρ ὅπου ἂν ἴοι τὸ ῥεῦμα, ἐκεῖ φέρονται. καὶ ὑμεῖς, ὅπου ἂν αἱ ἐπιθυμίαι. πάσχετε δὲ παραπλήσιόν τι, ὅ φασι παθεῖν τινα ἐφ' ἵππον ἀναβάντα μαινόμενον. ἁρπάσας γὰρ αὐτὸν, ἐξέφερεν ἄρα ὁ ἵππος ὁ δ' οὐκ ἔτι καταβῆναι, τοῦ ἵππου θέοντος, ἐδύνατο. καί τις ἀπαντήσας, ἠρώτησεν αὐτὸν, ποῖ ἄπεισιν. ὁ δὲ, εἶπεν, ὅπου ἂν τούτῳ δοκῇ, δεικνὺς τὸν ἵππον. καὶ ὑμᾶς ἄν τις ἐρωτᾷ ποῖ φέρεσθε, τἀληθῆ ἐθέλοντες λέγειν, ἐρεῖτε, ἁπλῶς μὲν, ὅπου περ ἂν ταῖς ἐπιθυμίαις δοκῇ. κατὰ μέρος δὲ, ὅπου περ ἂν τῇ ἡδονῇ. ποτὲ δὲ, ὅπου τῇ δόξῃ. ποτὲ δὲ αὖ τῇ φιλοκερδείᾳ. ποτὲ δὲ, ὁ θυμὸς, ποτὲ δὲ, ὁ φόβος, ποτὲ δὲ, ἄλλο τι τοιοῦτον ὑμᾶς ἐκφέρειν φαίνεται. οὐ γὰρ ἐφ' ἑνὸς, ἀλλ' ἐπὶ πολλῶν καὶ ὑμεῖς καὶ ἵππων βεβηκότες, ἄλλοτε ἄλλων, καὶ μαινομένων πάντων, φέρεσθε. ριγαροῦν ἐκφέρουσιν ὑμᾶς εἰς βάραθρα, καὶ κρημνούς. ἴστε δ' οὐδαμῶς πρὶν πεσεῖν, ὅτι πεσεῖσθαι μέλλετε. ὁ δὲ τρίβων οὗτος, ὃν καταγελᾶτε, καὶ ἡ κόμη, καὶ τὸ σχῆμα τοὐμὸν, τηλικαύτην ἔχει δύναμιν, ὥστε παρέχειν μοι ζῆν ἐφ' ἡσυχίας, καὶ πράττοντι ὅ,τι βούλομαι, καὶ συνόντι οἷς βούλομαι. τῶν γὰρ ἀμαθῶν καὶ

θρόω

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θρώπων, καὶ ἀπαιδεύτων, οὐδεὶς ἂν ἐθέλοι μοι προσιέναι διὰ τὸ σχῆμα. οἱ μὲν γὰρ μαλακοί, καὶ πάνυ πόρρωθεν ἐκτρέπονται. προσίασι δὲ οἱ κομψότατοι, καὶ ἐπιεικέστατοι, καὶ ἀρετῆς ἐπιθυμοῦντες. οὗτοι μάλιστά μοι προσίασι. τοῖς γὰρ τοιούτοις ἐγὼ χαίρω συνών. θύρας δὲ τῶν καλουμένων ἀνθρώπων, οὐ θεραπεύω. τοὺς δὲ χρυσοῦς στεφάνους, καὶ τὴν πορφύραν, τῦφον νομίζω, καὶ τῶν ἀνθρώπων καταγελῶ. ἵνα δὲ μάθῃς περὶ τοῦ σχήματος, ὡς οὐκ ἀνδράσι μόνον ἀγαθοῖς, ἀλλὰ καὶ θεοῖς πρέποντος, ἔπειτα καταγελᾷς αὐτοῦ, σκέψαι τὰ ἀγάλματα τῶν θεῶν, πότερά σοι δοκοῦσιν ὁμοίως ἔχειν ὑμῖν, ἢ ἐμοί. καὶ μὴ μόνον τὰ τῶν Ἑλλήνων, ἀλλὰ καὶ τῶν βαρβάρων τοὺς ναοὺς ἐπισκόπει περιιών, πότερον αὐτοὶ οἱ θεοὶ κομῶσι, καὶ γενειῶσιν ὡς ἐγώ, ἢ καθάπερ ὑμεῖς, ἐξυρημένοι πλάττονται, καὶ γράφονται. καὶ μέντοι καὶ ἀχίτωνας ὄψει τοὺς πολλούς, ὥσπερ ἐμέ. τί ἂν οὖν ἔτι τολμῴης περὶ τούτου τοῦ σχήματος λέγειν ὡς φαύλου, ὁπότε καὶ θεοῖς φαίνεται πρέπον;

## ΨΕΥΔΟΣΟΦΙΣΤΗΣ, Η ΣΟΛΟΙΚΙΣΤΗΣ.

ΛΥΚΙΝΟΣ.

Ἆρά γε ὁ γνῶναι τὸν σολοικίζοντα δεινός, οὗτος καὶ φυλάξασθαι μὴ σολοικίζειν δυνατός; Σο. ἐμοὶ μὲν δοκεῖ. Λυ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁ δέ γε μὴ φυλάξασθαι, οὐδὲ γνῶναι τὸν οὕτως ἔχοντα; Σο. ἀληθῆ λέγεις. Λυ. σὺ δὲ αὖ τίς φῂς οὐ σολοικίζειν, ἢ πῶς λέγομεν περὶ σοῦ; Σο. ἀπαίδευτος γὰρ ἂν εἴην, εἰ σολοικίζοιμι τηλικοῦτος ὤν. Λυ. οὐκοῦν τὸ ἕτερον φωρᾶσαι δυνήσῃ τὸν ἁμαρτάνοντα, καὶ ἐλέγξαι τὸν ἀρνούμενον. Σο. πάντα πᾶσί γε. Λυ. ἴθι νῦν, ἐμοῦ λαβοῦ σολοικίζοντος. ἄρτι δὲ σολοικιῶ. Σο. οὐκοῦν εἰπέ. Λυ. ἀλλ᾽ ἔγωγε ἤδη τὸ δεινὸν εἴργασμαι, σὺ δὲ οὐκ ἐπέγνως. Σο. παίζεις ἔχων. Λυ. μὰ τοὺς θεούς. ἐπεὶ σολοικίσας, ἔλαθόν σε ὡς οὐκ ᾐσθησάμενος. αὖθις δὲ σκόπει. οὐ γάρ σε φημὶ δύνασθαι κατανοῆσαι. ἐπεί, ἃ μὲν οἶδα, ἃ δ᾽ οὐκ οἶδα. Σο. εἰπὲ μόνον. Λυ. ἀλλ᾽ καὶ νῦν σεσολοίκισταί μοι, σὺ δ᾽ οὐκ ἔγνως. Σο. πῶς γάρ, σοῦ μηδὲν λέγοντος; Λυ. ἐγὼ μὲν λέγω, καὶ σολοικίζω. σὺ δ᾽ οὐχ ἕπῃ τῷ ἁμαρτάνοντι. ἐπεὶ ὄφελον καὶ νῦν ἀκολουθῆσαι δυνήσῃ. Σο. θαυμαστὰ λέγεις, εἰ μὴ δυνήσομαι καταμαθεῖν σολοικισμόν. Λυ. καὶ πῶς ἂν δύναιο τὸν ἕνα μαθεῖν, τοὺς τρεῖς ἀγνοήσας; Σο. τίνας τρεῖς; Λυ. ὅλους ἄρτι γενείους. Σο. ἐγὼ μέν σε παίζειν δοκῶ. Λυ. ἐγὼ δὲ, ἀγνοεῖν τὸν διαμαρτάνοντα ἐν τοῖς λόγοις. Σο. καὶ πῶς ἄν τις μάθοι, μηδενὸς εἰρημένου; Λυ. λέλεκται, καὶ σεσολοίκισται τετραπλῆ. σὺ δ᾽ οὐκ ἔγνως.

ἔγνως. μέγα τὸν ἆθλον κατέπραξας ἄν, εἴπερ ἔ-
γνως. Σο. οὐ μέγα μὲν, ἀναγκαῖον δὲ τῷ ὁμολο-
γήσαντι. Λυ. ἀλλ' οὐδὲ νῦν ἔγνως. Σο. πότε
νῦν; Λυ. ὅτε τὸ ἆθλον ἔφην σε καταπρᾶξαι. Σο.
οὐκ οἶδα ὅ, τι λέγεις. Λυ. ὀρθῶς ἔφης· οὐ γὰρ οἶσθα.
καὶ προὔθηκες τὸ ἔμπροσθεν. οὐ γὰρ ἐθέλεις ἕπεσθαι.
συνήσω ἄν, εἴπερ θελήσειας. Σο. ἀλλ' ἐγὼ βού-
λομαι. σὺ δὲ οὐδὲν εἶπας, ὧν ἄνθρωποι σολοικί-
ζοντες λέγουσιν. Λυ. τὸ γὰρ νῦν ῥηθὲν, μικρόν τί σοι
φαίνεται κακὸν εἶναι; ὅμως δὲ ἀκολούθησον αὖθις,
ἐπεὶ οὐκ ἔμαθες ἐκδραμόντα. Σο. μὰ τοὺς θεοὺς
οὐκ ἔγωγε. Λυ. ἀλλὰ μὴν μεθῆκα θεῖν λαγὼ
ταχέως. ἆρα περῆξαι; ἀλλὰ καὶ νῦν ἔξεστιν ἰδεῖν
τὸν λαγώ. εἰ δὲ μὴ, πολλοὶ γενόμενοι λαγὼ,
λήσουσί σε ἐν σολοικισμῷ πεσόντες. Σο. οὐ λή-
σουσι. Λυ. καὶ μὴν ἔλαθόν γε. Σο. θαυμαστὰ
λέγεις. Λυ. σὺ δὲ, ὑπὸ τῆς ἄγαν παιδείας διέ-
φθορας, ὥστε μηδ' αὐτὸ τοῦτο, σολοικίζοντας,
κατανοῆσαι. οὐ γὰρ πρόσεστιν αὐτῷ τὸ τιναι. Σο.
ταῦτα μὲν οὐκ οἶδα πῶς λέγεις. ἐγὼ δὲ, πολ-
λοὺς ἤδη σολοικίζοντας κατενόησα. Λυ. κἀ-
μὲ ῥίνω εἴσῃ τότε, ὅταν τι τῶν παιδίων γένῃ,
τῶν τὰς τίτθας θηλαζόντων. ἢ εἰ οὐ νῦν ἔγνως
σολοικίζοντά με, οὐδὲ αὐξάνοντα παιδία σο-
λοικισμὸν ποιήσει, τῷ μηδὲν εἰδότι. Σο. ἀ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ληθῆ λέγεις. Λυ. καὶ μὴν εἰ ταῦτα ἀγνοή-
σομεν, οὐδὲ ἐν γνωσόμεθα τῶν ἑαυτοῦ, ἐπεὶ καὶ τὸ
δὲ σολοικισθὲν, ἀπέφυγέ σε. μὴ τοίνυν ἔτι λέ-
γειν, ὡς ἱκανὸς εἶ καταδεῖν τὸν σολοικίζοντα,
καὶ αὐτὸς μὴ σολοικίζειν. κἀγὼ μὲν οὕτω. Σω-
κράτης δὲ ὁ ἀπὸ μόψου, ᾧ συνενόμην ἐν Αἰγύ-
πτῳ, τὰ τοιαῦτα ἔλεγεν ἀνεπαχθῶς, καὶ οὐκ ἤ-
λεγχε τὸν ἁμαρτάνοντα. πρὸς μὲν τὸν ἐ-
ρωτήσαντα πηνίκα ἔξεισι, τίς δὲ ἂν ἔφη ἀπείρκε-
ει σοι περὶ τὴν σήμερον ὡς ἀξιῶν; ἑτέρου δὲ φήσαντος
ἱκανὰ ἔχω τὰ πατρῷα, πῶς φῄς; εἶπε; τέθνηκε δὲ
ὁ πατήρ σου. ἄλλου δὲ αὖθις λέγοντος συμπατριώ-
της ἐστί μοι, ἐλάνθανες ἄρα ἡμᾶς ἔφη, βάρβαρος
ὤν. ἄλλου δὲ εἰπόντος, ὁ δεῖνά ἐστι μεθυούσης, μη-
τρὸς εἶπεν, ἢ πῶς λέγεις; ἑτέρου δὲ λέοντας, δι-
πλασιάζεις ἔφη τοὺς λέοντας. εἰπόντος δέ τι-
νος λῆμμα πάρεστιν αὐτῷ διὰ τῶν δύο μμ, οὐ-
κοῦν ἔφη λήψεται, εἰ λῆμμα αὐτῷ πάρεστιν.
ἑτέρου δὲ εἰπόντος πρόσεισιν ὁ μεῖραξ οὑμὸς φί-
λος, ἔπειτα ἔφη λοιδορεῖς φίλον ὄντα; πρὸς
δὲ τὸν εἰπόντα δεδίττομαι τὸν ἄνδρα, καὶ φεύ-
γω, σὺ ἔφη κ᾽ ὅταν τινὰ εὐλαβηθῇς, διώξῃ. ἀλ-
λου δὲ εἰπόντος τῶν φίλων ὁ κορυφαιότατος, χά-
ριεν γε ἔφη, τὸ τῆς κορυφῆς ποιεῖν τι ἐπάνω. καὶ
ἐξορμῶ δέ τινος εἰπόντος, καὶ τίς ἐστιν εἶπεν,
ὃν

ὃν ἐξορμᾷς; ἐξ ἑπταπόλεως δέ τινος εἰπόντος, ἐκ τῆς ἰωθιπόλεως εἶπεν, ὡς ἐκ τοῦ πιθάκνης. λέγοντος δέ τινος συνετάξατό μοι, καὶ λόχον ἔφη Ξενοφῶν συνετάξατο. ἄλλου δὲ εἰπόντος περιέστην αὐτὸν ὥστε λαθεῖν, θαυμαστὸν ἔφη, εἰ εἷς ὤν, περιέστης τὸν ἕνα· ἑτέρου δὲ λέγοντος συνεκεῖνο αὐτῷ, τὸ συνεκεῖνο πάντως εἶπεν. εἰώθει δὲ τὸ πρὸς τοὺς σολοικίζοντας ἀττικῶς, παίζειν ἀνεπαχθῶς. πρὸς γοῦν τὸν εἰπόντα ναὶ τοῦτο δοκεῖ, σὺ ἔφη καὶ νῶιν ἐρεῖς, ὡς ἁμαρτάνομεν. ἑτέρου δὲ σπουδῇ διηγουμένου τι τῶν ὑποχωρείων, καὶ εἰπόντος, ἡ δὲ τῷ Ἡρακλεῖ μιχθεῖσα, οὐκ ἄρα ἔφη ὁ Ἡρακλῆς ἐμίχθη αὐτῇ. καρῆναι δέ τινος εἰπόντος ὡς δέοιτο, τί οὖν ἔφη σοι δεινὸν εἴργασται, καὶ ἄξιον ἀτιμίας; καὶ ζυγομαχεῖν δέ τινος λέγοντος, πρὸς τὸν ἐχθρὸν εἶπε ζυγομαχεῖς; ἑτέρου δὲ εἰπόντος βασανίζεσθαι τὸν παῖδα αὐτοῦ νοσοῦντα, ἐπὶ τῷ ἔφη, ἢ τί βουλομένου τοῦ βασανίζοντος; προκόπτειν δέ τινος εἰπόντος ἐν τοῖς μαθήμασιν, ὁ δὲ Πλάτων ἔφη τοῦτο ἐπιδιδόναι καλεῖ. ἐρομένου δέ τινος εἰ μελετήσει ὁ δεῖνα, πῶς οὖν ἔφη ἐμὲ ἐρωτῶν εἰ μελετήσομαι, λέγεις ὅτι ὁ δεῖνα; ἀττικίζοντος δέ τινος, καὶ τεθνήξει εἰπόντος ὑπὸ τοῦ ξίφους, βέλτιον ἔφη τὸ ἐνταῦθα μὴ ἀττικίζειν κατα-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρώμενον. καὶ πρὸς τὸν εἰπόντα δὲ στοχάζομαι αὐ-
τοῦ, ἀντὶ τοῦ φείδομαι αὐτοῦ, μή τι ἔφη δήμπτης
βαλών; ἀφιστᾶν δέ τινος εἰπόντος, καὶ ἑτέρου
ἀφιστάνειν, ἄμφω μὲν ἔφη οὐκ οἶδα. πρὸς δὲ τὸν
λέγοντα, πλὴν εἰ μὴ ταῦτα ἔφη διπλᾶ χαρί-
ζοι. τὸ χρᾶσθαι δέ τινος εἰπόντος, ψευδάτ-
τικον ἔφη τὸ ῥῆμα. τοῦ δὲ λέγοντι ἔκποτε, κα-
λὸν ἔφη τὸ εἰπεῖν ἐκπέρυσιν. ὁ γοῦν Πλάτων, εἴσ-
ποτε λέγει. τοῦ δὲ ἰδοὺ, ἀντὶ τοῦ ἴδε χρωμένου
τινὸς, ἕτερα ἀνθ' ἑτέρων ἔφη σημαίνεις. ἀντι-
λαμβάνομαι δὲ, ἀντὶ τοῦ συνίημι λέγοντός τινος,
θαυμάζειν ἔφη πῶς ἀντιποιούμενος τοῦ λέγον-
τος, φησὶν ἀντιποιεῖσθαι. βράδιον δέ τινος εἰ-
πόντος, οὐκ ἔστιν ἔφη ὅμοιον τοῦ τάχιον. βα-
ρεῖν δέ τινος εἰπόντος, οὐκ ἔστιν ἔφη τὸ βα-
ρύνειν, ἢ νενόμικας. λέλογχα δὲ, τὸ εἴληχα λέγον-
τος, ὀλίγον ἔφη τὸ παρ' οἷς ἁμαρτάνεται.
ἵπτασθαι δὲ, ἀντὶ τοῦ πέτασθαι πολλῶν λεγόν-
των, ὅτι μὲν ἀπὸ τῆς πτήσεως τὸ ὄνομα, σαφῶς
ἴσμεν. ἀπόστρον δέ τινος εἰπόντος ὡς δὴ ἀτ-
τικὸν, καὶ τὴν φάττιον ἐροῦμεν ἔφη. φακὸν δέ
τινος εἰπόντος ἐδηδοκέναι, ἢ πῶς ἂν ἔφη φα-
κόν τις φάγῃ. ταῦτα μὲν τὰ σωκράτεια. ἐπα-
νίωμεν δὲ εἰ δοκεῖ, ἐπὶ τὴν ἅμιλλαν τῶν προτέ-
ρων λόγων. κἀγὼ μὲν καλῶ σὺ βέλτιστος εἶ-
ναι

ται. ὅλως, σὺ δὲ γνώσεσθον. οἶμαι γάρ σε κἂν νῦν δυνήσεσθαι, τοσούτων γε ἐπακούσαντα τῶν ἑξῆς λεγομένων. Σω. ἴσως μὲν οὐδὲ νῦν δυνήσομαί σου λέγοντος. ὅμως εἰπέ. Λυ. ἢ γὰρ φὴς οὐ δυνήσεσθαι; ἢ τί θύρα σχεδὸν ἀνέῳγέ σοι τῆς γνωρίσεως αὐτῶν. Σω. εἰπὲ τοίνυν. Λυ. ἀλλὰ εἶπον. Σω. οὐδέν γε, ὥστε ἐμὲ μαθεῖν. Λυ. οὐ γὰρ ἔμαθες τὸ ἀνέῳγεν; Σω. οὐκ ἔμαθον. Λυ. τί οὖν πεισόμεθα, εἰ μὴ δὲ νῦν ἀκολουθήσεις τοῖς λεγομένοις; καί τοι πρόσθε τὰ κατ' ἀρχὰς ῥηθέντα ὑπὸ σοῦ, ἐγὼ μὲν ᾤμην ἱππεῖς εἰς πλείον καλεῖν. σὺ δέ, τοὺς ἱππεῖς κατενόησας. ἀλλὰ ἔοικας σὺ φροντίζειν τοῦ λόγου μάλιστα, οὓς νῦν κατὰ σφᾶς αὐτοὺς διήλθομεν. Σω. ἐγὼ μέν, φροντίζω. σὺ δέ, ἀδήλως αὐτοὺς διεξέρχῃ. Λυ. πάνυ γοῦν ὁ δῆλόν ἐστι, τὸ κατὰ σφᾶς αὐτοὺς ἐφ' ἡμῶν λεγόμενον; ἀλλὰ τοῦτο μέν, δῆλον. σὲ δὲ οὐδεὶς ἂν θεῶν ἀγνοοῦντα παύσειε, πλήν γε ὁ Ἀπόλλων. μαντεύεται γοῦν ἐκεῖνος πᾶσι τοῖς ἐρωτῶσι. σὺ δέ, οὐδὲ τὸ μαντευόμενον κατενόησας. Σω. μὰ τοὺς θεούς, οὐ γὰρ ἔμαθον. Λυ. εἰ ἄρα καθεῖς λανθάνει σε πολιτῶν. Σω. ἐοίκασί γε. Λυ. ὁ δὲ καθεῖς, πῶς περιῆλθεν; Σω. οὐδὲ τοῦτο ἔμαθον. Λυ. οἶσθα δέ τινα μνηστευόμενον αὐτοῦ γάμον; Σω. τί οὖν τοῦτο;



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Λυ. ὅτι σολοικίζειν ἀνάγκη τὸν μνηστευόμενον αὐτῷ. Σο. τί δὲ πρὸς τοὐμὸν πρᾶγμα, εἰ σολοικίζει τις μνηστευόμενος; Λυ. ὅτι ἀγνοεῖ ὁ φάσκων εἰδέναι. καὶ τοῦτο μὲν οὕτως ἔχει. εἰ δέ τις λέγει σοι περιελθὼν ὡς ἀπελείπετο τὴν γυναῖκα, ἆρ᾽ ἂν ἐπιτρέποις αὐτῷ; Σο. τί δ᾽ οὐκ ἂν ἐπιτρέποιμι, εἰ φαίνοιτο ἀδικούμενος; Λυ. εἰ δὲ σολοικίζων φαίνοιτο, ἐπιτρέποις ἂν αὐτῷ τοῦτο; Σο. οὐκ ἔγωγε. Λυ. ὀρθῶς δὲ λέγεις. οὐ γὰρ ἐπιτρεπτέον σολοικίζοντι τῷ φίλῳ, ἀλλὰ διδακτέον, ὅπως τοῦτο μὴ πείσηται. καὶ εἴ τις γε νῦν ψοφοίη τὴν θύραν εἰσιὼν, ἢ ἐξιὼν κόπτοι, τί φήσομεν πεπονθέναι; Σο. ἐμὲ μὲν οὐδὲν, ἐκεῖνον δὲ ἐπεισελθεῖν βούλεσθαι, ἢ ἐξιέναι. Λυ. σὲ δὲ ἀγνοοῦντα τὸν κόπτοντα, ἢ τὸν ψοφοῦντα, οὐ δὴ ὅλως πεπονθέναι δόξομεν ἀπαίδευτον ὄντα; Σο. ὑβριστὴς εἶ. Λυ. τί λέγεις; ὑβριστὴς ἐγὼ νῦν δὴ γενήσομαί σοι διαλεγόμενος; ἔοικε δὲ σολοικίσαι τὸ νῦν δὴ γενήσομαι, σὺ δ᾽ οὐκ ἔγνως. Σο. παῦσαι πρὸς τῆς Ἀθηνᾶς. ἀλλ᾽ εἰπέ τι τοιοῦτον, ὥστε κἀμὲ μαθεῖν. Λυ. καὶ πῶς ἂν μάθοις; Σο. εἴ μοι πάντα ἐπέλθοις, ὅσα φὴς σολοικίσας, ἐμὲ λαθεῖν, καὶ περὶ ὅ,τι ἕκαστον σεσολοίκισται. Λυ. μηδαμῶς ὦ ἄριστε. μακρὸν γὰρ ἂν ποιήσαιμεν τὸν διάλογον. ἀλλὰ τοῦδε μὲν

τούτων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τούτων, ἔξεστί σοι καθ᾽ ἕκαστον αὐτῶν πυνθάνεσθαι. νῦν δ᾽ ἕτερ᾽ ἄττα ἐπέλθωμεν, εἰ δοκεῖ, καὶ πρῶτόν γε αὐτὸ τοῦτο τὸ ἄττα μὴ δασέως, ἀλλὰ ψιλῶς ἐξενεγκεῖν, ὀρθῶς φαίνεται ῥηθὲν μετὰ τῶν ἑτέρων συντιθέμενον. μὴ γὰρ οὕτως ἄλογον ἦν ἄν. ἔπειτα τὸ περὶ ὕβρεως, ἥν με φῂς ὑβρίζειν, εἰ μὴ οὕτω λέγοιμι, ἀλλ᾽ εἰς σὲ φαίνῃ ἴδιον, ἐγὼ μὲν οὐκ ἔχω εἰπεῖν. ὅτι τὸ μὲν σὲ ὑβρίζειν, τὸ σῶμά ἐστι τὸ σόν, ἤτοι πληγαῖς, ἢ δεσμοῖς, ἢ ἄλλῳ τρόπῳ. τὸ δὲ εἰς σέ, ὅταν εἴς τι τῶν σῶν γίγνηται ἡ ὕβρις. καὶ γὰρ ὅστις γυναῖκα ὑβρίζει τὴν σήν, εἰς σὲ ὑβρίζει, καὶ ὅστις παῖδα, ἢ φίλον, ἢ ὅστις γε οἰκέτην, πλὴν γὰρ περὶ τῶν πραγμάτων οὕτως ἔχει σοι. ἐπεὶ τὸ εἰς πρᾶγμα ὑβρίζειν λέλεκται, οἷον εἰς τὴν παροιμίαν, ὡς ὁ Πλάτων φησὶν ἐν τῷ συμποσίῳ. Σο. κατανοῶ τὸ διάφορον. Λυ. ἆρ᾽ οὖν καὶ τοῦτο κατανοεῖς, ὅτι τὸ ταῦτα ὑπαλλάττειν, σολοικίζειν καλοῦσιν; Σο. ἀλλὰ νῦν εἴσομαι. Λυ. αὐτὸ δὲ τὸ ἐναλλάττειν; Σο. ἐμοὶ μὲν ταυτὸν λέγειν δοκεῖ. Λυ. καὶ πῶς ἂν εἴη ταυτὸν τῷ ὑπαλλάττειν τὸ ἐναλλάττειν, εἴπερ τὸ μέν, ἑτέρου πρὸς ἕτερον γίνεται, τοῦ μὴ ὀρθοῦ πρὸς τὸ ὀρθόν. τὸ δέ, τοῦ μὴ ὄντος, πρὸς τὸ ὄν. Σο. κατέμαθον ὅτι τὸ μὲν ὑπαλλάττειν, τὸ μὴ κύριον ἀντὶ τοῦ

κυρίου λέγειν ἐστί. τὸ δ' ἐναλλάττειν, ποτὲ μὲν τῷ κυρίῳ, ποτὲ δὲ τῷ μὴ κυρίῳ χρῆσθαι. Λυ. ἔχει τινὰ καὶ ταῦτα κατανόησιν οὐκ ἄχαριν. τὸ δὲ σπουδάζειν πρός τινα, τὴν οἰκείαν ὠφέλειαν τοῦ σπουδάζοντος ἐμφαίνει. τὸ δὲ περί τινα, τὴν ἐκείνου, περὶ ὃν σπουδάζει. ἃ ταῦτα ἴσως μὲν ὑποσυγκέχυται, ἴσως δὲ καὶ ἀκριβοῦται παρά τισι. βέλτιον δὲ τὸ ἀκριβοῦν ἑκάστῳ. Σο. ὀρθῶς τοι λέγεις. Λυ. τό γε μὴν καθίζεσθαι τοῦ καθίσαι, καὶ τὸ κάθιζον τοῦ κάθησο, ἆρ' οἶσθ' ὅτι διενήνοχεν; Σο. οὐκ οἶδα. τὸ καθέσθητι ἤκουόν σου λέγοντος ὡς ἐστὶν ἔκφυλον. Λυ. καὶ ὀρθῶς γε ἤκουσας. ἀλλὰ τὸ κάθισον, τοῦ κάθησο διαφέρειν φημί. Σο. καὶ τῷ, πότ' ἂν εἴη διαφέρον; Λυ. τῷ, τὸ μέν, πρὸς τὸν ἑστῶτα λέγεσθαι, τὸ κάθισον. τὸ δέ, πρὸς τὸν καθεζόμενον, ἧσο ξεῖνε. ἡμεῖς δέ, καὶ ἄλλοθι δήομεν ἕδρην. ἀντὶ τοῦ μένε καθεζόμενος. πάλιν οὖν εἰρήσθω ὅτι τὸ ταῦτα, παραλλάττειν, ἁμαρτάνειν ἐστί. τὸ δὲ καθίζω τοῦ καθίζομαι, ἆρά σοι δοκεῖ μικρῷ τινι διαφέρειν; εἴπερ τὸ μέν, ἑτέρους δρῶμεν, τὸ καθίζειν λέγειν. τὸ δέ, μόνους ἡμᾶς αὐτούς, τὸ καθίζεσθαι. Σο. καὶ ταῦτα ἱκανῶς διελήλυθας. καὶ δὴ λέγε, οὕτω γάρ σε δεῖ προδιδάσκειν. Λυ. ἑτέρως δὲ λέγοντος, οὐ κατανοεῖς. οὐκ οἶσθα οἷόν ἐστι ξυγγρα

φεὺ

φεὺς ἀνήρ; Σο. πάνυ οἶδα, νῦν γε σοῦ ἀκούσας ταῦτα λέγοντος. Λυ. ἐπεὶ καὶ τὸ καταδουλοῦν, σὺ μὲν ἴσως ταυτὸν τῷ καταδουλοῦσθαι νενόμικας. ἐγὼ δέ, οἶδα διαφορὰν οὐκ ὀλίγην ἔχον. Σο. τίνα ταύτην; Λυ. ὅτι τὸ μὲν, ἑτέρῳ. τὸ καταδουλοῦν δ' ἑαυτῷ γίνεται. Σο. καλῶς λέγεις. Λυ. καὶ ἄλλα δέ σοι πολλὰ ὑπάρχει μανθάνειν, εἴπερ μὴ αὐτὸς εἰδέναι οὐκ εἰδὼς δόξεις. Σο. οὐκ ἂν δόξαιμι. Λυ. οὐκοῦν τὰ λοιπὰ εἰσαῦθις ἀναβαλώμεθα. νῦν δέ, διαλύσωμεν τὸν διάλογον.

## ΦΙΛΟΠΑΤΡΙΣ, Η ΔΙΔΑΣΚΟΜΕΝΟΣ. ΤΡΙΕΦΩΝ.

Τί τοῦτο ὦ Κριτία, ὅλον σεαυτὸν ἠλλοίωσας, καὶ τὰς ὀφρῦς κάτω συνένευκας, μύχιον δὲ βυσσοδομεύεις, ἄνω καὶ κάτω περιπολῶν, κερδαλεόφρονι ἐοικὼς κατὰ τὸν ποιητήν, ὠχρός τέ σε εἷλε παρειάς; μή που τρικάρηνον τεθέασαι, ἢ Ἑκάτην ἐξ ἅδου ἐληλυθυῖαν, ἢ καί τινι θεῶν ἐκ προνοίας συνήντηκας; οὐδέπω γάρ σε τοιαῦτα εἰκὸς παθεῖν, εἰ καὶ αὐτὸν ἠκηκόεις οἶμαι τὸν κόσμον κλυσθῆναι, ὥσπερ ἐπὶ τοῦ Δευκαλίωνος. σοὶ λέγω ὦ καλὲ Κριτία, οὐκ ἀΐεις ἐμοῦ ἐπιβοωμένου τὰ πολλά, καὶ ἐς βραχὺ γειτνιάσαντος; δυσχεραίνεις καθ' ἡμῶν, ἢ ἐκκεκώ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φοβεῖ, ἢ καὶ τοῦ χειρὸς παλαιστήσοντά σε μένεις;
Κει. ὦ Τειεφῶν, μέγαν τινα, καὶ ἠρτημένον λό-
γον ἀκήκοα, καὶ πολλοῖς ὁδοῖς διενηλημμένον.
καὶ ἔτι ἀναπεμπάζω τοὺς ὕθλους, καὶ τὰς ἀκοὰς ἀ-
ποφάττω, μή που ἔτι ἀκούσαιμι ταῦτα, καὶ ἀπο-
ψύξω ἐκμανείς, καὶ μῦθος τοῖς ποιηταῖς γενήσο-
μαι, ὡς καὶ Νιόβη πρίν. ἀλλὰ κατὰ κρημνὸν
ὠθούμην ἂν ἐπὶ κεφαλῆς σκοτοδινήσας, εἰ μὴ
ἐπέκραξάς μοι ὦ τᾶν. καὶ τὸ τοῦ Κλεομβρότου
πήδημα τοῦ ἀμβρακιώτου ἐμυθεύθη ἐπ' ἐμοί.
Τει. Ἡράκλεις τῶν θαυμασίων ἐκείνων φασμά-
των, ἢ ἀκουσμάτων, ἀπὸ Κειτίου ἐξέπληξαν.
πόσοι τ' ἐμβρόντητοι ποιηταί, καὶ παραλογί-
αι φιλοσόφων, οὐκ ἐξέπληξάν σου τὴν διάνοι-
αν, ἀλλὰ λῆρος πάντα γέγονεν ἐστί σοι. Κει. πέ-
παυσο ἐς μικρόν, καὶ μηκέτι παρενοχλήσῃς ὦ
Τειεφῶν. οὐ γὰρ παροπτέος, ἢ ἀμελητέος γενήσῃ
παρ' ἐμοῦ. Τει. οἶδ' ὅτι οὐ μικρόν, οὐδὲ εὐ-
καταφρόνητον πρᾶγμα ἀνακυκλεῖς, ἀλλὰ καὶ
λίαν τῶν ἀποῤῥήτων. ὁ γὰρ χρώς, καὶ τὸ ταυρηδὸν
ἐμβλέπειν, καὶ τὸ ἄστατον τῆς βάσεως, τὸ ἄνω τε,
καὶ κάτω διαπλέειν, ἀθίγνωτόν σε καθίστησιν.
ἀλλ' ἄμπνευσον τοῦ δεινοῦ, ἐξέμεσον τοὺς ὕθλους,
μή τι κακὸν πάθῃς. Κει. σὺ μὲν ὦ Τειεφῶν,
ὅσον πέλεθρον ἀνάδραμε ἀπ' ἐμοῦ, ἵνα μὴ τὸ
πνεῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πνεῦμα ἐξάρῃ σε, καὶ πολέμιος τοῖς πολλοῖς ἀ-
ναφανῇς. καί που καταπεσὼν, ξιεφώντεον πέ-
λαγος κατανομάσῃς, ὡς ὁ Ἴκαρος τὸ πρίν. ἀ-
κὰρ ἀκήκοα τήμερον παρὰ τῶν ξισκατπάτων
ἐκείνων σοφιστῶν, μεγάλους ἐξώγκωσέ μου τὴν
νηδύν. Τει. ἐγὼ μὲν, ἀναδραμοῦμαι ὁπόσον
καὶ βούλει. σὺ δὲ, ἄμπνευσον τοῦ δεινοῦ. Κει.
φῦ, φῦ, φῦ, φῦ, τῶν ὕθλων ἐκείνων. ἰοὺ, ἰοὺ, ἰοὺ,
ἰοὺ, τῶν δεινῶν βουλευμάτων. αἶ, αἶ, αἶ, αἶ, τῶν
κενῶν ἐλπίδων. Τει. βαβαὶ τοῦ ἀναφυσήμα-
τος, ὡς τὰς νεφέλας διέστρεψε. ζεφύρου γὰρ
ἐπιπνέοντος λάβρου, καὶ τοῖς κύμασιν ἐπωθίζον-
τος, βορέαν ἄρτι ἀνὰ τὴν Προποντίδα κεκίνη-
κας, ὡς διὰ κάλων αἱ ὁλκάδες εἰς τὸν Εὔξεινον
πόντον οἰχήσονται, τῶν κυμάτων ἐπικυλιν-
δούντων ἐκ τοῦ φυσήματος. ὅσον δὲ οἴδημα τοῖς ἐγκά-
τοις ἐνέκειτο. πόσος κορκορυγμὸς, καὶ κλόνος τὴν
γαστέρα συνετάραξε. πολύωρον σεαυτὸν ἀ-
ναπέφηνας, τοσαῦτα ἀκηκοώς. ὡς καὶ κατὰ
τὸ τερατῶδες, καὶ διὰ τῶν ὀνύχων ἠκηκοέναι. Κει.
οὐ παράδοξόν ποτε Τειεφῶν ἀκηκοέναι καὶ ἐξ ὀνύ-
χων. τὸ τὴν κνήμην γαστέρα τεθεῖσθαι, τὸ κεφα-
λὴν κύουσαν, καὶ ἀνδρείαν φύσιν, ἐς γυναικείαν
ἐνεργοῦ βαρῦσαν, καὶ ἐκ γυναικῶν ὄρνεα μεταβαλ-
λόμενα. τὸ ὅλως, τερατώδης ὁ βίος, εἰ βούλει

πιστεύειν τοῖς ποιηταῖς. ἀλλ' ἐπεὶ σὲ προὔργου κιχάνω τῷδ' ἐνὶ χώρῳ, ἀπίωμεν ἔνθα αἱ πλάτανοι τὸν ἥλιον εἴργουσιν, ἀηδόνες δὲ, καὶ χελιδόνες εὔηχα κελαδοῦσιν, ἵν' ἡ μελῳδία τῶν ὀρνέων τὰς ἀκοὰς ἐνηδύνουσα, τό, τε ὕδωρ ἠρέμα κελαρύζον, τὰς ψυχὰς καταθέλξειε. ΤΡΙ. Ἴωμεν ὦ Κριτία. ἀλλὰ δέδια μή που ἐπῳδὴ τὸ ἠκουσμένον ἐστὶ, καί με ὕπερον, ἢ θύρετρον, ἢ ἄλλο τι τῶν ἀψύχων ἀπεργάσηται ἡ θαυμασία σου αὕτη κατάπληξις. ΚΡΙ. Νὴ τὸν Δία τὸν αἰθέριον, οὐ τοῦτο γενήσεταί σοι. ΤΡΙ. Ἔτι με ἐξεφόβησας, τὸν Δία ἐπομοσάμενος. τί γὰρ ἂν δυνήσηται ἀμύνασθαί σε, εἰ παραβαίης τὸν ὅρκον; οἶδα γὰρ καὶ σὲ μὴ ἀγνοεῖν περὶ τοῦ Διός σου. ΚΡΙ. Τί λέγεις; οὐ δυνήσεται ὁ Ζεὺς ἐς τάρταρον ἀποπέμψαι; ἢ ἀγνοεῖς ὡς τοὺς θεοὺς πάντας ἀπέρριψεν ἀπὸ τοῦ θεσπεσίου βηλοῦ, τὸν Σαλμωνέα ἀντιβροντῶντα, πρώην κατεκεραύνωσε, καὶ τοὺς ἀσεβεστάτους ἔτι καὶ νῦν, παρὰ δὲ τῶν ποιητῶν, Τιτανοκράτωρ, τὸν Γιγαντολέτης ἀνυμνεῖται, ὡς καὶ παρ' Ὁμήρῳ; ΤΡΙ. Σὺ μὲν ὦ Κριτία, πάντα παρέδραμες τὰ τοῦ Διός. ἀλλ' εἴ σοι φίλον, ἄκουε. οὐχὶ κύκνος οὗτος ἐγένετο, καὶ σάτυρος διὰ ἀσέλγειαν, ἀλλὰ καὶ ταῦρος; καὶ εἰ μὴ τὸ πορνίδιον ἐκεῖνος ταχέως ἐπωμίσατο, καὶ διέ-

φυγε

φορεῖ διὰ τοῦ πελάγους, τάχ' ἂν ἠροτεία, ἐντυχὼν γηπόνῳ, ὁ βροντοποιὸς, καὶ κεραυνοβόλος σὺ Ζεύς; καὶ ἀντὶ τοῦ κεραυνοβολεῖν, τῇ βουπλῆγι κατεκεντάννυτο; τὸ δὲ καὶ Αἰθίοψι συνευωχεῖσθαι, ἀνδράσι μελαντέροις, καὶ τὴν ὄψιν ἐζοφωμένοις, καὶ ἐς δώδεχ' ἡλίους μὴ ἀφίστασθαι, ἀλλ' ὑποβεβρεγμένον καθῆσθαι παρ' αὐτοῖς, πώγωνα τηλικοῦτον ἔχων, οὐκ αἰσχύνης ἄξια; τὰ δὲ τοῦ ἀετοῦ, καὶ τῆς Ἴδης, καὶ τὸ κυοφορεῖν καθ' ὅλου τοῦ σώματος, αἰσχύνομαι καὶ λέγειν. Κρι. μῶν τὸν Ἀπόλλωνά γ' ἐπομοσόμεθα, ὃς προφήτης ἄριστος, καὶ ἰητρὸς ὦγαθέ; Τρι. τὸν ψευδόμαντιν λέγεις; τὸν, Κροῖσον πρώην διολωλεκότα, καὶ μετ' αὐτὸν, Σαλαμινίους, καὶ ἑτέρους μυρίους, ἀμφίλοξα πᾶσι μαντευόμενος; Κρι. τὸν Ποσειδῶνα δέ τι; ὃς τρίαιναν ἐν ταῖν χεροῖν κρατῶν, καὶ διάτορόν τι, καὶ καταπληκτικὸν βοᾷ ἐν τῷ πολέμῳ, ὅσον ἐννεάχιλοι ἄνδρες, ἢ δεκάχιλοι. ἀλλὰ καὶ σεισίχθων ὦ Τριεφῶν ἐπονομάζεται. Τρι. τὸν μοιχὸν λέγεις; ὃς τὴν τοῦ Σαλμωνέως παῖδα τὴν Τυρὼ, πρώην διέφθειρε, καὶ ἔτι ἐπιμοιχεύει, καὶ ῥύστης, καὶ δημαγωγὸς τῶν τοιούτων ἐστί; τὸν δὲ Ἄρην ὑπὸ τοῦ δεσμοῦ πιεζόμενον, καὶ δεσμοῖς ἀλύτοις μετὰ τῆς Ἀφροδίτης στενούμενον, πάντων τε τῶν θεῶν δηγῆν μοι

χίαν ὑπ' αἰσχύνης σιωπώντων, ὁ ἵππειος Ποσει-
δῶν ἔκλυσε δακρυρροῶν, ὥσπερ τὰ βρεφύλλια,
τοὺς διδασκάλους δεδιότα, ἢ ὥσπερ αἱ γρᾶες,
κόρας ἐξαπατῶσι. ἐπέκειτο δὲ τῷ Ἡφαίστῳ
λῦσαι τὸν Ἄρεα. τὸ δὲ ἀμφίχωλον τοῦτο δαιμόνι-
ον, οἰκτεῖραν τὸν πρεσβύτην θεὸν, τὸν Ἄρη ἀπη-
λευθέρωσεν. ὥστε καὶ μοιχός ἐστιν, ὡς μοιχοὺς
διασώζων. Κει. Ἑρμείαν δὲ τί; Τει. μή
μοι τὸν κακόδουλον, τὸν ἀσελγέστατον τοῦ Διὸς, καὶ
τὸν ἀσελγομανοῦντα ἐπὶ τοῖς μοιχικοῖς. Κει.
Ἄρεα δὲ, καὶ Ἀφροδίτην οἶδα μὴ παραδέχεσθαί
σε, διὰ τὸ προδιαβληθῆναι πρώην παρὰ σοῦ. ὥσ-
τε ἐάσωμεν τούτους. τῆς Ἀθηνᾶς ἐπὶ ἐπιμνη-
σθήσομαι, τῆς παρθένου, τῆς ἐνόπλου, καὶ καταπλη-
κτικῆς θεᾶς. ἣ καὶ τὴν τῆς γοργόνος κεφαλὴν
ἐν τῷ στήθει περιάπτεται, τὴν γιγαντολέτιν θε-
όν. οὐ γὰρ ἔχεις τί λέγειν περὶ αὐτῆς. Τει. ἐρῶ
σοι καὶ περὶ ταύτης, ἤν μοι ἀποκρίνῃ. Κει.
λέγε ὅ, τι γε βούλει. Τει. εἰπέ μοι ὦ Κειτία,
τί τὸ χρήσιμον τῆς γοργόνος, καὶ τί τῷ στήθει τοῦτο
ἡ θεὰ ἐπιφέρεται. Κει. ὡς φοβερόν τι θέαμα,
καὶ ἀποτρεπτικὸν τῶν δεινῶν. ἀλλὰ καὶ καταπλήσ-
σει τοὺς πολεμίους, καὶ ἑτεραλκέα τὴν νίκην ποι-
εῖ ὅπῃ γε βούλεται. Τει. μῶν καὶ διὰ τοῦτο ἡ γλαυ-
κῶπις ἀκαταμάχητος; Κει. καὶ μάλα.

Τει.

Τρι. καὶ δὴ τί οὐ τοῖς σώζειν δυναμένοις, ἀλ-
λὰ τοῖς σωζομένοις, μνεία καὶ ὁ μὲν ταυρωπὸς,
ἡ δ' αἰγῶν, ὡς ἡμᾶς ἀκαταμαχήτους ἐργάσων-
ται, ὥσπερ τὴν Ἀθηνᾶν; Κρι. ἀλλ' οὐ οἱ δυνά-
μεις γε πόῤῥωθεν ἐπιβοηθεῖν, ὥσπερ τοῖς θεοῖς,
ἀλλ' εἴ τις αὐτὴν ἐπιφέρεται. Τρι. καὶ τί τό-
δ' ἐστιν; ἐθέλω γὰρ περὶ σοῦ εἰδέναι, ὡς ἐξευρη-
μένου τὰ τοιαῦτα, καὶ ἐς μάλιστα κατωρθωκό-
τος. ἀγνοῶ γὰρ πάντα τὰ κατ' αὐτὴν, πλήν γε
τοῦ ὀνόματος. Κρι. αὕτη κόρη ἐγένετο εὐπρε-
πὴς, καὶ ἐπέραστος. Περσέως δὲ ταύτην δόλῳ ἀ-
ποδειροτομήσαντος, ἀνδρὸς γενναίου, καὶ ἐς μα-
γικὴν εὐφημουμένου, ἐπαοιδίαις ταύτην περι-
ῳδήσαντος, ἄλκαρ οἱ θεοὶ ταύτην ἐσχήκασι.
Τρι. τοῦτό μ' ἐλάνθανέ ποτε τὸ καλὸν, ὡς
ἀνθρώπων θεοὶ ἐνδεεῖς εἰσι. ζώσης δὲ, τί τὸ χρή-
σιμον; προσῆπται εἰ ζῆτο ἐς πανδοχεῖον, ἢ κρυ-
φίως συνεφθείρετο, καὶ κόρην αὐτὴν ἐπωνόμα-
ζε. Κρι. νὴ τὸν ἄγνωστον ἐν Ἀθήναις, παρθένος
διέμεινε μέχρι τῆς ἀποτομῆς. Τρι. καὶ εἴ τις
παρθένον καρατομήσειε, ταυτὸ γένοιτο φόβητρον
τοῖς πολλοῖς. οἶδα γὰρ μυρίας διαμελεϊστὶ τμη-
θείσας νήσῳ ἐν ἀμφιρύτῃ, Κρήτην δέ μιν κα-
λέουσι. καὶ εἰ τοῦτο ἐγίνωσκον ὦ καλὲ Κριτία,
πόσας γοργόνας σοι ἀνήνεγκον ἐκ Κρήτης, καὶ σὲ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στρατηγέτην ἀκαταμάχητον ἀπεκατέστησε, ποιηταὶ δὲ καὶ ῥήτορες, κατὰ πολύ με Περσέως διέκειναν, ὡς πλείονας προγόνας ἐφευρηκότα; ἀλλ' ἔτι ἀνεμνήσθην τὰ τῶν Κρητῶν, οἳ τάφον ἐπεδείκνυντό μοι τοῦ Διός σου, καὶ τὰ τὴν μητέρα θρέψαντα λόχμια, ὡς ἀειθαλεῖς αἱ λόχμαι αὗται διαμένουσι. Κρι. ἀλλ' οὐκ ἐγίνωσκες τὴν ἐπῳδὴν, καὶ τὰ ὄργια. Τρι. εἰ ταῦτα ὦ Κριτία ἐξ ἐπῳδῆς ἐγίνετο, τάχ' ἂν καὶ ἐκ νεκάδων ἐξήνεγκεν ἄν, καὶ ἐς τὸ γλυκύτατον φάος ἀνήγαγεν. ἀλλὰ λῆρος, παίγνιά τε, καὶ μῦθοι, παρὰ τῶν ποιητῶν τερατολογούμενα. ὥστε ἔασον καὶ ταύτην. Κρι. Ἥραν δὲ τὴν Διὸς γαμετὴν, καὶ κασίγνητον, οὐ παραλέξῃ; Τρι. σίγα τῆς ἀσελγεστάτης ἕνεκα μίξεως, καὶ τὴν ἐκ ποδοῖν, καὶ χεροῖν ἐκτεταμένην, παράδραμε. Κρι. καὶ τίνα ἐπομόσωμαί γε; Τρι. ὑψιμέδοντα θεὸν, μέγαν, ἄμβροτον, οὐρανίωνα, υἱὸν πατρὸς, πνεῦμα ἐκ πατρὸς ἐκπορευόμενον, ἓν ἐκ τριῶν, καὶ ἐξ ἑνὸς τρία ταῦτα νόμιζε. Ζῆνα τόνδ' ἡγοῦ θεόν. Κρι. ἀριθμέειν με διδάσκεις, καὶ ὅρκος ἡ ἀριθμητική. καὶ γὰρ ἀριθμέεις ὡς Νικόμαχος ὁ Γερασηνός. οὐκ οἶδα γὰρ τί λέγεις, ἓν τρία, τρία ἕν. μὴ τὴν τετρακτὺν φῂς τὴν Πυθαγόρου, ἢ τὴν ὀγδοάδα,

ἄδα, καὶ τριακάδα; Τρι. σίγα τὰ νέρθε, καὶ τὰ σιγῆς ἄξια. οὐκ ἔστ' ὧδε μετρεῖν τὰ ψυλλῶν ἴχνη. ἐγὼ γάρ σε διδάξω τί τὸ πᾶν, καὶ τίς ὁ πρώην πάντων, καὶ τί τὸ σύστημα τοῦ παντός. καὶ γὰρ πρώην κἀγὼ ταῦτα ἔπασχον, ἅπερ σύ. ἡνίκα δέ μοι Γαλιλαῖος ἐνέτυχεν, ἀναφαλαντίας, ἐπίρρινος, ἐς τρίτον οὐρανὸν ἀεροβατήσας, καὶ τὰ κάλλιστα ἐκμεμαθηκώς, δι' ὕδατος ἡμᾶς ἀνεκαίνισεν, ἐς τὰ τῶν μακάρων ἴχνια παρεισώδευσε, καὶ ἐκ τῶν ἀσεβῶν χώρων ἡμᾶς ἐλυτρώσατο. καί σε ποιήσω ἤν μου ἀκούσῃς, ἐπ' ἀληθείας ἄνθρωπον. Κρι. λέγε ὦ πολυμαθέστατε Τριεφῶν. διὰ φόβου γὰρ ἔρχομαι. Τρι. ἀνέγνωκάς ποτε τὰ τοῦ Ἀριστοφάνους τοῦ δραματοποιοῦ ὄρνιθας ποιήματα; Κρι. καὶ μάλα. Τρι. ἐγκεχάρακται παρ' αὐτῷ τοιόνδε. χάος ἦν καὶ νύξ, ἔρεβός τε μέλαν πρῶτον, καὶ τάρταρος εὐρύς. γῆ δ', οὐδ' ἀὴρ, οὐδ' οὐρανὸς ἦν. Κρι. εὖ λέγεις. εἶτα τί ἦν; Τρι. ἦν φῶς ἄφθιτον, ἀόρατον, ἀκατανόητον, ὃ λύει τὸ σκότος, καὶ τὴν ἀκοσμίαν ταύτην ἀπήλασε. λόγῳ μόνῳ ῥηθέντι ὑπ' αὐτοῦ, ὡς ὁ βραδύγλωσσος ἀπεγράψατο, γῆν ἔπηξεν ἐφ' ὕδασιν. οὐρανὸν ἐτάνυσεν. ἀστέρας ἐμόρφωσεν ἀπλανεῖς. δρόμον διετάξατο, οὓς σὺ σέβῃ θεούς. γῆν δὲ τοῖς

ἄνθεσιν ἐκαλλώπισεν. ἄνθρωπον ἐκ μὴ ὄντων εἰς
τὸ εἶναι παρήγαγε. ὁ ἐστὶν ἐν οὐρανῷ βλέπων δικαί
ους τε, καὶ ἀδίκους, ὁ ἐν βίβλοις τὰς πράξεις ἀ-
πογραφόμενος, ἀνταποδώσει γὰρ πᾶσιν, ἣν ἡμέ-
ραν αὐτὸς ἐνετείλατο. Κρι. τὰ δὲ τῶν μοιρῶν
ἐπινενοημένα ἐς ἅπαντας, ἐγκρατέστερά εἰσι καὶ
ταῦτα; Τρι. τὰ ποῖα; Κρι. τὰ τῆς εἱμαρ-
μένης. Τρι. λέγε ὦ καλὲ Κριτία περὶ τῶν
μοιρῶν. ἐγὼ δὲ μαθητιῶν ἀκούσαιμι περὶ σοῦ.
Κρι. οὐχ Ὅμηρος ὁ ἀοίδιμος ποιητὴς εἴρηκε,
„ Μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀν
„ δρῶν. ὅτι δὲ τοῦ μεγάλου Ἡρακλέους,
„ Οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆος φύγε κῆρα,
„ Ὅσπερ φίλτατος ἔσκε Διῒ Κρονίωνι ἄνακτι,
„ Ἀλλά ἑ μοῖρ' ἐδάμασσε, καὶ ἀργαλέος χόλος
ἀλλὰ καὶ ὅλον τὸν βίον καθειμάρθαι, καὶ (Ἥρης.
τὰς ἐν τούτῳ μεταβολάς. ἔνθα δ' ἔπειτα,
„ Πείσεται ἅσσα οἱ αἶσα, κατακλῶθές τε βαρεῖαι.
„ Γιγνομένῳ νήσαντο λίνῳ, ὅτε μιν τέκε μήτηρ.
καὶ τὰς ἐν ξένῃ ἐποχάς, ἀπ' ἐκείνης γίνεσθαι.
„ Ἠδ' ὡς Αἴολον ἱκόμεθ', ὅς με πρόφρων ὑπέδεκτο
„ καὶ πέμπ', οὐδέ πω αἶσα φίλην ἐς πατρίδ' ἱκέσθαι.
ὥστε πάντα ὑπὸ τῶν μοιρῶν γίνεσθαι ὁ ποιητὴς
μεμαρτύρηκε. τὸν δὲ Δία μὴ θελῆσαι τὸν υἱὸν
„ θανάτοιο δυσηχέος ἐξαναλῦσαι, ἀλλὰ μᾶλλον

Αἷμα

Αἱματοέσσας ψιάδας κατέχευεν ἔραζε.
Παῖδα φίλον τιμῶν, τόν οἱ Πάτροκλος ἔμελλε
Φθίσειν ἐν Τροίῃ.

ὥστε ὦ Τριεφῶν, διὰ τοῦτο μηδὲν προσθεῖναι περὶ τῶν μοιρῶν ἐθελήσῃς, εἰ καὶ τάχα πεδάρσιος ἐγγένου μετὰ τοῦ διδασκάλου, καὶ τὰ ἀπόρρητα ἐμυήθης. ΤΡΙ. καὶ πῶς ὁ αὐτὸς ποιητὴς ὦ καλὲ Κριτία, διττὴν ἐπιλέγει τὴν εἱμαρμένην, καὶ ἀμφίβολον; ὡς τόδε μέν τι πράξαντι, τοιῷδε τέλει συγκυρῆσαι. τοῖον δὲ ποιήσαντι, ἑτέρῳ τέλει ἐντυχεῖν. ὡς ἐπ᾽ Ἀχιλλέως.

Διχθαδίας κῆρας φερέμεν θανάτοιο τέλοσδε.
Εἰ μέν κ᾽ αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι
Ὤλετο μέν μοι νόστος. ἀτὰρ κλέος ἄφθιτον ἔσται.
Εἰ δέ κεν οἴκαδ᾽ ἵκωμαι,
Ὤλετό μοι κλέος ἐσθλόν, ἐπὶ δηρὸν δέ μοι αἰὼν
ἔσσεται.

ἀλλὰ καὶ ἐπὶ Εὐχήνορος,

Ὅς ῥ᾽ εὖ εἰδὼς κῆρ᾽ ὀλοὴν, ἐπὶ νηὸς ἔβαινε.
Πολλάκι γάρ οἱ ἔειπε γέρων ἀγαθὸς Πολύϊδος,
Νούσῳ ὑπ᾽ ἀργαλέῃ φθίσθαι οἷς ἐν μεγάροισιν,
Ἢ μετ᾽ Ἀχαιῶν νηυσὶν ὑπὸ Τρώεσσι δαμῆναι.

Οὐχὶ παρ᾽ Ὁμήρῳ ταῦτα γέγραπται, ἢ ἀμφίβολος αὕτη, καὶ ἀμφίκρημνος ἀπάτη; εἰ δὲ βούλει καὶ τοῦ Διὸς ἐπιθήσω σοι τὸν λόγον, οὐχὶ τῷ Αἰγίσθῳ εἴρηκεν ὡς ἀπεχομένῳ μὲν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περὶ μοιχείας, καὶ περὶ Ἀγαμέμνονος ἐπιβουλῆς, ζῆν καθείμαρται πλὴν χρόνον, ἐπιβαλλομένῳ δὲ ταῦτα πράττειν, οὐ καθυστερεῖν θανάτου; τοῦτο κἀγὼ πολλάκις προὐμαντευσάμην, ἐὰν κτάνῃς τὸν πλησίον, θανατωθήσῃ παρὰ τῆς δίκης. εἰ δέ γε μὴ τοῦτο πράξῃς, βιώσῃ καλῶς, οὐδέ σ' ὦκα θέμις τέλος θανάτοιο κιχείη. οὐχ ὁρᾷς ὡς ἀδιόρθωτα τὰ τῶν ποιητῶν, καὶ ἀμφίλοξα, καὶ μηδέπω ἡρμηνευμένα; ὥστε ἔασον ἅπαντα, ὡς καὶ σὲ ἐν ταῖς ἐπουρανίοις βίβλοις τῶν ἀγαθῶν ἀπογράψωνται. Κρι. εὖ πάντα ἀνακυκλεῖς ὦ Τριεφῶν. ἀλλά μοι τόδε εἰπὲ, εἰ καὶ τὰ τῶν Σκυθῶν ἐν τῷ οὐρανῷ ἐγχαράττουσι. Τρι. πάντα, εἰ τύχοι γε χρηστὸς καὶ ἐν ἔθνεσι. Κρι. πολλούς γε γραφέας φὴς ἐν τῷ οὐρανῷ, ὡς ἅπαντα ἀπογράφεσθαι. Τρι. εὐστόμει, καὶ μηδὲν εἴπῃς φλαῦρον θεοῦ δεξιοῦ. ἀλλὰ κατηχούμενος, πείθου παρ' ἐμοῦ, εἴπερ ζῆν χρῄζεις εἰς τὸν αἰῶνα. εἰ οὐρανὸν ὡς δέρριν ἐξήπλωσε, γῆν δὲ ἐφ' ὕδατος ἔπηξεν, ἀστέρας ἐμόρφωσεν, ἄνθρωπον ἐκ μὴ ὄντος παρήγαγε, τί παράδοξον, καὶ τὰς πράξεις πάντων ἐναπογράφεσθαι; καὶ γάρ σοι οἰκίδιον κατασκευάσαντι, οἰκέτιδας δὲ, καὶ οἰκέτας ἐν αὐτῷ συναγαγόντι, οὐδέποτε σε διέλαθε τούτων πρᾶξις ἀπόβλητος,

πόσῳ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πόσῳ μᾶλλον τὸν πάντα περιηκότα θεὸν, οὐχ ἅπαντα ἐν εὐκολίᾳ διαδραμεῖν ἑκάστου πρᾶξιν, καὶ ἔννοιαν; οἱ γάρ σου θεοὶ, κότταβοι τοῖς εὖ φρονοῦσιν ἐγένοντο. ΚΕΙ. πάνυ εὖ λέγεις. καί με αὐτοστρόφως τῆς Νιόβης παθεῖν. ἐκ στήλης γὰρ ἀνθρώπου ἀναπέφηνα. ὥστε εἴπερ τὸν θεὸν προστιθῶ σοι, μὴ κακόν τι πάθοιμι παρ' ἐμοῦ. ΤΕΙ. εἴπερ ἐκ καρδίας μου ὄντως φιλεῖς, μὴ ἕτερόν τι τεύξῃς ἐν ἐμοὶ, καὶ ἕτερον μὲν κεύσῃς ἐνὶ φρεσὶν, ἄλλο δὲ εἴπῃς. ἀλλ' ἄγε δὴ τὸ θαυμάσιον ἐκεῖνο ἀκουσμάτιον ᾆσον, ὅπως κἀγὼ κατωχειάσω, καὶ ὅλως ἀλλοιωθῶ, καὶ οὐχ ὡς ἡ Νιόβη ἀπαυδήσω, ἀλλ' ὡς ἀηδὼν ὄρνεον γενήσομαι, καὶ τὴν θαυμασίαν σου ἔκπληξιν κατ' αἰθηρὸν λειμῶνα ἐκτραγῳδήσω. ΚΕΙ. νὴ τὸν υἱὸν τὸν ἐκ πατρὸς, οὐ τοῦτο γενήσεται. ΤΕΙ. λέγε, παρὰ τοῦ πνεύματος δύναμιν τοῦ λόγου λαβών. ἐγὼ δὲ καθεδοῦμαι, δέγμενος αἰακίδην ὁπότε λήξειεν ἀείδων. ΚΕΙ. ἀπήειν οὖν τὴν λεωφόρον, ὠνησόμενός τε τὰ χρειωδέστατα. καὶ δὴ ὁρῶ πλῆθος πάμπολυ ἐς τοὺς ψιθυρίζοντας. οὗτοι δὲ τῇ ἀκοῇ ἔφυρον τοῖς χείλεσιν. ἐγὼ δὲ παπτήνας ἐς ἅπαντας, καὶ τὴν χεῖρα τοῖς βλεφάροις ὑποκάμψας, ἐσκοπίαζον ὀξυδερκέστατα, εἴ πού γέ τινα τῶν φίλων θεάσωμαι. ὁρῶ δὲ Κρα-

τῶνα τὸν πολιτικόν, πάνυ δ' ὅθεν φίλον ὄντα, καὶ συμποτικόν. Τρι. αἰσθάνομαι τοῦτον. τὸν ἐξίσω τὴν ἤτ' εἴρηκας. εἶτα τί; Κρι. ἤδη πολλοῖς παραγκωνισάμενος, ἧκον ἐς τὰ πρόσω. καὶ τὸ ἑωθινὸν χαῖρε εἰπών, ἐχώρουν ὡς αὐτόν. ἀνθρωπίσκος δέ τις, τοὔνομα Χαρίκενος, σεσημμένον γερόντιον, ῥέγχον τῇ ῥινί, ὑπέβηττε μύχιον, ἐχρέμπτετο ἐπισεσυρμένον. ὁ δὲ πτύελος, κυανώτερος θανάτου. εἶτα ἤρξατο ἐπιφθέγγεσθαι κατεσχνημένον. οὗτος ὡς προεῖπεν, τοὺς τῶν ἐξίσω τῶν καταλείπει ἐλειπασμούς, καὶ τὰ χρέα τοῖς δανεισταῖς ἀποδώσει, καὶ τά, τε ἐνοίκια πάντα, καὶ τὰ δημόσια, καὶ τὰς εἰραμάγγας δέξεται, μὴ ἐξετάζων τῆς τέχνης. καὶ κατεφλυάρει ἐπὶ πικρότερα. οἱ περὶ αὐτὸν δέ, ἥδοντο τοῖς λόγοις, καὶ τῷ καινῷ τῶν ἀκουσμάτων προσέκειντο. ἕτερος δὲ τοὔνομα Χλευόχαρμος, τριβώνιον ἔχων πολύσαθρον, ἀνυπόδετός τε, καὶ ἄσκεπος, μετέειπε, τοῖς ὀδοῦσιν ἐπικροτῶν, ὡς ἐπεδείξατό μοι τίς κακοείμων, ἐξ ὀρέων παραγενόμενος, κεκαρμένος τὴν κόμην, ἐν τῷ θεάτρῳ ἀναπεγραμμένον ὄνομα ἱερογλυφικοῖς γράμμασιν, ὡς οὗτος τῷ χρυσῷ ἐπικλύσει τὴν λεωφόρον. ἦν δ' ἔσω, κατὰ μὲν τὰ Ἀλεξάνδρου, καὶ Ἀρτεμιδώρου, οὐ καλῶς ἀποβήσονται. ταῦτά

π τά

γε τὰ ἐνύπνια ἐν ὑμῖν. ἀλλὰ σοὶ μὲν, τὰ χρέα πληθυνθήσεται ἀναλόγως τῆς ἀποδόσεως. οὗτος δὲ, ἐπὶ πολὺ τοῦ ὀβολοῦ στερηθήσεται, ὡς πολλοῦ χρυσίου εὐπορηκώς. καὶ ἔμοιγε δοκεῖτε ἐπὶ λευκάδα πέτρην, καὶ δῆμον ὀνείρων καταδαρθέντες, τοσαῦτα ὀνειροπολεῖν ἐν ἀκαρεῖ τῆς νυκτὸς οὔσης. οἱ δὲ, ἀνεκάγχασαν ἅπαντες, ὡς ἀποπνιγέντες ὑπὸ τοῦ γέλωτος, καὶ τῆς ἀμαθίας μου κατεγίνωσκον. ἦν δ' ἐγὼ πρὸς Κράτωνα, μῶν κακῶς πάντα διεξερρίνισα, ἵν' εἴπω τι κωμικευσάμενος, καὶ οὐ κατὰ Ἀρίστανδρον τὸν Τελμισέα, καὶ Ἀρτεμίδωρον τὸν ἐφέσιον διίχνευσα τοῖς ὀνείρασιν; ἠδ' ὅς, σίγα ὦ Κρατία, εἰ ἐχεμυθεῖς, μυσταγωγήσω σε τὰ κάλλιστα, καὶ τὰ νῦν γενησόμενα. οὐ γὰρ ὄνειροι ταῦτ' εἰσὶν, ἀλλ' ἀληθῆ. ἐκβήσονται δὲ εἰς μῆνα μεσωρεί. ταῦτα ἀκηκοὼς παρὰ τοῦ Κράτωνος, καὶ τὸ ὀλισθηρὸν τῆς διανοίας αὐτῶν κατεγνωκὼς, ἠρυθρίασα. καὶ σκυθρωπάζων ὑπορευόμην, πολλὰ τὸν Κράτωνα ἐπιμεμφόμενος. εἷς δὲ, δριμὺ, καὶ πιθανῶδες ἐνιδὼν, δραξάμενός μου τοῦ λώπους, ἐσπάραξε, ῥῆξιν ποιήσασθαι πειθόμενός τε, καὶ περινυττόμενος παρὰ τοῦ πεπλανωμένου ἐκείνου δαιμονίου. εἰς λόγους δὲ ταῦτα προεκτείναντες,

πείθει με τὸν κακοδαίμονα εἰς γόητας ἀνθρώπους παραγενέσθαι, καὶ ἀποφάδι τὸ δὴ λεγόμενον ἡμέρᾳ, συγκυρῆσαι. ἔφασκε γὰρ πάντα ἐξ αὐτῶν μυσταγωγηθῆναι. καὶ δὴ διήλθομεν Σιδηρέας τε πύλας, καὶ χαλκέους οὐδούς. ἀναβάθρας δὲ πλείστας περικυκλωσάμενοι, ἐς χρυσόροφον οἶκον ἀνήλθομεν, οἷον Ὅμηρος τὸν Μενελάου φησί. καὶ δὴ ἅπαντα ἐσκοπίαζον, ὅσα ὁ νησιώτης ἐκεῖνος νεανίσκος. ὁρῶ δὲ οὐχ Ἑλένην μὰ Δί', ἀλλ' ἄνδρας ἐπικεκυφότας, καὶ κατωχριωμένους. οἱ δὲ, ἰδόντες, γήθησαν, καὶ ἐξεναντίας παρεγένοντο. ἔφασκον γὰρ, ὡς εἴ τινα λυγρὰν ἀγγελίαν ἀγάγοιμεν. ἐφαίνοντο γὰρ οὗτοι ὡς τὰ κάκιστα εὐχόμενοι, καὶ ἔχαιρον ἐπὶ τοῖς λυγροῖς, ὥσπερ αἱ ποινοποιοὶ ἐν θέατρα. τὰς κεφαλὰς δ' ἄγχι σχόντες, ἐψιθύριζον. μετὰ δὲ ταῦτα, ἤροντό με,

» Τίς, πόθεν εἰς ἀνδρῶν, πόθι τοι πόλις, ἠδὲ τοκῆες.

χρηστὸς γὰρ ἂν εἴης, ἀπό γε τοῦ σχήματος. ἦν δ' ἐγὼ, ὀλίγους γε χρηστοὺς, ὥσπερ βλέπω πανταχοῦ. Κριτίας δὲ τοὔνομα. πόλις δέ μοι ἔνθεν, ὅθεν καὶ ὑμῖν. ὡς δ' ἀεροβατοῦντες ἐπυνθάνοντο, πῶς τὰ τῆς πόλεως, καὶ τὰ τοῦ κόσμου, ἦν δ' ἐγὼ, χαίρουσί γε πάντες, καὶ ἔτι χαιρήσουσι. οἱ δὲ, ἀνένευον ταῖς ὀφρύσιν, οὐχ οὕτω. δυστοκεῖ γὰρ ἡ πόλις,

λις. ἣν δ' ἐγὼ κατὰ τὴν αὐτῶν γνώμην, ὑμεῖς πεδάρσιοι ὄντες, καὶ ὡς ἀπὸ ὑψηλοῦ ἅπαντα καθορῶντες, ὀξυδερκέστατα καὶ τάδε νενοήκατε· πῶς δὲ τὰ τοῦ αἰθέρος; μῶν ἐκλείψει ὁ ἥλιος; ἡ δὲ σελήνη κατὰ κάθετον γενήσεται; ὁ Ἄρης εἰ τετραγωνήσει τὸν Δία, καὶ ὁ Κρόνος διαμετρήσει τὸν ἥλιον, ἡ Ἀφροδίτη εἰ μετὰ τοῦ Ἑρμοῦ συνοδεύσει, καὶ ἑρμαφροδίτους ἀποκυήσουσιν, ἐφ' οἷς ὑμεῖς ἥδεσθε, εἰ ῥαγδαίους ὑετοὺς ἐκπέμψουσιν, εἰ νιφετὸν πολὺν ἐπιστρωννύουσι τῇ γῇ, χάλαζαν δὲ, καὶ ἐρυσίβην εἰ κατάξουσι, λοιμὸν, καὶ λιμὸν εἰ ἐπιπέμψουσιν, εἰ τὸ κεραυνοβόλον ἀγγεῖον ἀπεγεμίσθη, καὶ τὸ βροντοποιὸν δοχεῖον ἀνεμεστώθη. οἱ δὲ, ὡς ἅπαντα κατωρθωκότες, κατεφλυάρουν τὰ αὐτῶν ἐράσμια, ὡς μεταλλαγῶσι τὰ πράγματα. ἀταξίαι δὲ, καὶ ταραχαὶ τὴν πόλιν καταλήψονται. τὰ στρατόπεδα, ἥττονα τῶν ἐναντίων γενήσονται. ἐγὼ ἐκταραχθεὶς, καὶ ὥσπερ πρῖνος καόμενος οἰδηθεὶς, διάπρυσον ἀνεβόησα, ὦ δαιμόνιοι ἀνδρῶν, μὴ μεγάλα λίαν λέγετε, θήγοντες ὀδόντας κατ' ἀνδρῶν θυμολεόντων, πνεόντων δόρυ, καὶ λόγχας, καὶ λευκολόφους τρυφαλείας. ἀλλὰ ταῦθ' ὑμῖν εἰς κεφαλὴν καταβήσεται, ὡς τὴν πατρίδα ὑμῶν κατατρύχετε. οὐ γὰρ αἰθεροβατοῦντες, ταῦτα ἠκηκόητε. οὐ τὴν πολυάσχολον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μαθηματικὴν κατωρθώκατε. εἰ δέ τι μαντεῖαι, καὶ γοητεῖαι ὑμᾶς παρέπεισαν, διπλοῦν τὸ τῆς ἀμαθίας. γυναικῶν γὰρ εὑρέματα ταῦτα γραϊδίων, καὶ παίγνια. ἐπιπολὺ γὰρ τὰ τοιαῦτα αἱ τῶν γυναικῶν ἐπίνοιαι μετέρχονται. Τρι. τί δὲ πρὸς ταῦτα ἔφησαν ὦ καλὲ Κριτία οἱ κεκαρμένοι τὴν γνώμην, καὶ τὴν διάνοιαν; Κρι. ἅπαντα ταῦτα παρέδραμον, εἰς ἐπίνοιαν τετεχνασμένην καταπεφευγότες. ἔλεγον γὰρ ἡλίους δέκα ἄσιτοι διαμένουμεν. καὶ ἐπὶ παννύχοις ὑμνῳδίαις ἐπαγρυπνοῦντες, ὀνειρώττομεν τὰ τοιαῦτα. Τρι. σὺ δὲ τί πρὸς αὐτοὺς εἴρηκας; μέγα γὰρ ἔφησαν, καὶ διηπορημένον. Κρι. θάρσει. οὐκ ἀγεννές. ἀντεῖπον γὰρ τὰ κάλλιστα. τὰ γὰρ παρὰ τῶν ἀστικῶν θρυλλούμενα ἔφην περὶ ὑμῶν, ὁπόταν ὀνειροπολεῖτε, τὰ τοιαῦτά που παρεισάγονται. οἱ δὲ, σεσηρὸς ὑπομειδιῶντες, ἔξω που παρέρχονται τοῦ κλινιδίου. ἦν δ' ἐγὼ, εἰ ἀληθῆ εἰσι ταῦτα ὦ αἰθέριοι, οὐκ ἄν ποτε ἀσφαλῶς τὰ μέλλοντα διιχνεύσητε. ἀλλὰ καταπεισθέντες ὑπ' αὐτῶν, ληρήσετε τὰ μὴ ὄντα, μὴ γενησόμενα. ἀλλὰ ταῦτα μὲν οὐκ οἶδ' ὅπως ληρεῖτε, ὀνείροις πιστεύοντες. καὶ τὰ κάλλιστα βδελύττεσθε, τοῖς δὲ πονηροῖς ἥδεσθε, μηδὲν ὀνούμενοι τοῦ βδελύγματος. ὥστε ἐάσατε τὰς ἀλλο

κότους

κόρης ταύτας φαντασίας, καὶ τὰ πονηρὰ βου-
λεύματα, καὶ μαντεύματα, μή που θεὸς ὑμᾶς
ἐς κόρακας βάλοι, δι᾽ ὧν τῇ πατρίδι ἐπηρᾶσθε,
καὶ λόγοις κιβδήλοις ἐπιφημίζειν. οὗτοι γὰρ ἅπαν-
τες ἕνα θυμὸν ἔχοντες, ἐμοὶ πολλὰ κατεμέμ-
φοντο. καὶ εἰ βούλει, καὶ τάχα προστιθῶ σοι, ἅτινά
με καὶ ὡς στήλην ἀναιδῶν ἔθηκαν, μέχρις ἂν ἡ χρη-
στὴ σοῦ λαλιὰ λιθούμενον ἀνέλυσε, καὶ ἄνθρω-
πον ἀπεκατέστησε. Τει. σίγα ὦ Κριτία, καὶ
μὴ ὑπερεκτείνῃς τοὺς ὕθλους. ὁρᾷς γὰρ ὡς ὀζώ-
γκωταί μου ἡ νηδὺς, καὶ ὥσπερ κυοφορῶ. ἐδήχ-
θην γὰρ τοῖς παρὰ σοῦ λόγοις, ὡς ὑπὸ κυνὸς
λυττῶντος. καὶ εἰ μὴ φάρμακον ληθεδανὸν ἐμ-
πιὼν ἠρεμήσω, αὕτη ἡ μνήμη οἰκουροῦσα ἐν ἐμοὶ,
μέγα κακὸν ἐργάσεται. ὥστε ἔασον τούτους,
τὴν εὐχὴν ἀπὸ πατρὸς ἀρξάμενος, καὶ τὴν πολυ-
ώνυμον ὠδὴν ἐς τέλος ἐπιθείς. ἀλλὰ τί τοῦτο;
οὐχὶ Κλεόλαος οὗτός ἐστιν, ὁ τοῖς ποσὶ μακρὰ
βιβάς, σπουδῇ δὲ ἥκει, καὶ κατέρχεται; μῶν
ἐπιφωνήσομεν αὐτῷ; Κρι. καὶ μάλα. Τει.
Κλεόλαε, μήτι παραδράμῃς γε ποσὶ, μὴ δὲ
παρέλθῃς, ἀλλ᾽ ἐλθὲ χαίρων, εἴ γέ που μῦθον
φέρεις. Κλε. χαίρετ᾽ ἄμφω ὦ καλὴ ξυνω-
ρίς. Τει. τίς ἡ σπουδή; ἀσθμαίνεις γὰρ ἐπι-
πολύ. μῶν τι καινὸν πέπρακται; Κλε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πέπτωκεν ὀφρῦς ἡ πάλαι βοωμένη Περσῶν, καὶ Σοῦσα, κλεινὸν ἄστυ. πέσει δ' ἔτι πᾶσα χθὼν Ἀραβίας, χειρὶ κρατοῦντος εὐσθενωτάτῳ κράτει. Κρι. τοῦτ' ἐκεῖνο ὡς ἀεὶ τὸ θεῖον οὐκ ἀμελεῖ τῶν ἀγαθῶν, ἀλλ' αὔξει, ἄγον ἐπὶ τὰ κρείττονα. ἡμεῖς δὲ ὦ Τριεφῶν, τὰ κάλλιστα εὑρηκότες ἐσμέν. ἐδυσχέραινον γὰρ ἐν τῇ ἀποβιώσει τί τοῖς τέκνοις καταλιπεῖν ἐπὶ ταῖς διαθήκαις. οἶδας γὰρ τὴν ἐμὴν πενίαν, ὡς ἐγὼ τὰ σά. τοῦτο ἀρκεῖ τοῖς παισίν, αἱ ἡμέραι τοῦ αὐτοκράτορος. πλοῦτος γὰρ ἡμᾶς οὐκ ἐκλείψει, καὶ ἔθνος ἡμᾶς οὐ καταπτοήσει. Τρι. κἀγὼ ὦ Κριτία, ταῦτα καταλείπω τοῖς τέκνοις, ὡς ἴδωσι Βαβυλῶνα ὀλλυμένην, Αἴγυπτον δουλουμένην, τὰ τῶν Περσῶν τέκνα δούλειον ἦμαρ ἄγοντα, τὰς ἐκδρομὰς τῶν Σκυθῶν παυομένας, εἴτ' οὖν ἀνακοπτομένας. ἡμεῖς δὲ τὸν ἐν Ἀθήναις ἄγνωστον ἐφευρόντες, καὶ προσκυνήσαντες, χεῖρας εἰς οὐρανὸν ἐκτείναντες, τούτῳ εὐχαριστήσομεν, ὡς καταξιωθέντες τοιούτου κράτους ὑπήκοοι γενέσθαι. τοὺς δὲ λοιποὺς, ληρεῖν ἐάσωμεν, ἀρκεσθέντες ὑπὲρ αὐτῶν εἰπεῖν, τὸ, οὐ φροντὶς Ἱπποκλείδῃ κατὰ τὴν παροιμίαν.

Οὗτος ὁ λόγος, νοθεύεται τῶν Λουκιανοῦ.

ΧΑΡΙ

# ΧΑΡΙΔΗΜΟΣ, Η ΠΕΡΙ ΚΑΛΛΟΥΣ, ΕΡΜΙΠΠΟΣ.

Περιπάτους ἔτυχον χθὲς ὦ Χαρίδημε ποιούμενος ἐν τῷ προαστείῳ, ἅμα μὲν καὶ τῆς παρὰ τῶν ἀγρῶν χάριν ῥαστώνης, ἅμα δὲ, ἔτυχον γάρ τι μελετῶν, καὶ δεόμενος ἡσυχίας. ἐντυγχάνω δὴ Προξένῳ τῷ Ἐπικράτους. προσειπὼν δὲ, ὥσπερ εἰώθειν, ἠρώτων ὅθεν τε πορεύοιτο, καὶ ὅποι βαδίζοι. ὁ δὲ, ἥκειν μὲν ἔφη καὶ αὐτὸς ἐκεῖ παραμυθίας χάριν, ἥπερ εἰώθει πρὸς τὴν ὄψιν γίνεσθαι τῶν ἀγρῶν, ἀπολαύσων δὲ καὶ τῆς τούτοις ἐπιπνεούσης εὐκράτου καὶ κούφης αὔρας, ἀπὸ συμποσίου μέντοι καλλίστου γεγονότος ἐν Πειραιεῖ, ἐν Ἀνδροκλέους τοῦ Ἐπιχάρους, τὰ ἐπινίκια τεθυκότος Ἑρμῇ. ὅτι δὲ βιβλίον ἀναγνοὺς, ἐνίκησεν ἐν Διασίοις, ἔφασκε δὴ ἄλλα τε πολλὰ γενέσθαι ἀστεῖα, καὶ χαρίεντα, καὶ δὴ καὶ κάλλους ἐγκώμια εἰρῆσθαι τοῖς ἀνδράσιν, ἃ ἐκεῖνον μὲν μὴ δύνασθαι εἰπεῖν ὑπό τε γήρως ἐπιλελησμένον. ἄλλως τε δὲ, καὶ οὐκ ὄντα πολὺ λόγων μετεσχηκότα. σὲ δὲ ἂν ῥαδίως εἰπεῖν, ἅτε καὶ αὐτὸν ἐγκεκωμιακότα, καὶ τοῖς ἄλλοις παρὰ τὸ ὅλον τὸ συμπόσιον προσεσχηκότα τὸν νοῦν. Χα. γέγονε ταῦτα, ὦ Ἕρμιππε, οὐ μέντοι που οὐδ' ἐμοὶ ῥάδιον ἐπ' ἀ-

κριβείας ἅπαντα διεξιέναι. οὐ γὰρ οἷόν τε ἦν πάν-
των ἀκούειν, θορύβου πολλοῦ γινομένου, τῶν τε
διακονουμένων, τῶν τε ἑστιωμένων, ἄλλως τε, καὶ
τῶν δυσχερεστέρων ὂν μεμνῆσθαι λόγους ἐν
συμποσίῳ γινομένους. οἶσθα γὰρ ὡς ἐπιλήσμο-
νας ποιεῖ καὶ τοὺς λίαν μνημονικωτάτους. πλὴν
ἀλλὰ σήν γε χάριν, ὡς ἂν οἷός τε ὦ, τὴν διήγησιν
πειράσομαι ποιεῖσθαι, μηδὲν παραλείπων,
ὧν ἂν ἐνθυμηθῶ. Ερ. τούτων μὲν δὴ ἕνεκα,
οἶδά σοι χάριν. ἀλλ' εἴ μοι τὸν πάντα λόγον ἐξ
ἀρχῆς ἀποδοίης, ὅ, τι τε ἦν ὅπερ ἀνέγνω βιβλί-
ον Ἀνδροκλῆς, τίνα τε νενίκηκε, καὶ τίνας ὑμᾶς
εἰς τὸ συμπόσιον κέκληκεν, οὕτως ἂν ἱκανὴν κα-
ταθεῖο τὴν χάριν. Χα. τὸ μὲν δὴ βιβλίον,
ἦν ἐγκώμιον Ἡρακλέους ἔκ τινος ὀνείρατος, ὡς
ἔλεγε, πεποιημένον αὐτῷ. νενίκηκε δὲ Διότι-
μον τὸν Μεγαρόθεν, ἀνταγωνισάμενον αὐτῷ πε-
ρὶ τῶν ἀσταχύων. μᾶλλον δὲ περὶ τῆς δόξης.
Ερ. τί δ' ἦν ὃ ἐκεῖνος ἀνέγνω βιβλίον; Χα.
ἐγκώμιον τοῖν Διοσκούροιν. ἔφασκε δὲ καὶ αὐ-
τὸς ἐκ μεγάλων κινδύνων ὑπ' ἐκείνων σεσω-
σμένος, ταύτην αὐτοῖς καταθεῖναι τὴν χάριν.
ἄλλως τε, καὶ ὑπ' ἐκείνων παρακεκλημένος, ἐ-
π' ἄκροις ἱστίοις ἐν τοῖς ἐσχάτοις κινδύνοις φα-
νέντων. παρῆσαν μέν τοι τῷ συμποσίῳ καὶ ἄλ-
λοι

λοι πολλοί, οἱ μὲν, συγγενεῖς αὐτοῦ. οἱ δὲ, καὶ ἄλλως συνήθεις. οἱ δὲ λόγου τε ἄξιοι, τό, τε συμπόσιον ὅλον κεκοσμηκότες, καὶ κάλλους ἐγκώμια διελθόντες, Φίλων τε ἦν ὁ Δεινίου, καὶ Ἀρίστιππος ὁ Ἀγαθοκλέους, καὶ τρίτος αὐτός. συγκατέκειτο δὲ ἡμῖν ὁ Κλεώνυμος ὁ καλός, ὁ τοῦ Ἀνδροκλέους ἀδελφιδοῦς, μειράκιον ἁπαλόν τε, καὶ τεθρυμμένον. νοῦν μέντοι γε ἐδόκει ἔχειν. πάνυ γὰρ προθύμως ἠκροᾶτο τῶν λόγων. πρῶτος δὲ ὁ Φίλων περὶ τοῦ κάλλους ἤρξατο λέγειν, προοιμιασάμενος οὕτω. Ερ. μηδαμῶς ὦ ἑταῖρε, μὴ πρὶν τῶν ἐγκωμίων ἄρξῃ, πρὶν ἄν μοι καὶ τὴν αἰτίαν ἀποδῷς, ὑφ' ἧς εἰς ῥυτοὺς προήχθητε τοὺς λόγους. Χα. εἰκῇ διατρίβεις ἡμᾶς ὦ 'γαθέ, πάλαι δυναμένους τὸν ἅπαντα λόγον διελθόντας, ἀπηλλάχθαι. πλὴν ἀλλὰ τί τις ἂν χρήσαιτο, ὁπότε φίλος τις ὤν, βιάζοιτο; ἀνάγκη γὰρ ὑφίστασθαι πᾶν ὁτιοῦν. ἣν δὲ ζητεῖς αἰτίαν τῶν λόγων, αὐτὸς ἦν Κλεώνυμος ὁ καλός. καθημένου γοῦν αὐτοῦ μεταξὺ ἐμοῦ τε, τοῦ Ἀνδροκλέους τοῦ θείου, πολὺς ἐγίνετο λόγος τοῖς ἰδιώταις περὶ αὐτοῦ, ἀποβλέπουσί τε εἰς αὐτὸν, καὶ ὑπερεκπεπληγμένοις τὸ κάλλος σχεδὸν τῶν πάντων ὀλιγωρήσαντες, καθῆντο διεξιόντες ἐγκώμια τοῦ μειρακίου.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀγασθέντες δὲ ἡμεῖς τῶν ἀνθρώπων τὴν φιλοκαλίαν, καὶ ἅμα ἐπαινέσαντες αὐτοὺς, ἀργίας τε πολλῆς αὐτὴν ὑπολαβόντες, λόγοις ἀπολείπεσθαι τῶν ἰδιωτῶν περὶ τῶν καλλίστων, ᾧ μόνῳ τούτων οἰόμεθα προέχειν, ἐπεὶ δὴ ἡπτόμεθα τῶν περὶ κάλλους λόγων. ἔδοξεν οὖν ἡμῖν, οὐκ ὀνομαστὶ λέγειν τὸν ἔπαινον τοῦ παιδὸς, οὐ γὰρ ἂν ἔχειν καλῶς, ἐμβαλεῖν γὰρ ἂν αὐτὸν εἰς πλείω τρυφὴν, ἀλλ' οὐδὲ μὴν ὥσπερ ἐκεῖνοι οὕτως ἀτάκτως, ὅπερ ἕκαστος τύχοι λέγειν, ἀλλ' ἕκαστον εἰπεῖν ἰδίᾳ, ὅσ' ἂν ἀπομνημονεύοι περὶ τοῦ προκειμένου. ἐπεὶ δὴ ἀρξάμενος ὁ Φίλων πρῶτος, οὑτωσὶ τὸν λόγον ἐπείρα. Ὡς ἔστι δεινὸν, εἰ πάνθ' ὅσα πράττομεν ἑκάστης ἡμέρας, ὡς περὶ καλῶν ποιούμεθα τὴν σπουδὴν, αὐτοῦ δὲ τοῦ κάλλους οὐδένα ποιησόμεθα λόγον, ἀλλ' οὕτω καθεδούμεθα σιγῇ, ὥσπερ δεδοικότες, μὴ λάθωμεν ἡμᾶς αὐτοὺς, ὑπὲρ οὗ σπουδάζομεν τὸν ἅπαντα χρόνον εἰπόντες. καίτοι πῶς τις ἂν χρήσαιτο πρεπόντως τοῖς λόγοις, εἰ περὶ τῶν μηδενὸς ἀξίων σπουδάζων, περὶ τοῦ καλλίστου σιγῴη τῶν ὄντων; ἢ πῶς ἂν τὸ ἐν λόγοις καλὸν, σώζοιτο κάλλιον μᾶλλον, ἢ πάντα τἄλλα παρέντας, περὶ αὐτοῦ λέγειν τοῦ τέλους ἡμᾶς τῶν ἑκάστοτε πραττομένων. ἀλλ' ἵνα μὴ δόξω λέγειν

γειν μὲν ὡς χρὴ περὶ τούτου διαρκέσθαι εἴλεγμαι, εἰ ποῖν δὲ μηδὲν ἐπίστασθαι περὶ αὐτοῦ, ὡς οἷόν τε βραχέα περὶ τούτου πειράσομαι διελθεῖν. κάλλους γὰρ δὴ πάντες μὲν ἐπεθύμησαν τυχεῖν. πάνυ δ' ἠξιώθησαν ὀλίγοι τινές. οἱ δὲ ταύτης ἔτυχον τῆς δωρεᾶς, εὐδαιμονέστατοι πάντων ἔδοξαν γεγενῆσθαι, καὶ πρὸς θεῶν, καὶ πρὸς ἀνθρώπων τὰ εἰκότα τετιμημένοι. τεκμήριον δὲ, τῶν γοῦν θεῶν ἐξ ἡρώων γενομένων, Ἡρακλῆς τε ἐστὶν ὁ Διὸς, καὶ Διόσκουροι, καὶ Ἑλένη. ὧν ὁ μὲν, ἀνδρίας ἕνεκα ταύτης λέγεται τυχεῖν τῆς τιμῆς. Ἑλένη δὲ, τοῦ κάλλους χάριν, αὐτήν τε μεταβαλεῖν εἰς θεὸν, καὶ τοῖς Διοσκούροις αἰτία γενέσθαι πρὶν αὐτὴν εἰς οὐρανὸν ἀνελθεῖν τοῖς ὑπὸ γῆν συνεξητασμένοις. ἀλλὰ μὴν ὅστις ἀνθρώπων ἠξιώθη τοῖς θεοῖς ὁμιλεῖν, οὐκ ἔστιν εὑρεῖν, πλὴν ὅσοι μετεσχήκασι κάλλους. Πέλοψ τε γὰρ τούτου χάριν τοῖς θεοῖς ἀμβροσίας μετέσχε, καὶ Γανυμήδης ὁ τοῦ Δαρδάνου οὕτω κεκρατηκέναι λέγεται τοῦ πάντων ὑπάτου θεῶν, ὥστ' αὐτὸν οὐκ ἀνασχέσθαι συμμετασχεῖν αὐτῷ τινὰ τῶν ἄλλων θεῶν τῆς θήρας τῶν παιδικῶν, ἀλλ' αὐτῷ μόνῳ πρέπουσαν ἡγούμενον εἶναι, εἰς Γάργαρον καταπτάντα τῆς Ἴδης, ἀναγαγεῖν ἐκεῖσε τὰ παιδικὰ, ὅπου

συνέσεσθαι τὸν ἅπαντα ἔμελλε χρόνον. το-
σαύτην δ' ἐπιμέλειαν ἀεὶ πεποίηται τῶν κα-
λῶν, ὥστ' οὐ μόνον αὐτοὺς ἠξίωσε τῶν οὐρανίων
ἀναγαγὼν ἐκεῖσε, ἀλλὰ καὶ αὐτὸς ἐπὶ γῆς ὅ,
τι τύχοι γινόμενος, συνῆν ἑκάστοτε τοῖς ἐρωμέ-
νοις. καὶ ποτὲ μὲν, γενόμενος κύκνος, συνεγένε-
το Λήδᾳ. ποτὲ δ' ἐν εἴδει ταύρου τὴν Εὐρώπην
ἁρπάζει. εἰκασθεὶς δ' Ἀμφιτρύωνι, γεννᾷ τὸν Ἡ-
ρακλέα. καὶ πολλά τις ἂν ἔχοι λέγειν τεχνάσμα-
τα τοῦ Διὸς, ὅπως ἂν οἷς ἐπιθυμεῖ συγγένοιτο
μηχανωμένου. ὃ δὲ δὴ μέγιστον, καὶ οἷον ἄν τις
θαυμάσαι. ὁμιλῶν γὰρ τοῖς θεοῖς, οὐ γὰρ ἀνθρώ-
πων γε οὐδέσι, πλὴν εἰ μὴ τοῖς καλοῖς. ἐν δ' οὖν
τούτοις δημηγορῶν, οὕτω πεποίηται σοβαρὸς τῷ
κοινῷ τῶν Ἑλλήνων ποιητῇ, καὶ θρασὺς, καὶ κατα-
πληκτικὸς, ὥστ' ἐν μὲν τῇ προτέρᾳ δημηγορίᾳ
τὴν Ἥραν, καίτοι πρότερον πάντ' εἰωθυῖαν ἐπι-
τιμᾶν αὐτῷ, ὅμως δ' αὐτὴν οὕτως ἐφόβησεν,
ὥστ' ἤρκεσεν αὐτῇ τὸ μηδὲν παθεῖν, ἀλλὰ μέ-
χρι λόγων στῆναι τὴν ὀργὴν τῷ Διΐ. τοὺς δ' ἅ-
παντας θεοὺς ἐν τῇ ὑστέρᾳ πάλιν οὐχ ἧττον κα-
τέστησε φοβηθῆναι, γῆν ἀνασπάσειν αὐτοῖς ἀνδρά-
σι, καὶ θάλασσαν ἀπειλήσας. μέλλων δὲ συνέσε-
σθαι καλοῖς, οὕτω γίνεται πρᾶος, καὶ ἥμερος, καὶ
τοῖς πᾶσιν ἐπιεικὴς, ὥστε πρὸς ἅπασι τοῖς

ἀλ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄλλοις, καὶ ὁ αὐτὸς Ζεὺς οὐρανὸν καταλιπὼν, ὅ-
πως μὴ φαίνοιτο τοῖς παιδικοῖς ἀνδρὸς, ἑτέρου
τινὸς ὑποκρίνεται σχῆμα. καὶ τούτου καλλί-
στου, καὶ οἷον τὸν ὁρῶντα προσαγαγέσθαι. τοσοῦ-
τον αἰδοῦς, καὶ τιμῆς περιέχεται περὶ κάλλους.
καὶ οὐχ ὁ μὲν Ζεὺς οὕτω μόνος ἑάλω τοῦ κάλ-
λους, τῶν δ᾽ ἄλλων οὐδεὶς θεῶν, ἵνα μᾶλλον ἔ-
χειν δοκῇ ταῦτα κατηγορίαν Διὸς οὐχ ὑπὲρ
τοῦ κάλλους εἰρῆσθαι, ἀλλ᾽ εἴ τις ἀκριβῶς ἐθελή-
σει σκοπεῖν, πάντας ἂν εὕροι θεοὺς ταυτὰ πε-
πονθότας δή. οἷον τὸν μὲν Ποσειδῶ, τοῦ Πέλο-
πος ἡττημένον. Ὑακίνθου δὲ, τὸν Ἀπόλλω. τὸν
Ἑρμῆν δὲ, τοῦ Κάδμου, καὶ θεαὶ δ᾽ ἐλάττους οὐκ
αἰσχύνονται φαινόμεναι τούτου, ἀλλ᾽ ὥσπερ
φιλοτιμίαν αὐταῖς ἔχειν δοκεῖ, τὸ περὶ δεῖνι
συγγενομένην καλῷ διηγεῖσθαι, περιέχεσθαι
τοῖς ἀνθρώποις. ἔτι δὲ, τῶν μὲν ἄλλων ἁ-
πάντων, ἑκάστη προστάτις οὖσα, οὐχ ἑτέρᾳ ἀμ-
φισβητεῖ, περὶ ὧν ἄρχει, ἀλλ᾽ Ἀθηνᾶ μὲν, τοῖς
ἀνθρώποις ἡγουμένη τὰ εἰς πολέμους, πρὸς
Ἄρτεμιν οὐ διαμάχεται περὶ θήρας. ὡς δ᾽ αὔ-
τως Ἀθηνᾷ κἀκείνη παραχωρεῖ τῶν πολεμικῶν.
τῶν δὲ γάμων, Ἥρ᾽ Ἀφροδίτῃ, οὐδ᾽ αὐτὴ πρὸς αὐ-
τὴν ἐνοχλουμένη περὶ ὧν ἐφορεύει, ἑκάστη δ᾽ ἐπὶ
κάλλει τοσοῦτον φρονεῖ, καὶ πάσας ὑπερβάλ-

λεσθαι δοκεῖ, ὥστε καὶ θεὰς αὐτὰς ἀλλήλαις
ἐκπολεμῶσαι βουλομένη, οὐδὲν ἄλλο προὔ-
βαλεν αὐταῖς, ἢ κάλλος, οὕτως οἰομένη ῥᾳδί-
ως ὁπότερ' ἤθελε καταστήσειν ὀρθῶς, καὶ φρονίμως
τῶν λογιζομένη. σκέψαιτο δ' ἄν τις ἐντεῦθεν
τὴν τοῦ κάλλους δυναστείαν. ὡς μὲν ἐλάβοντο
τοῦ μήλου, καὶ τὴν ἐπιγραφὴν ἀνελέξαντο, ἑκά-
στης αὐτῶν ὑπολαβούσης εἶναι τὸ μῆλον, μηδὲ
μιᾶς δὲ τολμώσης τὴν ψῆφον καθ' αὐτῶν ἐ-
νεγκεῖν, ὡς ἄρ' αἰσχροτέρα τῶν ἑτέρας εἴη τὴν
ὄψιν, ἀνέρχονται παρὰ τὸν, τῶν μὲν πατέρα, τῶν
δ' ἀδελφόν τε, καὶ σύνοικον Δία, ἐπιτρέψουσαι
τὴν δίκην αὐτῷ. ἔχων δὲ καὶ αὐτὸς ἥ τίς
ἐστιν ἀποφήνασθαι καλλίστη, καὶ πολλῶν ἀν-
δρείων ὄντων, καὶ σοφῶν, καὶ φρονίμων ἔν τε Ἑλ-
λάδι, καὶ τῇ βαρβάρῳ, ὅδ' ἐπιτρέπει τὴν κρί-
σιν Πάριδι τῷ Πριάμου, ψῆφον ἐνεγκεῖν, καὶ κα
θαρὰν ἐξενεγκὼν, ὅτι καὶ φρονήσεως, καὶ σοφίας
καὶ ῥώμης ὑπερέχει τὸ κάλλος. τοσαύτην δ' ἐ
πιμέλειαν ἀεὶ πεποίηνται, καὶ σπουδὴν, ἀκούειν
καλαὶ, ὥστε καὶ τὸν ἡρώων τε κοσμήτορα, καὶ θε
ῶν ποιητὴν, οὐκ ἄλλοθέν ποθεν, ἢ παρὰ τοῦ κάλ
λους πεποίηκασιν ὀνομάζειν. ἥδιον ἂν γὰρ ἀκούσαι
λευκώλενος ἡ Ἥρα, ἢ πρέσβα θεὰ, θυγάτηρ με
γάλου Κρόνου. Ἀθηνᾶ δ' οὐκ ἂν βουληθείη τριτο

γένεια

γεμένα περὶ τοῦ γλαυκῶπις καλεῖσθαι. Ἀφροδί-
τη τε τιμήσαιτ' ἂν τοῦ πανδὸς καλεῖσθαι χρυ-
σῆ. ἅπερ ἅπαντ' εἰς κάλλος τείνει. καί τοι
ταῦτα οὐ μόνον ἀπόδειξιν ἔχει πῶς οἱ κρείτ-
τους ἔχουσι περὶ αὐτοῦ, ἀλλὰ καὶ μαρτύριον
ἡμῖν ἀψευδές, τὸ κρεῖττον εἶναι πάντων τῶν
ἄλλων. οὐκοῦν Ἀθηνᾶ μὲν, ἀνδρίας ἅμα, καὶ
φρονήσεως προέχειν ἐπιψηφίζει. ἀμφοτέρων
γοῦν περιῖσαν τούτων. Ἥρα δ' ἁπάσης ἀρχῆς,
καὶ δυναστείας αἱρετώτερον ἀποφαίνει, συνη-
γοροῦντ' αὐτῇ καὶ τὸν Δία παραλαβοῦσα. εἰ
τοίνυν οὕτω μὲν θεῖον, καὶ σεμνὸν τὸ κάλλος
ἐστὶν, οὕτω δὲ περισπούδαστον τοῖς θεοῖς, πῶς ἂν
ἡμῖν ἔχοι καλῶς, μὴ καὶ αὐτοὺς μιμουμένους τοὺς
θεοὺς, ἔργῳ τε, καὶ λόγῳ πᾶν ὅ, τι ἔχομεν
συναίρεσθαι τῷ κάλλει; ταῦτα μὲν ὁ Φίλων
περὶ τοῦ κάλλους εἶπεν, ἐπιθεὶς αὐτὸ τῇ τε-
λευτῇ, ὡς καὶ πλείω δ' ἂν τούτων εἰρήκει, εἰ
μὴ τὸ μακρολογεῖν ἠπίστατο τῶν ἀδοκίμων
ἐν συμποσίῳ. μετ' ἐκεῖνον δ' εὐθὺς Ἀρίστιππος
ἥπτετο τῶν λόγων, πολλὰ πρότερον παρακλη-
θεὶς ὑπ' Ἀνδροκλέους. οὐ γὰρ ἐβούλετο λέγειν
τὸ μετὰ Φίλων' εὐλαβούμενος λέγειν. ἤρξα-
το δὲ ἐντεῦθεν. Πολλοὶ πολλάκις ἄνθρωποι
τὸ περὶ τῶν βελτίστων, καὶ ἡμῖν συμφερόντων

ἀφέντες λέγειν, ἐφ' ἑτέρας τινὰς ὥρμησαν ὑποθέσεις. ἀφ' ὧν αὐτοῖς μὲν, δοκοῦσι δόξαν προσάγειν, τοῖς δ' ἀκροαταῖς τοὺς λόγους οὐδὲν λυσιτελοῦντας ποιοῦνται. ἢ δὲ λελήθασιν, οἱ μὲν, περὶ τῶν αὐτῶν ἐρίζοντες ἀλλήλοις. οἱ δὲ διηγούμενοι τὰ οὐκ ὄντα. ἕτεροι δὲ, περὶ τῶν οὐδαμῶς ἀναγκαίων λογοποιοῦντες. οὓς ἐχρῆν ταῦτα πάντα καταλιπόντας, ὅπως τι βέλτιον τύχωσιν εἰπόντες σκοπεῖν. οὓς νῦν ἐγὼ περὶ τῶν ὄντων οὐδὲν ὑπὲρ ἐγνωκέναι νομίζων, ἄλλως τε, καὶ τῆς τούτων ἀγνοίας τῶν βελτίστων κατηγοροῦντα τοῖς αὐτοῖς περιπίπτειν, τῶν εὐηθεστέρων οἰόμενος εἶναι πάντη, τὴν αὐτὴν λυσιτελεστάτην καὶ καλλίστην τοῖς ἀκούουσιν ὑπόθεσιν ποιήσομαι τοῦ λόγου. ἣν πᾶς ὁστισοῦν ἂν φαίη κάλλιστ' ἂν ἔχειν ἀκούειν καλλίστην. εἰ μὲν οὖν περί τινος ἑτέρου τοὺς λόγους ἐποιούμεθα νῦν, ἀλλὰ μὴ περὶ κάλλους, ἤρκεσεν ἂν ἡμῖν ἀκούσασιν ἑνὸς εἰπόντος, ἀπηλλάχθαι περὶ αὐτοῦ. ἐπεὶ δ' ἄρα τοσαύτην ἀφθονίαν παρέχεται τοῖς βουλομένοις ἅπτεσθαι τῶν περὶ τούτου λόγων, ὥστ' οὐκ εἰ μὴ κατ' ἀξίαν τις ἐφίκοιτο τοῦ λόγου νομίζειν δυστυχεῖν, ἀλλ' ἢν πρὸς πολλοῖς ἄλλοις κἀκεῖνός τι δυνηθῇ συμβαλέσθαι πρὸς τοὺς ἐπαίνους τὸ ἄμεινον οἴεσθαι πειρᾶσθαι τύχης

τύχης. τὸ γὰρ οὕτω μὲν περιφανῶς ὑπὸ τῶν κρειττόνων τετιμημένον, οὕτω δὲ τοῖς ἀνθρώποις θεῖον, καὶ περισπούδαστον, πᾶσι δὲ τοῖς οὖσιν οἰκειότατον κόσμον, καὶ οἷς μὲν ἂν παρῇ πρὸ πάντων σπουδαζομένων, ὧν δ' ἀφίσταται μισουμένων, καὶ οὐδὲ προσβλέπειν ἀξιουμένων, τίς ἂν εἰκότως τοσούτων λόγων μετεσχηκὼς, ὥστ' ἐπαινέσαι πρὸς ἀξίαν ἀρκέσαι; οὐ μὴν ἀλλ' ἐπειδὴ ἠπόρουν οὕτω πολλῶν αὐτοῦ δεῖ τῶν ἐπαινεσόντων, ὥστε μόλις ἂν τῆς ἀξίας τυχεῖν, οὐδ' ἐν ἀπεικὸς καὶ ἡμᾶς ἐγχειρεῖν τι λέγειν περὶ αὐτοῦ, μέλλοντάς γε μετὰ φίλωνα ποιεῖσθαι τοὺς λόγους. οὕτω δὴ σεμνότερον, καὶ θειότερον τῶν ὄντων ἐστὶν, ὥστε ἵν' ὅσα θεοὶ καλοὺς τετιμήκασι, παραλείπω. ἀλλὰ τὴν ἐν τοῖς ἄνω χρόνοις ἐκ Διὸς Ἑλένην γενομένην, οὕτως ἐθαυμάσθη παρὰ πᾶσιν ἀνθρώποις, ὥστ' ἔτι τῆς ἡλικίας οὖσαν ἐνδεοῦς, κατά τινα χρείαν ἐν Πελοποννήσῳ γενόμενος ὁ Θησεὺς, οὕτω τῆς ὥρας ἰδὼν ἠγάσθη, ὥστ' οὔσης αὐτῷ καὶ βασιλείας ἀσφαλεστάτης, καὶ δόξης οὐ τῆς τυχούσης, ὅμως οὐκ ᾤετο βιωτὸν αὐτῷ, ταύτης ἐστερημένῳ, προελθεῖν δὲ πάντας εὐδαιμονίᾳ, εἰ ταύτην αὐτῷ γένοιτο συνοικεῖν. οὕτω δὲ διανοηθεὶς, τὸ μὲν παρὰ τοῦ πατρὸς λαβεῖν ἀπειπὼν, μὴ γὰρ ἂν ἀπὸ τῆς

αὐτὴν ἐκδοῦναι μήπω ἡλικίας ἡμμένην, τὴν
δ' ἀρχὴν ὑπερφρονήσας ἐκείνου, καὶ παρειδὼν, ὀ
λιγωρήσας δὲ τῶν ἐν Πελοποννήσῳ πάντων
δεινῶν, κοινωνοῦντ' αὐτῷ τῆς ἁρπαγῆς, καὶ Πειρί
θου παραλαβὼν, βίᾳ λαβὼν αὐτὴν τοῦ πα-
τρὸς, εἰς Ἀφίδναν ἐκόμισε τῆς Ἀττικῆς. ἐπὶ το
σαύτην ἔσχε χάριν αὐτῷ τῆς συμμαχίας ταύ
της, ὥσθ' οὕτως ἐφίλησε τὸν ἅπαντα χρό-
νον, ὥστε καὶ τοῖς ἐπιγενομένοις παράδειγμα
γενέσθαι τὴν Θησέως, καὶ Πειρίθου φιλίαν. ἐπειδὴ
δὲ ἔδει κἀκεῖνον ἐν ἅλου γενέσθαι, τὴν Δήμη-
τρος μνηστευσόμενον κόρην, ἐπειδὴ πολλὰ πα
ραινῶν, οὐκ ἠδυνήθη ταύτης αὐτὸν τῆς πείρας
ἀποσχέσθαι καταπεῖσαι, συνηκολούθησεν αὐ-
τῷ, ταύτην πρέπουσαν οἰόμενος αὐτῷ κα
ταθήσειν τὴν χάριν περὶ τῆς ψυχῆς, ὑπὲρ αὐτοῦ
κινδυνεύσει. ἐπανελθοῦσαν δ' εἰς Ἄργος, αὖ-
θις ἀποδημοῦντος αὐτοῦ, ἐπειδὴ καθ' ὥραν ἦν
γάμων, καὶ ῥιγε ἔχοντος καλάς τε, καὶ εὐ
γενείας ἐκ τῆς Ἑλλάδος σφίσιν αὐτοῖς ἅπαντες
γυναῖκας οἱ τῆς Ἑλλάδος βασιλεῖς, οἱ δὲ, τότε ἐλ
θόντες, ἐμνηστεύοντο ταύτην, τὰς ἄλλας ἁπά
σας ὑπεριδόντες ὡς φαυλοτέρας. γνόντες
δ' ὅτι περιμάχητος ἔσται, καὶ δείσαντες μὴ πό
λεμος γένηται τῇ Ἑλλάδι, μαχομένων πρὸς
ἀλλή

ἀλλήλους, ὀμωμόκασιν ὅρκον τουτονὶ ψήφῳ κοινῇ, ἦ μὴν ἐπικουρήσειν τῷ ταύτης ἀξιωθέντι, μὴδ' ἐπιτρέψειν ἤν τις ἀδικεῖν ἐγχειρῇ, ἕκαστος οἰόμενος ταύτην αὑτῷ τὴν συμμαχίαν παρασκευάζειν. τῆς μὲν οὖν ἰδίας γνώμης ἀπέτυχον πάντες, πλὴν Μενελάου. τῆς κοινῆς δ' ἐπειράθησαν αὐτίκα. οὐ πολλῷ γὰρ ὕστερον ἔριδος γενομένης ταῖς θεαῖς περὶ κάλλους, ἐπιτρέπουσι τὴν κρίσιν Πάριδι τῷ Πριάμου. ὁ δὲ, τῶν μὲν σωμάτων τῶν θεῶν ἡττηθείς, τῶν δωρεῶν δ' ἀναγκασθεὶς γενέσθαι κριτής, καὶ διδούσης Ἥρας μὲν, τὴν τῆς Ἀσίας ἀρχὴν, τὸ δ' ἐν πολέμοις Ἀθηνᾶς κράτος, Ἀφροδίτης δὲ, τὸν τῆς Ἑλένης γάμον, καὶ φαύλοις μὲν ἀνθρώποις γενέσθαι ἄν ποτε νομίζων οὐκ ἐλάττω βασιλείαν, Ἑλένης δ' οὐδένα τῶν ἐπιγιγνομένων ἀξιωθῆναι, προείλετο τὸν ταύτης γάμον. γενομένης δὲ τῆς ὑμνουμένης ἐκείνης στρατείας κατὰ τῶν Τρώων, καὶ τῆς Εὐρώπης τότε πρῶτον κατὰ τῆς Ἀσίας ἐλθούσης, ἔχοντες οἵ τε Τρῶες ἀποδόντες τὴν Ἑλένην, ἀδεῶς οἰκεῖν τὴν αὑτῶν, οἵθ' Ἕλληνες ταύτην αὐτοῖς ἐάσαντες ἔχειν, ἀπαλλάττεσθαι τῶν ἐκ πολέμου, καὶ στρατείας δυσχερῶν, οἱ δ' οὐκ ἠβουλήθησαν ἀμφότεροι, οὐκ ἄν ποτε νομίσαντες εὑρεῖν ἀφορμὴν καλλίω πολέμου, περὶ ἧς ἀπο-

θανοῦνται. οἱ θεοὶ δὲ τοὺς αὐτῶν παῖδας σαφῶς εἰδότες ἀπολουμένους ἐν τῷ πολέμῳ, οὐκ ἀπέτρεψαν μᾶλλον, ἀλλ' ἐνῆγαγον εἰς τοῦτο, οὐκ ἐλάττω δόξαν αὐτοῖς οἰόμενοι φέρειν, τὸ θεῶν παῖδας γενέσθαι, τοῦ μαχομένους ὑπὲρ Ἑλένης, ἀποθανεῖν. καὶ τί λέγω τοὺς αὐτῶν παῖδας; αὐτοὶ πρὸς αὐτοὺς μείζω, καὶ δεινότερον ἐνεστήσαντο τοῦ πρὸς γίγαντας αὐτοῖς γενομένου πολέμου. ἐν ἐκείνῳ μὲν, γὰρ μετ' ἀλλήλων, ἐνταῦθα δὲ, ἐμάχοντο πρὸς ἀλλήλους. οὗ τί γένοιτ' ἂν ἐναργέστερον δεῖγμα, ὅσῳ τῶν ἀνθρωπίνων ἁπάντων ὑπερέχει τὸ κάλλος παρ' ἀθανάτοις κριταῖς; ὅταν γὰρ ὑπὲρ μὲν τῶν ἄλλων οὐδενὸς ἁπάντων οὐδαμοῦ τὸ παράπαν φαίνονται διενεχθέντες, ὑπὲρ δὲ κάλλους, οὐ μόνον τοὺς υἱοὺς ἐπιδεδωκότες, ἀλλ' ἤδη καὶ ἀλλήλοις ἐναντία πεπολεμηκότες. ἔνιοι δὲ, καὶ ἐρασθέντες, πῶς οὐχ ἁπάσαις ψήφοις προτιμῶσιν ἁπάντων τὸ κάλλος; ἀλλ' ἵνα μὴ δόξωμεν ἀπειρίᾳ τοῦ περὶ κάλλους λόγου περὶ ταῦτα διατρίβειν ἀεὶ, ἐφ' ἕτερον βούλομαι μεταβῆναι, οὐδαμῶς ἔλαττον ὂν, ὥστε δεῖξαι τὴν τοῦ κάλλους ἀξίαν, τῶν πρότερον εἰρημένων, τὴν γὰρ καλλίστην Ἱπποδάμειαν Οἰνομάου. ὅσους τῆς ταύτης κάλλους ἁλόντας, μᾶλλον αἱρουμένους ἀπέφηνεν ἀποθνήσκειν,

στῆσιν, ἢ ταύτης διῳκισμένους, τὸν ἥλιον προσστᾶν. ὡς γὰρ ἔλαβε τὸ τῆς ἡλικίας ἡ παῖς, καὶ τὰς ἄλλας ὁ πατὴρ οὐ πολλῷ τῷ μέσῳ παρενεγκοῦσαν ἑώρα, τῆς μὲν ὥρας αὐτοῦ ἁλοὺς, τοσοῦτον περὶ αὐτὴν παθεῖν, ὥστε τὸ τοῦ γεγεννηκότος ὑπηγάγετο παρὰ φύσιν, τὸ διὰ τοῦτ' ἀξιῶν αὐτὴν ἔχειν παρ' ἑαυτῷ. βουλεσθεὶς δ' ἐκδιδόναι πλαττόμενος αὐτὴν τῷ ταύτης ἀξίῳ, τὰς παρ' ἀνθρώπων φεύγειν αἰτίας, μηχανήν τινα μηχανᾶται τῆς ἐπιθυμίας ἀδικωτέραν. καὶ ἦν αὐτῷ ῥᾳδίως, ὅπερ ἐβούλετο, κατασχήσειν. ὑπὸ γὰρ ἅρματι ὡς οἷόν τε μάλιστα ἦν εἰς τάχος ὑπὸ τῆς τέχνης ἐξειργασμένῳ, τοὺς ἐν Ἀρκαδίᾳ ζεύξας ἐν τῷ τότε ταχίστους ἵππους, ἡμιλλᾶτο πρὸς τοὺς μνηστῆρας τῆς κόρης, ἆθλον τῆς νίκης παρελθόντας αὐτοῖς αὐτὴν προτιθεὶς, ἢ στέρεσθαι τῆς κεφαλῆς ἡττηθέντας. καὶ ἠξίου δὲ αὐτὴν αὐτοῖς συναναβαίνειν τὸ ἅρμα, ὅπως ἀποσχολούμενοι περὶ ταύτην, ἀμελοῖεν τῆς ἱππικῆς. οἱ δ', ἀποτυχόντος τοῦ πρώτως ἁψαμένου τοῦ δρόμου, καὶ τῆς κόρης ἐκπεσόντος μετὰ τοῦ ζῆν, τὸ μὲν ἀποκνῆσαι πρὸς τὸν ἀγῶνα, ἢ μεταθέσθαι τι τῶν βεβουλευμένων, μειρακιῶδες εἶναι ὑπολαβόντες, τὴν δ' ὠμότητα μισήσαντες Οἰνομάου, ἄλλος ἄλλον ἔφθανεν ἀποθνήσκων, ὥσπερ ἀθλητικῶς

μὴ τοῦ τεθνάναι περὶ κόρης ἁμάρτῃ. καὶ προῆλθέ γε μέχρι τρισκαίδεκα νέων ὁ φόνος. θεοὶ δ' ἐκεῖνον τῆς πονηρίας μισήσαντες ταυτησί, τούς τε τεθνεῶτας ἅμα, καὶ τὴν κόρην ἐλεοῦντες, τοὺς μὲν, ὅτι κτήματος ἀπεστέρηντο τοιούτου, τὴν κόρην δ' ὅτι τῆς ὥρας οὐ κατὰ καιρὸν ἀπολαύοι, κηδόμενοί τε τοῦ νέου, ὅστις ἔμελλε, τέλος δ' ἦν ὄντες, ἀγωνιεῖσθαι, ἅρμα τε χαρίζονται τούτῳ κάλλιον τέχνης πεποιημένον, ἵππους τε ἀθανάτους, δι' ὧν ἔμελλε τῆς κόρης κύριος εἶναι. ἢ γε γ' ἐγένετο, τὸν κηδεστὴν ἐπὶ τοῖς τέρμασι τῆς νίκης ἀπεκτονώς. οὕτω τὸ τοῦ κάλλους χρῆμα, ἀνθρώποις τε θεῖον εἶναι δοκεῖ, καὶ τιμώμενον τοῖς πᾶσι, καὶ θεοῖς ἐσπούδασται πολλαχόσε. διὸ δὴ καὶ ἡμῖν οὐκ ἂν ἔχοι τίς μέμφεσθαι δικαίως, προὔργου λογισαμένοις τὸ ταῦτα περὶ κάλλους διεξελθεῖν. οὕτω μὲν δὴ καὶ Ἀρίστιππος διῆλθε τὸν λόγον. Ερ. σὺ δ' ἔλοιπες εἶ Χαρίδημε. ὅπως δ' ὥσπερ κορωνίδα τῶν περὶ τοῦ κάλλους καλῶν ἐπιθήσῃ τὸν λόγον. Χα. μηδαμῶς ὦ πρὸς θεῶν περαιτέρω προελθεῖν με βιάσῃ· ἱκανὰ γὰρ δηλῶσαι τὴν συνουσίαν καὶ τὰ νῦν εἰρημένα. ἄλλως τ', οὐδ' ὅσα περ εἶπον ἀπομνημονεύοντα. ῥᾷον γὰρ ἄν τις μνημονεύοι τῶν ἑτέροις εἰρημένων, ἢ τῶν αὐτοῦ. Ερ. ταῦτα μὲν δή ἐστιν,

ὧν δὲ

ὧν ἐξ ἀρχῆς ἐπιθυμοῦμεν ἐπιτυχεῖν. οὐ γὰρ δὴ τοσοῦτον ἡμῖν τῶν λόγων ἐκείνων, ὅσον ἐμέλησε τῶν σῶν ἀκοῦσαι. ὥστ' ἢν τούτων ἀποστερήσῃς, κἀκεῖνα μάτην ἔσῃ πεπονηκώς. ἀλλὰ πρὸς Ἑρμοῦ, τὸν ἅπαντα λόγον ὥσπερ ὑπέσχου ἐξ ἀρχῆς, ἀπόδος. Χα. βέλτιον μὲν ἦν τούτοις ἀπαλλάττειν με, τῶν δυσχερῶν ἀγαπῶντα. ἐπεὶ δ' οὕτω προθυμῇ καὶ τῶν ἡμετέρων ἀκοῦσαι λόγων, καὶ τοῦτ' ὑπηρετεῖν ἀνάγκη, ὥστε τοίνυν καὶ αὐτὸς ἐπιχειρήσομαι τὸν λόγον. Εἰ μὲν πρῶτος αὐτὸς ἦρχον περὶ τοῦ κάλλους λέγειν, προοιμίων ἂν ἐδεόμην συχνῶν. ἐπεὶ δ' ἐπὶ πολλοῖς ἔρχομαι τοῖς πρότερον εἰρηκόσιν ἐρῶν, οὐδὲν ἀπεικὸς τοῖς ἐκείνων κεχρημένον ὡς προοιμίοις ἐπιφέρειν ἑξῆς τὸν λόγον. ἄλλως τ' οὐδ' ἑτέρωσε τῶν λόγων γινομένων, ἀλλ' ἐνταῦθά τε καὶ ἐπὶ τῆς αὐτῆς ἡμέρας, ὥστ' ἐνεῖναί τε τοὺς παρόντας λαθεῖν, ὡς ἄρ' οὐχ ἕκαστος ἰδίᾳ λογοποιοῦσιν, ἀλλὰ τὸν αὐτὸν ἕκαστος ὑπὸ μέρους διεξέρχονται λόγον. ἑτέρῳ μὲν οὖν ἤρκει γ' ἂν εἰς εὐφημίαν, ἅπερ ὑμῶν ἕκαστος ἔτυχεν εἰπὼν περὶ τοῦ κάλλους ἰδίᾳ. τούτῳ δὲ τοσοῦτον περίεστιν, ὥστε καὶ τοῖς ἐπιγινομένοις ἔξω τῶν νῦν εἰρημένων, οὐ δεῖν ἐπαίνων τῶν εἰς αὐτό. πλεῖστα γὰρ πολλαχό-

θεν αὐτὰ πρῶτα δεῖν λέγειν ἕκαστα δόξαι πα-
ρείσκοιν, ὥσπερ ἀνθέων εὐτυχοῦντι λειμῶνι, ἀ-
εὶ τῶν φαινομένων ἄρτι προσαγομένων τοὺς
δρεπομένους. ἐγὼ δ' ἐκ πάντων ἐκλέξας ὅσα
μοι δοκῶ μὴ βέλτιον εἶναι παραλιπεῖν, λέξω διὰ
βραχέων, ὅπως τοῦτό τε καλλεῖ τὰ γινόμενα
ἀποδώσω, ὑμῖν τε τὸ μακρολογεῖν παραλιπὼν,
φράσω κεχαρισμένα. τοῖς μὲν γὰρ ἢ δι' ἀνδρεί-
αν, ἢ καθ' ἑτέραν τινὰ τῶν ἀρετῶν ἡμῶν προέ-
χειν δοκοῦσιν, ἢν μὴ τοῦτο καθ' ἡμέραν ποιεῖν εὖ,
ἀναγκάζωσιν ἡμᾶς εὖ αὐτοῖς διακεῖσθαι, βα-
σκαίνομεν μᾶλλον, ἐξ ὧν τ' ἂν οὐ καλῶς αὐ-
τοῖς τὰ πράγματα πράττομεν χαίρει. καλοῖς
δ' οὐ μόνον οὐ φθονοῦμεν ἐπὶ ὥρας, ἀλλ' εὐθὺς
τε ἰδόντες, ἁλισκόμεθα, ὑπεραγαπώμεν-
τε, οὐδ' ἀποκνοῦμεν ὥσπερ κρείττοσιν, ὅσον ἂν
ὑμῖν δέῃ, δουλεύοντες αὐτοῖς. ἥδιον ἂν γὰρ ὑπα-
κούσαι τοῖς ὥρας εὐτυχηκότι, ἢ προστάξαι τοῖς
μὴ τοιούτῳ. καὶ πλείω χάριν ἂν εἰδεῖεν τοῖς
πολλὰ προστάττουσι μᾶλλον, ἢ τοῖς μηδ'
ὁτιοῦν ἐπαγγέλλουσι. καὶ τῶν μὲν ἄλλων ἀπα-
θῶν, ὧν ἂν ἐνδεεῖς ὦμεν, οὐ πορρωτέρω σπου-
δάζομεν τοῦ τυχεῖν. κάλλους δ' ἡμῖν οὐδεὶς
οὐδέ ποτε γέγονε κόρος. ἀλλ' ἐάν τε τὴν
Ἀγλαΐης, τὴν εἰς Ἴλιον ποτὲ συναναβάντα

τοῖς Ἀχαιοῖς, ἐάν θ' Ὑάκινθον τὸν καλόν, ἢ τὸν Λακεδαιμόνιον Νάρκισσον κάλλει νικῶμεν, οὐκ ἀρκεῖν ἡμῖν δοκοῦμεν, ἀλλὰ δεδοίκαμεν, μὴ λάθωμεν τοῖς ἐπιγινομένοις ἂν καταλιπόντες ὑπερβολήν. σχεδὸν δ' ὡς εἰπεῖν πάντων τῶν ἐν ἀνθρώποις πραγμάτων, ὥσπερ κοινὸν παράδειγμα τὸ κάλλος ἐστί. καὶ οὔτε στρατηγοῖς εἰς κάλλος ἠμέληται τὰ στρατεύματα συντάσσειν, οὔτε ῥήτορσι τοὺς λόγους συντιθέναι, οὔτε μὴν γραφεῦσι τὰς εἰκόνας γε γράφειν. ἀλλὰ τί ταῦτα λέγω; ὧν τὸ κάλλος τέλος ἐστίν. ὧν γε εἰς χρείαν ἥκομεν ἀναγκαίως, οὐκ ἐλλείπομεν οὐδὲν σπουδῆς εἰς ὅσον ἔξεστι κάλλιστα κατασκευάζειν. τοῦ τε γὰρ Μενέλεω, οὐ τοσοῦτον ἐμέλησε τῆς χρείας τῶν οἴκων, ἢ ὅσον τοὺς εἰσερχομένους ἐκπλήττειν. καὶ διὰ τοῦτο θ' οὕτω πολυτελεστάτους ἅμα κατεσκεύασε, καὶ καλλίστους. καὶ τῆς γνώμης οὐχ ἥμαρτεν. ὁ γὰρ Ὀδυσσέως οὕτως ἀγασθῆναι λέγεται τούτους, κατὰ πύστιν τοῦ πατρὸς εἰς αὐτὸν ἀφιγμένος, ὥστ' εἰπεῖν Πεισιστράτῳ τῷ Νεστορίδῃ,

Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή.

αὐτός θ' ὁ τοῦ μειρακίου πατήρ, οὐκ ἄλλου του χάριν μιλτοπαρῄους ἦγε τὰς ναῦς συστρατευόμενος τοῖς Ἕλλησιν ἐπὶ Τροίαν, ἢ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅπως τοὺς ὁρῶντας ἐκπλήττειν ἔχῃ. καὶ σχεδὸν εἴ τις ἑκάστην ἐξετάζειν βούλεται τῶν τεχνῶν, εὑρήσει πάσας εἰς τὸ κάλλος ὁρώσας, καὶ τοῦ τυγχάνειν τοῦ παντὸς τιθεμένας. τοσοῦτον δὲ τὸ κάλλος τῶν ἄλλων ἁπάντων ὑπερέχειν δοκεῖ, ὥστε τῶν μὲν, ἢ δικαιοσύνης, ἢ σοφίας, ἢ ἀνδρείας μετεχόντων, πολλά τις ἂν εὕροι τιμώμενα μᾶλλον. τῶν δὲ ταύτης τῆς ἰδέας κεκοινωνηκότων, βέλτιόν ἐστιν εὑρεῖν οὐδέν. ὥσπερ δὴ καὶ τῶν μὴ μετεσχηκότων ἀτιμότερον οὐδέν. μόνους γοῦν τοὺς μὴ καλοὺς ὀνομάζομεν αἰσχρούς, ὡς οὐδὲν ὂν εἴ τις ἔχων τύχοι πλεονέκτημα τῶν ἄλλων, κάλλους ἐστερημένος. τοὺς μὲν γὰρ ἢ δημοκρατουμένοις τὰ κοινὰ διοικοῦντας, ἢ τυράννοις ὑποτεταγμένους, τοὺς μὲν, δημαγωγούς, τοὺς δὲ, κόλακας καλοῦμεν. μόνους δὲ τοὺς ὑπὸ ταύτῃ τῇ δυνάμει γενομένους, θαυμάζομέν τε, φιλοπόνους τὲ, καὶ φιλοκάλους ὀνομάζομεν, καὶ κοινοὺς νομίζομεν εὐεργέτας, τοὺς τῶν καλῶν ἐπιμελητάς. ὅτε τοίνυν οὕτω μὲν σεμνὸν τὸ κάλλος ἐστὶν, οὕτω δὲ τοῖς πᾶσιν ἐν εὐχῆς μέρει τυχεῖν, κέρδος τὲ νομίζουσι τὸ τούτῳ τι διακονῆσαι δυνηθῆναι, πῶς ἡμᾶς εἰκότως οὐκ ἄν τις ἐμέμψατο, εἰ τοσοῦτον ἔχοντες κέρδος κερδαίνειν, ἐπειθ'

ἑκόντι

ἑκόντι πειθοίμεθα, μὴ δ' αὐτοῦ τοῦ αἰσθέσθαι δυνηθέντος, οὐ ζημιούμεθα; τοσοῦτον μὲν δὴ κἀγὼ τὸν λόγον ἐποιησάμην, πολλὰ τῶν ἐνόντων μοι περὶ κάλλους εἰπεῖν ἀφελὼν, ἐπειδὴ τὴν συνουσίαν ἐπὶ πολὺ παρατεινομένην ἑώρων. Ερ. εὐδαίμονές γε, οἱ τοιαύτης ἀπολελαύκατε τῆς συνουσίας. σχεδὸν δ' ἤδη κἀγὼ οὐδὲν ἔλαττον ὑμῶν ἔσχηκα διά σε.

Οὐδ' οὗτος δοκεῖ τοῦ Λουκιανοῦ.

## ΝΕΡΩΝ, Η ΠΕΡΙ ΤΗΣ ΟΡΥΧΗΣ ΤΟΥ ΙΣΘΜΟΥ, ΕΙ ΓΝΗΣΙΟΣ.

ΜΕΝΕΚΡΑΤΗΣ.

Ἡ ὀρυχὴ τοῦ ἰσθμοῦ ἣν σοὶ Μουσώνιε, διὰ χειρὸς ὥς φασι πονῆμα τοῦ τυράννου, νοῦν εἶχεν ἕλληνα. Μου. ἴσθι ὦ Μενέκρατες, ὡς βελτίω ἐντεθυμῆσθαι Νέρωνα. τὰς γὰρ περιβολὰς τῆς Πελοποννήσου, τὰς ὑπὲρ Μαλέαν, ξυνῄρει τοῖς θαλαττουμένοις, εἴκοσι σταδίων τοῦ ἰσθμοῦ ῥῆγμα. Μενε. τοῦτ' ἂν ὡς τὰς ἐμπορείας ὤνησε, καὶ τὰς ἐπὶ θαλάττῃ πόλεις, καὶ τὰς ἐν τῇ μεσογείᾳ. ὡς γὰρ δὴ κἀκείναις ἀποχρῶν ὁ οἴκοι καρπὸς, ἢν

τὰ περὶ θάλατταν εὖ πράττῃ. ταῦτα δὴ διέξελθε Μουσώνιε, βουλομένοις ἡμῖν ἀκροάσασθαι πᾶσιν, εἰ μή τι σπουδάζει διάνοια ἕτερον.

Μου. διέιμι βουλομένοις. εὖ γὰρ οἶδ' ὅτι χαριζοίμην ἂν μᾶλλον τοῖς γε ἀφιγμένοις ἐς ἀνδρὸς οὕτω φροντιστήριον περὶ τοῦ σπουδάζειν. Νέρωνα τοίνυν ἐς Ἀχαΐαν ᾠδαὶ ἦγον, καὶ τὸ σφόδρα αὐτὸν πεπεικέναι, μηδ' ἂν τὰς μούσας ἀναβάλλεσθαι ἥδιον. ἐβούλετο δὲ καὶ τὰ ὀλύμπια, τὸν γυμνικώτατον τῶν ἀγώνων, στεφανοῦσθαι ᾄδων. τὰ γὰρ πύθια, τούτων μὲν ἑαυτῷ μετεῖναι μᾶλλον, ἢ τῷ Ἀπόλλωνι. μὴ γὰρ ἂν μηδ' ἐκεῖνον ἐναντίαν αὐτῷ κιθάραν τε, καὶ ᾠδὴν θέσθαι. ὁ δὲ ἰσθμὸς, οὐ τῶν ἄποθεν αὐτῷ βεβουλευμένων. ἀλλ' ἐντυχὼν τῇ φύσει τοῦ τόπου, μεγαλουργίας ἠράσθη, τόν τε βασιλέα τῶν περὶ τὴν Τροίαν ποτὲ Ἀχαιῶν ἐνθυμηθεὶς, ὡς τὴν Εὔβοιαν τῆς Βοιωτίας ἀπέτεμεν Εὐρίπῳ τῷ περὶ τὴν Χαλκίδα. ἔτι γε μὴν καὶ τὸν Δαρεῖον, ὡς ὁ Βόσπορος ἐπεγεφυρώθη αὐτῷ περὶ τοὺς Σκύθας. τὰ δὲ Ξέρξου, τὰ πρὸ τούτων ἴσως ἐνενόησε, μέγιστα τῶν μεγαλουργιῶν ὄντα. τὸ πρὸς τούτοις, τὸ διὰ ὀλίγου ἀλλήλοις ἐπιμῖξαι πάντας εἰσαιρ τὴν Ἑλλάδα, λαμπρῶς ἑστιᾶσθαι τοῖς ἔξωθεν. αἱ γὰρ τύραννοι φύσεις,

μεθύουσι

μεθύουσι μὲν, ψαύουσι δέ πη καὶ ἀκοῦσαι ἀπό-
φθεγμα. προελθὼν δὲ ἐπὶ σκηνῆς, ὕμνον μὲν
Ἀμφιτρίτης τὲ, καὶ Ποσειδῶνος ᾖσε. καὶ ᾆσμα,
οὐ μέγα. Μελικέρτῃ δὲ, καὶ Λευκοθέᾳ. ὀρέξαν-
τος δ' αὐτῷ χρυσῆν δίκελλαν, καὶ τὴν Ἑλλά-
δα ἐπιτροπεύοντος, ἐπὶ τὴν ὀρυχὴν ᾖξε, κροτού-
μενός τε, καὶ ᾀδόμενος, καὶ καθικόμενος τῆς γῆς,
τρίς οἶμαι. τοῖς τε τὴν ἀρχὴν πεπιστευμένοις
παρακελευσάμενος ξυμπόνως ἅπτεσθαι τοῦ ἔρ-
γου, ἀνῄει εἰς τὴν Κόρινθον, τὰ Ἡρακλέους δο-
κῶν ὑπερβεβλῆσθαι πάντα. οἱ μὲν, δὴ ἐκ τοῦ δε-
σμωτηρίου, τὰ πετρώδη τὲ, καὶ δύσεργα ἐξεπό-
νουν. ἡ στρατιὰ δὲ, τὰ γεώδη τὲ, καὶ ἐπίπεδα, ἑβ-
δόμην δέ που, καὶ πέμπτην ἡμέραν προσε-
ζευγμένων ἡμῶν τῷ ἰσθμῷ, κατέβη τίς ἐκ
Κορίνθου λόγος οὔπω σαφὴς, ὡς δὴ τοῦ Νέ-
ρωνος μετεγνωκότος τὴν τομήν. ἔφασαν
δὲ τοὺς Αἰγυπτίους γεωμετροῦντας τῶν ἑκα-
τέρας θαλάττης τὰς φύσεις, οὐκ ἰσοπέ-
δοις αὐταῖς ἐντυχεῖν, ἀλλ' ὑψηλοτέραν ἡ-
γουμένους τὴν ἐκ τοῦ λεχαίου περὶ τῇ Αἰγί-
νῃ δεδοικέναι. πελάγους γὰρ τοσούτου νή-
σῳ ἐπιχυθέντος, κἂν ὑποβρύχιον ἀπενε-
χθῆναι τὴν Αἴγιναν. Νέρωνα δὲ, ἀπὸ μὲν τοῦ ἰσθ-
μοῦ τομῆς, οὐδ' ἂν Θαλῆς μετέστησεν ὁ

σοφώτατός τε, καὶ φυσικώτατος. τοιγοῦν ποιεῖν αὐτὸν ἥρα μᾶλλον, ἢ τοῦ δημοσίᾳ ᾄδειν. ἡ δὲ τῶν ἑσπερίων ἐθνῶν κίνησις, καὶ ὀξύτατος, ὡς τῶν ἐκείνης νῦν ἁπτόμενος, ὄνομα δὲ αὐτῷ Βίνδιξ, ἀπήγαγεν Ἑλλάδος τέ, καὶ Ἰσθμοῦ Νέρωνα, ψυχρῶς γεωμετρήσαντα. τὰς γὰρ θαλάσσας, ἰσογαίους τέ, καὶ ἰσοπέδους οἶδα. φασὶ δ' αὐτῷ καὶ τὰ ὑπὸ τῆς Ῥώμης ὀλισθαίνειν ἤδη, καὶ ὑποδιδόναι. ποτὶ δ' αὐτοὶ χθὲς ἠκούσατε τοῦ περιπολάζοντος χιλιάρχου. Με. ἡ φωνὴ δὲ Μουσώνιε, δι' ἣν μουσομανεῖ, καὶ τῶν ὀλυμπιάδων τέ, καὶ πυθιάδων ἐρᾷ, πῶς ἔχει τῷ τυράννῳ; τῶν γὰρ Λήμνῳ προσπλεόντων, οἱ μὲν, ἐθαύμαζον. οἱ δὲ, κατεγέλων. Μου. ἀλλ' ἐκεῖνός γε ὦ Μενέκρατες, οὔτε θαυμασίως ἔχει τοῦ φθέγματος, οὔτ' αὖ γελοίως. ἡ γὰρ φύσις αὐτὸν, ἀμέμπτως τέ, καὶ μέσως ἥρμοκε. φθέγγεται δὲ κοῖλον μὴ φύσει, καὶ βαρύ, ἐγκειμένης αὐτῷ τῆς φάρυγγος. μέλη δ' οὕτω κατεσκευασμένα βομβεῖ πως. οἱ δέ γε τόνοι τῶν φθόγγων, ὑπολεαίνουσιν αὐτὸν, ἐπεὶ μὴ θαρρεῖ αὐτῷ. χρωμάτων δὲ φιλανθρωπίᾳ, καὶ μελοποιίᾳ, εὐαγώγῳ μὲν δὴ, καὶ κιθαρῳδίᾳ εὖ σταλεῖ, καὶ οὐ καιρὸς βαδίζει, καὶ στῆναι, καὶ μεταστῆναι, καὶ τὸ νεῦμα ἐξομοιῶσαι τοῖς μέλεσιν,

τιν, αἰσχύνην ἔχοντος μόνου τὸ βασιλέα δοκεῖν ἀκριβοῦν ταῦτα. εἰ δὲ μιμοῖτο τοὺς κρείττονας, φεῦ γέλωτος, ὡς πολὺς τῶν θεωμένων ἐκπίπτει. καίτοι μυρίων φόβων ἐπηρτημένων, εἴ τις ἐπ' αὐτῷ γελῶν εἴη. νεύει μὲν γὰρ τοῦ μετρίου πλέον, ξυνάγων τὸ πνεῦμα, ἐπ' ἄκρων δὲ ἵσταται τῶν ποδῶν ἀνακλώμενος, ὥσπερ οἱ ἐπὶ τοῦ τροχοῦ. φύσει δ' ἐρυθρὸς ὤν, ἐρυθριᾷ μᾶλλον, ἐμπιπραμένου αὐτῷ τοῦ προσώπου. τὸ δὲ πνεῦμα, ὀλίγον, καὶ οὐκ ἀποχρῶν που δή. Με. οἱ δ' ἐν ἀγῶνι πρὸς αὐτόν, πῶς ὑφίενται ὦ Μουσώνιε; τέχνῃ γάρ που χαρίζονται. Μου. τέχνῃ μέν, ὥσπερ οἱ ὑποπαλαίοντες. ἀλλ' ἐνθυμήθητι ὦ Μενέκρατες, τὸν τῆς τραγῳδίας ὑποκριτήν, ὡς Ἰσθμοῖ ἀπέθανεν. ἴσοι γὰρ κίνδυνοι καὶ περὶ τὰς τέχνας, ἢν ἐπιτείνωσιν οἱ τεχνάζοντες. Με. καὶ τί τοῦτο Μουσώνιε; σφόδρα γὰρ ἀνήκοος τοῦ λόγου. Μου. ἄκουε δὴ λόγου ἀτόπου μέν, ἐν ὀφθαλμοῖς δὲ Ἑλλήνων πεπραγμένου. Ἰσθμοῖ γὰρ νόμου κειμένου, μήτε κωμῳδίαν ἀγωνίζεσθαι, μήτε τραγῳδίαν, ἐδόκει Νέρων τραγῳδοὺς νικᾶν. καὶ παρῆλθον εἰς τὴν ἀγωνίαν ταύτην, πλείους μέν. ὁ δ' ἠπειρώτης, ἄριστα φωνῆς ἔχων, εὐδοκιμῶν δ' ἐπ' αὐτήν, καὶ θαυμαζόμενος, λαμπρότε-

ρα τοῦ εἰωθότος ἐπλάττετο, καὶ τοῦ στεφάνου ἐρῶν, καὶ μὴ δ' ἀνήσειν πρότερον, ἢ δέκα τάλαντα δοῦναί οἱ Νέρωνα ὑπὲρ τῆς νίκης. ὃ δ' ἠγρίαινέ τε, καὶ μανικῶς εἶχε. καὶ γὰρ δὴ καὶ ἠκροᾶτο ὑπὸ τῇ σκηνῇ, ἐπ' αὐτῷ δὴ τῷ ἀγῶνι. βοώντων δὲ τῶν Ἑλλήνων ἐπὶ τῷ ἠπειρώτῃ, πέμπει τὸν γραμματέα, κελεύων ὑφεῖναι αὐτῷ τὸν τόνον. αὐτοῦ δὲ ὑπεραίροντος τὸ φθέγμα, καὶ δημοτικῶς ἐρίζοντος, εἰσπέμπει Νέρων ἐπ' ὀκριβάντων τοὺς ἑαυτοῦ ὑποκριτάς, οἷον προσήκοντάς τε τῷ πράγματι. καὶ γὰρ δὴ καὶ δέλτους ἐλεφαντίνους, καὶ διθύρους, προβεβλημένοι αὐτὰς ὥσπερ ἐγχειρίδια, καὶ τὸν ἠπειρώτην ἀναστήσαντες πρὸς τὸν ἄγχου κίονα, κατέαξαν αὐτοῦ τὴν φάρυγγα, παίοντες ὀρθαῖς ταῖς δέλτοις. Με. Τραγῳδίαν δὲ ἐνίκα Μουσώνιε, μιαρὸν οὕτω πάθος ἐν ὀφθαλμοῖς τῶν Ἑλλήνων ἐργασάμενος. Μου. Παιδιὰ ταῦτα νεανίᾳ τῷ μητροκτονήσαντι. Με. Εἰ δὲ τραγῳδίαις ὑποκριτὴν ἀπέκτεινεν ἐκτεμὼν αὐτοῦ τὸ φθέγμα, τί χρὴ θαυμάζειν; καὶ γὰρ δὴ καὶ τὸ πυθικὸν στόμιον, παρ' οὗ αἱ ὀμφαὶ ἐνέπνεον, ἀποφράττειν ὥρμησεν, ὡς μηδὲ τῷ Ἀπόλλωνι φωνὴ εἴη. καίτοι τοῦ Πυθίου καταλέξαντος αὐτὸν, εἰς τοὺς Ὀρέστας τε, καὶ Ἀλκμαίωνας,

ωνας, οἷς δὲ μὴ ξυγκρίνουσι, καὶ λόγον ξυνάδοντα κλεί-
ας ἔδωκεν, ἐπειδὴ παρ' ἅπασιν ἐτιμώρησαν.

Μου. ὁ δὲ, μηδαμῶς εἰπεῖν ἔχων ὅτῳ ἐπιμώρησιν, ὑβρίσθαι ὑπὸ τοῦ θεοῦ ᾤετο, πρᾳότερα τῶν ἀληθῶν ἀκούων. ἀλλὰ μεταξὺ λόγων, τίς ὁ προσπίπτουσα ναῦς, ὡς ἐπάγειν τι ἀγαθὸν ἔοικεν. ἐπιφαίνονται γὰρ τὰς κεφαλὰς, ὥσπερ χορὸς εὔφημος. καί τις ἐκ πρώρας προτείνει τὴν χεῖρα, παρακελευόμενος ἡμῖν θαρρεῖν τε, καὶ χαίρειν. βοᾷ τε εἰ μὴ παρακούω, Νέρωνα οἴχεσθαι. Με. βοᾷ γὰρ Μουσώνιε, καὶ σαφέστερόν γε, ὅσῳ τῆς γῆς ἅπτεται. Μου. εὖ γε ὦ θεοί. Με. ἀλλὰ μὴ ἐπευχώμεθα. ἐᾶσθαι γὰρ τοῖς κειμένοις οὔ φασι δεῖν.

ΤΕΛΟΣ ΔΕΥΤΕΡΟΥ ΜΕΡΕΟΣ ΤΟΥ ΛΟΥΚΙΑΝΟΥ.

# ΣΟΥΙΔΑ.

Λουκιανὸς Σαμοσατεὺς, ὁ ἐπικληθεὶς βλάσφημος, ἢ δύσφημος, ἢ ἄθεος εἰπεῖν μᾶλλον. ὅτι ἐν τοῖς διαλόγοις αὐτοῦ γελοῖα εἶναι καὶ τὰ περὶ τῶν θείων εἰρημένα παρατίθεται. λέγεται δὲ γενέσθαι ἐπὶ τοῦ καίσαρος Τραϊανοῦ καὶ ἐπέκεινα. ἦν δὲ οὗτος τὸ πρὶν δικηγόρος ἐν ἀντιοχείᾳ τῆς Συρίας. δυσπραγήσας δ' ἐν τούτῳ, ἐπὶ τὸ λογογραφεῖν ἐτράπη, καὶ γέγραπται αὐτῷ ἄπειρα. τελευτῆσαι δὲ αὐτὸν λόγος ὑπὸ κυνῶν, ἐπεὶ κατὰ τῆς ἀληθείας ἐλύττησεν. εἰς γὰρ τὸν Περεγρίνου βίον, καθάπτεται τοῦ χριστιανισμοῦ. καὶ αὐτὸν βλασφημεῖ τὸν Χριστὸν ὁ παμμίαρος. διὸ καὶ τῆς λύττης, ποινὰς ἀρκούσας ἐν τῷ παρόντι δέδωκεν, ἐν δὲ τῷ μέλλοντι, κληρονόμος τοῦ αἰωνίου πυρὸς μετὰ τοῦ σατανᾶ γενήσεται.

ΒΙΒΛΙΟΘΗΚΗ
ΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΕΩΝ ΑΡΙΘ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΛΟΥΚΙΑΝΟΥ ΕΙΣ ΤΗΝ ἑαυτοῦ βίβλον.

Λουκιανὸς τάδ' ἔγραψε, παλαιά τε, μωρά τε
εἰδώς.
Μωρὰ γὰρ ἀνθρώποις καὶ τὰ δοκοῦντα σοφά.
Οὐδὲν ἐν ἀνθρώποισι διακριδόν ἐστι νόημα,
Ἀλλ' ὃ σὺ θαυμάζεις, τοῦθ' ἑτέροισι γέλως.

ΤΕΛΟΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ
Μητροπολίτη
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ